



IULIANI IMPERATORIS

QUAE SUPERSUNT

PRAETER RELIQUIAS APUD CYRILLUM

OMNIA.

RECENSUIT

FRIDERICUS CAROLUS HERTLEIN.

VOL. I.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXV.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Iuliani libri manu scripti, quibus usi sumus in hac editione adornanda, hi sunt:

1) *Leidensis* inter *Vossianos* 77, forma maxima, bombycinus, saeculo XII aut XIII totus ab eadem manu scriptus praeter interpolatum folium recentius, quo continentur p. 335 D (*καὶ τῶν φίλων ὑπουργοῦντα*) ad 336 C (*ἡγεμόνα θεὸν εὐμενῆ καθιστὰς σεαυτῷ*), p. 398 C (*ἐχρῆν τὸν ἐξελαθέντα*) ad 398 D (*ὑπὸ τοῦ συνήθους ἐπαρθέντα*) et post magnam lacunam p. 376 D (*ἤλυθες τηλέμαχε*) ad 377 B (*οὕτω δ' ἐφ' ἑκάστου τῆς τέχνης ἔχεται*), versibus vicenis quaternis — septenis, cum scholiis ad marginem paucis eiusdem manus, pluribus alius manus, utrisque nullius pretii. Dispartitus est in duo volumina, quorum altero Libanii continentur Epistolae, altero olim continebantur omnia Iuliani scripta, quae quidem supersunt, praeter Epistolarum partem. Nunc vero iam non est integer, sed desunt p. 147 A (*οὐ μὴν οὐδὲ*) ad 168 D (*ὅτι μὲν οὖν*) et p. 181 A (*ὥστε ἐπίσταται σαφῶς*) ad 202 B (*τὰ μὲν ἀναγκαῖα τῆς φύσεως*). Fragmentum Epistolae p. 288—305 in codice insertum Epistolae ad Themistium p. 256 C inter *τὸ δὴ λεγόμενον* et *καὶ πεποιήκασι* Petavius ex Epistola ad Themistium exemit et seorsim edidit. — Epistolae leguntur in codice hae: 5, 6, 8, 9, 13, 14, 15, 16, 17, 18, 19 (usque ad verba *φεύγων αὐτῶν τὴν ὄψιν* p. 387 B, caetera desunt), 23, 24 (a verbis *διότι καὶ μόνον γλυκύ* p. 391 A, initium deest), 25, 25^b (64 Heyl.), 26 (usque ad verba *ὑπὸ τοῦ συνήθους ἐπαρθέντα* p. 398 D, reliqua desunt), 27 (usque ad verba *πολλὰ τοιαῦτα* p. 401 A, caetera desunt) 28[1]), 29, 30, 31, 32,

1) Hanc epistolam omisit Cobetus in codicis descriptione caeterum accuratissima in Mnemosynes vol. VIII. p. 342—349.

σαρος εἰς τὸν βασιλέα ἥλιον πρὸς σαλουστῖνον, 2) *Ἰουλιανοῦ αὐτοκράτορος καίσαρος ἀντιοχικὸς ἢ μισοπώγων*. Explicit in verbis *ἀντάξιος ἑτέρων* p. 353 D [1]). Contulit I. I. Reiskius et hunc et Monacenses qui sequuntur 490 et 113. Collationem eius in bibliotheca Leidensi servatam (secundum catalogum Gelii Wyttenb. mss. n. 40) humanissime mecum communicavit *W. N Du Rieu*.

6) Codex olim *Augustanus*, nunc *Monacensis* 490, forma quadrata, chartaceus, saeculi XV, foliorum 500. Continentur eo 1) Epistolae Iuliani fol. 121 et fol. 254 hoc ordine: Epist. 77, 3, 14, 65, 66, 20 et 67 [2]). 2) Hymnus in solem fol. 381. Hoc libro in Epistolis Hercherus quoque usus est.

7) Codex *Monacensis* 113, forma maxima, chartaceus, saeculi XVI. Continentur eo 1) *Ἰουλιανοῦ καίσαρος εἰς τὸν βασιλέα ἥλιον πρὸς σαλουστῖνον* fol. 234, 2) *τοῦ αὐτοῦ ἀντιοχικὸς ἢ μισοπώγων* fol. 247.

8) Codex *Monacensis* 101, forma maxima, chartaceus (vel bombycinus secundum Harlesium), saeculi XVI. Insunt in eo post multa alia, quae Harlesius enumeravit, *Ἰουλιανοῦ αὐτοκράτορος συμπόσιον ἢ κρόνια* fol. 366 et Oratio eiusdem II sine inscriptione fol. 380, quae explicit in verbis *δῆλον δὲ ἐνθένδε* p. 82 C [3]). Contulit librum, quem *Bavaricum* dixit, Harlesius.

Libri qui sequuntur n. 9—14 in Caesaribus cum editione Harlesii, in Misopogone cum editione Spanhemii collati sunt a L. Haeussero, in Epistolis ab Heylero.

9) Codex *Parisinus* 1732, Caesares et Orationes I. II. III.

1) Sic etiam Monacenses 305 et 339.

2) Quas vero praeterea in eodem codice ad margines adscriptas atque ex Hardtii catalogo desumtas Heylerus inter Iulianeas numeris 78, 79, 80, 81, 82 insignitas recepit, non esse Iuliani, sed Isidori Pelusiotae Hercherus docuit in Hermae vol. IV. p. 427. Atque iam Reiskius, qui easdem transscripsit, haec de iis dicit: „Sintne autem hae Iuliani an Synesii (cuius nonnullae praecesserant) an Isidori, cuius quaedam sequebantur, non constat. quaeratur“.

3) Eadem est conditio librorum Parisini 2832 et Vaticani 1264 atque editionis Cantoclari.

10) Codex *Parisinus* 2832, forma octuplicata, chartaceus, saeculi XVI, Caesares, Epistolas viginti, Orationem II mutilam (vid. p. VI not. 3) continens. Collatus est in Caesaribus usque ad p. 331 C. Accuratius hunc librum descripsit Heylerus in praef. ad Epist. p. XXII.

11) Codex *Parisinus* 2954, forma octuplicata, membranaceus, saeculo XV scriptus, quem accuratius descripsit Heylerus in praef. ad Epist. p. XX. Apographum est Vossiani eo tempore factum, quo iam multa in eo legi non poterant, sed folia, quae nunc desunt, nondum perierant. Habet igitur quae in Vossiano exciderunt. Quae autem librarius Parisini apographi legere non poterat, in quibus sunt, quae etiam nunc dispicias, si oculos intendas, lacuna relicta indicavit.

12) Codex *Parisinus* 3020, Caesares et Orationes I. II. III.

13) Codex *Parisinus* 3029, Misopogon cum multis variis lectionibus ad marginem adscriptis.

14) Codex *Parisinus* 3038, Misopogon.

Praeterea Heylerus in Epistolis usus est *Parisinis* 963, 967, 1031, 1310, 1603, 2131, 2755, 3044, *Vaticano* 1353 et *Heidelbergensi* 356, Hercherus *Laurentianis* LVIII, 16 et XXXII, 37, *Palatinis* 134 et 146, *Marcianis* 79 et 54 et *Vaticano* 434.

E Petavii codicibus dignus inprimis est, qui commemoretur, *Baroccianus*, cuius ope multa in editione sua mendose scripta correxit Petavius in notis ad Epistolas.

His igitur subsidiis instructus pro vitiosa scriptura plurimis locis e libris manu scriptis emendatam reposui. Ubi vero codices opem non ferebant, ad conjecturam vel aliorum vel meam confugi, atque emendationes certas in verborum contextum recepi, verisimiles aut aliquo modo memorabiles in adnotatione commemoravi. Reiskii animadversiones excerpsi ex autographo eius in bibliotheca Leidensi inter Wyttenbachiana asservato.

Vossiani scripturam integram apposui praeter levissima quaedam, ut μὴ δὲ pro μηδὲ et οὐχ' pro οὐχ, reliquorum selectam.

INDEX SIGLORUM.

A . . . . . Laurentianus LVIII, 16 Hercheri.
Aug. . . . . Monacensis 564.
Bar. . . . . Baroccianus Petavii.
Bav. . . . . Monacensis 101 Harlesii.
Cob. . . . . Cobetus.
E . . . . . Monacensis 461.
F . . . . . Monacensis 113.
G . . . . . Monacensis 490.
H . . . . . Hertlein.
Hrch. . . . Hercherus.
L . . . . . Laurentianus XXXII, 37 Hercheri.
M . . . . . Marcianus 366.
Mb . . . . Marcianus 251.
Pa . . . . Parisinus 1732.
Pb . . . . Parisinus 2832.
Pc . . . . Parisinus 2964.
Pd . . . . Parisinus 3020.
Pe . . . . Parisinus 3029.
Pf . . . . Parisinus 3038.
Pg . . . . margo Parisini 3029.
Ph . . . . Parisinus 963.
Pi . . . . Parisinus 2131.
Pk . . . . Parisinus 2755.
Pl . . . . Parisinus 3044.
Pet. . . . . Petavius.
Rsk. . . . Reiskius.
Schaef. . . Schaeferus.
Wytt. . . . Wyttenbachius.
V . . . . . Vossianus 77.
cant. . . . cantoclariana.
fl. . . . . . Petavii flexiensis.
marc. . . . marciliana.
mart. . . . martiniana.
pet. . . . . Petavii parisina.
spanh. . . . spanhemiana.
v . . . . . vulgata.

ΙΟΥΛΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΚΩΝΣΤΑΝΤΙΟΝ.

Ed. Spanh. I. p. 1.

Πάλαι με προθυμούμενον, ὦ μέγιστε βασιλεῦ, τὴν σὴν ἀρετὴν καὶ πράξεις ὑμνῆσαι καὶ τοὺς πολέμους ἀπαριθμήσασθαι, καὶ τὰς τυραννίδας ὅπως ἀνῄρηκας, τῆς μὲν λόγῳ καὶ πειθοῖ τοὺς δορυφόρους ἀποστήσας, τῆς δὲ τοῖς ὅπλοις κρατήσας, τὸ μέγεθος εἶργε τῶν πράξεων, οὐ τὸ βραχὺ λειφθῆναι τῷ λόγῳ τῶν ἔργων δεινὸν κρίνοντα, ἀλλὰ τὸ παντελῶς τῆς ὑποθέσεως διαμαρτεῖν δόξαι. τοῖς μὲν γὰρ περὶ τοὺς πολιτικοὺς ἀγῶνας καὶ τὴν ποίησιν διατρίβουσιν οὐδὲν θαυμαστὸν εἰ ῥᾳδίως ἔξεστιν ἐγχειρεῖν τοῖς ἐπαίνοις τῶν σοι πραχθέντων· περίεστι γὰρ αὐτοῖς ἐκ 2 *τῆς τοῦ λέγειν μελέτης καὶ τῆς πρὸς τὰς ἐπιδείξεις συνηθείας τὸ θαρσεῖν ἐν δίκῃ. ὅσοι δὲ τοῦ μὲν τοιούτου μέρους κατωλιγώρησαν, ὥρμησαν δ' ἐφ' ἕτερον παιδείας εἶδος καὶ λόγων ξυγγραφὴν οὐ δήμῳ κεχαρισμένην οὐδ' ἐς θέατρα παντοδαπὰ τολμῶσαν ἀποδύεσθαι, πρὸς τὰς ἐπιδείξεις ἔχοιεν ἂν εἰκότως εὐλαβεστέρως. ἔστι γὰρ οὐκ ἄδηλον τοῦθ' ὅτι τοῖς*

1 *Ἰουλιανοῦ καίσαρος* add. V | *εἰς* V] *πρὸς* 8 *εἶργε* VM] *εἶρξε* ' *τὸ*] *τῷ* V | *βραχὺ* M] *βραχεῖ* 9 *τὸ*] *τῷ* V 10 *περὶ* Schaef us dubitanter conjecit, non scripsit] *πρὸς* 12 *ἔξεστιν ἐγχειρεῖν* V] *ἐγχειρεῖν ἔξεστι* 13 *σοὶ* VM. Sic etiam M 3 A et 30 B, V 40 C 16 *δὲ ἐφ'* VM 18 *οὐδὲ* VM 20 *εὐλαβεστέρως* V] *εὐλαβέστερον*

B μὲν ποιηταῖς Μοῦσαι καὶ τὸ δοκεῖν ἐκεῖθεν ἐπιπνεομένους τὴν ποίησιν γράφειν ἄφθονον παρέχει τὴν ἐξουσίαν τοῦ πλάσματος· τοῖς ῥήτορσι δὲ ἡ τέχνη τὴν ἴσην παρέσχεν ἄδειαν, τὸ μὲν πλάττειν ἀφελομένη, τὸ δὲ κολακεύειν οὐδαμῶς ἀπαγορεύσασα, οὐδὲ αἰσχύνην ὁμολογουμένην τῷ λέγοντι τὸ ψευδῶς ἐπαινεῖν τοὺς οὐκ ἀξίους ἐπαίνου κρίνασα. ἀλλ' οἱ μὲν ἐπειδὰν καινόν τινα μῦθον καὶ μηδέπω τοῖς πρόσθεν C ἐπινοηθέντα φέρωσιν αὐτοὶ ξυνθέντες, τῷ ξένῳ τοὺς ἀκούοντας ψυχαγωγήσαντες πλέον θαυμάζονται· οἱ δὲ τῆς τέχνης ἀπολαῦσαί φασιν ἐν τῷ δύνασθαι περὶ τῶν μικρῶν μειζόνως διελθεῖν, καὶ τὸ μέγεθος ἀφελεῖν τῶν ἔργων τῷ λόγῳ, καὶ ὅλως ἀντιτάττειν τῇ τῶν πραγμάτων φύσει δύνασθαι τὴν τῶν λόγων. ἐγὼ δὲ εἰ μὲν ἑώρων ταύτης ἐμαυτὸν ἐπὶ τοῦ παρόντος ἐν χρείᾳ τῆς τέχνης, ἦγον ἂν τὴν προσήκουσαν ἡσυ- D χίαν τοῖς ἀμελετήτως ἔχουσι τῶν τοιούτων λόγων, παραχωρῶν τῶν σῶν ἐγκωμίων ἐκείνοις, ὧν μικρῷ πρόσθεν ἐμνήσθην. ἐπεὶ δὲ ἅπαν τοὐναντίον ὁ παρὼν ἀπαιτεῖ λόγος τῶν πραγμάτων ἁπλῆν διήγησιν οὐδενὸς ἐπεισάκτου κόσμου δεομένην, ἔδοξε κἀμοὶ προσήκειν, (τοῦ) ἀξίως διηγήσασθαι τῶν ἔργων ἀνεφίκτου καὶ τότε τοῖς προλαβοῦσιν ἤδη φανέντος. ἅπαντες γὰρ σχεδὸν οἱ περὶ παιδείαν διατρίβοντές 3 (σε) ἐν μέτρῳ καὶ καταλογάδην ὑμνοῦσιν, οἱ μὲν ἅπαντα περιλαβεῖν ἐν βραχεῖ τολμῶντες, οἱ δὲ μέρεσιν

4 παρέσχεν VM] παρέχει 5 τὸ δὲ κολακεύειν V] τὸ κολακεύειν δὲ | ἀπαγορεύσασα V] ἀπαγορεύουσα 6 ψεῦδος V 9 ξυνθέντες VM] συνθέντες 14 δύνασθαι τὴν] τὴν δύναμιν Wyttenbachius, Reiskius τὴν τῶν λόγων τέχνην, quod deleto verbo δύνασθαι probandum videtur 19 τοὐναντίον M] τοὐνάντιον 22 τοῦ add. Rsk. 23 τότε προλαβοῦσιν VM. Ego τότε deleam 25 σε add. Schaeferus | καὶ om. V 26 ἐν ante μέρεσιν vulgo additum delevit Rsk.

αὑτοὺς ἐπιδόντες τῶν πράξεων ἀρκεῖν φήθησαν, εἰ τούτων τῆς ἀξίας μὴ διαμάρτοιεν. ἄξιον δὲ ἄγασθαι τὴν προθυμίαν τῶν ἀνδρῶν ἁπάντων, ὅσοι τῶν σῶν ἐπαίνων ἥψαντο. οἱ μὲν γάρ, ὅπως μηδὲν ὑπὸ τοῦ χρόνου τῶν σοι πραχθέντων ἀμαυρωθείη, τὸν μέγιστον ὑποδῦναι πόνον ἐτόλμησαν, οἱ δέ, ὅτι τοῦ παντὸς διαμαρτήσειν ἤλπιζον, τὴν αὑτῶν γνώμην ἐν μέρει προὔφηναν, ἄμεινον τοῦ τῆς σιωπῆς ἀκινδύνου B γέρως κρίναντες κατὰ δύναμίν σοι τῶν οἰκείων πόνων ἀπάρξασθαι. εἰ μὲν οὖν καὶ αὐτὸς εἷς ὢν ἐτύγχανον τῶν τοὺς ἐπιδεικτικοὺς ἀγαπώντων λόγους, ἐχρῆν ἐντεῦθεν ἄρχεσθαι τῆς ὑποθέσεως, τὴν ἴσην εὔνοιαν ἀπαιτήσαντα τῆς ὑπαρχούσης ἤδη σοι παρ' ἡμῶν καὶ δεηθέντα τῶν λόγων ἀκροατὴν εὐμενῆ γενέσθαι, οὐχὶ δὲ ἀκριβῆ καὶ ἀπαραίτητον κριτὴν καταστῆναι. ἐπεὶ δὲ ἐν ἄλλοις μαθήμασι τραφέντες καὶ C παιδευθέντες, καθάπερ ἐπιτηδεύμασι καὶ νόμοις, ἀλλοτρίων κατατολμᾶν ἔργων δοκοῦμεν οὐκ ὀρθῶς, μικρά μοι δοκεῖ χρῆναι καὶ περὶ τούτων δηλῶσαι, οἰκειοτέραν ἀρχὴν προθέντα τοῦ λόγου.

Νόμος ἐστὶ παλαιὸς παρὰ τοῦ πρώτου φιλοσοφίαν ἀνθρώποις φήναντος οὑτωσὶ κείμενος· ἅπαντας πρὸς τὴν ἀρετὴν καὶ πρὸς τὸ καλὸν βλέποντας ἐπι- D τηδεύειν ἐν λόγοις, ἐν ἔργοις, ἐν ξυνουσίαις, ἐν πᾶσιν ἁπλῶς τοῖς κατὰ τὸν βίον μικροῖς καὶ μείζοσι τοῦ καλοῦ πάντως ἐφίεσθαι. πάντων δὲ ὅτι κάλλιστον ἀρετή, τίς ἂν ἡμῖν τῶν νοῦν ἐχόντων ἀμφισβητήσειε; ταύτης τοίνυν ἀντέχεσθαι διακελεύεται τοὺς μὴ μά-

1 αὑτοὺς VM et saepe alibi, quod non omnibus locis annotavi 7 αὑτῶν Schaef.] αὐτῶν 20 προσθέντα V 22 οὑτοσὶ M. cf. Epist. 42 p. 423 D 24 ἐν πᾶσιν H] ἐπὶ πᾶσιν 25 μικροῖς] ἄκροις VM. Malim καὶ μικροῖς 27 ἀμφισβητήσειε V] ἀμφισβητήσειεν

την τουτὶ περιοίσοντας τοὔνομα, προσῆκον οὐδὲν αὐτοῖς σφετερισαμένους. ταῦτα δὴ διαγορεύων ὁ νόμος οὐδεμίαν ἰδέαν ἐπιτάττει λόγων, οὐδ' ὥσπερ ἔκ
4 τινος τραγικῆς μηχανῆς, φησί, χρῆναι προαγορεύει τοῖς ἐντυγχάνουσι σπεύδειν μὲν πρὸς τὴν ἀρετήν, ἀποφεύγειν δὲ τὴν πονηρίαν, ἀλλὰ πολλαῖς ὁδοῖς ἐπὶ τοῦτο δίδωσι χρῆσθαι τῷ βουληθέντι μιμεῖσθαι τὴν ἐκείνου φύσιν. καὶ γὰρ παραίνεσιν ἀγαθὴν καὶ λόγων προτρεπτικῶν χρῆσιν καὶ τὸ μετ' εὐνοίας ἐπιπλήττειν τοῖς ἁμαρτήμασιν ἐπαινεῖν τε αὖ τὰ καλῶς πραχθέντα καὶ ψέγειν, ὅταν ᾖ καιρός, τὰ μὴ τοιαῦτα
B τῶν ἔργων. ἐφίησι δὲ (καὶ) ταῖς ἄλλαις ἰδέαις, εἴ τις ἐθέλοι, πρὸς τὸ βέλτιστον τῶν λόγων χρῆσθαι, ἐπὶ παντὶ δὲ οἶμαι καὶ λόγῳ καὶ πράξει μεμνῆσθαι προστάττων, ὅπῃ τούτων ὑφέξουσιν εὐθύνας, ὧν ἂν τύχωσιν εἰπόντες, λέγειν δὲ οὐδὲν ὅ,τι μὴ πρὸς ἀρετὴν καὶ φιλοσοφίαν ἀνοίσουσι. τὰ μὲν οὖν ἐκ τοῦ νόμου ταῦτα καὶ τοιαῦτα ἕτερα.

Ἡμεῖς δὲ ἄρα τί ποτε δράσομεν, εἰργόμενοι μὲν τῷ δοκεῖν ποιεῖσθαι πρὸς χάριν τὴν εὐφημίαν, τοῦ
C γένους δὲ ἤδη τῶν ἐπαίνων διὰ τοὺς οὐκ ὀρθῶς μετιόντας ὑπόπτου καθεστῶτος δεινῶς, καὶ κολακείας ἀγεννοῦς, ἀλλ' οὐ μαρτυρίας ἀληθοῦς τῶν ἀρίστων ἔργων εἶναι νομισθέντος; ἢ δῆλον ὅτι τῇ περὶ τὸν ἐπαινούμενον ἀρετῇ πεπιστευκότες ἐπιδώσομεν ἑαυ-

3 οὐδὲ μίαν VM | οὐδὲ ὥσπερ M, οὐδὲν ὥσπερ V 4 προαγορεύει Rsk.] προσαγορεύει V, προαγορεύειν Mv 7 ἐπὶ τοῦτο V] ἐπὶ τούτῳ 8 et 9 παραίνεσις ἀγαθὴ et χρῆσις Schaef. 12 τῶν ἔργων] Post haec verba Rsk. suspicatur excidisse ἐφίησιν | καὶ add. Rsk. 13 ἐθέλοι V] ἐθέλει | τῶν λόγων Wytt.] τῷ λόγῳ 14 ἐπὶ παντὶ μὲν Schaef. 15 ὅπῃ] ὅτι Rsk. | ὧν ἐὰν V 17 οὖν om. V 22 καθεστῶτος δεινῶς V] δεινῶς καθεστ. 24 ἢ VM] ἤ· | δῆλον, ὅτι V] δηλονότι

ὺς θαρροῦντες τοῖς ἐγκωμίοις; τίς ἂν οὖν ἡμῖν
χὴ καὶ τάξις τοῦ λόγου γένοιτο καλλίστη; ἢ δῆλον
ἡ τῶν προγόνων ἀρετή, δι' ἣν ὑπῆρξέ σοι καὶ
ῳ τοιούτῳ γενέσθαι; τροφῆς δὲ οἶμαι καὶ παιδείας D
ἑξῆς προσήκει μνησθῆναι, ἥπερ σοι τὸ πλεῖστον εἰς
τὴν ὑπάρχουσαν ἀρετὴν συνεισηνέγκατο, ἐφ' ἅπασι
δὲ τούτοις ὥσπερ γνωρίσματα τῶν τῆς ψυχῆς ἀρε-
ν τὰς πράξεις διελθεῖν, καὶ τέλος ἐπιτιθέντα τῷ
γῳ τὰς ἕξεις δηλῶσαι, ὅθεν ὁρμώμενος τὰ κάλ-
λιστα τῶν ἔργων ἔδρασας καὶ ἐβουλεύσω. τούτῳ γὰρ
μαι καὶ τῶν ἄλλων πάντων διοίσειν τὸν λόγον. οἱ
ν γὰρ ἐπὶ τῶν πράξεων ἵστανται, ἀποχρῆν οἰόμε-
ι πρὸς τὴν τελείαν εὐφημίαν τὸ τούτων μνησθῆναι,
ὼ δὲ οἶμαι δεῖν περὶ τῶν ἀρετῶν τὸν πλεῖστον
γον ποιήσασθαι, ἀφ' ὧν ὁρμώμενος ἐπὶ τοσοῦτον
ν κατορθωμάτων ἦλθες. τὰ μὲν γὰρ πλεῖστα τῶν
γων, σχεδὸν δὲ πάντα, τύχη καὶ δορυφόροι καὶ
ρατιωτῶν φάλαγγες καὶ τάξεις ἱππέων [καὶ πεζῶν]
γκατορθοῦσι, τὰ δὲ τῆς ἀρετῆς ἔργα μόνου τέ ἐστι
ῦ δράσαντος, καὶ ὁ ἐκ τούτων ἔπαινος ἀληθὴς B
ιθεστὼς ἴδιός ἐστι τοῦ κεκτημένου. οὐκοῦν ἐπειδὴ
ῦθ' ἡμῖν σαφῶς διώρισται, τῶν λόγων ἄρξομαι.

Ὁ μὲν οὖν τῶν ἐπαίνων νόμος οὐδὲν ἔλαττον
ς πατρίδος ἢ τῶν προγόνων ἀξιοῖ μεμνῆσθαι. ἐγὼ
δὲ οὐκ οἶδα, τίνα χρὴ πρῶτον ὑπολαβεῖν πατρίδα
σήν· ἔθνη γὰρ μυρία περὶ ταύτης ἀμφισβητεῖ πολὺν
ἤδη χρόνον. καὶ ἡ μὲν βασιλεύουσα τῶν ἁπάντων
πόλις, μήτηρ οὖσα σὴ καὶ τροφὸς καὶ τὴν βασιλείαν C

1 ἂν οὖν V] οὖν αν   2 ἢ VM] ἤ   10 τούτῳ H] τούτων V, τοῦτον Mv   13 τὸ μνησθῆναι. τούτων fl.   15 ἐπὶ τὸ τοσοῦτον V   18 καὶ πεζῶν ut delenda inclusi. Reiskius suspicatur καὶ λόχοι πεζῶν

σοι μετὰ τῆς ἀγαθῆς τύχης παρασχοῦσα, ἐξαίρετον
αὑτῆς φησιν εἶναι τὸ γέρας, οὐ τοῖς κοινοῖς ἐφ᾽
ἁπάντων τῶν αὐτοκρατόρων δικαίοις χρωμένη· λέγω
δὲ ὅτι, κἂν ἀλλαχόθεν τυγχάνωσι, τῷ μετέχειν ἅπαν-
τας ἤδη τοῦ πολιτεύματος καὶ τοῖς ἐκεῖθεν ἡμῖν
καταδειχθεῖσιν ἔθεσι καὶ νόμοις χρῆσθαι πολῖται γε-
γόνασιν· [οὔκουν,] ἀλλ᾽ ὡς τεκοῦσα τὴν σὴν μητέρα
καὶ θρεψαμένη βασιλικῶς καὶ τῶν ἐσομένων ἐγγόνων
D ἀξίως. ἡ δὲ ἐπὶ τῷ Βοσπόρῳ πόλις, ὅλου τοῦ γέ-
νους τοῦ Κωνσταντίων ἐπώνυμος, πατρὶς μὲν οὐκ
εἶναί φησι, γεγονέναι δὲ ὑπὸ τοῦ σοῦ πατρὸς ὁμο-
λογεῖ, καὶ δεινὰ πάσχειν οἰήσεται, εἰ ταύτης γοῦν
τις αὐτὴν τῷ λόγῳ τῆς συγγενείας ἀφαιροῖτο. Ἰλλυ-
ριοὶ δέ, ὅτι παρ᾽ αὐτοῖς γέγονας, οὐκ ἀνέξονται τοῦ
καλλίστου τῶν εὐτυχημάτων στερόμενοι, εἴ τις ἄλλην
6 σοι πατρίδα προσνέμοι. ἀκούω δὲ ἔγωγε καὶ τῶν
ἐῴων ἤδη τινὰς λέγειν, ὅτι μὴ δίκαια δρῶμεν ἀφαι-
ρούμενοι σφᾶς τὸν ἐπὶ σοὶ λόγον· αὐτοὶ γάρ φασι
τὴν τήθην ἐπὶ τὸν τοῦ μητροπάτορος τοῦ σοῦ προ-
πέμψαι γάμον. καὶ σχεδὸν ἅπαντες οἱ λοιποὶ προ-
φάσεις ἐπινοοῦντες μικρὰς ἢ μείζονας αὐτοῖς (σε)
εἰσποιεῖν ἐκ παντὸς ἐγνώκασιν. ἐχέτω μὲν οὖν τὸ
γέρας ἣν αὐτὸς ἐθέλεις, καὶ ἣν ἀρετῶν μητέρα καὶ
B διδάσκαλον πολλάκις ἐπαινῶν εἴρηκας, τυγχανόντων
δὲ ἑκάστη κατὰ τὴν ἀξίαν αἱ λοιπαὶ τοῦ προσήκον-

2 αὐτῆς VM 4 et 5 ἅπαντες Schaef. 7 οὔκουν. ἀλλ᾽ ὡς M, οὐκοῦν ὡς Vv. Seclusi οὔκουν, sed malim οὔκουν οὕτως, ἀλλ᾽ ὡς 9 et 10 ὅλου τοῦ γένους τοῦ Κωνσταντίων V] ὅλη τοῦ K. γένους M, ὅλου τοῦ γένους τῶν K. v 11 γέγονε V 15 στερούμενος M pr. m., στερούμενοι sec. m. 18 ἐπὶ σοὶ M] ἐπί σοι 19 τηθὴν M, τίτθην pr. m., ut videtur, V, τήθην m. sec. 21 σε add. Schaef. 22 ἐγνώκασιν Pet.] ἐγνώκεσαν 23 αὐτὸς add. VM

;. ἐγὼ δὲ ἐπαινεῖν μὲν ἁπάσας ἔχοιμ' ἂν ἀξίας ισας ἀξίας καὶ τιμῆς, ὀκνῶ δὲ μὴ διὰ τὸ μῆκος, καὶ δοκεῖ λίαν οἰκεῖα τοῦ παρόντος λόγου, διὰ ὶν καιρὸν ἀλλότρια φανῇ. τῶν μὲν οὖν ἄλλων τοὺς ταίνους διὰ τοῦτ' ἀφήσειν μοι δοκῶ, τῆς Ῥώμης ὲ τὸ κεφάλαιον τῶν ἐπαίνων αὐτός, ὦ βασιλεῦ, συλαβὼν ἐν βραχεῖ καὶ διδάσκαλον ἀρετῆς προσειπών, C ῇ δοῦναι τὸ κάλλιστον τῶν ἐγκωμίων, τοὺς παρὰ ῶν ἄλλων λόγους ἀφήρησαι. τί γὰρ λέξομεν ἡμεῖς περὶ αὐτῆς τοιοῦτον ἕτερον; τί δὲ ἄλλος τις εἰπεῖν χει; ὥστε μοι δοκῶ σεβόμενος εἰκότως τὴν πόλιν ύτῳ τιμᾶν αὐτὴν πλέον, τῷ παραχωρεῖν σοι τῶν ς αὐτὴν λόγων.

Ἀλλ' ὑπὲρ τῆς εὐγενείας τῆς σῆς ἴσως ἄξιον ἐπὶ τοῦ παρόντος ἐν βραχεῖ διελθεῖν. ἀπορεῖν δὲ ἔοικα κἀνταῦθα, πόθεν ἄρχεσθαι χρή. πρόγονοί τε γάρ εἰσί D σοι καὶ πάπποι καὶ γονεῖς ἀδελφοί τε καὶ ἀνεψιοὶ καὶ ξυγγενεῖς βασιλεῖς ἅπαντες, αὐτοὶ κτησάμενοι τὴν ἀρχὴν ἐννόμως ἢ παρὰ τῶν κρατούντων εἰσποιηθέντες. καὶ τὰ μὲν παλαιὰ τί δεῖ λέγειν, Κλαυδίου μνησθέντα, καὶ τῆς ἀρετῆς τῆς ἐκείνου ἐναργῆ παρέχειν καὶ γνώριμα πᾶσι τεκμήρια, τῶν ἀγώνων (τῶν) πρὸς τοὺς ὑπὲρ τὸν Ἴστρον οἰκοῦντας βαρβάρους ἀναμιμνήσκοντα, καὶ ὅπως τὴν ἀρχὴν ὁσίως ἅμα καὶ δι- 7 καίως ἐκτήσατο, καὶ τὴν ἐν βασιλείᾳ τῆς διαίτης λιτότητα, καὶ τὴν ἀφέλειαν τῆς ἐσθῆτος ἐπὶ τῶν εἰκόνων ὁρωμένην ἔτι; τὰ δὲ ὑπὲρ τῶν πάππων τῶν

1 ἔχοιμ' ἂν H] ἔχοιμι Wytt., εὔχομαι v 2 ἀξίας] δόξης Wytt. 6 et 7 σὺ συλλαβὼν Rsk. 9 ἀφήρησαι Rsk.] ἀφαιρήσει Vv, ἀφαιρήσῃ M 10 τοιοῦτον ἕτερον VM] τοιοῦτον 11 μοι] μὴ V 21 Fort. transponendum παρέχειν ἐναργῆ, ut hiatus tollatur 22 ἀγώνων τῶν H] ἀγώνων

σῶν ἐστι μὲν τούτων νεώτερα, λαμπρὰ δὲ οὐ μεῖον ἐκείνων. ἔτυχον μὲν γὰρ ἄμφω τῆς ἀρχῆς δι' ἀρετὴν ἀξίω κριθέντε, γενομένω δὲ ἐπὶ τῶν πραγμάτων οὕτω πρός τε ἀλλήλους εὐνοϊκῶς ἔσχον καὶ πρὸς τὸν μεταδόντα τῆς βασιλείας εὐσεβῶς, ὥσθ' ὁ μὲν ὡμολόγει μηδὲν τούτου πώποτε κρεῖττον βεβουλεῦσθαι, B *πολλὰ καὶ ἄλλα σωτήρια τοῖς κοινοῖς ἐξευρών, οἱ δὲ τὴν μετ' ἀλλήλων κοινωνίαν μᾶλλον ἢ τὴν τῶν ὅλων ἀρχήν, εἴπερ οἷόν τε ἦν, ἑκάστῳ περιγενομένην ἠγάπων. οὕτω δὲ διακείμενοι τὰς ψυχὰς τῶν ἔργων ἔδρων τὰ κάλλιστα, σεβόμενοι μὲν μετὰ τὴν κρείττονα φύσιν τὸν τὴν ἀρχὴν αὐτοῖς παρασχόντα, τοῖς ὑπηκόοις δὲ ὁσίως καὶ φιλανθρώπως χρώμενοι, καὶ* C *τοὺς βαρβάρους οὐκ ἐλαύνοντες μόνον πάλαι κατοικοῦντας καὶ νεμομένους καθάπερ τὴν οἰκείαν ἀδεῶς τὰ ἡμέτερα, φρούρια δὲ ἐπιτειχίζοντες αὐτοῖς τοσαύτην πρὸς αὐτοὺς εἰρήνην τοῖς ὑπηκόοις κατέστησαν, ὅσην οὐδὲ εὔξασθαι τότε ῥᾴδιον ἐδόκει. ἀλλ' ὑπὲρ μὲν τούτων οὐκ ἄξιον ἐν παρέργῳ λέγειν. τῆς δὲ ὁμονοίας αὐτῶν τῆς πρὸς ἀλλήλους τὰ μέγιστον σημεῖον παραλιπεῖν οὐδαμῶς εὔλογον, καὶ ἄλλως προσ-* D *ῆκον τῷ λόγῳ. κοινωνίαν γὰρ τὴν καλλίστην τοῖς αὑτῶν παισὶν ἐπινοήσαντες τῶν σῶν πατέρων τοὺς γάμους ἥρμοσαν. προσήκει δὲ οἶμαι καὶ περὶ τούτων ἐν βραχεῖ διελθεῖν, ὅπως μὴ τῆς ἀρχῆς φανῇς μόνον, ἀλλὰ καὶ τῆς ἀρετῆς κληρονόμος. τὴν μὲν οὖν βασιλείαν ὅπως μετὰ τὴν τοῦ πατρὸς κατέσχε τελευτὴν αὐτοῦ τε ἐκείνου τῇ κρίσει καὶ τῶν στρατοπέδων*

2 *ἀρχῆς*] *ἀρετῆς* V 6 *τούτου πώποτε* V] *πώποτε τούτου* 9 et 10 *ἠγάπων*] *ἂν ἠγάπων* ? 16 et 17 *αὐτοῖς τοσαύτην πρὸς αὐτοὺς* Rsk.] *τοῖς πρὸς αὐτοὺς τοσαύτην* 22 *τὴν καλλίστην* VM] *καλλίστην* 23 *αὑτῶν* Schaef.] *αὐτῶν* 25 *φανῇς* post *ἀρετῆς* ponunt Mv

ντων τῇ ψήφῳ πατὴρ ὁ σός, τί χρὴ νῦν περι-
ίζεσθαι; τὴν δὲ ἐς τοὺς πολέμους ῥώμην ἐκ τῶν
ων μᾶλλον ἢ διὰ τῶν λόγων ἄν τις γνωρίσειε.
αννίδας γάρ, ἀλλ' οὐ βασιλείας ἐννόμους καθαι- 8
τὴν οἰκουμένην ἐπῆλθεν ἅπασαν. τοσαύτην δὲ
ιαν αὐτοῦ τοῖς ὑπηκόοις παρέστησεν, ὥσθ' οἱ
στρατευόμενοι τῆς περὶ τὰς δωρεὰς καὶ τὰς χά-
ς μεγαλοψυχίας ἔτι μεμνημένοι καθάπερ θεὸν
τελοῦσι σεβόμενοι· τὸ δὲ ἐν ταῖς πόλεσι καὶ ἐπὶ
ἀγρῶν πλῆθος, οὐχ οὕτω τῆς τῶν τυράννων
λλαγῆναι βαρύτητος εὐχόμενοι, ὡς παρὰ τοῦ σοῦ B
ρὸς ἀρχθῆναι, τὴν κατ' ἐκείνων αὐτῷ νίκην ἐπ-
οντο. ἐπεὶ δὲ ἁπάντων κύριος κατέστη, ὥσπερ ἐξ
μοῦ τῆς ἀπληστίας τοῦ δυναστεύσαντος πολλῆς
ρίας χρημάτων οὔσης καὶ τοῦ πλούτου τῶν βασι-
ων ἐν μυχοῖς συνεληλαμένου, τὸ κλεῖθρον ἀφελὼν
κλυσεν ἀθρόως τῷ πλούτῳ πάντα, πόλιν τε ἐπώ-
ιον αὐτοῦ κατέστησεν ἐν οὐδὲ ὅλοις ἔτεσι δέκα,
οὕτῳ τῶν ἄλλων ἁπασῶν μείζονα, ὅσῳ τῆς Ῥώ- C
ἐλαττοῦσθαι δοκεῖ, ἧς τὸ δευτέραν τετάχθαι
ρῷ βέλτιον ἔμοιγε φαίνεται ἢ τὸ τῶν ἄλλων
ισῶν πρώτην νομίζεσθαι. καλὸν ἴσως ἐνταῦθα καὶ
ἀοιδίμων Ἀθηνῶν μνησθῆναι, ἃς ἐκεῖνος ἔργοις
λόγοις τιμῶν τὸν πάντα χρόνον διετέλει. βασι-
ς γὰρ ὢν καὶ κύριος πάντων, στρατηγὸς ἐκείνων
ου καλεῖσθαι, καὶ τοιαύτης εἰκόνος τυγχάνων μετ'

4 et 5 καθαίρων dubitanter Wytt. cf. 231 D 6 παρέστη-
H] κατέστησεν 7 et 8 τὰς χάριτας V] χάριτας 12 κατ'
ίνων αὐτῷ V] κατ' αὐτῶν ἐκείνων 12 et 13 ἐνηύχοντο V
ἁπάντων VM] πάντων 18 αὐτοῦ VM 19 τοσούτῳ —
νομίζεσθαι cit. Suidas v. Κωνσταντινούπολις 19 τοσοῦ-
et ὅσον Suid. 22 μείζονα καὶ ante πρώτην vulgo addita
om. V et Suid. 26 εἰκόνος] εἰκότως V

ἐπιγράμματος ἐγάννυτο πλέον ἢ τῶν μεγίστων τιμῶν
D ἀξιωθείς. ἀμειβόμενος δὲ ἐπ᾽ αὐτῇ τὴν πόλιν, πυρῶν
μεδίμνους δίδωσι πολλάκις μυρίους καθ᾽ ἕκαστον
ἔτος δωρεὰν καρποῦσθαι, ἐξ ὧν ὑπῆρχε τῇ πόλει μὲν
ἐν ἀφθόνοις εἶναι, ἐκείνῳ δὲ ἔπαινοι καὶ τιμαὶ παρὰ
τῶν βελτίστων.

Πολλῶν δὲ καὶ καλῶν ἔργων τῷ πατρὶ τῷ σῷ
πραχθέντων, ὧν τε ἐπεμνήσθην καὶ ὅσα διὰ τὸ μῆ-
κος παραλιπεῖν δοκῶ, πάντων ἄριστον ἔγωγε φαίην
9 ἄν, οἶμαι δὲ καὶ τοὺς ἄλλους ἅπαντας ὁμολογήσειν,
τὴν σὴν γένεσιν καὶ τροφὴν καὶ παιδείαν· ἐξ ἧς
ὑπάρχει τοῖς λοιποῖς οὐ τὸ πρὸς ὀλίγον ἀπολαῦσαι
τῆς ἀρίστης ἀρχῆς, ἀλλ᾽ ὡς οἷόν τέ ἐστιν εἰς πλείονα
χρόνον. δοκεῖ γοῦν ἄρχειν ἐκεῖνος εἰσέτι. καὶ Κύρῳ
μὲν οὐχ ὑπῆρχε τοῦτο. τελευτήσαντος γὰρ ὁ παῖς
ὤφθη μακρῷ φαυλότερος, ὥστε ὁ μὲν ἐκαλεῖτο πατήρ,
B ὁ δὲ ἐπωνομάσθη δεσπότης. σὲ δὲ πρᾳότερον μὲν
τοῦ πατρὸς καὶ ἐν ἄλλοις πολλοῖς κρείττονα σαφῶς
εὖ οἶδα, καὶ δηλώσω τοῦ καιροῦ φανέντος ἐν τῷ
λόγῳ. ἐκείνῳ δὲ προσήκειν καὶ τούτου νομίζω μετα-
δόντι σοι τῆς ἀρίστης τροφῆς, ὑπὲρ ἧς ἤδη λέγειν
πειράσομαι, μητρὸς καὶ ἀδελφῶν τῶν σῶν ἐπιμνη-
σθείς. τῇ μὲν γὰρ εὐγενείας τοσοῦτον περιῆν καὶ
κάλλους σώματος καὶ τρόπων ἀρετῆς, ὅσον οὐκ ἄλλῃ
γυναικὶ ῥᾳδίως ἄν τις ἐξεύροι. ἐπεὶ καὶ Περσῶν
C ἀκούω τὸν ὑπὲρ Παρυσάτιδος λόγον, ὅτι μόνη γέ-
γονεν ἀδελφὴ καὶ μήτηρ καὶ γαμετὴ καὶ παῖς βασι-
λέως. ἀλλ᾽ ἦν γε αὕτη τοῦ γήμαντος ἀδελφὴ τῇ

1 ἐγάννυτο Schaef.] ἐγάννυυτο 2 αὐτῇ VM] αὐτῷ 8 διὰ V] παρὰ 9 παραλιπεῖν ἂν δοκῶ? | ἔγωγε add. V 13 πλείονα] πλεῖστον? 14 ἄρχειν ἐκεῖνος V] ἐκεῖνος ἄρχειν 19 εὐ delet Wytt., ἔξοιδα volebat Schaef. Sed vid. idem ad Soph. Oed. C. 958 25 Περσῶν V] τῶν Περσῶν 28 αὕτη H] αὐτὴ

σει, νόμος δὲ ἐδίδου γαμεῖν ἀδελφὴν τῷ Πέρσῃ.
ν σὴν δὲ μητέρα κατὰ τοὺς παρ' ἡμῖν νόμους
ράντους καὶ καθαρὰς τὰς οἰκειότητας ταύτας φυ-
λάττουσαν .... τοῦ μὲν εἶναι παῖδα, γαμετὴν δὲ
ἑτέρου, καὶ ἀδελφὴν ἄλλου, καὶ πολλῶν αὐτοκρατό-
ρων, οὐχὶ δὲ ἑνὸς μητέρα. ὧν ὁ μέν τις τῷ πατρὶ D
συγκατειργάσατο τὸν πρὸς τοὺς τυράννους πόλεμον,
ὁ δὲ τὴν πρὸς τοὺς Γέτας ἡμῖν εἰρήνην τοῖς ὅπλοις
κρατήσας ἀσφαλῆ παρεσκεύασεν, ὁ δὲ ἐτήρησεν ἄβα-
τον τοῖς πολεμίοις τὴν χώραν, αὐτὸς ἐπιστρατεύων
ἐκείνοις πολλάκις, ἕως ἐπέτρεπον οἱ μικρὸν ὕστερον
τῶν εἰς ἐκεῖνον ἀδικημάτων δίκην ὑποσχόντες. πολ-
λῶν δὲ ὑπαρχόντων ἐκείνοις περιφανῶν ἔργων, ἐφ'
οἷς ἄν τις αὐτοὺς δικαίως ἐπαινεῖν ἔχοι, καὶ τῶν ἐκ
τῆς τύχης ἀγαθῶν περιουσίας· οὐδέν ἐστι τοιοῦτον
τῶν ἄλλων, ἐφ' ᾧ μακαρίζων (ἄν) τις αὐτοὺς εἰκότως
σεμνύνοι, ὡς ὅτι τῶν μὲν ἀπόγονοι, τῶν δὲ ἔγγονοι
(γεγόνασιν). ἀλλ' ἵνα μὴ μακρότερα περὶ αὐτῶν λέ-
γων τὸν ὀφειλόμενον τοῖς ἐπαίνοις τοῖς σοῖς καιρὸν
ἀναλώσω τοῦ λόγου, πειράσομαι λοιπὸν ὡς ἡμῖν
ἄξιον, μᾶλλον δέ, εἰ δεῖ μηδὲν ὑποστειλάμενον εἰ-
πεῖν, μακρῷ τῶν προγόνων ἐπιδείξω σεμνότερον.
φήμας μὲν δὴ καὶ μαντείας καὶ ὄψεις τὰς ἐν τοῖς B
ὕπνοις, καὶ ὅσα ἄλλα θρυλεῖν εἰώθασιν ἐπὶ τῶν
οὕτω λαμπρὰ καὶ περιφανῆ πραξάντων, Κύρου καὶ

3 et 4 *συνέβαινε* post *φυλάττουσαν* add. Rsk., ego lacunam significavi 9 *ἀσφαλῆ παρεσκεύασεν* V] *παρεσκεύασεν ἀσφαλῆ* 10 *πολεμίοις* VM] *πολεμίοις ἐκείνοις* 14 *αὐτοὺς δικαίως* V] *δικαίως αὐτοὺς* | *ἔχοι* V] *ἔχει* 15 *περιουσίας*] *οὔσης* add. Wytt. | *τοιοῦτον* V] *τοιοῦτο* 16 *ἂν*, quod Schaef. post *ᾧ* addidit, ego post *μακαρίζων* posui 17 *ἀπόγονοι* Pet.] *ἀπόγονος* | *ἔκγονοι* Pet., *ἔγγονος* V, *ἔκγονος* M et v 18 *γεγόνασιν* add. Wytt. 20 *ὡς ἡμῖν*] *σε ὑμνεῖν* Wytt. Ego malim *σε ἡμῖν* et deinde *ἐπιδεῖξαι* 22 *ἐπιδείξει* V 24 *θρυλεῖν* H] *θρυλλεῖν*

τοῦ τῆς ἡμετέρας οἰκιστοῦ πόλεως καὶ Ἀλεξάνδρο
τοῖ Φιλίππου, καὶ εἴ τις ἄλλος τοιοῦτος γέγονεν,
ἑκὼν ἀφίημι· δοκεῖ γὰρ οὐ πόρρω ταῦτα τῆς ποιη-
τικῆς ἐξουσίας εἶναι. καὶ τὰ παρὰ τὴν πρώτην ὑπάρ-
ξαντά σοι γένεσιν ὡς λαμπρὰ καὶ βασιλικὰ (καὶ) τὸ
λέγειν εὔηθες. ἀλλ' ἐπειδὴ τῆς ἐν τοῖς παισὶν ἀγω-
C γῆς ὁ καιρὸς ὑπομέμνηκεν, ἔδει σοι τῆς βασιλικῆς
τροφῆς δήπουθεν, ἣ τὸ μὲν σῶμα πρὸς ἰσχὺν καὶ
ῥώμην καὶ εὐεξίαν καὶ κάλλος ἀσκήσει, τὴν ψυχὴν
δὲ πρὸς ἀνδρείαν καὶ δικαιοσύνην καὶ σωφροσύνην
καὶ φρόνησιν ἐμμελῶς παρασκευάσει. ταῦτα δὲ οὐ
ῥᾴδιον διὰ τῆς ἀνειμένης ὑπάρχειν διαίτης, θρυπτού-
σης μέν, ὡς εἰκός, τὰς ψυχὰς καὶ τὰ σώματα, ἀσθενε-
D στέρας δὲ ἐργαζομένης πρός τε τοὺς κινδύνους τὰς
γνώμας καὶ πρὸς τοὺς πόνους τὰ σώματα. οὐκοῦν
τῷ μὲν ἔδει γυμναστικῆς, τῷ σώματι, τὴν ψυχὴν δὲ
τῇ τῶν λόγων ἐκόσμεις μελέτῃ. ἐπὶ πλέον δὲ ὑπὲρ
ἀμφοτέρων ἄξιον διελθεῖν· ἀρχὴ γάρ τις αὕτη τῶν
μετὰ ταῦτα πράξεων γέγονε. τῆς μὲν οὖν ἐπιμελείας
τῆς περὶ τὴν ἰσχὺν οὐ τὸ πρὸς τὰς ἐπιδείξεις ἁρμό-
ζον ἤσκησας, ἥκιστα βασιλεῖ πρέπειν ὑπολαβὼν τῶν
11 τὰς παλαίστρας κατειληφότων τὴν θρυλουμένην εὐε-
ξίαν, μέλλοντι τῶν ἀληθινῶν ἀγώνων μεθέξειν, ὕπνου
τε ἐλαχίστου δεομένῳ καὶ τροφῆς οὐ πολλῆς, καὶ
ταύτης οὔτε κατὰ πλῆθος οὔτε κατὰ ποιότητα πάν-
τως ὡρισμένης οὔτε κατὰ τὸν καιρόν, ὃν χρὴ προσ-

5 καὶ add. Wytt. 7 ὑπομέμνηκεν M, ὑπομεμένηκεν V, ὑπομέμνηκε v 10 καὶ σωφροσύνην VM] σωφροσύνην 13 καὶ τὰ σώματα add. VM 14 ἐργαζομένης V] κατεργαζομένης 16 τὸ μὲν et τὸ σῶμα V, quae nescio an recipienda atque ἐδεῖτο scribendum sit 17 λόγων an νόμων V habeat, non liquet | ἐκόσμεις Pet.] ἐκόσμει. Schaeferus: ἡ τῶν λόγων ἐκόσμει μελέτη 22 θρυλουμένην M] θρυλλουμένην 24 δεομένων Rsk., δεομένην fl.

εσθαι, τῆς ἐπιτυχούσης δέ, ἐπειδὰν αἱ πράξεις καιρὸν ἐνδῶσιν. ὅθεν ᾤου δεῖν καὶ τὰ γυμνάσια ἐς ταύτην ποιεῖσθαι, εἶναι δὲ πολλὰ καὶ στρατιωτικά, χορείαν τὴν ἐν τοῖς ὅπλοις, δρόμον τὸν ἐν B ὅπλοις, τὴν ἱππικὴν τέχνην, οἷς ἅπασι διατετέλεκας ἀρχῆς ἐν καιρῷ χρώμενος· καὶ κατώρθωταί παρὰ τούτων ἕκαστον ὡς παρ' οὐδενὶ τῶν ἄλλων ὁπλιτῶν. οὐκοῦν ὁ μέν τις ἐκείνων, πεζὸς ὢν ἀγαθός, τὴν ἱππικὴν τέχνην ἠγνόησεν, ὁ δέ, ἐπιστάμενος ἦσθαι τοῖς ἱππικοῖς, ὀκνεῖ πεζός εἰς μάχην ἰέναι. νῷ δὲ ὑπάρχει σοὶ τῶν μὲν ἱππέων ἀρίστῳ φαίνεσθαι παραπλησίως ἐκείνοις σταλέντι, μετασκευασαμένῳ δὲ ἐς τοὺς ὁπλίτας κρατεῖν ἁπάντων ῥώμῃ καὶ C ἔχει καὶ τῇ τῶν ποδῶν κουφότητι. ὅπως δὲ μὴ ς ἀνέσεις ῥαθύμους εἶναι μηδ' ἄνευ τῶν ὅπλων μεῖσθαι συμβαίνῃ, ἐπίσκοπα τοξεύειν ἤσκησας. καὶ μὲν σῶμα διὰ τῶν ἑκουσίων πόνων πρὸς τοὺς ουσίους εὖ ἔχειν παρεσκεύασας, τῇ ψυχῇ δὲ ἡγεῖτο ν ἡ τῶν λόγων μελέτη καὶ τὰ προσήκοντα τοῖς λικούτοις μαθήματα. ὅπως δὲ μὴ παντάπασιν ἀγύ- D νάστος ᾖ μηδὲ καθάπερ ᾄσματα καὶ μύθους τοὺς ὲρ τῶν ἀρετῶν ἐπακούῃ λόγους, ἔργων δὲ ἀγαθῶν ὶ πράξεων ἄπειρος οὖσα τὸν τοσοῦτον διαμείνῃ όνον, καθάπερ ὁ γενναῖος ἠξίωσε Πλάτων οἱονεὶ ερὰ τοῖς παισὶ χαριζόμενον καὶ ἐπὶ τοὺς ἵππους άγοντα ἄγειν εἰς τὰς μάχας, θεατὰς ἐσομένους ὧν

3 εἶναι δὲ delebat Wytt. 6 ἐξ ἀρχῆς in V pr. m. add. ρra versum 6 et 7 παρὰ σοὶ M] παρά σοι 7 et 8 τῶν ἄλλων πέων ἢ ὁπλιτῶν Rsk. Malim ὁπλιτῶν expungere 10 ἱπ-ιοῖς] ὅπλοις V | ὤκνει Rsk. 15 μὴ δ' VM, μὴ δὲ (ut in ris persaepe scriptum est) v 21 ᾗ VM] ἦν 21 et 22 ὶς ὑπὲρ VM] ὑπὲρ 22 ἐπακούῃ V] ὑπακούῃ 23 δια-ίνῃ VM] διαμένῃ 24 ἠξίωσε om. V | Πλάτων] de rep. V ID 26 εἰς VM] ὡς

οὐκ εἰς μακρὰν ἀγωνιστὰς ἐχρῆν καταστῆναι, πατέρα
12 *τὸν σὸν διανοηθέντα φαίην ἂν εἰκότως τοῖς Κελτῶν ἔθνεσιν ἐπιστῆσαί σε φύλακα καὶ βασιλέα, μειράκιον ἔτι, μᾶλλον δὲ παῖδα κομιδῇ τῷ χρόνῳ, ἐπεὶ τῇ γε συνέσει καὶ ῥώμῃ τοῖς καλοῖς κἀγαθοῖς ἀνδράσιν ἐνάμιλλον ἤδη. τοῦ μὲν ἀκίνδυνον γενέσθαι σοι τὴν πολεμικὴν ἐμπειρίαν ὁ πατὴρ προυνόησε καλῶς, εἰρήνην ἐπιτάξας πρὸς τοὺς ὑπηκόους ἄγειν τοῖς βαρ-*
B *βάροις· μάχεσθαι δὲ ἀναπείθων καὶ στασιάζειν πρὸς ἀλλήλους, ἐν ταῖς ἐκείνων συμφοραῖς καὶ τοῖς σώμασι στρατηγικὴν ἐδίδασκε τέχνην, ἀσφαλέστερον βουλευόμενος τοῦ σοφοῦ Πλάτωνος. τῷ μὲν γάρ, εἰ πεζὸς ἐπέλθοι πολεμίων στρατός, οἱ παῖδες θεαταὶ καὶ κοινωνοὶ τῶν ἔργων, ἤν που δεηθῶσι, τοῖς πατράσι γένοιντ' ἄν· κρατούντων δὲ ἱππεῦσι τῶν πολεμίων, ὥρα μηχανᾶσθαι τοῖς μειρακίοις σωτηρίας τρόπον*
C *δυσεπινόητον. τὸ δὲ ἐν ἀλλοτρίοις κινδύνοις τοὺς παῖδας ἐθίζειν πολεμίων ἀνέχεσθαι καὶ πρὸς τὴν χρείαν ἀρκούντως καὶ πρὸς τὴν ἀσφάλειαν δοκεῖ βεβουλεῦσθαι. ἐν μὲν δὴ τούτοις σοι πρὸς ἀνδρείαν ὑπῆρχε μελέτη. φρονήσεως δὲ ἡ μὲν φύσις, ἣν εἴληχας, αὐταρκὴς ἡγεμών· παρῆσαν δὲ οἶμαι καὶ τῶν πολιτῶν οἱ κράτιστοι τὰ πολιτικὰ διδάσκοντες. καὶ*
D *παρεῖχον ἠθῶν καὶ νόμων καὶ ξένων ἐπιτηδευμάτων ἐμπειρίαν αἱ πρὸς τοὺς ἡγεμόνας τῶν τῇδε βαρβάρων ἐντεύξεις. καίτοι τὸν Ὀδυσσέα συνετὸν Ὅμηρος ἐκ παντὸς ἀποφῆναι προαιρούμενος πολύτροπον εἶναί φησι καὶ πολλῶν ἀνθρώπων τὸν νοῦν καταγνῶναι καὶ ἐπελθεῖν ταῖς πόλεσιν, ἵν' ἐξ ἁπάντων ἐπιλεξά-*

4 et 5 *γε συνέσει*] *γενέσει* V 6 *ἤδη* V] *ᾔδει* 13 *ἐπέλθῃ* V m. sec., m. pr. *ἐπέλθοι*, ut videtur 19 *πρὸς ἀσφάλειαν* VM 20 *πρὸς*] *ἢ πρὸς* Schaef. 29 *ἐπελθεῖν* VM] *ἐπεξελθεῖν*

νος ἔχοι τὰ κράτιστα καὶ πρὸς παντοδαποὺς ἀν-
θρώπους ὁμιλεῖν δύναιτο. ἀλλὰ τὸν μὲν οὐκ ἐβασί-
λευσε ποικίλων ἠθῶν ἐμπειρίας χρεία· τὸν δὲ πρὸς 13
τοσαύτην ἡγεμονίαν τρεφόμενον οὐκ ἐν οἰκίσκῳ που
χρῆν διδάσκεσθαι οὐδὲ τὴν βασιλείαν, καθάπερ ὁ
Κῦρος, παίζοντα μιμεῖσθαι οὐδὲ χρηματίζειν τοῖς
ἥλιξι, καθάπερ ἐκεῖνον λέγουσιν, ἀλλ' ἔθνεσιν ὁμι-
λεῖν καὶ δήμοις, καὶ στρατιωτῶν τάγμασιν ἐπιτάττειν
ἁπλῶς τὸ πρακτέον· ὅλως δὲ οὐδενὸς ἀπολείπεσθαι
τούτων, ὧν ἐχρῆν ἄνδρα γενόμενον ἐπ' ἀδείας πράτ-
τειν. οὐκοῦν ἐπειδὴ τὰ παρὰ τούτοις ἐδιδάχθης κα- B
λῶς, ἐπὶ τὴν ἑτέραν ἤπειρον μετιὼν τοῖς Παρθυαίων
καὶ Μήδων ἔθνεσιν ἀντετάχθης μόνος. ὑποτυφομένου
δὲ ἤδη τοῦ πολέμου καὶ οὐκ εἰς μακρὰν μέλλοντος
ἀναρριπίζεσθαι, ταχέως καὶ τούτου κατέγνως τὸν τρό-
πον, καὶ τὴν τῶν ὅπλων ἰσχὺν ἐμιμήσω, καὶ πρὸς
τὴν ὥραν τοῦ θέρους εἴθισας καρτερεῖν τὸ σῶμα.
πυνθάνομαι δὲ Ἀλκιβιάδην μόνον ἐξ ἁπάντων Ἑλλή-
νων οὕτως εὐφυῶς μεταβολὰς ἐνεγκεῖν, ὡς καὶ μι- C
μήσασθαι ⟨πρῶτον⟩ μὲν τὴν τῶν Λακεδαιμονίων
ἐγκράτειαν, ἐπειδὴ Σπαρτιάταις αὐτὸν ἐδεδώκει, εἶτα
Θηβαίους, καὶ Θρᾷκας ὕστερον, καὶ ἐπὶ τέλει τὴν
τῶν Περσῶν τρυφήν. ἀλλ' ἐκεῖνος μὲν τοῖς χωρίοις
συμμεταβάλλων καὶ τὸν τρόπον ἀνεπίμπλατο πολλῆς
δυσχερείας καὶ τὸ πάτριον ἐκινδύνευε παντελῶς ἀπο-
βαλεῖν, σὺ δὲ τῆς μὲν ἐγκρατοῦς διαίτης ᾤου δεῖν

2 τὸ μὲν V. Locus corruptus fortasse ita scribendus est: τὸν μὲν οὐκ ἐπαίδευσε ποικίλων ἠθῶν ἐμπειρία πρὸς χρείαν 3 χρείαν V 5 χρῆν H] ἐχρῆν 6 κύρος VM, ut solent 7 ἥλιξι (superscr. ιν) (sic) V 10 τοῦτον ὧν V 20 πρῶτον add. Cobetus | τῶν Λακεδαιμονίων V] Λακεδαιμονίων 25 ἐκινδύνευε VM] ἐκινδύνευσε

D ἔχεσθαι πανταχοῦ, ἐθίζων δὲ τὸ σῶμα τοῖς πόνοις
πρὸς τὰς μεταβολὰς ῥᾷον διήνεγκας τὴν ἐκ Γαλατῶν
εἰς Παρθυαίους ἄνοδον (ἢ) τῶν πλουσίων οἱ ταῖς
ὥραις τὴν οἴκησιν συμμεταβάλλοντες, εἰ παρὰ τὸν
καιρὸν βιασθεῖεν. καί μοι δοκεῖ θεὸς εὐμενὴς πρὸς
τὴν τῶν ὅλων ἡγεμονίαν ἐξ ἀρχῆς τὴν σὴν ἀρετὴν
παρασκευάζειν ἐθέλων, κύκλῳ σε περιαγαγεῖν καὶ
ἐπιδεῖξαι τῆς ἀρχῆς ἁπάσης ὅρους καὶ πέρατα καὶ
φύσιν χωρίων καὶ μέγεθος χώρας καὶ δύναμιν ἐθνῶν
14 καὶ πλῆθος πόλεων καὶ φύσιν δήμων καὶ τὸ κράτι-
στον αὐτῶν ἐκείνων, τὴν γερουσίαν· ὧν οὐδενὸς
ἀπολελεῖφθαι χρὴ τὸν πρὸς τοσαύτην ἀρχὴν τρεφό-
μενον. τὸ μέγιστον δὲ μικροῦ με διέφυγεν εἰπεῖν,
ὅτι τούτων ἁπάντων ἄρχειν ἐκ παίδων διδασκόμενος,
ἄρχεσθαι κρεῖττον ἔμαθες, ἀρχῇ τῇ πασῶν ἀρίστῃ
καὶ δικαιοτάτῃ, φύσει τε καὶ νόμῳ, σαυτὸν ὑποτιθείς·
πατρὶ γὰρ ὑπήκουες ἅμα καὶ βασιλεῖ· ὧν εἰ καὶ θά-
τερον ὑπῆρχεν ἐκείνῳ μόνον, ἄρχειν αὐτῷ πάντως
B προσῆκον ἦν. καίτοι τίνα ποτ' ἄν τις ἐξεύροι βασι-
λικὴν τροφὴν καὶ παιδείαν ἀμείνω ταύτης πάλαι γε-
νομένην; οὔτε γὰρ Λακεδαιμόνιοι τῶν Ἑλλήνων,
οἵπερ δὴ δοκοῦσιν ἀρίστης ἀρχῆς τῆς τῶν βασιλέων
μεταλαβεῖν, οὕτω τοὺς Ἡρακλείδας ἐπαίδευον, οὔτε
τῶν βαρβάρων οἱ Καρχηδόνιοι, βασιλευόμενοι δια-
φερόντως, τῆς ἀρίστης ἐπιμελείας τὸν ἄρχοντα σφῶν
ἠξίουν· ἀλλὰ πᾶσιν ἦν κοινὰ τὰ παρὰ τῶν νόμων
C τῆς ἀρετῆς γυμνάσια καὶ τὰ παιδεύματα, καθάπερ
ἀδελφοῖς τοῖς πολίταις ἄρξειν τε καὶ ἀρχθήσεσθαι
μέλλουσι, καὶ οὐδὲν διάφορον προσῆν εἰς παιδείας

3 Παρθυαίους H] Πάρθους | ἢ add. Rsk. | οἱ] οἳ VM 4 συμμεταβάλλοντες V] μεταβάλλουσιν 6 ἡγεμονίαν ἐξ ἀρχῆς Rsk.] ἐξ ἀρχῆς ἡγεμονίαν 25 ἄρχοντα] ἄρξοντα?

λόγον τοῖς ἡγεμόσι τῶν ἄλλων. καίτοι πῶς οὐκ
εὔηθες ἀπαιτεῖν μὲν ἀρετῆς μέγεθος ἀνυπέρβλητον
παρὰ τῶν ἀρχόντων, προνοεῖν δὲ μηδέν, ὅπως ἔσονται
τῶν πολλῶν διαφέροντες; καὶ τοῖς μὲν βαρβάροις,
ἅπασιν ἐν κοινῷ τῆς ἀρχῆς ταύτης προκειμένης, τὸ
τὴν ἐπιμέλειαν τῶν ἠθῶν ὁμοίαν γίγνεσθαι παράσχοι
συγγνώμην· τὸν Λυκοῦργον δὲ τοῖς ἀφ' Ἡρακλέους D
ἀστυφέλικτον τὴν βασιλείαν διαφυλάττοντα [καὶ] μη-
δεμίαν ὑπεροχὴν ἐν ταῖς ἐπιμελείαις τῶν νέων εὑρόντα
σφόδρα ἄν τις εἰκότως μέμψαιτο. οὐδὲ γὰρ εἰ πάν-
τας Λακεδαιμονίους ἀθλητὰς ἀρετῆς καὶ τροφίμους
ᾤετο δεῖν εἶναι, τῆς ἴσης ἀξιοῦν ἐχρῆν τροφῆς καὶ
παιδείας τοὺς ἰδιώτας τοῖς ἄρχουσιν. ἡ γὰρ τοιαύτη 15
κατὰ μικρὸν ὑποδυομένη συνήθεια ταῖς ψυχαῖς ἐν-
τεκεῖν ὑπεροψίαν τῶν κρειττόνων· ὅλως γὰρ οὐδὲ
κρείττονας νομιστέον τοὺς οὐ δι' ἀρετὴν πρωτεύειν
λαχόντας. τοῦτο δὲ οἶμαι καὶ Σπαρτιάτας χαλεπω-
τέρους ἀρχθῆναι τοῖς βασιλεῦσι παρεῖχε πολλάκις.
χρήσαιτο δ' ἄν τις σαφεῖ τεκμηρίῳ τῶν ῥηθέντων
τῇ Λυσάνδρου πρὸς Ἀγησίλαον φιλοτιμίᾳ καὶ ἄλλοις B
πλείοσιν, ἐπιὼν τὰ πεπραγμένα τοῖς ἀνδράσιν. ἀλλὰ
τοῖς μὲν ἡ πολιτεία (τὰ) πρὸς ἀρετὴν ἀρκούντως
παρασκευάζουσα, εἰ καὶ μηδὲν διαφέρον ἐπιτηδεύειν
ἐδίδου τῶν πολλῶν, ἀλλὰ τὸ καλοῖς κἀγαθοῖς ὑπάρ-
χειν παρεῖχεν ἀνδράσι· Καρχηδονίων δὲ οὐδὲ τὰ
κοινὰ τῶν ἐπιτηδευμάτων ἐπαινεῖν ἄξιον. ἐξελαύνον-
τες γὰρ τῶν οἰκιῶν οἱ γονεῖς τοὺς παῖδας ἐπέταττον

5 et 6 τοῦ τὴν ἐπιμ. τ. ἠθ. ὁμ. γίγν. παράσχοις ἂν suspicatur Schaef. 7 τὸν Λυκοῦργον δὲ V] τὸν δὲ Λυκοῦργον | ἡρακλέος V 8 καὶ delendum videtur. cf. ad 47 D 8 μὴ δὲ μίαν VM 14 ἐντεκεῖν] ἐνέτεκεν Wytt., πέφυκεν ἐντεκεῖν Pet. 21 ἀνδράσιν VM] ἀνδράσι 22 τὰ ante πρὸς adjecit Wytt.

εὐπορεῖν διὰ τῶν πόνων τῶν πρὸς τὴν χρείαν ἀναγ-
C καίων, τὸ δρᾶν τι τῶν δοκούντων αἰσχρῶν ἀπαγορεύοντες. τὸ δὲ ἦν, οὐ τὴν ἐπιθυμίαν ἐξελεῖν τῶν νέων, ἀλλὰ τὸ λαθεῖν πειρᾶσθαι ἱδρῶτα προστάττειν. πέφυκε γὰρ οὐ τρυφὴ μόνον ἦθος διαφθείρειν, ἀλλὰ καὶ ἡ τῶν ἀναγκαίων ἐνδεὴς δίαιτα, ἐφ' ὧν οὔπω τὸ κρίνειν ὁ λόγος προσλαβὼν ἕπεται ταῖς χρείαις ὑπὸ τῆς ἐπιθυμίας ἀναπειθόμενος, ἄλλως τε εἰ καὶ
D τούτου μὴ κρατοίη τοῦ πάθους, πρὸς χρηματισμὸν ἐκ παίδων συνεθιζόμενος καί τινας ἀμοιβὰς ἐμποριῶν καὶ καπηλείας τὰς μὲν αὐτὸς εὑρὼν τὰς δὲ παρὰ τῶν εἰδότων μαθών, ὑπὲρ ὧν οὐ λέγειν μόνον, ἀλλ' οὐδὲ ἀκούειν ἄξιον ἐλευθέρῳ παιδί, πλείστας ἂν κηλῖδας ἐναπόθοιτο τῇ ψυχῇ, ὧν πασῶν καθαρὸν εἶναι χρὴ καὶ τὸν ἐπιεικῆ πολίτην, ἀλλ' οὐ τὸν βασιλέα καὶ στρατηγὸν μόνον. ἐμοὶ δὲ οὐκ ἐπιτιμᾶν
16 ἐπὶ τοῦ παρόντος ἐκείνοις προσήκει· δείξω δὲ μόνον τῆς διατροφῆς τὸ διαφέρον, ᾗ χρησάμενος κάλλει καὶ ῥώμῃ καὶ δικαιοσύνῃ καὶ σωφροσύνῃ διήνεγκας, διὰ μὲν τῶν πόνων τὴν εὐεξίαν περιβαλόμενος, διὰ δὲ τῶν νόμων τὴν σωφροσύνην κτησάμενος, καὶ τῷ μὲν σώματι ῥωμαλεωτέρῳ διὰ τὴν ἐγκράτειαν τῆς ψυχῆς, τῇ ψυχῇ δ' αὖ διὰ τὴν τοῦ σώματος καρτερίαν δικαιοτέρᾳ χρώμενος, τὰ μὲν ἐκ φύσεως ἀγαθὰ συναύξων ἐκ παντός, τὰ δὲ ταῖς ἐπιμελείαις ἔξωθεν ἀεὶ
B προσλαμβάνων· καὶ ἐνδεόμενος μὲν οὐδενός, ἐπαρκῶν δ' ἄλλοις καὶ χαριζόμενος μεγάλας δωρεὰς καὶ ὅσαι

4 τοῦ λαθεῖν Schaef. 5 τὸ ἦθος Schaef. 10 ἐμποριῶν Rsk.] ἐμπόρων 12 μανθάνων V 14 κηλῖδας Schaef.] κηλίδας 18 διατροφῆς V] τροφῆς | διαφέρον V] διάφορον 20 περιβαλόμενος Rsk.] περιβαλλόμενος 21 κτησάμενος] καταχρησάμενος V 23 αὖ] αὖθις M 24 φύσεως VM] τῆς φύσεως 26 ἐνδεόμενος H] δεόμενος. vid. ad 125 D 27 δὲ VM

ς λαβόντας ἤρκουν ἀποφῆναι τῷ Λυδῶν δυνάστῃ
ϱαπλησίους, ἐνδεέστερον μὲν ἀπολαύων αὐτὸς τῶν
ιρχόντων ἀγαθῶν ἢ Σπαρτιατῶν ὁ σωφρονέστα-
;, τοῦ τρυφᾶν δὲ παρέχων ἄλλοις χορηγίαν, καὶ
ς βουλομένοις σωφρονεῖν παρέχων σαυτὸν μιμεῖ-
θαι, ἄρχων μὲν πράως καὶ φιλανθρώπως τῶν ἄλ-
ων, ἀρχόμενος δὲ ὑπὸ τοῦ πατρὸς σωφρόνως καὶ C
; εἷς τῶν πολλῶν τὸν ἅπαντα διετέλεις χρόνον.
ιδὶ μὲν ὄντι σοι καὶ μειρακίῳ ταῦτά τε ὑπῆρχε
ὶ ἄλλα πλείονα, περὶ ὧν νῦν λέγειν μακρότερον
' εἴη τοῦ καιροῦ.

Γενόμενος δὲ ἐφ' ἡλικίας, καὶ τῷ πατρὶ τὴν
ιαρμένην τελευτὴν τοῦ δαίμονος μάλα ὀλβίαν πα-
σχόντος, οὐ μόνον τῷ πλήθει καὶ κάλλει τῶν ἐπε-
χθέντων τὸν τάφον ἐκόσμεις, γενέσεως καὶ τροφῆς
οτίνων τὰ χαριστήρια, πολὺ δὲ πλέον τῷ μόνος D
πάντων τῶν ἐκείνου παίδων ζῶντος μὲν ἔτι καὶ
εξομένου τῇ νόσῳ πρὸς αὐτὸν ὁρμῆσαι, τελευτή-
ντος δὲ τὰς μεγίστας τιμὰς καταστῆσαι, ὑπὲρ ὧν
αρκεῖ καὶ τὸ μνησθῆναι. καλοῦσι γὰρ ἡμᾶς ἐφ'
τὰς αἱ πράξεις ὑπομιμνήσκουσαι τῆς ῥώμης, τῆς
ψυχίας, εὐβουλίας τε ἅμα καὶ δικαιότητος, οἷς
ιαχος ὤφθης καὶ ἀνυπέρβλητος, τὰ μὲν πρὸς τοὺς
ἀδελφοὺς καὶ τοὺς πολίτας καὶ τοὺς πατρῴους σοι
ίλους καὶ τὰ στρατεύματα δικαίως καὶ σωφρόνως 17
..κταστησάμενος· πλὴν εἴ που βιασθεὶς ὑπὸ τῶν και-
ρῶν ἄκων ἑτέρους ἐξαμαρτεῖν οὐ διεκώλυσας· τὰ δὲ

1 *Λυδῶν* M] *Λυδῷ* 9 *μὲν ὄντι*] *μὲν οὖν ὄντι* H 15 *ἐκόσμεις* Rsk. et Wytt.] *ἐκόσμει* | *γενέσεως*] *γενναίως* V 20 *ἐξαρκεῖ* Pet. et Pc teste Heylero ad Epist. p. 335] *ἐξ ἀρχῆς* 24 *σοι* V] *σου*. cf. 259 C 277 C 365 C 26 *καταστησάμενος* aut h. l. aut p. 20, 2 et 3 deletum vult Rsk. 27 *ἑτέρους* Schaef.] *ἑτέροις* | *τὰ δὲ* VM] *τὸ δὲ*

πρὸς τοὺς πολεμίους ἀνδρείως καὶ μεγαλοπρεπῶς καὶ
τῆς προϋπαρχούσης ἀξίως τοῦ γένους δόξης κατα-
στησάμενος. τοῖς μὲν δι' ὁμονοίας τὸν ἅπαντα χρόνον
συγγέγονας, ἀστασίαστον μὲν τὴν πόλιν διαφυλάττων
B καὶ τοὺς ἀδελφοὺς συνάρχοντας θεραπεύων ἀεί, τοῖς
φίλοις δὲ τῆς ἴσης παρηγορίας μεταδιδοὺς καὶ τῆς
παρρησίας μετὰ τῶν ἄλλων ἀγαθῶν ἀφθόνως, κοι-
νωνῶν μὲν ἅπασι τῶν ὑπαρχόντων, μεταδιδοὺς δὲ
ὧν ἕκαστος ἐνδεὴς δόξειε. καὶ τούτων μάρτυσι μὲν
αὐτοῖς ἐκείνοις εἰκότως ἄν τις χρήσαιτο, καὶ τὰ
πράγματα δὲ τοῖς ἀπολειφθεῖσι τῆς πρὸς ἐκείνους
συνουσίας ἱκανὰ δηλῶσαι τὴν προαίρεσιν τοῦ βίου
παντός.

C Ῥητέον δὲ ὑπὲρ αὐτῶν ἤδη τῶν πράξεων ἀνα-
βαλλομένοις τὸν ὑπὲρ τῶν ἕξεων λόγον. Πέρσαι τῆς
Ἀσίας ἁπάσης πάλαι κρατήσαντες καὶ τῆς Εὐρώπης
τὰ πολλὰ καταστρεψάμενοι, μικροῦ δέω φάναι πᾶσαν
τὴν οἰκουμένην περιβαλόμενοι κύκλῳ ταῖς ἐλπίσιν,
ἐπειδὴ τὴν ἀρχὴν ὑπὸ Μακεδόνων ἀφῄρηντο, τῆς
Ἀλεξάνδρου στρατηγίας ἔργον γενόμενοι, μᾶλλον δὲ
παίγνιον, χαλεπῶς φέροντες [πρὸς] τὸ δουλεύειν, ὡς
ἐκεῖνον ᾔσθοντο τετελευτηκότα, τῶν διαδόχων ἀπο-
D στάντες Μακεδόσι τε εἰς τὴν ἀντίπαλον δύναμιν αὖθις
κατέστησαν καὶ ἡμῖν τὸ λειπόμενον τῆς Μακεδόνων
ἀρχῆς κατακτησαμένοις ἀξιόμαχοι διὰ τέλους ἔδοξαν
εἶναι πολέμιοι. καὶ τῶν μὲν παλαιῶν τί χρὴ νῦν
ὑπομιμνήσκειν, Ἀντωνίου καὶ Κράσσου, στρατηγῶν

7 et 8 κοινωνῶν] κοινῶν? Vid. tamen Cobeti V. L. p. 313 et infra 45 B 290 D 305 B 9 δόξειε Schaef.] δόξει 17 et 18 πᾶσαν τὴν οἰκουμένην V] τὴν οἰκουμένην ἅπασαν 18 περιβαλόμενοι Schaef.] περιβαλλόμενοι V, περιλαβόμενοι v 21 πρὸς delere Rsk. vult aut ἔχοντες pro φέροντες scribere

τοκρατόρων, καὶ ὡς ἐκεῖνα διὰ μακρῶν ἀπωσά-
θα κινδύνων τὰ αἴσχη, πολλῶν καὶ σωφρόνων
αὐτοκρατόρων ἀναμαχεσαμένων τὰ πταίσματα; τί δὲ
χρὴ τῶν δευτέρων ἀτυχημάτων μεμνῆσθαι καὶ τῶν
ἐπ' αὐτοῖς τοῦ Κάρου πράξεων [, ὅσπερ μετὰ τὰς συμ- 18
φορὰς ᾑρέθη στρατηγός]; ἀλλ' οἱ τὴν θαυμαστὴν
καὶ παρὰ πᾶσιν ἀγαπωμένην εἰρήνην ἐπιτάξαντες ἐκεί-
οις ἄγειν, οἱ πρὸ τοῦ σοῦ πατρὸς τὴν βασιλείαν
κτασχόντες, οὐχ ὁ μὲν καῖσαρ καθ' αὑτὸν συμβα-
λὼν αἰσχρῶς ἀπήλλαξεν; ἐπιστραφέντος δὲ τοῦ τῆς
οἰκουμένης ἁπάσης ἄρχοντος καὶ τὰς δυνάμεις τῆς
γεμονίας ἁπάσης ἐκεῖσε τρέψαντος καὶ προκαταλα-
όντος τὰς εἰσβολὰς στρατεύμασι καὶ καταλόγοις ὁπλι- B
τῶν παλαιῶν καὶ νεολέκτων καὶ παντοδαπαῖς παρα-
σκευαῖς, δεδιότες μόλις τὴν εἰρήνην ἠγάπησαν. ἣν
οὐκ οἶδ' ὅπως περιόντος τοῦ πατρὸς τοῦ σοῦ συγ-
χέαντες καὶ συνταράξαντες, τῆς μὲν παρ' ἐκείνου
τιμωρίας διήμαρτον, ἐν ταῖς πρὸς τὸν πόλεμον παρα-
σκευαῖς τὸν βίον μεταλλάξαντος· σοὶ δὲ ὑπέσχον τὴν
δίκην ὕστερον τῶν τετολμημένων. μέλλων δὲ ἔτι δὴ
τῶν πρὸς αὐτοὺς ἀγώνων γενομένων σοι πολλάκις
ἅπτεσθαι τοσοῦτον ἀξιῶ σκοπεῖν τοὺς ἀκροωμένους, C
ὅτι τοῦ τρίτου μορίου τῆς ἀρχῆς καθεστὼς κύριος
οὐδαμῶς πρὸς τὸν πόλεμον ἐρρῶσθαι δοκοῦντος, οὐχ
ὅπλοις, οὐκ ἀνδράσι τοῖς στρατευομένοις, οὐδενὶ τῶν
ἄλλων, ὅσα πρὸς τηλικοῦτον πόλεμον ἐχρῆν ἐπιρρεῖν

1 ὡς Rsk. et H] οἷς 1 et 2 ἀπωσάμεθα] Cf. ὠθοῦντο 59 D et 64 B 5 Κάρου Pet.] καιροῦ | ὅσπερ Rsk. et Schaef.] ὥσπερ. Verba in pet. uncis inclusa om. M 6 ᾑρέθη V 10 δὲ add. VM 11 ἁπάσης VM] πάσης 15 δεδιότες Schaef.] ᾄδοντες VM, ἃ ἰδόντες v 16 περιόντος] περιόντος ἔτι H 23 καθεστὼς κύριος V] κύριος καθεστὼς

ἄφθονα, πρὸς τούτοις δὲ οὐδὲ τῶν ἀδελφῶν σοι δι' ἀσδηποτοῦν αἰτίας τὸν πόλεμον ἐλαφρυνόντων· καὶ οὐκ ἔστιν οὐδεὶς οὕτως ἀναίσχυντος οὐδὲ βάσκανος

D συκοφάντης, ὃς οὐκ αἰτιώτατον γενέσθαι σὲ τῆς πρὸς ἐκείνους ὁμονοίας φήσει· ὄντος δὲ οἶμαι τοῦ πολέμου καθ' αὑτὸν δυσχεροῦς, τὰ τῶν στρατοπέδων πρὸς τὴν μεταβολὴν διεταράττετο, τὸν μὲν παλαιὸν σφῶν ἡγεμόνα ποθεῖν ἐκβοῶντες, ὑμῶν δὲ ἄρχειν ἐθέλοντες· καὶ ἄλλα μυρία ἄτοπα καὶ δυσχερῆ πανταχόθεν ἀναφυόμενα χαλεπωτέρας τὰς ὑπὲρ τοῦ πολέμου παρεῖχεν ἐλπίδας· Ἀρμένιοι παλαιοὶ σύμμαχοι στασιάζοντες καὶ

19 μοῖρα σφῶν οὐ φαύλη Πέρσαις προσθέμενοι, τὴν ὅμορον σφίσι λησταῖς κατατρέχοντες· καὶ ὅπερ ἐν τοῖς παροῦσιν ἐφαίνετο μόνον σωτήριον, τὸ σὲ τῶν πραγμάτων ἔχεσθαι καὶ βουλεύεσθαι, τέως οὐχ ὑπῆρχε διὰ τὰς πρὸς τοὺς ἀδελφοὺς ἐν Παιονίᾳ συνθήκας, ἃς αὐτὸς παρὼν οὕτω διῴκησας, ὡς μηδεμίαν ἀφορμὴν ἐκείνοις παρασχεῖν μέμψεως. μικροῦ με ἔλαθεν (ἡ) τῶν πράξεων ἀρχὴ διαφυγοῦσα καλλίων ἁπασῶν

B ἢ ταῖς καλλίσταις ἐξ ἴσης θαυμαστή. τὸ γὰρ ὑπὲρ τοσούτων πραγμάτων βουλευόμενον μηδὲν ἐλαττοῦσθαι δοκεῖν, εἰ τοῖς ἀδελφοῖς τὸ πλέον ἔχειν ἑκὼν συγχωροίης, σωφροσύνης καὶ μεγαλοψυχίας μέγιστον ἂν εἴη σημεῖον. νῦν δὲ εἰ μέν τις τὴν πατρῴαν οὐσίαν πρὸς τοὺς ἀδελφοὺς νεμόμενος ἑκατὸν ταλάντων, κείσθω δέ, εἰ βούλει, τοσούτων ἄλλων, εἶτα

1 et 2 διασδηποτοῦν V, δι' ἃς δήποτε οὖν v 4 γενέσθαι σὲ H] γενέσθαί σε 13 λῃστείαις Rsk. 14 σὲ VM] σε 15 προσταγμάτων V 16 Παιονίᾳ] Sic solet Iulianus cum aliis Graecis Pannoniam dicere; vid. Kuster. ad Suid. v. Δρᾶος et Ioh. Laurentius de magistratibus 3, 32 p. 206· 17 μὴ δὲ μίαν VM 18 et 19 ἔλαθεν ἡ Schaef.] ἔλαθε 20 ἢ] ἡ V 22 τὸ πλέον ἔχειν ἑκὼν V] ἑκὼν ἔχειν τὸ πλέον

ων (πεντήκοντα) μναῖς ἔλαττον ἠγάπησε δή, καὶ
ικροῦ παντελῶς ἀργυρίου τὴν πρὸς ἐκείνους ὁμό-
ιαν ἀνταλλαξάμενος, ἐπαίνων ἂν ἐδόκει καὶ τιμῆς C
ξιος ὡς χρημάτων κρείττων, ὡς εὔβουλος φύσει,
υνελόντι δὲ εἰπεῖν, ὡς καλὸς κἀγαθός. ὁ δὲ ὑπὲρ
ῆς τῶν ὅλων ἀρχῆς οὕτω μεγαλοψύχως καὶ σωφρό-
ως δοκῶν βεβουλεῦσθαι, ὡς τὸν μὲν ἐκ τῆς ἐπιμε-
ίας αὐτῷ μείζονα μὴ προσθεῖναι πόνον, τῶν δὲ
ι τῆς ἀρχῆς προσόδων ἑκὼν ὑφίεσθαι ὑπὲρ ὁμο-
οίας καὶ τῆς πρὸς ἀλλήλους Ῥωμαίων ἁπάντων εἰρή-
νης, πόσων ἐπαίνων ἄξιον κρινεῖ τις; οὐ μὴν οὐδὲ D
κεῖνο λέγειν ἔνεστιν ἐνταῦθα, ὡς καλῶς μέν, ἀ(λυσι-
λῶς δέ·) λυσιτελὲς μὲν γὰρ οὐδέν, ὅ, τι μὴ τὸ αὐτὸ
καὶ καλόν, ἔμοιγε φαίνεται. ὅλως δὲ εἴ τινι καθ'
αὑτὸ τὸ συμφέρον ἐξετάζειν δοκεῖ, κρινέτω μὴ πρὸς
ἀργύριον σκοπῶν μηδὲ προσόδους χωρίων ἀπαριθ-
ούμενος, καθάπερ οἱ φιλάργυροι γέροντες ὑπὸ τῶν
κωμῳδῶν ἐπὶ τὴν σκηνὴν ἑλκόμενοι, ἀλλὰ πρὸς τὸ
μέγεθος τῆς ἀρχῆς καὶ τὴν ἀξίωσιν. φιλονεικῶν μὲν 20
γὰρ ὑπὲρ τῶν ὁρίων καὶ δυσμενῶς ἔχων ἐκείνων ἂν
ἦρξε μόνων ὧν ἔλαχεν, εἰ καὶ πλέον ἔχων ἀπῄει·
ὑπερορῶν δὲ τῶν μικρῶν καὶ καταφρονήσας ἦρχε μὲν
ἁπάσης μετὰ τῶν ἀδελφῶν τῆς οἰκουμένης, ἐπεμε-
λεῖτο δὲ τοῦ λαχόντος μέρους, ἀπολαύων μὲν τελείας
τῆς τιμῆς, μετέχων δὲ ἔλαττον τῶν ἐπ' αὐτῇ πόνων.

1 πεντήκοντα μναῖς Rsk. et Cobetus] μνᾶς | δὴ] δὲ V. Pro δὴ καὶ malim ἀντὶ, Rsk. φαύλου post ἠγάπησε excidisse putat 5 ὁ δὲ V] ὁ δή. Reiskius: „Lege τὸν δὲ et paulo post δοκοῦντα". At de nominativo vid. ad 200 B et 329 A 8 αὑτῷ Schaef.] αὐτῷ | μὴ add. V. vid. 20 A 11 κρινεῖ Rsk.] κρίνει 12 καλὴ VM | ἀλυσιτελῶς δὲ· λυσιτελὲς Pet. et Wytt.] ἀλυσιτελὲς 14 et 15 καθ' αὐτῶ V 16 μὴ δὲ προσόδους VM] μὴ προσόδους 20 δυσμενῶς] δύο μὲν ὡς VM 21 ἀπείη V 22 δὲ τῶν μικρῶν καὶ V] δὲ καὶ τῶν μικρῶν

ἀλλ' ὑπὲρ μὲν τούτων καὶ αὖθις ἐξέσται διὰ μακρο-
τέρων δηλῶσαι. ὅπως δὲ τῶν πραγμάτων ἐπεμελήθης,
B τοσούτων κύκλῳ περιστάντων μετὰ τὴν τοῦ πατρὸς
τελευτὴν κινδύνων καὶ παντοδαπῶν θορύβου πραγ-
μάτων, πολέμου γενναίου, πολλῆς καταδρομῆς, συμ-
μάχων ἀποστάσεως, στρατοπέδων ἀταξίας, ὅσα ἄλλα
τότε δυσχερῆ κατελάμβανεν, ἴσως ἤδη διελθεῖν ἄξιον.
ἐπειδὴ γάρ σοι τὰ τῶν συνθηκῶν μετὰ τῆς ἀρίστης
ὁμονοίας διῴκητο, παρῆν δὲ ὁ καιρὸς τοῖς πράγ-
C μασιν ἐπιτάττων βοηθεῖν κινδυνεύουσι, πορείας μὲν
τάχει χρησάμενος ἀθρόως ἐκ Παιόνων ἐν Σύροις
ὤφθης, οὐδὲ τῷ λόγῳ δεῖξαι ῥᾴδιον· ἀρκεῖ δὲ τοῖς
ἐγνωκόσιν ἡ πεῖρα. ὅπως δὲ πρὸς τὴν παρουσίαν
τὴν σὴν ἀθρόως ἅπαντα μεταβαλόντα καὶ μεταστάντα
πρὸς τὸ βέλτιον οὐ μόνον τῶν ἐπικρεμασθέντων ἡμᾶς
ἀπήλλαξε φόβων, ἀμείνους δὲ μακρῷ τὰς ὑπὲρ τῶν
μελλόντων παρέσχεν ἐλπίδας, τίς ἂν ἀρκέσειε τῶν
D ἁπάντων εἰπεῖν; τὰ μὲν τῶν στρατοπέδων, πλησίον
γενομένου μόνον, ἐπέπαυτο τῆς ἀταξίας καὶ μεθει-
στήκει πρὸς κόσμον, Ἀρμενίων δὲ οἱ προσθέμενοι
τοῖς πολεμίοις εὐθὺς μετέστησαν, σοῦ τοὺς μὲν αἰ-
τίους τῆς φυγῆς τῷ τῆς χώρας ἐκείνης ἄρχοντι παρ'
ἡμᾶς ἐξαγαγόντος, τοῖς φεύγουσι δὲ τὴν ἐς τὴν οἰκείαν
κάθοδον ἀδεᾶ παρασκευάσαντος. οὕτω δὲ φιλανθρώπως
τοῖς τε παρ' ἡμᾶς ἀφικομένοις ἄρτι χρησαμένου καὶ
21 τοῖς ἐκ τῆς φυγῆς μετὰ τοῦ σφῶν ἄρχοντος κατεληλυθόσι πρᾴως ὁμιλοῦντος, οἱ μέν, ὅτι καὶ πρότερον

4 παντοδαποῦ? Rsk. post παντοδαπῶν add. μεστῶν 6 ὅσα τε ἄλλα Schaef. cf. 10 B et 83 C 7 κατελάμβανεν V] κατελάμβανον 10 πορείας] ὅπως πορείας Schaef., Pet. vero ὅπως μὲν pro ἀθρόως conjecit 16 μακρῷ e V addidi 21 τοὺς μὲν VM] μὲν τοὺς 23 φεύγουσι V] φυγοῦσι

στησαν, αὐτοὺς ἀπωλοφύραντο, οἱ δὲ τὴν παροῦ-
τύχην τῆς πρόσθεν ἠγάπων μᾶλλον δυναστείας.
οἱ μὲν φεύγοντες ἔμπροσθεν ἔργῳ σωφρονεῖν
ασαν ἐκμαθεῖν, οἱ δὲ τοῦ μὴ μεταστῆναι τῆς ἀμοι-
ς ἀξίας τυγχάνειν. τοσαύτῃ δὲ ἐχρήσω περὶ τοὺς
ελθόντας ὑπερβολῇ δωρεῶν καὶ τιμῆς, ὥστε μηδὲ
ς ἐχθίστοις σφῶν εὖ πράττουσι καὶ τὰ εἰκότα τιμω- B
νοις ἄχθεσθαι μηδὲ βασκαίνειν. ταῦτα δὲ ἐν βρα-
χεῖ καταστησάμενος καὶ τοὺς ἐξ Ἀραβίας λῃστὰς ἐπὶ
τοὺς πολεμίους ταῖς πρεσβείαις τρέψας, ἐπὶ τὰς τοῦ
πολέμου παρασκευὰς ἦλθες, ὑπὲρ ὧν οὐ χεῖρον ἐν
βραχεῖ προειπεῖν.

Τῆς γὰρ εἰρήνης τῆς πρόσθεν τοῖς μὲν στρα-
τευομένοις ἀνείσης τοὺς πόνους, τοῖς λειτουργοῦσι
δὲ κουφοτέρας (τὰς λειτουργίας) παρασχούσης, τοῦ
λέμου δὲ χρημάτων καὶ σιτηρεσίου καὶ χορηγίας
ιπρᾶς δεομένου, πολὺ δὲ πλέον ἰσχύος καὶ ῥώμης C
τῆς ἐν τοῖς ὅπλοις ἐμπειρίας τῶν στρατευομένων,
υπάρχοντος δὲ οὐδενὸς σχεδὸν τῶν τοιούτων, αὐτὸς
ῦρες καὶ κατέστησας, τοῖς μὲν (ἐν) ἡλικίᾳ στρα-
έσθαι λαχοῦσιν ἀποδείξας τῶν πόνων μελέτην,
παπαπλησίαν δὲ τοῖς πολεμίοις ἱππικὴν καταστησά-
μενος δύναμιν, τῷ πεζῷ δὲ ἐπιτάξας τῶν πόνων
ἔχεσθαι· καὶ ταῦτα οὐ ῥήμασι μόνον οὐδὲ ἐξ ἐπι-
τάγματος, μελετῶν δὲ αὐτὸς καὶ συνασκούμενος καὶ D
δεικνύων ἔργῳ τὸ πρακτέον, πολέμων ἐργάτας ἄφνω
κατέστησας. χρημάτων δὲ ἐπενόεις πόρους, οὐκ αὔξων
τοὺς φόρους οὐδὲ τὰς συντάξεις, καθάπερ Ἀθηναῖοι

1 αὐτοὺς VM 6 τιμῆς (vel potius τιμῶν) Rsk.] τιμῇ 9 ἀρραβίας VM 12 προσειπεῖν VM 15 τὰς λειτουργίας add. Rsk. 20 ἐξηῦρες H] ἐξεῦρες | ἐν ἡλικίᾳ Rsk. et H] ἡλικίᾳ

πρόσθεν, εἰς τὸ διπλάσιον ἢ καὶ ἐπὶ πλέον κατα-
στήσας, ἐμμένων δὲ οἶμαι τοῖς ἀρχαίοις πλὴν εἴ π
πρὸς βραχὺ καὶ πρὸς εὔκαιρον ἐχρῆν αἰσθέσθαι δ
πανηροτέρων τῶν λειτουργημάτων. ἐν τοσαύτῃ (τε)
22 τοὺς στρατευομένους ἦγες ἀφθονίᾳ, ὡς μήτε ὑβρίζειν
τῷ κόρῳ μήτε ὑπὸ τῆς ἐνδείας πλημμελεῖν ἀναγκα-
σθῆναι. ὅπλων δὲ καὶ ἵππων παρασκευὴν καὶ νεῶν
τῶν ποταμίων καὶ μηχανημάτων καὶ τῶν ἄλλων ἁπάν-
των τὸ πλῆθος σιωπῇ κατέχω. ἐπεὶ δὲ τὰ τῆς παρα-
σκευῆς τέλος εἶχε καὶ ἔδει χρῆσθαι τοῖς προρρηθεῖσιν
εἰς δέον, ἐζεύγνυτο μὲν ὁ Τίγρης σχεδίᾳ πολλάκις,
ἤρθη δὲ ἐπ' αὐτῷ φρούρια, καὶ τῶν πολεμίων οὐ-
B δεὶς ἐτόλμησεν ἀμῦναι τῇ χώρᾳ πορθουμένῃ, πάντα
δὲ παρ' ἡμᾶς ἤγετο τἀκείνων ἀγαθά, τῶν μὲν οὐδὲ
εἰς χεῖρας ἰέναι τολμώντων, τῶν θρασυνομένων δὲ
παρ' αὐτὰ τὴν τιμωρίαν ὑποσχόντων. τὸ μὲν δὴ
κεφάλαιον τῶν εἰς τὴν πολεμίαν εἰσβολῶν τοιοῦτον.
καθ' ἕκαστον γὰρ ἐπεξιέναι τίς ἂν ἀξίως ἐν βραχεῖ
λόγῳ δυνηθείη, τῶν μὲν τὰς συμφορὰς τῶν δὲ τὰς
ἀριστείας ἀπαριθμούμενος; τοσοῦτον δὲ ἴσως εἰπεῖν
C οὐ χαλεπόν, ὅτι πολλάκις τὸν ποταμὸν ἐκεῖνον πε-
ραιωθεὶς ξὺν τῷ στρατεύματι καὶ πολὺν ἐν τῇ πο-
λεμίᾳ τρίψας χρόνον, λαμπρὸς ἐπανῄεις τοῖς τρο-
παίοις, τὰς διὰ σὲ πόλεις ἐλευθέρας ἐπιὼν καὶ
χαριζόμενος εἰρήνην καὶ πλοῦτον, πάντα ἀθρόως τὰ

1 καταστήσας Schaef.] κατέστησας. Delevit Rsk. 3 εὔκαιρον] ἄκαιρον V, unde ἀκαριαῖον conjeci | αἴσθεσθαι V 4 τε add. Schaef. 11 τίγρις V cf. 74 B, at etiam 56 A 62 C 324 C. Πίγρης (librarii errore, opinor, pro Τίγρης) Iuliano tribuitur ab Eustathio ad Dionys. v. 976 12 ἠρέθη V, ἡρέθη M 16 παραυτὰ V 18 γὰρ om. V 19 ἢ τῶν μὲν V 20 ἀριστείας om. V. | ἀριθμούμενος V 24 διὰ σὲ Schaef.] διά σε

ιθά, καὶ τῶν πάλαι ποθουμένων διδοὺς ἀπολαύειν,
ης κατὰ τῶν βαρβάρων, τροπαίων ἐγειρομένων
τὰ τῆς Παρθυαίων ἀπιστίας καὶ ἀνανδρίας [καὶ
λίας], ὧν τὸ μὲν ἐπεδείξαντο τὰς σπονδὰς λύ-
ντες καὶ τὴν εἰρήνην συγχέαντες, τὸ δὲ μὴ τολ- D
ῆντες ὑπὲρ τῆς χώρας καὶ τῶν φιλτάτων ἀμύνεσθαι.
Ἀλλ᾽ ὅπως μή τις ὑπολάβῃ με τούτων μὲν ἡδέως
μνῆσθαι τῶν ἔργων, ὀκνεῖν δὲ ἐκεῖνα, περὶ ἃ καὶ
ῖς πολεμίοις πλεονεκτῆσαι παρέσχεν ἡ τύχη, μᾶλλον
ἡ χώρα τὴν ἐκ τοῦ καιροῦ προσλαβοῦσα ῥοπήν,
αἰσχύνην ἡμῖν, οὐχὶ δὲ ἔπαινον καὶ τιμὴν φέ-
ντα, καὶ ὑπὲρ τούτων πειράσομαι δηλῶσαι διὰ
αχέων, οὐ πρὸς τὸ λυσιτελέστατον ἐμαυτῷ τοὺς
γους πλάττων, τὴν ἀλήθειαν δὲ ἀγαπῶν ἐν πᾶσιν. 23
εἴ τις ἑκὼν ἁμαρτάνοι, τὴν ἐκ τοῦ κολακεύειν
σχύνην οὐδαμῶς ἐκφεύγει, προστίθησι δὲ τοῖς ἐπαι-
υμένοις τὸ δοκεῖν μηδ᾽ ὑπὲρ τῶν ἄλλων εὖ ἀκούειν
τὰ τὴν ἀξίαν· ὃ παθεῖν εὐλαβησόμεθα. δείξει δὲ
λόγος αὐτός, εἰ μηδαμοῦ τὸ ψεῦδος πρὸ τῆς ἀλη-
ίας τετίμηκεν. οὐκοῦν εὖ οἶδα, ὅτι πάντες ἂν μέ-
στον φήσειαν πλεονέκτημα τῶν βαρβάρων τὸν πρὸ
ὶν Σιγγάρων πόλεμον. ἐγὼ δὲ ἐκείνην τὴν μάχην B
ἴσα μὲν ἐνεγκεῖν τοῖς στρατοπέδοις τὰ δυστυχήματα,
δεῖξαι δὲ τὴν σὴν ἀρετὴν περιγενομένην τῆς ἐκείνων
τύχης φαίην ἂν εἰκότως, καὶ ταῦτα στρατοπέδῳ χρη-
σαμένην θρασεῖ καὶ τολμηρῷ καὶ πρὸς τὴν ὥραν
καὶ τὴν τοῦ πνίγους ῥώμην οὐχ ὁμοίως ἐκείνοις

3 et 4 καὶ ante δειλίας om. M et fl., quare δειλίας delevit Pet. in ed. fl., ego καὶ δειλίας seclusi 6 ἀμύνασθαι M 9 πλεονεκτῆσαι Rsk. et Wytt.] πλεονεκτεῖσθαι 17 μηδ᾽ H] μήθ᾽ | ἀκούειν εὖ M 21 φήσειαν H] φήσαιεν 23 ἶσα V, ut solet 25 χρησάμενον V. an χρησαμένου? 26 τολμηρῷ Rsk. et H] τόλμῃ. cf. 228 D

συνήθει. ὅπως δὲ ἕκαστον ἐπράχθη, διηγήσομαι. θέρος μὲν γὰρ ἦν ἀκμάζον ἔτι, συνήει δὲ ἐς ταὐτὸν C *τὰ στρατόπεδα πολὺ πρὸ τῆς μεσημβρίας. ἐκπληττόμενοι δὲ οἱ πολέμιοι τὴν εὐταξίαν καὶ τὸν κόσμον καὶ τὴν ἡσυχίαν, αὐτοὶ δὲ πλήθει θαυμαστοὶ φανέντες, ἤρχετο μὲν οὐδεὶς τῆς μάχης, τῶν μὲν εἰς χεῖρας ἰέναι πρὸς οὕτω παρεσκευασμένην δύναμιν ὀκνούντων, τῶν δὲ περιμενόντων ἐκείνους ἄρχειν, ὅπως ἀμυνόμενοι μᾶλλον ἐν πᾶσιν, οὐχὶ δὲ αὐτοὶ πολέμου μετὰ τὴν εἰρήνην ἄρχοντες φανεῖεν. τέλος* D *δὲ ὁ τῆς βαρβαρικῆς ἐκείνης δυνάμεως ἡγεμών, μετέωρος ἀρθεὶς ὑπὲρ τῶν ἀσπίδων καὶ καταμαθὼν τὸ πλῆθος ἐν τάξει, οἷος ἐξ οἵου γέγονε καὶ ποίας ἀφίει φωνάς· προδεδόσθαι βοῶν καὶ τοὺς ὑπὲρ τοῦ πολέμου πείσαντας αἰτιώμενος, φεύγειν ᾤετο χρῆναι διὰ τάχους καὶ τοῦτο μόνον οἱ πρὸς σωτηρίαν ἀρκέσειν, εἰ φθήσεται τὸν ποταμὸν διαβῆναι, ὅσπερ ἐστὶ τῆς χώρας ἐκείνης πρὸς τὴν ἡμετέραν ὅρος ἀρχαῖος. ταῦτα διανοηθεὶς ἐκεῖνος πρῶτον ἐπὶ πόδα σημαίνει τὴν ἀναχώρησιν, καὶ κατ' ὀλίγον προστι-* 24 *θεὶς τῷ τάχει τέλος ἤδη καρτερῶς ἔφευγεν, ἔχων ὀλίγους ἱππέας ἀμφ' αὐτόν, τὴν δύναμιν ἅπασαν τῷ παιδὶ καὶ τῷ πιστοτάτῳ τῶν φίλων ἐπιτρέψας ἄγειν. ταῦτα ὁρῶντες τὸ στράτευμα καὶ χαλεπαίνοντες, ὅτι μηδεμίαν ὑπέσχον τῶν τετολμημένων δίκην, ἐβόων ἄγειν ἐπ' αὐτούς, καὶ κελεύοντος μένειν ἀχθό-*

3 *μεσηβρίας* V 4 et 5 *καὶ τὸν κόσμον καὶ τὴν ἡσυχίαν* V] *τὴν ἡσυχίαν καὶ τὸν κόσμον* 6 *οὐδὲ εἷς* V 9 *ἀμυνόμενοι* H] *ἀμυνάμενοι* 12 *ὑπὲρ*] *ἐπὶ*? 14 *ἀφίει* Rsk. et H] *ἀφιεὶς* 19 *πρῶτον* H] *πρῶτος* 20 *προσετίθει* V 25 *μηδὲ μίαν* V | ante *δίκην* Rsk. et H *τὴν* deleverunt 26 *κελεύοντος*] *κελεύοντός σου*?

μενοι μετὰ τῶν ὅπλων ἔθεον ὡς ἕκαστος εἶχε ῥώμης τε καὶ τάχους, ἄπειροι μὲν ὄντες αὐτοὶ τέως τῆς σῆς στρατηγίας, εἰς δὲ τὴν ἡλικίαν ὁρῶντες B ἄμεινον αὐτῶν τὸ συμφέρον κρίνειν ἧττον ἐπίστευον· καὶ τὸ πολλὰς συγκατειργάσθαι τῷ πατρὶ τῷ σῷ μάχας καὶ κρατῆσαι πανταχοῦ τῷ δοκεῖν ἀηττήτους· εἶναι συνηγωνίζετο. τούτων δὲ οὐδενὸς ἔλαττον τὸ παρεστὼς Παρθυαίων δέος ἐπῆρεν ὡς οὐκ ἀγωνισομένους πρὸς τοὺς ἄνδρας μόνον, ἀλλὰ καὶ πρὸς τὴν χώραν αὐτὴν καί, εἴ τι μεῖζον ἔξωθεν προσπίπτοι, καὶ τούτου πάντως κρατήσοντας. ταχέως οὖν ἑκατὸν μεταξὺ στάδια δραμόντες ἐφειστήκεσαν ἤδη Παρ- C θυαίοις εἰς τὸ τεῖχος καταπεφευγόσιν, ὃ πρότερον ἤδη πεποίητο σφίσιν ὥσπερ στρατόπεδον. ἑσπέρα δὲ ἦν λοιπὸν καὶ ὁ πόλεμος αὐτόθεν ξυνερρήγνυτο. καὶ τὸ μὲν τεῖχος αἱροῦσιν εὐθέως τοὺς (ἀμυνομένους) ὑπὲρ αὐτοῦ κτείναντες· γενόμενοι δὲ εἴσω τῶν ἐρυμάτων πολὺν μὲν ἠρίστευον χρόνον, ὑπὸ δὲ τοῦ δίψους ἀπειρηκότες ἤδη καὶ λάκκοις ὕδατος ἐντυχόντες ἔνδον, τὴν καλλίστην νίκην διέφθειραν καὶ τοῖς πολεμίοις παρέσχον ἀναμαχέσασθαι τὸ πταῖσμα. τοῦτο D τέλος τῆς μάχης ἐκείνης γέγονε, τρεῖς μὲν ἢ τέτταρας ἀφελομένης τῶν παρ᾽ ἡμῖν, Παρθυαίων δὲ τὸν ἐπὶ

4 αὐτῶν VM 6 τὸ δοκεῖν V | ἀηττήτους H] ἀήττητος V, ἀήττητοι v 8 παρεστὼς Παρθυαίων δέος V] Παρθυαίων δέος παρεστώς. Ego malim Παρθυαίοις | ὡς οὐκ Schaef.] οὐχ ὡς | ἀγωνιουμένους Cobetus 10 καὶ H] κἂν | εἴ τι] ἔτι V | προσπίπτον V 11 κρατήσοντας M] κρατήσοντος 12 δραμόντες] διαδραμόντες? 14 πεποίητο] Immo ἐπεποίητο 15 αὐτόθι V 16 ἀμυνομένους add. H, τοὺς ὑπὲρ αὐτοῦ μαχομένους volebat Rsk. 17 κτείναντες καὶ ἀμύναντες VM 19 et 20 ἐντυχόντες ἔνδον V] ἔνδον ἐντυχόντες 21 et 22 τοῦτο τὸ τέλος Schaef. 22 τῆς μάχης ἐκείνης V] ἐκείνης τῆς μάχης

τῇ βασιλείᾳ τρεφόμενον, ἁλόντα πρότερον, καὶ τῶν ἀμφ᾽ αὐτὸν παμπληθεῖς ξυνδιαφθειράσης. τούτοις δὲ ἅπασι δρωμένοις ὁ μὲν τῶν βαρβάρων ἡγεμὼν οὐδὲ ὄναρ παρῆν· οὐδὲ γὰρ ἐπέσχε τὴν φυγὴν πρὶν ἢ κατὰ νώτου τὸν ποταμὸν ἐποιήσατο· αὐτὸς δὲ διέμενες ἐν τοῖς ὅπλοις δι᾽ ὅλης ἡμέρας καὶ νυκτὸς ἁπάσης, συμμετέχων μὲν τοῖς κρατοῦσι τῶν ἀγωνισμάτων, τοῖς πονοῦσι δὲ ἐπαρκῶν διὰ ταχέων. ὑπὸ δὲ τῆς ἀνδρείας καὶ τῆς εὐψυχίας εἰς τοσοῦτον τὸν ἀγῶνα μετέστησας, ὥστε αὐτοὺς μὲν ἐπὶ τὴν αὐτῶν τῆς ἡμέρας ἐπιλαβούσης ἀσμένως ἀποσώζεσθαι, ἀναχωρεῖν δὲ ἐκ τῆς μάχης, ἑπομένου σου, καὶ τοὺς τραυματίας·
B οὕτω τὸ δέος πᾶσιν ἀνῆκας τῆς φυγῆς. ποῖον οὖν ἥλω φρούριον; τίς δὲ ἐπολιορκήθη πόλις; τίνος δὲ ἀποσκευῆς οἱ πολέμιοι κρατήσαντες ἔσχον ἐφ᾽ ὅτῳ σεμνύνωνται μετὰ τὸν πόλεμον; ἀλλ᾽ ἴσως, φήσει τις, τὸ μηδέποτε τῶν πολεμίων ἧττον ἔχοντα ἀπελθεῖν εὐτυχὲς καὶ εὔδαιμον ἡγεῖ, τὸ δὲ ἀντιστῆναι τῇ τύχῃ ῥωμαλεώτερον [, ὃ] καὶ μείζονος ἀρετῆς ὑπάρχει σημεῖον. τίς μὲν γὰρ ἀγαθὸς κυβερνήτης ἐν εὐδίᾳ τὴν ναῦν κατευθύνων, γαλήνης ἀκριβοῦς κατε-
C χούσης τὸ πέλαγος; τίς δὲ ἡνίοχος ἅρματος δεξιὸς ἐν ὁμαλῷ καὶ λείῳ χωρίῳ εὐπειθεῖς καὶ πρᾴους καὶ ταχεῖς ἵππους ζευξάμενος, εἶτα ἐν τούτοις ἐπιδεικνύ-

2 ξυνδιαφθειράσης V] συνδιαφθ. 5 δὲ ἔμενες V 7 ἀγωνισμάτων Pet.] ἀγωνιστῶν 9 et 10 εἰς τοσοῦτο τὸν ἀγῶνα μετέστησας Wytt.] εἰς τοσοῦτον ἀγῶνα κατέστησας 10 ὥστε αὐτοὺς H] ὥστε ^αν^ τοὺς V, ὥστε τοὺς v 11 ἀσμένους H | ἀποσώζεσθαι VM] ὑποσώζεσθαι 13 πᾶσιν V] ἅπασιν 14 ἐξεπολιορκήθη H 16 σεμνύνωνται pet.] σεμνύνονται. cf. 28 D 18 ἡγεῖ, τὸ δὲ Cobetus] ἡγεῖτο δὲ VM, ἡγῇ, τὸ δὲ v *19 ὃ* del. Rsk. 24 ἀποδεικνύμενος V

ος τὴν τέχνην; πόσῳ δὲ ἀμείνων νεὼς μὲν ἰθυν-
ὁ καὶ τὸν μέλλοντα χειμῶνα προμαθὼν καὶ
αισθόμενος καὶ πειραθείς γε τοῦτον ἐκκλῖναι, εἶτα
ἀσδηποτοῦν αἰτίας ἐμπεσὼν καὶ διασώσας ἀπαθῆ
ν ναῦν αὐτῷ φόρτῳ; ἅρματος δ' ἐπιστατὴς ὁ καὶ
ὸς χωρίων ἀγωνιζόμενος τραχύτητα καὶ τοὺς ἵπ- D
υς μετατιθεὶς ἅμα καὶ βιαζόμενος, ἤν τι πλημμε-
σιν; ὅλως δὲ οὐδεμίαν ἄξιον τέχνην μετὰ τῆς
χης ἐξετάζειν, ἀλλ' αὐτὴν ἐφ' αὑτῆς σκοπεῖν. οὐδὲ
στρατηγὸς ἀμείνων ὁ Κλέων Νικίου, ἐπειδὴ τὰ περὶ
ν Πύλον ηὐτύχησεν, οὐδ' ἄλλος οὐδεὶς τῶν τύχῃ
ιλλον ἢ γνώμῃ κρατούντων. ἐγὼ δὲ εἰ μὴ καὶ τὴν
χην τὴν σὴν ἀμείνω καὶ δικαιοτέραν τῆς τῶν ἀν-
αξαμένων, μᾶλλον δὲ τῆς ἁπάντων ἀνθρώπων
ατίστην φήσαιμι, ἀδικεῖν ἂν εἰκότως δοκοίην, τὴν 26
παρασχοῦσαν τοῖς πολεμίοις αἰσθέσθαι τὸ πλεο-
κτημα. χρὴ γὰρ οἶμαι τὸν δικαίως ὑπὲρ τῶν ῥη-
ντων κρίνοντα τὸ μὲν ἐλάττωμα τῇ τοῦ πνίγους
ανταγωνίστῳ ῥώμῃ λογίζεσθαι, τὸ δὲ εἰς ἴσον
ταστῆσαι τοὺς πολεμίους ταῖς συμφοραῖς τῆς σῆς
ετῆς ἔργον ὑπολαβεῖν, τὸ δὲ τῶν μὲν οἰκείων
θέσθαι συμφορῶν, ἀγνοῆσαι δὲ τὰ κατορθώματα
; ἀγαθῆς τύχης ἔργον λογίζεσθαι.
Ἀλλ' ὅπως μὴ μακρότερα περὶ τούτων λέγων τὸν B

1 *ἀμείνων* Pet.] *ἄμεινον* | *ἰθυντὴρ ὁ* Rsk. et Schaef.] *ντῆρος* VM, *ἰθυντὴρ ὃς* v 2 *προμαθὼν* Pet.] *προ-θεῖν* 3 *πειραθείς* VM] *πειρασθείς* | *τούτων* V 4 *σδηποτοῦν* V] *δι' ἃς δήποτε οὖν* 5 *δὲ* VM 7 *θαμὰ* jecit Rsk. 8 *οὐδὲ μίαν* VM 9 *ἐφ' αὑτῆς* V] *ἐφ' αὑτῇ* *ν τὰ περὶ* VM] *τὸ περὶ* 11 *ἠτύχησεν* V | *οὐδὲ εἷς* V 12 *μᾶλλον οὐδ' ἀλλ' ὅσον ἢ γν. κρ.* V 15 *κρατίστην* deleverim | *ἂν* add. VM 16 *μὴ* V] *οὐ* 19 *ἶσον* M, ut solet 20 *ταῖς*] *ταῖς σαῖς* Rsk. 24 *μακρότερα* V] *μακρότερον*

ὑπὲρ τῶν μειζόνων καιρὸν ἀναλώσω, πειράσομαι λοιπὸν τὸ μετὰ τοῦτο περιστὰν ἡμᾶς τῶν πραγμάτων πλῆθος .... καὶ τῶν κινδύνων τὸ μέγεθος, καὶ ὅπως ἅπασιν ἀντισχὼν τυράννων μὲν πλῆθος, βαρβάρων δὲ ἐτρέψω δυνάμεις. ἦν μὲν γὰρ ὁ χειμὼν ἐπ' ἐξόδοις ἤδη, ἕκτον που μάλιστα μετὰ τὸν πόλεμον ἔτος, οὗ μικρῷ πρόσθεν ἐμνήσθην, ἧκε δὲ C ἀγγέλλων τις, ὡς Γαλατία μὲν συναφεστῶσα τῷ τυράννῳ ἀδελφῷ τῷ σῷ ἐβούλευσέ τε καὶ ἐπετέλεσε τὸν φόνον, εἶτα ὡς Ἰταλία καὶ Σικελία κατείληπται, τὰ δὲ ἐν Ἰλλυριοῖς στρατόπεδα ταραχωδῶς ἔχει καὶ βασιλέα σφῶν ἀπέδειξε τὸν τέως στρατηγὸν ἀντισχεῖν ἐθέλοντα πρὸς τὴν ἄμαχον δοκοῦσαν τῶν τυράννων φοράν. ἱκέτευε δὲ αὐτὸς οὗτος χρήματα πέμπειν καὶ δύναμιν τὴν βοηθήσουσαν, σφόδρα ὑπὲρ αὐτοῦ δεδιὼς καὶ τρέμων, μὴ πρὸς τῶν τυράννων κρατηθείη. D καὶ τέως μὲν ἐπηγγέλλετο τὰ προσήκοντα δράσειν, οὐδαμῶς αὐτὸν ἀξιῶν τῆς ἀρχῆς, ἐπίτροπον δὲ οἶμαι πιστὸν καὶ φύλακα παρέξειν ἐπαγγελλόμενος· ἔμελλε δὲ οὐκ εἰς μακρὰν ἄπιστος φανεῖσθαι καὶ δίκην ὑφέξειν καὶ φιλάνθρωπον. ταῦτα πυθόμενος οὐκ ᾤου δεῖν ἐν ῥᾳστώνῃ πολλῇ τὸν χρόνον ἀναλίσκειν μάτην. ἀλλὰ τὰς μὲν ἐπὶ τῇ Συρίᾳ πόλεις μηχανημάτων καὶ φρουρᾶς καὶ σίτου καὶ τῆς ἄλλης παρασκευῆς [ἁπάσης] ἐμπλήσας, καὶ ἀπιὼν ἀρκέσειν τοῖς

3 πλῆθος] Lacunam animadvertit Pet., διηγεῖσθαι vel διεξιέναι excidisse putat Rsk. 6 ἕκτον] Vid. Harduin. ad Themist. p. 499 ed. Dind. 7 μικρῷ M] μικρὸν 9 τἀδελφῷ? | ἐπετέλεσε V] ἐτέλεσε 12 et 13 ἀντισχεῖν τὸν ἐθέλοντα M, ἀντισχεῖν οὐκ ἐθέλοντα Pet. in ed. fl. 15 βοηθήσουσαν V] βοηθοῦσαν | αὐτοῦ VM 18 αὐτὸν VM 21 ἔμελλε post ὑφέξειν repetit V | καὶ] καίτοι Rsk., καὶ del. Pet. in ed. fl. 23 τὰς μὲν V] τὰς | τῇ Συρία VM] Συρίᾳ 25 ἁπάσης om. V

δε προσεδόκησας, αὐτὸς δὲ ἐπὶ τοὺς τυράννους 27
μᾶν ἐβουλεύου. Πέρσαι δὲ ἐξ ἐκείνου τὸν καιρὸν
ὗτον παραφυλάξαντες, ὡς ἐξ ἐφόδου τὴν Συρίαν
ψόμενοι, πᾶσαν ἐξαναστήσαντες ἡλικίαν καὶ φύσιν
ιὶ τύχην ἐφ' ἡμᾶς ὥρμηντο, ἄνδρες, μειράκια,
ρεσβῦται καὶ γυναικῶν πλῆθος καὶ θεραπόντων, οὐ
ύνον τῶν πρὸς τὸν πόλεμον ὑπουργιῶν χάριν, ἐκ
ριουσίας δὲ πλεῖστον ἑπόμενον. διενοοῦντο γὰρ
ς καὶ τὰς πόλεις καθέξοντες καὶ τῆς χώρας ἤδη B
ατήσαντες κληρούχους ἡμῖν ἐπάξουσι. κενὰς δὲ
έφηνεν αὐτοῖς τὰς προσδοκίας τῆς παρασκευῆς
ῆς σῆς τὸ μέγεθος. ἐπειδὴ γὰρ ἐς πολιορκίαν κατέ-
ησαν, ἐπετειχίζετο μὲν ἡ πόλις κύκλῳ τοῖς χώμασιν,
έρρει δὲ ὁ Μυγδόνιος πελαγίζων τὸ περὶ τῷ τείχει
ορίον, καθάπερ ὁ Νεῖλος, φασί, τὴν Αἴγυπτον.
ροσήγετο δὲ ἐπὶ νεῶν ταῖς ἐπάλξεσι τὰ μηχανήματα,
ὶ ἐπιπλεῖν ἄλλοι διενοοῦντο τοῖς τείχεσιν, ἄλλοι δὲ C
'αλλον ἀπὸ τῶν χωμάτων τοὺς ἀμυνομένους ὑπὲρ
ς πόλεως. οἱ δὲ ἐκ τῶν τειχῶν ἤμυνον καρτερῶς
ἱ πόλει. μεστὰ δὲ ἦν ἅπαντα σωμάτων καὶ ναυα-
ων καὶ ὅπλων καὶ βελῶν, τῶν μὲν ἄρτι καταδυο-
νων, τῶν δέ, ἐπειδὴ τὸ πρῶτον ὑπὸ τῆς βίας
νενεχθέντα κατέδυ, κουφιζομένων ὑπὸ τοῦ κύματος.
πίδες μὲν ἐπενήχοντο βαρβάρων παμπληθεῖς καὶ
ῶν ἕρματα συντριβομένων ἐπ' αὐταῖς τῶν μηχανη-
των. βελῶν πλῆθος ἐπινηχόμενον μικροῦ δεῖν D

6 πρεσβῦται Schaef.] πρεσβύται 9 καὶ πόλεις V 10 ἔξουσι M, ἐπαύξουσι V, ἐπάξουσιν v, ἐπάξοντες Wytt. Malim ἐπάγειν 12 ἐς VM] εἰς 13 περιετειχίζετο H 14 ὁ μυγδόνιος VM (μυγδώνιος M)] Μυγδόνιος | τὸ] τῷ τὸ V 17 ἐπὶ πλεῖον V 25 ἕρματα] σέλματα Rsk. | „Sic distinguendum et legendum videtur: συντριβομένων. ἐπ' αὐταῖς δὲ μηχανημάτων καὶ βελῶν πλῆθος". Rsk.

ἐπεῖχεν ἅπαν τὸ μεταξὺ τοῦ τείχους καὶ τῶν χωμ
των. ἐτέτραπτο δὲ ἡ λίμνη πρὸς λύθρον, καὶ κύκλῳ
τὸ τεῖχος ἐπήχουν οἰμωγαὶ βαρβάρων ὀλλύντων μὲν
οὐδαμῶς, ἀπολλυμένων δὲ πολυτρόπως καὶ τιτρωσκο-
μένων ποικίλοις τραύμασι. τίς ἂν ἀξίως τῶν δρω-
μένων διηγοῖτο; πῦρ μὲν ἐνίετο ταῖς ἀσπίσιν, ἐξέ-
πιπτον δὲ τῶν ὁπλιτῶν ἡμίκαυτοι πολλοί, ἄλλοι δὲ
ἀποδιδράσκοντες τὴν φλόγα τὸν ἐκ τῶν βελῶν οὐκ
28 ἀπέφευγον κίνδυνον· ἀλλ᾽ οἱ μὲν ἔτι νηχόμενοι τὰ
νῶτα τρωθέντες ἐς βυθὸν κατεδύοντο, οἱ δὲ ἐξαλ-
λόμενοι τῶν μηχανημάτων πρὶν ὕδατος ἅψασθαι
βληθέντες οὐ σωτηρίαν, κουφότερον δὲ ηὕροντο θά-
νατον. τοὺς δὲ οὐδὲ νεῖν εἰδότας ἀκλεέστερον τῶν
πρόσθεν ἀπολλυμένους τίς ἂν ἀξιώσειεν ἀριθμοῦ καὶ
μνήμης; ἐπιλείψει με, καθ᾽ ἕκαστον εἰ πᾶσιν ἐπεξελ-
θεῖν βουλοίμην, ὁ χρόνος· τὸ κεφάλαιον δὲ ἀκούειν
B ἀπόχρη. ταύτην ἥλιος ἐπεῖδε τὴν μάχην ἄγνωστ
ἀνθρώποις τὸν ἔμπροσθεν χρόνον· ταῦτα τὴν π
λαιὰν ἀλαζονείαν ἤλεγξε τῶν Μήδων τύφον ὄν
κενόν· ταῦτα τῆς Ξέρξου παρασκευῆς ἀπιστουμέν
τέως τὸ μέγεθος, εἰ τοσαύτη γενομένη τέλος ἔσχ
αἰσχρὸν καὶ ἐπονείδιστον, ἐναργέστερον τῶν δοκού
των εἶναι γνωρίμων ἡμῖν κατέστησεν. ὁ μὲν ἐπε
ρᾶτο πλεῖν καὶ πεξεύειν ἀπεναντίον τῇ φύσει μαχ
C μενος καί, ὥσπερ οὖν ᾤετο, κρατῶν ἠπείρου φύσεως

2 ἐτέτραπτο H] τέτραπτο 3 περιήχουν H 5 τρώμασι 6 διηγοῖτο VM] διηγεῖτο | ἐνίετο Rsk. et Wytt.] ἵετο (ἵετο VM) 7 ἡμίκαυτοι V] ἡμίκαυτοι λοιπὸν 9 ἀλλ᾽ οἱ VM] ἄλλοι 10 ἐς VM] εἰς 12 ηὕροντο H] εὗρον τὸν V, εὕραντο v 13 οὐδὲ νεῖν εἰδότας H] οὐδὲν εἰδότας v, οὐδὲν ἰδόντας M 15 et 16 ἐπεξελθεῖν H] ἐπελθεῖν 23 κατέστησεν Schaef.] κατέστησαν 24 ἀπεναντίον V] ἀπεναντίας 24 et 25 μαχόμενος add. VM 25 καί, ὥσπερ οὖν ᾤετο Pei zonius ad Aeliani V. H. II, 14] ὥσπερ οὖν ᾤετο, καὶ

θαλάττης ἀνδρὸς Ἕλληνος ἡττᾶτο σοφίας καὶ
ͅης στρατιωτῶν οὐ τρυφᾶν μεμελετηκότων οὐδὲ
ͅλεύειν, ἀλλʼ ἐλευθέρως ἄρχεσθαι καὶ πονεῖν εἰ-
ων. ὁ δὲ ταῖς παρασκευαῖς ἐκείνου καταδεέστερος,
ͅληκτος δὲ μᾶλλον καὶ τῇ μανίᾳ τοὺς Ἀλωάδας
ͅρβαλλόμενος μόνον οὐχὶ τὸ πλησίον ὄρος ἐγνω-
ͅ ἀμφικαλύψαι τῇ πόλει, ἐπαφιεὶς δὲ ποταμῶν
ͅματα καὶ τὰ τείχη διαλύσας οὐδὲ ἀτειχίστου τῆς D
ͅεως περιγενόμενος ἔσχεν ἐφʼ ὅτῳ σεμνύνηται,
ͅάπερ ὁ Ξέρξης ταῖς Ἀθήναις ἐμβαλὼν τὴν φλόγα.
ͅνήει δὲ τεττάρων μηνῶν ἀναλώσας χρόνον μυ-
ͅσι πολλαῖς ἧττον ἀπάγων τὸ σράτευμα, καὶ τὴν
ͅχίαν ἠγάπησεν ὁ πρόσθεν ἀφόρητος δοκῶν, τὴν
ͅ ἀσχολίαν καὶ τὴν τῶν παρʼ ἡμῖν πραγμάτων
ͅαχὴν ὥσπερ ἔρυμα τῆς αὑτοῦ προβαλλόμενος σω-
ͅίας. ταῦτα καταλιπὼν ἐπὶ τῆς Ἀσίας τρόπαια καὶ 29
ͅς, ἐπὶ τὴν Εὐρώπην ἀκμῆτας ἦγες τὸ στράτευμα,
ͅ οἰκουμένην ἅπασαν ἐμπλῆσαι τροπαίων ἐγνωκώς.
ͅ δὲ ἤρκει τὰ πρόσθεν ῥηθέντα, εἰ καὶ μηδὲν
ͅ περὶ σοῦ λέγειν εἶχον σεμνότερον, πρὸς τὸ πάν-
ͅ ἀποφῆναί σε τῶν ἔμπροσθεν τῆς αὐτῆς σοι
ͅσχόντων τύχης συνέσει καὶ ῥώμῃ κρατοῦντα. τὸ
ͅ ἀπαθῶς ὤσασθαι μὲν τὴν Περσῶν δύναμιν, οὐ
ͅν οὐδὲ φρούριον, ἀλλʼ οὐδὲ στρατιώτην τῶν
ͅ καταλόγου προέμενον, πολιορκίᾳ δὲ τέλος ἐπιθεῖ- B
ͅ λαμπρὸν καὶ οἷον οὔπω πρόσθεν ἠκούσαμεν, τίνι
ͅ τῶν ἔμπροσθεν παραβαλεῖν ἔργων; περιβόητος
ͅνεν ἡ Καρχηδονίων ἐν τοῖς δεινοῖς τόλμα, ἀλλʼ

τῇ πόλει om. V 8 τείχη V] χείλη 9 σεμνύνοιται
σεμνύνοηται fl. Hoc loco σεμνύνοιτʼ ἂν et 25 B σεμνύνοιντʼ
malim 15 αὐτοῦ VM 20 περὶ σοῦ VM] περί σου 22
όντων M 24 et 25 τῶν ἐκ VM] τὸν ἐκ

ἐτελεύτησεν εἰς συμφοράς· λαμπρὰ τὰ περὶ τὴν Πλα-
ταιέων πολιορκίαν γενόμενα, ἐχρήσαντο δὲ οἱ δεί-
λαιοι γνωριμώτερον τοῖς δυστυχήμασι. τί χρὴ Μεσ-
σήνης καὶ Πύλου μεμνῆσθαι, οὔτε ἀγωνισαμένων
C καρτερῶς οὔτε ἁλόντων ξὺν βίᾳ; Συρακούσιοι δὲ τὸν
σοφὸν ἐκεῖνον ἀντιτάξαντες ταῖς παρασκευαῖς τῆς
ἡμετέρας πόλεως καὶ τῷ καλῷ κἀγαθῷ στρατηγῷ τί
πλέον ὤναντο; οὐχ ἑάλωσαν μὲν τῶν ἄλλων αἴσχιον,
ἐσώζοντο δὲ καλὸν ὑπόμνημα τῆς τῶν ἑλόντων πρᾳό-
τητος; Ἀλλ' εἰ πάσας ἐξαριθμεῖσθαι τὰς πόλεις βου-
λοίμην, αἳ πρὸς τὰς ὑποδεεστέρας οὐ κατήρκεσαν
παρασκευάς, πόσας οἴει μοι βίβλους ἀρκέσειν; τῆς
Ῥώμης δὲ ἴσως ἄξιον μνησθῆναι πάλαι ποτὲ χρησα-
D μένης τύχῃ τοιαύτῃ, Γαλατῶν οἶμαι καὶ Κελτῶν ἐς
ταὐτὸ πνευσάντων καὶ φερομένων ἐπ' αὐτὴν καθάπερ
χειμάρρους ἐξαίφνης. κατέλαβον μὲν γὰρ τὸν λόφον
ἐκεῖνον, οὗ τὸ τοῦ Διὸς ἀφίδρυται βρέτας· γέρροις
δὲ καί τισι τοιούτοις οἱονεὶ τείχει φραξάμενοι, πολυ-
πραγμονούντων οὐδὲν οὐδὲ προσιέναι τῶν πολεμίων
βίᾳ τολμώντων, ἐκράτησαν· ταύτῃ παραβαλεῖν ἄξιον
τῇ πολιορκίᾳ τὴν ἔναγχος τῷ τέλει τῆς τύχης, ἐπεὶ
τοῖς γε ἔργοις οὐδεμιᾷ τῶν ὅσαι πάλαι γεγόνασι. τίς
γὰρ ἔγνω κυκλουμένην μὲν ὕδασι [τὴν] πόλιν, λό-
φοις δὲ ἔξωθεν καθάπερ δικτύοις περιβληθεῖσαν, καὶ

3 et 4 *μεσήνης* VM 5 *καρτερῶς* VM] *κρατερῶς* | *συρρακούσιοι* VM. *Συρακόσιοι* Iulianus videtur scripsisse 10 et 11 *βουλόμενος* V, fortasse recte, modo antea *ἀλλὰ* pro *ἀλλ' εἰ* scribatur. Similes loci sunt 19 C et 200 B 14 *ἐς* VM] *εἰς* 16 *χειμάρρους* Wytt.] *χειμάρρου* (*χείμαρρον* M). *Χειμάρρους* scripsi, ut hiatus tollatur 18 *καί τισι* VM] *καὶ τοῖς*. cf. 40 A | *φραξάμενοι* V] *φραττόμενοι* 18 et 19 *πολυπραγμονοῦντες* Rsk. 22 *οὐδεμιᾷ* Rsk. et H] *οὐδὲ μιᾷ* M, *οὐδὲ μία* V, *οὐδεμία* v, *οὐδὲ βίᾳ* fl. 23 *ἔγνω* VM] *ἔγνωκε* | *κεκυκλωμένην* Pet. in ed. fl. | *τὴν* Rsk. delendum esse censet

ταμὸν ἐπαφιέμενον οἱονεὶ μηχάνημα, συνεχῶς ῥέ-
τα καὶ προσρηγνύμενον τοῖς τείχεσι, τάς τε ὑπὲρ
ν ὑδάτων μάχας καὶ ὅσαι περὶ τῷ τείχει κατενε-
θέντι γεγόνασιν. ἐμοὶ μὲν οὖν, ὅπερ ἔφην, ἀπόχρη
ὶ ταῦτα· τὰ λειπόμενα δέ ἐστι μακρῷ σεμνότερα.
ὶ τυχὸν οὐδαμῶς εὔλογον ἅπαξ ἑλόμενον ἁπάντων B
δύναμιν μνησθῆναι τῶν σοι πραχθέντων, ἀκμα-
νσῶν ἔτι τῶν πράξεων, ἀφεῖναι τὴν διήγησιν. ὅσα
ν οὖν ἔτι τοῖς ἔργοις προσκαθήμενος, ὧν μικρῷ
ρόσθεν ἐμνήσθην, περὶ τὴν Εὐρώπην διῴκησας,
ρεσβείας πέμπων καὶ ἀναλίσκων χρήματα καὶ στρα-
πεδα τὰ προσκαθήμενα τοῖς Σκύθαις ἐν Παιονίᾳ
πέμπων, τοῦ μὴ κρατηθῆναι τὸν πρεσβύτην ὑπὸ
ῦ τυράννου προνοῶν, πῶς ἂν τις ἐν βραχεῖ λόγῳ
παραστῆσαι δύναιτο καὶ πάνυ σπουδάζων; ἐπεὶ δέ, C
ἤδη σου πρὸς τὸν πόλεμον ὡρμημένου, οὐκ οἶδα
πρ' ὅτου δαιμόνων ἐξαιρεθεὶς τὸν νοῦν καὶ τὰς
ρένας ὁ τέως πιστὸς μενεῖν φύλαξ ἐπαγγελλόμενος
ὶ χρήμασι καὶ στρατοπέδοις καὶ τοῖς ἄλλοις ἅπασιν
ὑπὸ σοῦ περισωζόμενος εἰρήνην ὡμολόγησε τῷ πάν-
ων ἀνθρώπων ἀνοσιωτάτῳ καὶ πολεμίῳ κοινῇ μὲν
πάντων, ὁπόσοις εἰρήνης μέλει καὶ τὴν ὁμόνοιαν
ε παντὸς στέργουσιν, ἰδίᾳ δὲ σοὶ καὶ πλέον τῶν D
ἄλλων· οὔτε ἔδεισας τῆς παρασκευῆς τὸ μέγεθος οὔτε
πίστων ἀνδρῶν ξυμμαχίαν πλέον ὑπέλαβες τῆς ἔμ-
φρονος γνώμης. ἐγκαλῶν δέ, ὡς εἰκός, τῷ μὲν ἀπι-
στίαν, τῷ δὲ πρὸς ταύτῃ πράξεων ἐναγῶν καὶ παρα-

3 περὶ V] παρὰ. Vid. 27 B 62 C 66 C 74 C 5 ἐστι VM] ἔτι 7 ἐς VM] εἰς | ἐς δύναμιν ἁπάντων V | σοὶ M 18 μενεῖν H] μένειν 20 ὑπὸ σοῦ VM] ὑπό σου 23 σοὶ Schaef.] σοι v, σοῦ Rsk., quo admisso addendum ἢ post πλέον 25 πλέον] πλέον ἔχειν? 25 et 26 εὔφρονος V 27 ἐναγῶν] αἰνῶν V

*νόμων τολμήματα, τὸν μὲν εἰς δίκην καὶ κρίσιν ἐ
τῶν στρατοπέδων προυκάλεις, τοῦ δὲ κριτὴν ὑπελάμ-
βανες εἶναι τὸν πόλεμον. ἀλλ' ἐπειδὴ πρῶτον ὁ
31 καλὸς καὶ συνετὸς ἀπήντα πρεσβύτης, εὐχερέστερον
παιδαρίου τινὸς μετατιθέμενος τὰ δόξαντα καὶ ὧν
εὖ πάθοι δεόμενος μετὰ τὴν χρείαν ἐπιλήσμων· παρῆν
δὲ ἄγων ὁπλιτῶν φάλαγγας καὶ τάξεις ἱππέων, ὡς,
εἰ μὴ πείθοι, βιασόμενός (σε) ὀπίσω πάλιν ἀπιέναι
τὴν αὐτὴν ἄπρακτον· οὐδὲν ἐκπλαγείς, ὅτι τὸν σύμ-
μαχον καὶ στρατηγὸν μενεῖν ἐπαγγελλόμενον πολέμιον
εἶδες ἐξ ἴσης ἄρχειν ἐθέλοντα, καίτοι τῷ πλήθει τῶν
B στρατευμάτων ἐλαττούμενος, ἐπεὶ μὴ πάντες εἵποντο,
πρὸς πλήθει κρατοῦντα διαγωνίζεσθαι τολμηρὸν μὲν
ἴσως, σφαλερὸν δὲ ἄλλως ὑπολαβὼν καὶ κρατήσαντι
τῇ μάχῃ διὰ τὸν ἐφεδρεύοντα τοῖς καιροῖς καὶ τοῖς
πράγμασιν ἄγριον τύραννον, ἐβουλεύσω καλῶς μόνον
εἶναι σὸν ἐθέλων τὸ κατόρθωμα, καὶ παρῄεις ἐπὶ
τὸ βῆμα μετὰ τοῦ τέως συνάρχοντος· συνῄει δὲ
ὁπλίτης δῆμος στίλβων τοῖς ὅπλοις, τὰ ξίφη γυμνὰ
C καὶ τὰ δόρατα προτείνοντες, δειλῷ μὲν φρικῶδες καὶ
δεινὸν θέαμα, εὐψύχῳ δὲ καὶ θαρραλέῳ καὶ οἷος
αὐτὸς γέγονας ὄφελος γενναῖον. οὐκοῦν ἐπειδὴ πρῶ-
τον ἤρξω τῶν λόγων, σιγῇ μὲν ἐπέσχε, πρὸς τὴν
ἀκοὴν ὡρμημένων πάντων, τὸ στράτευμα· δάκρυα δὲ
προυχεῖτο πολλοῖς, καὶ ἐς τὸν οὐρανὸν τὰς χεῖρας
ὤρεγον, σιγῇ καὶ ταῦτα δρῶντες, ὡς μήτις αἴσθηται.*

2 *προυκάλεις* H] *προεκάλεις* 5 *τινὸς* V] *παντὸς* 8 *σε* addidit H 9 *ἄπρακτος* M | *τὸν*] *τὸ* V 10 *μενεῖν* H] *μένειν* | *ἐπαγγελλόμενος* V 12 *ἐλαττούμενον* VM 14 *ἄλλως*] *πάντως*? cf. 222 A 353 C | *κρατήσας* V 15 *τῇ μάχῃ* V] *τὴν μάχην* 17 *παρῄεις* Rsk. et Wytt.] *παριεὶς* 22 *οὐκοῦν* V] *οὐκ οὖν* 25 *πολλοῖς* VM] *τοῖς πολλοῖς* | *ἐς* VM] *εἰς* 26 *μήτις* VM] *μηδεὶς*

ν εὔνοιαν δὲ οἱ μὲν ἐνεδείκνυντο (καὶ) διὰ τῆς
εως, πάντες δὲ τῷ σφόδρα ὡρμῆσθαι τῶν λόγων
ούειν. ἀκμαζούσης δὲ τῆς δημηγορίας συνενθου- D
ῶντες τῷ λόγῳ πάντες ἐπεκρότουν, εἶτα αὖθις
ούειν ἐπιθυμοῦντες ἡσύχαζον. τέλος δὲ ὑπὸ τῶν
γων ἀναπειθόμενοι (σὲ) μόνον ἐκάλουν βασιλέα,
ινον ἄρχειν ἠξίουν ἁπάντων, ἡγεῖσθαι σφῶν ἐκέ-
νον ἐπὶ τὸν πολέμιον, ἀκολουθήσειν ὡμολόγουν,
ιολαμβάνειν ἠξίουν τῆς ἀρχῆς τὰ γνωρίσματα. σὺ
οὐδὲ τὴν χεῖρα προσάγειν ᾤου δεῖν οὐδὲ ἀφελέ-
αι ξὺν βίᾳ· ὁ δὲ ἄκων μὲν καὶ μόλις, εἴξας δὲ
ως ὀψέ ποτε, φασί, τῇ Θετταλικῇ πειθανάγκῃ, 32
οσῆγέ σοι περιελόμενος τὴν ἁλουργίδα. οἷός τις
ταῦθα γέγονας τοσούτων μὲν ἐθνῶν καὶ στρατο-
δων καὶ χρημάτων ἐν ἡμέρᾳ μιᾷ γεγονὼς κύριος,
ν πολέμιον δέ, εἰ καὶ μὴ τοῖς ἔργοις, ἀλλὰ τῇ
ώμῃ φανέντα, τὴν ἀρχὴν ἀφελόμενος καὶ τοῦ σώ-
τος κρατήσας; ἆρ' οὐ τούτῳ μὲν ἄμεινον καὶ δι-
ιότερον προσηνέχθης ἢ Κῦρος τῷ πάππῳ, τοῖς
ρὶ αὐτὸν δὲ τὰς τιμὰς διεφύλαξας οὐδὲν οὐδενὸς
ελόμενος, προσθεὶς δὲ οἶμαι δωρεὰς πολλοῖς; τίς B
(σ') εἶδεν ἢ πρὸ τοῦ κρατῆσαι σκυθρωπὸν λίαν
μετὰ τοῦθ' ὑπερηδόμενον; καίτοι πῶς ἄξιον ἐπαι-
ἶν ἐστί σε δημηγόρον ἅμα καὶ στρατηγὸν ἢ βασι-
α χρηστὸν καὶ γενναῖον ὁπλίτην προσαγορεύοντας;

1 ἐνδείκνυντο error est operarum in ed. pet. translatus in anhemianam | καὶ add. H 5 ἀκούειν ἐπιθ. V] ἐπιθ. ἀκού- 6 σὲ add. Rsk. 8 πολέμιον Rsk.] πόλεμον 10 οὐδὲ ν V] οὐ τὴν 11 ξὺν VM] σὺν | ἄκων] ἀκούων V 12 φασί] φησί? | πειθανάγκῃ add. Suidas in πειθανάγκη 13 οἷός τις H] ὅστις 16 et 17 τῇ γε γνώμῃ Rsk. 18 ἆρ' οὐ k. et H] ἆρ' οὖν 19 κύρος, ut saepe, V 22 σ' add. Rsk. H 23 ἴσως H] πῶς. cf. 6 C 8 C 20 B 29 C 171 D 24 τι V

ὃς πάλαι μὲν ἀπορραγὲν τὸ στρατήγιον ἀπὸ τοῦ βήματος ἐς ταὐτὸν πάλιν ἐπαναγαγεῖν ἠξίωσας σχῆμα, μιμούμενος οἶμαι Ὀδυσσέα καὶ Νέστορα καὶ τοὺς
C ἐξελόντας Καρχηδόνα Ῥωμαίων στρατηγούς, οἳ φοβερωτέρους αὑτοὺς ἀπὸ τοῦ βήματος τοῖς ἀδικοῦσιν ἢ τοῖς πολεμίοις ἐπὶ τῆς παρατάξεως ἀεὶ κατέστησαν. Δημοσθένους δὲ καὶ ὅστις τοῦτον ἐζήλωκε τὴν ἐν τοῖς λόγοις ἰσχὺν αἰδούμενος, τῷ τρόπῳ τῆς δημηγορίας οὔποτ' ἂν ἀξιώσαιμι τῷ (σῷ) παραβαλεῖν τἀκείνων θέατρα. οὐ γὰρ ἐν τοῖς ὁπλίταις ἐδημηγόρουν οὐδὲ ὑπὲρ τοσούτων κινδυνεύοντες, ἀλλ' ὑπὲρ χρημάτων ἢ τιμῆς ἢ δόξης, ἢ φίλοις συνερεῖν ἐπαγ-
D γειλάμενοι, ἀπῄεσαν οἶμαι πολλάκις ἀπὸ τοῦ βήματος, τοῦ δήμου θορυβήσαντος, ὠχροὶ καὶ τρέμοντες, ὥσπερ οἱ δειλοὶ τῶν πολεμίων ἐν ὄψει στρατηγοὶ παραταττόμενοι. καὶ οὐδεὶς ἂν εἰπεῖν ἔχοι τοσοῦτον ἔργον ἑτέρῳ πραχθὲν πώποτε καὶ τοσούτων ἐθνῶν κτῆσιν ἐκ δικαστηρίου, ἄλλως τε καὶ πρὸς ἄνδρα τῆς δίκης
33 οὔσης οὐχ, ὥς οἱ πολλοί φασιν, εὐκαταφρόνητον, ἀλλὰ πολλαῖς μὲν στρατείαις γνώριμον, πρεσβύτην δὲ ἤδη καὶ τὴν ἐμπειρίαν ἐκ τοῦ χρόνου δοκοῦντα προσειληφέναι καὶ τῶν στρατοπέδων ἐκείνων ἄρχειν λαχόντα πολὺν ἤδη χρόνον. τίς οὖν ἡ ῥώμη γέγονε τῶν λόγων; τίς δὲ ἡ πειθὼ τοῖς χείλεσιν ἐπικαθημένη, (ἢ) παντοδαπῶν ἀνθρώπων συνειλεγμένων τὸ κέντρον ἐναπολιπεῖν ἴσχυσε ταῖς ψυχαῖς, καὶ νίκην

2 ἐς VM] εἰς | ταὐτὸν V] ταὐτὸ | ἐπαναγαγεῖν V] ἐπανάγειν 5 αὐτοὺς VM 9 τῷ σῷ Pet.] τῷ | παραβαλεῖν VM] παραβάλλειν 10 τἀκείνου V | οὐ γὰρ V] οὐδὲ γὰρ 12 συνερεῖν Rsk. et Wytt.] συνεργεῖν 13 ἀπῄεσαν] ἀπῆσαν H 15 et 16 παραταττόμενοι VM] ταραττόμενοι 16 ἔχοι Schaef.] ἔχει M, ἔχῃ v 17 πῶποτε, ut solet, V 20 στρατιαῖς V 25 ἢ add. Rsk. et Schaef. 26 ἴσχυσε Schaef.] ἰσχύσαι

ρασχεῖν τῷ μεγέθει μὲν ἐνάμιλλον ταῖς ἐκ τῶν
λων περιγινομέναις, εὐαγῆ δὲ καὶ καθαράν, ὥσπερ B
ρέως ἐς θεοῦ φοιτῶντος, ἀλλ' οὐ βασιλέως ἐς πό-
μον, ἔργον γενομένην; καίτοι γε μὴν ταύτης εἰ-
ύνα τῆς πράξεως μακρῷ λειπομένην καὶ Πέρσαι
θρυλοῦσι, τοὺς Δαρείου παῖδας τοῦ πατρὸς τελευτή-
αντος ὑπὲρ τῆς ἀρχῆς διαφερομένους δίκῃ τὰ καθ'
αὑτοὺς καὶ οὐ τῇ τῶν ὅπλων ἐπιτρέψαι κρίσει. σοὶ
δὲ πρὸς μὲν τοὺς ἀδελφοὺς οὔτε ἐν τοῖς λόγοις οὔτε
ἐν τοῖς ἔργοις ἀγὼν γέγονεν οὐδὲ εἷς· ἔχαιρες δὲ C
οἶμαι τῷ κοινὴν πρὸς ἐκείνους εἶναί σοι τὴν ἐπιμέ-
λειαν μᾶλλον ἢ τῷ μόνος ἁπάντων γενέσθαι κύριος·
ρὸς δὲ τὸν ἀσεβὲς μὲν ἢ παράνομον οὐδὲν εἰργα-
σμένον, ἄπιστον δὲ τῇ γνώμῃ φανέντα (ἐν) ἐλέγχοις,
οἵ τὴν ἀπιστίαν ἐκείνου δείξουσι.

Ταύτην ἐκδέχεται στρατεία λαμπρὰ τὴν δημηγο-
ρίαν καὶ πόλεμος ἱερός, οὐχ ὑπὲρ ἱεροῦ χωρίου,
τοῖον τὸν Φωκικὸν ἀκούομεν ἐνστῆναι κατὰ τοὺς
πρόσθεν, ἀλλ' ὑπὲρ τῶν νόμων καὶ τῆς πολιτείας D
καὶ φόνου πολιτῶν μυρίων, ὧν τοὺς μὲν ἀνῃρήκει,
ύς δὲ ἐμέλλησε, τοὺς δὲ ἐπεχείρησε συλλαβεῖν,
σπερ οἶμαι δεδιὼς μή τις αὐτὸν πολίτην μοχθηρόν,
αλλ' οὐχὶ βάρβαρον ὑπολάβῃ φύσει. τὰ γὰρ εἰς τὴν
σὴν οἰκίαν ἀδικήματα οὐδενὸς ὄντα τῶν κοινῇ τολ-
μηθέντων αὐτῷ φαυλότερα καὶ ἐλάττονος ἀξιοῦν ᾤου

2 περιγινομέναις M] παραγινομέναις V, προγενομέναις v 8 ἐς VM] ἐκ 4 καίτοι γε μὴν Rsk.] καὶ στιγμήν 6 θρυλοῦσι H] θρυλλοῦσι 13 τὸ ἀσεβὲς V 14 ἐν add. Rsk. | ἐλέγχου σοι V 16 στρατιὰ V 17 καὶ ὁ πόλεμος V | οὐχ om. V, sed eadem manus s. v. addidit 18 ἐνστῆναι Schaef.] στῆναι v, συστῆναι Pet. 20 ἀνῃρήκει H] ἀνήρηκε V, ἀνήρηκεν v 21 ἐμέλησε V | ἐπεχείρισε V 23 οὐχὶ V] οὐ | ὑπολάβοι M 25 φαυλοτέρας VM

δεῖν φροντίδος· οὕτω σοι τὰ κοινὰ πρὸ τῶν ἰδίων ἔδοξε καὶ δοκεῖ τίμια.

34 Πότερον οὖν χρὴ τῶν ἀδικημάτων ἁπάντων μεμνῆσθαι ὧν τε εἰς τὸ κοινὸν καὶ κατ' ἰδίαν ἔδρασε, κτείνας μὲν τὸν αὐτὸς αὐτοῦ δεσπότην· ἀνδράποδον γὰρ ἦν τῶν ἐκείνου προγόνων, τῆς ἀπὸ Γερμανῶν λείας λείψανον δυστυχὲς περισωζόμενον· ἄρχειν δὲ ἡμῶν ἐπιχειρῶν, ᾧ μηδὲ ἐλευθέρῳ προσῆκον ἦν νομισθῆναι μὴ τοῦτο παρ' ὑμῶν λαβόντι· καὶ (ὡς) τοὺς ἐπὶ τοῦ στρατοπέδου ξυνδῶν καὶ ἀποκτιννὺς καὶ δουλεύων αἰσχρῶς τῷ πλήθει καὶ κολακεύων τὴν
B εὐταξίαν διέφθειρε· καὶ ὡς τοὺς καλοὺς ἐκείνους ἐτίθει νόμους, τὴν ἡμίσειαν εἰσφέρειν, θάνατον ἀπειλῶν τοῖς ἀπειθοῦσι, μηνυτὰς δὲ εἶναι τὸν βουλόμενον τῶν οἰκετῶν· καὶ ὅπως ἠνάγκαζε τοὺς οὐδὲν δεομένους τὰ βασιλικὰ κτήματα πρίασθαι; ἐπιλείψει με τἀκείνου διηγούμενον ὁ χρόνος ἀδικήματα καὶ τῆς τυραννίδος τῆς καταλαβούσης τὸ μέγεθος. ἀλλὰ τῆς παρασκευῆς τῆς ἐς τὸν πόλεμον, ἣν κατέβαλε
C μὲν ἐπὶ τοὺς βαρβάρους, ἐχρήσατο δὲ ἐφ' ἡμᾶς, τὴν ἰσχὺν τίς (ἂν) ἀξίως παραστήσειε; Κελτοὶ καὶ Γαλάται, ἔθνη καὶ τοῖς πάλαι φανέντα δυσανταγώνιστα, πολλάκις μὲν ἐπιρρεύσαντα καθάπερ χειμάρρους ἀνυπόστατος Ἰταλοῖς καὶ Ἰλλυριοῖς, ἤδη δὲ καὶ τῆς Ἀσίας ἀψάμενα τῷ κρατεῖν τοῖς ἐνόπλοις ἀγῶσιν,

2 ἔδοξε Schaef.] ἔδοξαν 4 εἰς V] ἐς. Schaefero rectius videtur ὧν εἴς τε. Vid. ad 70 C 5 τὸν αὐτὸς αὐτοῦ V et Suidas v. πειθανάγκη, αὐτὸς τὸν αὐτοῦ v 9 ὑμῶν V] ἡμῶν | ὡς add. H, Rsk. post κολακεύων addi voluit 10 τοῦ στρατοπέδου H] τῷ στρατοπέδῳ | ξυνδῶν H] ξυνδέων. cf. ad 364 C 16 πριᾶσθαι V 19 ἐς V] εἰς | κατέβαλε M] κατέλαβε 21 ἂν addendum esse aut παραστήσει scribendum vidit Schaef.

ντες ἡμῖν ὑπήκουσαν, ἔς (τε) τοὺς καταλόγους
, στρατευμάτων ἐγγράφονται καὶ τέλη παρέχονται
ιπρὰ παρὰ τῶν σῶν προγόνων καὶ πατρὸς κατ-
εγμένα· εἰρήνης δὲ μακρᾶς καὶ τῶν ἐκ ταύτης
'αθῶν ἀπολαύοντες, ἐπιδούσης αὐτοῖς τῆς χώρας D
ιὸς πλοῦτον καὶ εὐανδρίαν, καὶ ἀδελφοῖς τοῖς σοῖς
ρατιώτας καταλέξαι πολλοὺς παρέσχοντο, τέλος δὲ
ι τυράννῳ βίᾳ καὶ οὐ γνώμῃ πανδημεὶ συνεστρα-
ύοντο. ἠκολούθουν δὲ αὐτῷ κατὰ τὸ ξυγγενὲς
ύμμαχοι προθυμότατοι Φράγγοι καὶ Σάξονες, τῶν
:ὲρ τὸν Ῥῆνον καὶ τὴν ἑσπερίαν θάλατταν ἐθνῶν
μαχιμώτατα. καὶ πόλις πᾶσα καὶ φρούριον πρόσ-
κον Ῥήνῳ τῶν ἐνοικούντων φυλάκων ἐξερημω-
ἔντα προδέδοτο μὲν ἀφύλακτα πάντα τοῖς βαρβά-
ροις, ἐφ' ἡμᾶς δὲ ἐξεπέμπετο παρεσκευασμένον λαμ-
-ρῶς τὸ στράτευμα· πᾶσα δὲ ἐῴκει πόλις Γαλατικὴ
ρατοπέδῳ παρασκευαζομένῳ πρὸς πόλεμον· καὶ
ἰντα ἦν ὅπλων καὶ παρασκευῆς ἱππέων καὶ πεζῶν
..ιὶ τοξοτῶν καὶ ἀκοντιστῶν πλήρη. συρρεόντων δὲ
, τὴν Ἰταλίαν ἁπανταχόθεν τῶν ἐκείνου ξυμμάχων B
:ὶ τοῖς ἐνταῦθα πάλαι κατειλεγμένοις στρατιώταις
ταὐτὸν ἐλθόντων, οὐδεὶς οὕτως ἐφάνη τολμηρός,
· οὐκ ἔδεισεν οὐδὲ ἐξεπλάγη τὸν ἐπιόντα χειμῶνα.
:ηπτὸς ἐδόκει πᾶσιν ὁ φερόμενος ἀπὸ τῶν Ἄλπεων,
υκηπτὸς ἀφόρητος ἔργῳ καὶ ἄρρητος λόγῳ. τοῦτον
"ἰεισαν Ἰλλυριοὶ καὶ Παίονες καὶ Θρᾷκες καὶ Σκύ-

1 ἄκοντες Rsk.] ἀλόντες | ὑπήκουσαν M] ὑπείκουσιν | τε
ljecit Wytt. 4 δὲ VM] καὶ 9 καὶ σάξονες φράγγοι
ld. V post αὐτῷ 10 ξύμμαχοι V] σύμμαχοι | Φράγγοι καὶ Σά-
νες om. V 11 ὑπὲρ] Aut περὶ scribendum aut hoc ante
ν ἑσπερίαν addendum 13 ἐνοικούντων H] οἰκούντων 14
προυδίδοτο H 16 γαλακτικὴ V 20 ἐς VM] εἰς | ξυμμάχων
VM] συμμάχων

θαι, τοῦτον οἱ τὴν Ἀσίαν οἰκοῦντες ἄνθρωποι ἐφ'
αὐτοὺς ὡρμῆσθαι πάντως ὑπέλαβον, τούτῳ πολεμή-
C *σειν ἤδη περὶ τῆς αὐτῶν καὶ Πέρσαι παρεσκευάζοντο.*
ὁ δὲ μικρὰ μὲν ἐνόμιζεν εἶναι τὰ παρόντα καὶ πόνον
οὐ πολὺν τῆς σῆς συνέσεως καὶ ῥώμης κρατῆσαι,
τοὺς Ἰνδῶν δὲ ἐσκόπει πλούτους καὶ Περσῶν τὴν
πολυτέλειαν· [καὶ] τοσοῦτον αὐτῷ περιῆν ἀνοίας καὶ
θράσους ἐκ μικροῦ παντελῶς περὶ τοὺς κατασκόπους
πλεονεκτήματος, οὓς ἀφυλάκτους ὅλῃ τῇ στρατιᾷ λο-
χήσας ἔκτεινεν. οὕτω τὸ πράττειν εὖ παρὰ τὴν
ἀξίαν ἀρχὴ πολλάκις γέγονε τοῖς ἀνοήτοις μειζόνων
D *συμφορῶν. ἀρθεὶς γὰρ ὁ δείλαιος ὑπὸ τῆς εὐτυχίας*
ταύτης μετέωρος κατέλιπε μὲν τὰ προκείμενα τῆς
Ἰταλίας ἐρυμνὰ χωρία, ἐς Νωρικοὺς δὲ καὶ Παίονας
ἀφυλάκτως ᾔει, δεῖν αὐτῷ τάχους, ἀλλ' οὐχ ὅπλων
οὐδὲ ἀνδρείας οἰόμενος. ὃ δὴ καταμαθὼν ἐπανῆγες
ἀπὸ τῶν δυσχωριῶν τὸ στράτευμα, εἵπετο δὲ ἐκεῖνος,
διώκειν, οὐχὶ δὲ καταστρατηγεῖσθαι νομίσας, ἕως εἰς
36 *τὴν εὐρυχωρίαν ἄμφω κατέστητε. τῶν πεδίων δὲ*
τῶν πρὸ τῆς Μύρσης ὀφθέντων, ἐτάττοντο μὲν ἐπὶ
κέρως ἱππεῖς ἑκατέρου πεζοί τε ἐν μέσῳ· ἔχων δὲ
αὐτός, ὦ βασιλεῦ, τὸν ποταμὸν ἐν δεξιᾷ, τῷ λαιῷ
τοὺς πολεμίους ὑπερβαλλόμενος ἐτρέψω μὲν εὐθέως
καὶ διέλυσας τὴν φάλαγγα οὐδὲ τὴν ἀρχὴν συγκει-
μένην ὀρθῶς, ἅτε ἀνδρὸς ἀπείρου πολέμων καὶ στρα-
τηγίας αὐτὴν κοσμήσαντος. ὁ δὲ τέως διώκειν ὑπο-

1 *ἄνθρωποι* si deleveris, suspectus tolletur hiatus 1 et 2 *ἐφ' αὐτοὺς* Schaef.] *ἐπ' αὐτοὺς* 2 et 3 *πολεμεῖν* H. Vid. Cobetus Mnemos. 11 p. 354 3 *αὐτῶν* V] *αὐτῶν* 7 *καὶ* seclusit H 14 *νωρίκους* VM 15 *αὐτῶ* VM 18 *εἰς* VM] *ἐς* 20 et 21 *ἐπὶ κέρως* Wytt.] *ἐπικαίρως* 22 *τῷ λαιῷ δὲ* Rsk. 23 *ὑπερβαλλόμενος* V] *ὑπερβαλόμενος* 24 *οὐδὲ* Rsk. et Schaef.] *οὔτε*

μβάνων, οὐδὲ ἐς χεῖρας ἀφικόμενος, ἔφευγε καρτερῶς [B] ἐκπλαγεὶς τὸν κτύπον τῶν ὅπλων, οὐδὲ τὸν ἐνυάλιον παιᾶνα τῶν στρατοπέδων ἐπαλαλαζόντων ἀδεῶς ἀκούων. διαλυθείσης δὲ οἱ στρατιῶται τῆς τάξεως συνιστάμενοι κατὰ λόχους πάλιν τὸν ἀγῶνα συνέβαλον, αἰσχυνόμενοι μὲν ὀφθῆναι φεύγοντες καὶ τὸ τέως ἄπιστον ἅπασιν ἀνθρώποις ἐφ' αὐτῶν δεῖξαι συμβαῖνον, στρατιώτην Κελτόν, στρατιώτην ἐκ Γαλατίας τὰ νῶτα τοῖς πολεμίοις δείξαντα. οἱ βάρβαροι δὲ [C] τὴν ἐπάνοδον ἀπεγνωκότες, εἰ πταίσειαν, ἢ κρατεῖν ἢ θνήσκειν δράσαντές τι δεινὸν τοὺς πολεμίους ἠξίουν. τοῖς μὲν οὖν ξὺν τῷ τυράννῳ τοσοῦτον περιῆν θράσος καὶ πρὸς τὰ δεινὰ τοῦ χωρεῖν ὁμόσε πολλὴ προθυμία. οἱ δὲ τῶν ὅλων κρατήσαντες, αἰδούμενοι μὲν ἀλλήλους καὶ τὸν βασιλέα, παροξυνόμενοι δὲ ὑπὸ τῶν πάλαι κατορθωμάτων καὶ τῶν ἐν χερσὶ λαμπρῶν καὶ τέως ἀπίστων ἔργων, τέλος ἄξιον τοῖς προϋπηργμένοις ἐπιθεῖναι φιλοτιμούμενοι πάντα [D] ὑπέμενον ἡδέως πόνον καὶ κίνδυνον. ὥσπερ οὖν ἄρτι τῆς παρατάξεως ἀρχομένης, συνιόντες πάλιν ἔργα τόλμης ἀπεδείκνυντο καὶ θυμοῦ γενναῖα, οἱ μὲν ὠθούμενοι περὶ τοῖς ξίφεσιν, ἄλλοι δὲ λαμβανόμενοι τῶν ἀσπίδων, καὶ τῶν ἱππέων ὁπόσους ἵπποι τρωθέντες ἀπεσείοντο πρὸς τοὺς ὁπλίτας μετεσκευάζοντο. ταῦτα ἔδρων οἱ ξὺν τῷ τυράννῳ τοῖς πεζοῖς ἐπιβρίσαντες· καὶ ἦν ὁ πόλεμος ἐξ ἴσης, ἕως οἱ θωρα-

5 συνέβαλον marg. spanh.] συνέβαλλον V, συνέλαβον M, κατέβαλον v 7 αὐτῶν Pet.] αὐτῷ (αὐτὸν M) 10 εἰ] ἢ V | πταίσειαν H] πταίσαιεν 13 θράσους Wytt. | καὶ post τὰ δεινὰ transponendum videtur 14 πολλῇ προθυμίᾳ fi. 18 προσυπηργμένοις V 21 ἀπεδείκνυντο V] ἐπεδείκνυντο 22 ξίφεσιν, ἄλλοι δὲ λ. τῶν ἀσπ. V] ξίφεσι· λαμβ. δὲ ἄλλοι τῶν ἀσπ.

37 κοφόροι καὶ τὸ λοιπὸν τῶν ἱππέων πλῆθος, οἱ μὲν
ἐκ τόξων βάλλοντες, ἄλλοι δὲ ἐπελαύνοντες τοὺς ἵπ-
πους, πολλοὺς μὲν ἔκτεινον, ἐδίωκον δὲ ἅπαντας
καρτερῶς, τινὰς μὲν πρὸς τὸ πεδίον ὡρμηκότας φεύ-
γειν, ὧν ἡ νὺξ ὀλίγους ἀπέσωσε μόλις, τὸ λοιπὸν
δὲ ἐς τὸν ποταμὸν κατηνέχθη, καθάπερ βοῶν ἢ
βοσκημάτων ἀγέλη συνελαυνόμενοι. τοσαῦτα ἐκεῖνο
τὸ στράτευμα τῆς τοῦ τυράννου δειλίας, οὐδὲν ἐκεῖ-
νον ὀνῆσαν ἐκ τῆς ἀνδρείας τῆς αὑτοῦ, μάτην ἀπέ-
B λαυσε. τρόπαιον δὲ ἀνέστησας ἐπὶ τῇ νίκῃ τοῦ
πατρῴου λαμπρότερον. ὁ μὲν γὰρ τοὺς τέως ἀμά-
χους δοκοῦντας ἄγων ἐκράτει γέροντος δυστυχοῦς·
σὺ δὲ ἡβῶσαν καὶ ἀκμάζουσαν οὐ τοῖς κακοῖς μόνον
οἷς ἔδρα, τῇ νεότητι δὲ πλέον, τὴν τυραννίδα παρε-
στήσω, τοῖς ὑπὸ σοῦ παρασκευασθεῖσι στρατοπέδοις
παραταξάμενος. τίς γὰρ εἰπεῖν ἔχει τῶν πρόσθεν
αὐτοκρατόρων ἱππικὴν δύναμιν καὶ σκευὴν τῶν ὅπλων
C τοιαύτην ἐπινοήσαντα καὶ μιμησάμενον; ἢ πρῶτος
αὐτὸς ἐγγυμνασάμενος διδάσκαλος ἐγένου τοῖς ἄλλοις
ὅπλων χρήσεως ἀμάχου. ὑπὲρ ἧς εἰπεῖν τολμήσαντες
πολλοὶ τῆς ἀξίας διήμαρτον, ὥσθ' ὅσοι τῶν λόγων
ἀκούσαντες ὕστερον ἰδεῖν ηὐτύχησαν τὰς ἀκοὰς σα-
φῶς ἀπιστοτέρας ἔγνωσαν εἶναι τῶν ὀμμάτων. ἄπει-
ρον γὰρ ἦγες ἱππέων πλῆθος, καθάπερ ἀνδριάντας
ἐπὶ τῶν ἵππων ὀχουμένους, οἷς συνήρμοστο τὰ μέλη
D κατὰ μίμησιν τῆς ἀνθρωπίνης φύσεως· ἀπὸ μὲν τῶν
ἄκρων καρπῶν ἐς τοὺς ἀγκῶνας, ἐκεῖθεν δὲ ἐπὶ τοὺς

2 et 3 τοῖς ἵπποις M 6 ἐς V] εἰς 9 αὑτοῦ Schaef.] αὐτοῦ 9 et 10 ἀπήλαυσε VM 13 μόνον V] μόνοις 14 πλέον om. M 23 et 24 ἄπειρον Rsk.] ἀπείρων 24 ἦγες V] εἶχες 26 et 27 τῶν ἄκρων καρπ. V] ἄκρων τῶν καρπ. 27 ἐς V] εἰς

ους, καὶ ὁ θώραξ (ἐκ) τμημάτων κατὰ τὸ στέρνον
τὰ νῶτα συναρμοζόμενος, τὸ κράνος αὐτῷ προσ-
ῳ σιδηροῦν ἐπικείμενον ἀνδριάντος λαμπροῦ καὶ
ίλβοντος παρέχει τὴν ὄψιν, ἐπεὶ μηδὲ κνῆμαι καὶ
ηροὶ μηδὲ ἄκροι πόδες τῆς σκευῆς ταύτης ἔρημοι
ίπονται. συναρμοζομένων δὲ αὐτῶν τοῖς θώραξι
ά τινων ἐκ κρίκου λεπτοῦ πεποιημένων οἱονεὶ ὑφα-
ιάτων οὐδὲν ἂν ὀφθείη τοῦ σώματος γυμνὸν μέ- 38
ρος, ἅτε καὶ τῶν χειρῶν τοῖς ὑφάσμασι τούτοις σκε-
πομένων πρὸς τὸ καὶ καμπτομένοις ἐπακολουθεῖν τοῖς
δακτύλοις. ταῦτα ὁ λόγος παραστῆσαι μὲν σαφῶς
ιθυμεῖ, ἀπολειπόμενος δὲ θεατὰς τῶν ὅπλων τοὺς
μαθεῖν τι πλέον ἐθέλοντας, οὐχὶ δὲ ἀκροατὰς τῆς
ὑπὲρ αὐτῶν διηγήσεως ἀξιοῖ γενέσθαι.

Ἡμεῖς δὲ ἐπειδὴ τὸν πρῶτον πόλεμον διεληλύ-
αμεν, ληγούσης ἤδη τῆς ὀπώρας, ἆρ' ἐνταῦθα τὴν B
ιήγησιν πάλιν ἀφήσομεν; ἢ πάντως τὸ τέλος ἀπο-
ῦναι τῶν ἔργων ποθοῦσιν ἄξιον; ἐπέλαβε μὲν ὁ
ιμὼν καὶ παρέσχε διαφυγεῖν τὴν τιμωρίαν τὸν
ύραννον. κηρύγματα δὲ ἦν λαμπρὰ καὶ βασιλικῆς
ια μεγαλοψυχίας· ἄδεια δὲ πᾶσιν ἐδίδοτο τοῖς τα-
μένοις μετὰ τοῦ τυράννου, πλὴν εἴ τις ἀνοσίων
είνῳ φόνων ἐκοινώνει· ἀπελάμβανον τὰς οἰκίας
παντες καὶ τὰ χρήματα καὶ πατρίδας οἱ μηδὲ ὄψε-
σθαί τι τῶν φιλτάτων αὐτοῖς ἐλπίζοντες. ὑπεδέχου C
ναυτικὸν ἐκ τῆς Ἰταλίας ἐπανερχόμενον, πολλοὺς
εῖθεν πολίτας κατάγον φεύγοντας οἶμαι τὴν τῶν

1 ἐκ add. Rsk. 2 τὰ νῶτα M] νῶτα 3 ἐπικείμενον H] ἐπικείμενος 7 et 8 οἱονεὶ δι' ὑφασμάτων? 16 et 17 τὴν διήγ. πάλιν ἀφήσομεν V] πάλιν ἀφήσ. τὴν διήγ. Propter πάλιν cf. 59 C 18 τοῖς ποθοῦσιν malim 23 ἀπέλαβον M 27 πολίτας om. M

τυράννων ὠμότητα. ἐπεὶ δὲ ὁ καιρὸς ἐκάλει στρατεύεσθαι, πάλιν ἐφειστήκεις δεινὸς τῷ τυράννῳ. ὁ δὲ προυβάλλετο τὰς Ἰταλῶν δυσχωρίας, καὶ τοῖς ὄρεσι τοῖς ἐκεῖ καθάπερ θηρίον ἐναποκρύψας τὰς δυνάμεις αὐτὸς οὐδὲ ὑπαίθριος ἐτόλμα στρατεύειν.
D ἀναλαβὼν δὲ αὐτὸν εἰς τὴν πλησίον πόλιν τρυφῶσαν καὶ πολυτελῆ, ἐν πανηγύρεσι καὶ τρυφαῖς ἔτριβε τὸν χρόνον, ἀρκέσειν μὲν αὐτῷ πρὸς σωτηρίαν τῶν ὁρῶν τὴν δυσχωρίαν μόνον οἰόμενος. ἀκόλαστος δὲ ὢν φύσει κερδαίνειν ᾤετο τὸ χαρίζεσθαι ταῖς ἐπιθυμίαις ἐν τοσούτοις κακοῖς, δῆλός τε ἦν λίαν πεπιστευκὼς ἀσφαλῶς αὐτῷ τὰ παρόντα ἔχειν ἀποτειχιζομένης ἐν
39 κύκλῳ τῆς Ἰταλίας τοῖς ὄρεσι, πλὴν ὅσον ἐξ ἡμισείας ἡ θάλασσα τεναγώδης οὖσα καὶ τοῖς Αἰγυπτίων ἕλεσιν ἐμφερὴς ἄβατον καὶ νηίτῃ στρατῷ πολεμίων ἀνδρῶν καθίστησιν. ἀλλ' ἔοικεν οὐδὲ ἓν ἡ φύσις πρὸς ἀνδρὸς ἀρετὴν καὶ σωφροσύνην τοῖς ἀκολάστοις καὶ δειλοῖς ἔρυμα μηχανήσασθαι, πάντα ὑποχωρεῖν φρονήσει μετὰ ἀνδρείας ἐπιούσῃ παρασκευάζουσα· πάλαι τε ἡμῖν ἐξηῦρε τὰς τέχνας, δι' ὧν εἰς εὐπο-
B ρίαν τῶν τέως δοξάντων ἀπόρων κατέστημεν, καὶ ἐπὶ τῶν καθ' ἕκαστον ἔργων τὸ πολλοῖς ἀδύνατον εἶναι φαινόμενον ἐπιτελούμενον πρὸς ἀνδρὸς σώφρονος. ὃ δὴ καὶ τότε τοῖς ἔργοις, ὦ βασιλεῦ, δείξας εἰκότως ἂν ἀποδέχοιο τοὺς ἐπ' αὐτῷ λόγους. ἐστράτευες μὲν γὰρ αὐτὸς ὑπαίθριος, καὶ ταῦτα πλησίον

2 δεινὸς V] δεινῶς v, δεινὼς (sic) M 6 αὐτὸν VM 8 αὐτῷ VM 11 λίαν πεπιστ. V] πεπιστ. λίαν 13 τοῖς ὄρεσι V] ὑπὸ τοῖς ὄρεσι 18 πάντα δὲ V 20 ἐξηῦρε H] ἐξεῦρε 21 δοξάντων ἀπόρων V] ἀπόρων δοξάντων | κατέστημεν VM] καθέστηκεν 22 τὸ τοῖς πολλοῖς H 23 Post φαινόμενον Rsk. ἐπέδειξε putat excidisse

παρούσης πόλεως οὐ φαύλης, τοῖς στρατευομένοις δὲ
οὐκ ἐξ ἐπιτάγματος τὸ πονεῖν καὶ κινδυνεύειν, ἐξ
ὧν δὲ αὐτὸς ἕδρας παρεγγυῶν, ἄτραπον μὲν ἐξηῦρες
ἄγνωστον τοῖς πᾶσι· πέμψας δὲ ἀξιόμαχον τῆς δυνά- C
μεως ἁπάσης ὁπλιτῶν μοῖραν, εἶτα ἐπειδὴ σαφῶς
ἔγνως αὐτοὺς τοῖς πολεμίοις ἐφεστῶτας, αὐτὸς ἀνα-
λαβὼν ἦγες τὸ στράτευμα, καὶ κύκλῳ περιέχων πάν-
των ἐκράτησας. ταῦτα ἐδρᾶτο πρὸ τῆς ἕω, ἤγγελτο
δὲ πρὸ μεσημβρίας τῷ τυράννῳ ἁμίλλαις ἱππικαῖς
καὶ πανηγύρει προσκαθημένῳ καὶ τῶν παρόντων οὐ-
δὲν ἐλπίζοντι. τίς μὲν οὖν γέγονεν ἐκ τίνος, καὶ
ποταπὴν γνώμην εἶχεν ὑπὲρ τῶν παρόντων, καὶ ὅπως D
ἐκλιπὼν ἔφυγε τὴν πόλιν καὶ τὴν Ἰταλίαν πᾶσαν,
τοὺς φόνους καὶ τὰς πρόσθεν ἀδικίας ἐκκαθαιρόμενος,
οὐ τοῦ παρόντος ἂν εἴη λόγου διηγεῖσθαι. ἔμελλε
δὲ βραχείας ἀνοκωχῆς τυχὼν οὐδέν τι μεῖον τῶν
ἔμπροσθεν δράσειν. οὕτως οὐδὲν πρὸς πονηρίαν
ψυχῆς ἄνθρωπος ἀνόσιος ἐξηῦρε καθάρσιον διὰ τοῦ
σώματος. ἀφικόμενος γὰρ εἰς Γαλατίαν ὁ χρηστὸς
οὑτοσὶ καὶ νόμιμος ἄρχων τοσοῦτον αὐτοῦ γέγονε
χαλεπώτερος, ὥς, εἴ τις πρότερον αὐτὸν διαφυγὼν 40
ἐλελήθει τιμωρίας τρόπος ὠμότατος, τοῦτον ἐξευρὼν
θέαμα κεχαρισμένον αὐτῷ τὰς τῶν ἀθλίων πολιτῶν
παρεῖχε συμφοράς· ἅρματος ζῶντας ἐκδήσας καὶ μεθ-
εὶς φέρεσθαι τοῖς ἡνιόχοις ἕλκειν ἂν ἐκέλευεν, αὐ-

3 ἐξηῦρες H] ἐξεῦρες 7 περισχὼν M pet. 9 μεσηβρίας V 12 τῶν παρόντων VM] παρόντων 13 ἔφυγε M] ἔφευγε | πᾶσαν V] ἅπασαν 14 ἐκκαθαρούμενος? 16 ἀνοκωχῆς Cobetus] ἀνακωχῆς | οὐδὲν τίμιον V 18 ἀνόσιος Cobetus] ἀλλ' ὁ θεός (ἀλλ' οὐ θεὸς V) | ἐξηῦρε H] ἐξεῦρε 19 γαλατίαν V] γαλάτας 20 αὐτὸς V,· αὐτὸς αὐτοῦ Schaef. 21 πρότερος V | αὐτὸν VM] αὐτὸ 23 αὑτῷ Schaef.] αὐτῷ 25 ἂν ἐκέλευεν Schaef.] ἀνεκέλευεν V, ἐκέλευεν v

τὸς ἐφεστηκὼς καὶ θεώμενος τὰ δρώμενα· καί τισι τοιούτοις ἑτέροις αὐτὸν ψυχαγωγῶν τὸν πάντα διε-
B τέλει χρόνον, ἕως αὐτὸν καθάπερ Ὀλυμπιονίκης περὶ τῷ τρίτῳ παλαίσματι καταβαλὼν δίκην ἐπιθεῖναι τῶν τετολμημένων ἀξίαν κατηνάγκασας ὤσαντα διὰ τῶν στέρνων τὸ αὐτὸ ξίφος, ὃ πολλῶν πολιτῶν ἐμίανε φόνῳ. ταύτης ἐγὼ τῆς δίκης ἀμείνω καὶ δικαιοτέραν οὔποτε γενέσθαι φημὶ οὐδὲ ἐφ' ᾗ μᾶλλον τὸ κοινὸν τῶν ἀνθρώπων ηὐφράνθη γένος, τοσαύτης ὠμότητος καὶ πικρίας ἀφεθὲν ὄντως ἐλεύθερον, εὐνομίᾳ δὲ ἤδη γανύμενον, ἧς τέως ἀπολαύομεν καὶ ἀπολαύσαι-
C μέν γε ἐπὶ πλέον, ὦ πάντα ἀγαθὴ πρόνοια. ἐμοὶ δὲ ποθοῦντι μὲν ἐπεξελθεῖν ἅπασι τοῖς σοι πραχθεῖσιν, ἀπολειπομένῳ δὲ συγγνώμην εἰκότως, ὦ μέγιστε βασιλεῦ, παρέξεις, εἰ μήτε τῶν ἀποστόλων τῶν ἐπὶ Καρχηδόνα μνημονεύοιμι ἀπό τε Αἰγύπτου παρασκευασθέντων καὶ [τῶν] ἐξ Ἰταλίας ἐπ' αὐτὴν πλευσάντων, μήτε ὡς τῶν Πυρηναίων ὀρῶν ἐκράτησας ναυσὶν ἐκπέμψας ἐπ' αὐτὰ στράτευμα, μήτε τῶν
D ἔναγχός σοι πολλάκις πρὸς τοὺς βαρβάρους πραχθέντων, μήτ' εἴ τι τοιοῦτον ἕτερον τῶν πάλαι γεγονὸς λέληθε τοὺς πολλούς. ἐπεὶ καὶ τὴν Ἀντιόχου πόλιν ἐπώνυμον ἐπονομάζουσαν ἀκούω πολλάκις. ἔστι μὲν γὰρ διὰ τὸν κτίσαντα, πλουτεῖ δὲ ἤδη καὶ πρὸς ἅπασαν εὐπορίαν ἐπιδέδωκε διὰ σὲ λιμένας εὐόρμους

2 τοιούτοις ἑτέροις V] ἑτέροις τοιούτοις 6 τὸ αὐτὸ V, τὸ αὐτὸν M, τὸ αὐτοῦ v 7 δίκης M] νίκης 9 τῶν add. V | ηὐφθράνθη V 11 γανύμενον Schaef.] γαννύμενον 12 γε] δὲ? 13 ἐπεξελθεῖν H] ἐπελθεῖν | τοῖς σοὶ πραχθεῖσιν V, τοῖς πραχθεῖσι σοι M, τοῖς πραχθεῖσιν v 16 μνημονεύοιμι] μνημονεύσω? | ἀπὸ τῆς αἰγύπτου M 17 τῶν del. Rsk. | αὐτὴν V] αὐτῇ 21 μήτ' εἴ τι Schaef.] μηδ' εἴ τι (μὴ δ' ὅτι M) 22 Post πόλιν add. Wytt. ἑαυτὴν σοῦ, Rsk. post ἐπώνυμον add. σοι ἑαυτὴν 25 διὰ σὲ VM] διά σε

τοῖς καταίρουσι παρασχόντα· τέως δὲ οὐδὲ παραπλεῖν ἀσφαλὲς οὐδὲ ἀκίνδυνον ἐδόκει· οὕτως ἦν πάντα 41 σκοπέλων τινῶν καὶ πετρῶν ὑφάλων ἀνάπλεα τῆς θαλάσσης τῆσδε πρὸς ταῖς ᾐόσι. στοὰς δὲ καὶ κρήνας καὶ ὅσα τοιαῦτα παρὰ τῶν ὑπάρχων διὰ σὲ γέγονεν οὐδὲ ὀνομάζειν ἄξιον. ὁπόσα δὲ τῇ πατρῴᾳ πόλει προστέθεικας, τεῖχος μὲν αὐτῇ κύκλῳ περιβαλὼν ἀρξάμενον τότε, τὰ δοκοῦντα δὲ οὐκ ἀσφαλῶς .... τῶν οἰκοδομημάτων εἰς ἀθάνατον ἀσφάλειαν καταπιθείς, τίς ἂν ἀπαριθμήσαιτο; ἐπιλείψει με τούτων B ἕκαστον ὁ χρόνος διηγούμενον.

Σκοπεῖν δὲ ὑπὲρ ἁπάντων ἄξιον ἤδη τῶν ῥηθέντων, εἰ μετὰ ἀρετῆς καὶ τῆς βελτίστης ἕξεως ἅπαντα γέγονε· τούτῳ γὰρ ἤδη καὶ τῶν λόγων ἀρχόμενος μάλιστα προσέχειν τὸν νοῦν ἠξίουν. οὐκοῦν τῷ πατρὶ μὲν εὐσεβῶς καὶ φιλανθρώπως ὅπως προσηνέχθης, ὁμονοῶν δὲ πρὸς τοὺς ἀδελφοὺς διετέλεσας τὸν ἅπαντα χρόνον, ἀρχόμενος μὲν προθύμως, συνάρχων δὲ ἐκείνοις σωφρόνως, πάλαι τε εἴρηται καὶ C νῦν ἀξιούσθω μνήμης. τοῦτο δὲ ὅστις μικρᾶς ἀρετῆς ἔργον ὑπέλαβεν Ἀλέξανδρον τὸν Φιλίππου καὶ Κῦρον τὸν Καμβύσου σκοπῶν ἐπαινείτω. ὁ μὲν γὰρ μειράκιον ἔτι κομιδῇ νέον δῆλος ἦν τοῦ πατρος οὐκ ἀνεξόμενος ἄρχοντος, ὁ δὲ ἀφείλετο τὴν ἀρχὴν τὸν πάππον. καὶ ταῦτα οὐδείς ἐστιν (οὕτως) ἠλίθιος,

2—4 codices VM secutus sum. Vulgo verba τῆς θαλάσσης τῆσδε πρὸς ταῖς ἠιόσι (ᾐόσι correxi) post πάντα leguntur 5 διὰ σὲ VM] διά σε 8 ἀσφαλῆ M. Post ἀσφαλῶς potius ἔχειν vel simile quid videtur excidisse 11 ὁ χρόνος VM] χρόνος 16 τῷ πατρὶ VM] πατρὶ 20 ἀξιώσθω V, ἠξιώσθω M 24 ἀφείλατο V 25 οὕτως add. H, Rsk. εἰ μὴ πάνυ ἠλίθιος scribere, antea autem post ταῦτα addere σκοπῶν et σε post οἴεται vult

ὅστις οὐκ οἴεται, μηδὲν ἐκείνων μεγαλοψυχίᾳ καὶ
τῇ πρὸς τὰ καλὰ φιλοτιμίᾳ λειπόμενον, οὕτως ἐγ-
D κρατῶς καὶ σωφρόνως τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς
προσενηνέχθαι. παρασχούσης γὰρ τῆς τύχης τὸν
καιρὸν, ἐν ᾧ τῆς ἁπάντων ἡγεμονίας ἐχρῆν μετα-
ποιηθῆναι, πρῶτος ὡρμήθης, πολλῶν ἀπαγορευόντων
καὶ πρὸς τἀναντία ξυμπείθειν ἐπιχειρούντων· ῥᾷστα
δὲ καὶ πρὸς ἀσφάλειαν τὸν ἐν χερσὶ πόλεμον διοι-
κησάμενος ἐλευθεροῦν ἔγνως τῆς ἀρχῆς τὰ κατειλημ-
42 μένα, δικαιοτάτην μὲν καὶ οἵαν οὔπω πρόσθεν ἔλαβε
πρόφασιν πόλεμος τῆς πρὸς ἐκείνους ἔχθρας τιθέμε-
νος. οὐδὲ γὰρ ἐμφύλιον ἄξιον προσαγορεύειν τὸν
πόλεμον, οὗ βάρβαρος ἦν ἡγεμὼν ἑαυτὸν ἀναγορεύσας
βασιλέα καὶ χειροτονήσας στρατηγόν. τῶν ἀδικημά-
των δὲ τῶν ἐκείνου καὶ ὧν ἔδρασεν εἰς οἰκίαν τὴν
σὴν οὐχ ἡδύ μοι πολλάκις μεμνῆσθαι. ἀνδρειοτέραν
δὲ τῆσδε τῆς πράξεως τίς ἂν εἰπεῖν ἔχοι; ἐφ' ἧς
B δῆλος μὲν ἦν ἀποτυχόντι τῶν ἔργων κίνδυνος· ὑπέ-
μενες δὲ οὐδὲν κέρδους χάριν οὐδὲ κλέος ἀείμνηστον
ἀντωνούμενος, ὑπὲρ οὗ καὶ ἀποθνήσκειν ἄνδρες ἀγα-
θοὶ πολλάκις τολμῶσιν, οἷον πρὸς ἀργύριον τὴν
δόξαν τὰς ψυχὰς ἀποδιδόμενοι, οὐδὲ μὴν δι' ἐπι-
θυμίαν ἀρχῆς μείζονος καὶ λαμπροτέρας, ὅτι μηδὲ
νέῳ σοι τούτων ἐπιθυμῆσαι συνέβη, ἀλλ' αὐτὸ τὸ
καλὸν στέργων τῆς πράξεως πάντα ὑπομένειν ᾤου
δεῖν πρὶν ἰδεῖν Ῥωμαίων βάρβαρον βασιλεύοντα καὶ
C νόμων κύριον καὶ πολιτείας καθεστῶτα καὶ τὰς ὑπὲρ
τῶν κοινῶν εὐχὰς ποιούμενον τὸν τοσούτοις ἀσεβή-

1 ὅστις V] ὅς 13 ἀναγορεύων V 17 ἐφ' ἧς V] ἐφ' ᾗ 18 Articulus ante κίνδυνος addendus esse videtur 22 ἀποδιδόμενοι V] ἀποδόμενοι | οὐδὲ H] οὔτε 23 et 24 μηδὲν ἐπὶ σοὶ V 27 πολιτείας καθεστῶτα V] πολιτείαν καθιστῶντα

μασιν ἔνοχον καὶ φόνοις. τῆς παρασκευῆς δὲ αὐτῆς
ἡ λαμπρότης καὶ τῶν ἀναλωμάτων τὸ μέγεθος τίνα
οὐχ ἱκανὸν ἐκπλῆξαι; καίτοι Ξέρξην μὲν ἀκούω τὸν
τὴν Ἀσίαν ἐπὶ τοὺς Ἕλληνας ἐξαναστήσαντα χρόνον
ἐτῶν οὐκ ἐλάσσονα δέκα πρὸς τὸν πόλεμον ἐκεῖνον
παρασκευάζεσθαι, εἶτα ἐπαγαγεῖν πρὸς ταῖς χιλίαις
τριήρεσι διακοσίας ἐκ τούτων αὐτῶν οἶμαι τῶν χω- D
ρίων, ἐξ ὧν αὐτὸς ἐν οὐδὲ ὅλοις μησὶ δέκα ναυπη-
γησάμενος ἤγειρας τὸν στόλον, πλήθει νεῶν ἐκεῖνον
ὑπερβαλλόμενος· τῇ τύχῃ δὲ οὐδὲ ἄξιον συμβαλεῖν
οὐδὲ τοῖς ἔργοις. τὴν δὲ εἰς τὰ λοιπὰ δαπανήματα
μεγαλοπρέπειαν μὴ πολὺ λίαν ἔργον ᾖ φράζειν, οὐδὲ
ὁπόσα ταῖς πόλεσι πάλαι στερομέναις ἀπεδίδους ἀπα-
ριθμούμενος ἐνοχλήσω τὰ νῦν. πλουτοῦσι μὲν γὰρ 43
ἅπασαι διὰ σὲ (διὰ) τῶν ἔμπροσθεν ἐνδεεῖς οὖσαι
καὶ τῶν ἀναγκαίων, ἐπιδίδωσι δὲ τῶν ἰδίων ἕκαστος
οἴκων διὰ τὰς κοινὰς τῶν πόλεων εὐετηρίας. ἀλλὰ
τῶν εἰς τοὺς ἰδιώτας ἄξιον δωρεῶν μεμνῆσθαι, ἐλευ-
θέριόν σε καὶ μεγαλόδωρον βασιλέα προσαγορεύοντα,
ὃς πολλοῖς μὲν στερομένοις πάλαι τῶν αὐτῶν κτημά-
των, τοῦ πατρῴου κλήρου συμφορᾷ περιπεπτωκότος
ἐν δίκῃ καὶ παρὰ δίκην, ἐπειδὴ πρῶτον ἐγένου κύ-
ριος, τοῖς μὲν καθάπερ δικαστὴς ἀγαθὸς τὰ τῶν B
ἔμπροσθεν ἁμαρτήματα διορθωσάμενος κυρίους εἶναι
τῆς αὐτῶν οὐσίας παρέσχες, τοῖς δὲ ἐπιεικὴς κριτὴς

6 et 7 πρὸς ταῖς χιλίαις τριήρεσι διακοσίας V] διακοσίας πρὸς τ. χ. τρ. 9 πλήθει] πλήθει μὲν Rsk. 13 ἀπεδίδους Pet.] ἀπεδίδου 14 ἀπαριθμούμενοι ἐνοχλήσομεν M 15 διὰ σὲ VM] διά σε | διὰ τῶν Wytt.] τῶν V, τὸν v 16 δ' ἐκ τῶν ἰδίων Rsk. At cf. Isocr. 4, 103 20 ὃς] οὓς V | πολλοῖς μὲν στερομένοις Rsk. et Schaef.] πολλοὺς μὲν στερομένους | αὐτῶν VM 22 κύριος om. V 24 κυρίους V] κυρίοις

γενόμενος ταῦτα μὲν ὧν ἀφῄρηντο πάλιν ἐχαρίσω, ἀρκεῖν οἰόμενος τὸ μῆκος τοῦ χρόνου πρὸς τιμωρίαν τοῖς παθοῦσιν· ὅσα δὲ αὐτὸς οἴκοθεν χαριζόμενος πλουσιωτέρους ἀπέφηνας πολλοὺς τῶν πάλαι δοξάντων ἐπὶ τῇ τῶν χρημάτων εὐπορίᾳ σεμνύνεσθαι, τί
C χρὴ νῦν ὑπομιμνήσκοντα περὶ μικρὰ διατρίβειν δοκεῖν; ἄλλως τε καὶ πᾶσιν ὄντος καταφανοῦς, ὅτι μηδεὶς πώποτε πλὴν Ἀλεξάνδρου τοῦ Φιλίππου τοσαῦτα βασιλεὺς τοῖς αὑτοῦ φίλοις διανέμων ὤφθη. ἀλλὰ τοῖς μὲν ὁ τῶν φίλων πλοῦτος τῆς τῶν πολεμίων ῥώμης ὕποπτος ἐφάνη μᾶλλον καὶ φοβερώτερος, ἄλλοι δὲ τὴν τῶν ἀρχομένων εὐγένειαν ὑπιδόμενοι πάντα τρόπον τοὺς εὖ γεγονότας προπηλακίζοντες ἢ
D καὶ ἀναιροῦντες ἄρδην τὰς οἰκίας κοινῇ μὲν ταῖς πόλεσι συμφορῶν, ἰδίᾳ δὲ αὐτοῖς ἀνοσίων ἔργων αἰτιώτατοι κατέστησαν. οὐκ ἀπέσχοντο δὲ ἤδη τινὲς τοῖς τοῦ σώματος ἀγαθοῖς, ὑγιείᾳ φημὶ καὶ κάλλει καὶ εὐεξίᾳ, βασκαίνοντες· ψυχῆς τε ἀρετὴν ἔν τινι τῶν πολιτῶν γενομένην οὐδὲ ἀκούειν ὑπέμενον, ἀλλ' ἦν ἀδίκημα τοῦτο, καθάπερ ἀνδροφονία καὶ κλοπὴ καὶ προδοσία, τὸ δοκεῖν ἀρετῆς μεταποιηθῆναι. καὶ
44 ταῦτα τυχὸν ἀληθῶς οὐ βασιλέων φήσει τις, πονηρῶν δὲ καὶ ἀνελευθέρων τυράννων ἔργα καὶ πράξεις. ἐκεῖνο δὲ ἤδη τὸ πάθος οὐ τῶν ἀνοήτων μόνον, ἀλλά τινων ἐπιεικῶν καὶ πρᾴων ἀνδρῶν ἁψάμενον, τὸ τοῖς φίλοις ἄχθεσθαι πλέον καὶ πολλάκις ἔλαττοῦν ἐθέλειν καὶ τῶν προσηκόντων αὐτοὺς ἀφαιρεῖσθαι,

3 αὐτὸς Rsk.] αὐτοῖς. cf. 44 B 4 πολλοὺς add. V 7 ἄλλως τε V] ἀλλ' ὁμῶς τε 9 αὑτοῦ VM 12 ὑπιδόμενοι H] ὑπειδόμενοι. cf. ad 116 D 15 αὑτοῖς VM 17 ὑγεία VM 18 εὐδοξίᾳ V | τε om. V 22 βασιλέων V] βασιλέως 23 ἔργα τυράννων V 26 πλέον] Post hoc Reiskio ἔχουσι vel τιμωμένοις vel simile quid videtur deesse

-'ς ἐπὶ σοῦ λέγειν ἐτόλμησε; τοῦτο καὶ Κῦρόν φασι ν Πέρσην γάμβρον ὄντα βασιλέως παρὰ τοῦ κηδε- :οῦ παθεῖν ἀχθομένου τῇ παρὰ τοῦ πλήθους εἰς .ὸν ἄνδρα τιμῇ, καὶ Ἀγησίλαος δὲ δῆλος ἦν ἀχθόμενος B τιμωμένῳ παρὰ τοῖς Ἴωσι Λυσάνδρῳ. τούτους ἰν [ὅτι] πάντας ὑπερβαλλόμενος ἀρετῇ, τοῖς πλου- ῦσι μὲν τὸ πλουτεῖν ἀσφαλέστερον ἢ πατὴρ τοῖς ὑτοῦ παισὶ κατέστησας, εὐγενείας δὲ τῆς τῶν ὑπη- ίων προνοεῖς καθάπερ ἁπάσης πόλεως οἰκιστὴς καὶ ομοθέτης· καὶ τοῖς ἐκ τῆς τύχης ἀγαθοῖς πολλὰ μὲν προστιθείς, πολλὰ δὲ καὶ αὐτὸς ἐξ ἀρχῆς χαριζόμενος, δῆλος εἶ τῷ μεγέθει μὲν τὰς παρὰ τῶν βασιλέων δωρεὰς ὑπερβαλλόμενος, τῇ βεβαιότητι δὲ τῶν ἅπαξ C δοθέντων τὰς παρὰ τῶν δήμων χάριτας ἀποκρυπτόμενος. τοῦτο δὲ οἶμαι καὶ μάλα εἰκότως συμβαίνει. οἱ μὲν γὰρ ἐφ' οἷς συνίσασιν αὐτοῖς ἀπολειφθεῖσιν ἀγαθοῖς, τοῖς κεκτημένοις βασκαίνουσιν, ὅτῳ δὲ τὰ ὲν ἐκ τῆς τύχης ἐστὶ λαμπρὰ καὶ οἷα οὐδενὶ τῶν λλων, τὰ δὲ ἐκ τῆς προαιρέσεως τῶν ἐκ τῆς τύχης ακρῷ σεμνότερα, οὐκ ἔστιν ὅτου δεόμενος τῷ κεκτημένῳ φθονήσειεν. ὃ δὴ καὶ σαυτῷ μάλιστα πάν- D των ὑπάρχειν ἐγνωκὼς χαίρεις μὲν ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς, εὐφραίνει δέ σε τὰ τῶν ὑπηκόων κατορθώματα· καὶ τιμὰς ἐπ' αὐτοῖς τὰς μὲν ἐχαρίσω, τὰς δὲ ἤδη μέλλεις, ὑπὲρ δὲ ἐνίων βουλεύῃ· καὶ οὐκ ἀπόχρη σοι πόλεως μιᾶς οὐδὲ ἔθνους ἑνὸς οὐδὲ πολλῶν ὁμοῦ τοῖς φίλοις ἀρχὰς καὶ τὰς ἐπ' αὐταῖς τιμὰς

1 Κῦρον Wytt.] ὦρον VM, Ὠρόν v 6 ὅτι inclusit H 8 αὐτοῦ Schaef.] αὑτοῦ 9 προνοεῖς ἁπάσης καθάπερ Rsk. 10 τύχης] ψυχῆς V 16 αὐτοῖς VM 17 βασκαίνουσιν VM] βασκαίνουσι 18 τῆς τύχης V] τύχης 19 τὰ δὲ VM] τάδε 21 ἂν post φθονήσειεν addendum 22 ὑπάρχον? 26 πολλῶν] πολλὰς fl. 27 αὐταῖς Rsk.] αὐτοῖς

διανέμειν· ἀλλ' εἰ μὴ καὶ βασιλείας ἕλοιο κοινωνόν, ὑπὲρ ἧς τοσοῦτον ὑπομείνας πόνον τὸ τῶν τυράννων γένος ἀνῄρηκας, οὐδὲν ἄξιον τῶν σαυτοῦ κατορθωμάτων ἔργον ὑπέλαβες. καὶ ὅτι μὴ χρείᾳ μᾶλλον ἢ τῷ χαίρειν πάντα δωρούμενος ἐπὶ ταύτην ὥρμησας τὴν γνώμην, ἅπασιν οἶμαι γνώριμον γέγονε. τῶν μὲν γὰρ πρὸς τοὺς τυράννους ἀγώνων κοινωνὸν οὐχ εἵλου, τῆς τιμῆς δὲ τὸν οὐ μετασχόντα τῶν πόνων ἠξίωσας μεταλαβεῖν μόνον, ὅτε μηδὲν ἔτι φοβερὸν ἐδόκει. καὶ τῆς μὲν οὐδὲ ἐπ' ὀλίγον ἀφελὼν B δῆλος εἶ, τῶν πόνων δὲ οὐδὲ ἐπὶ σμικρὸν κοινωνεῖν ἀξιοῖς· πλὴν εἴ που δέοι πρὸς ὀλίγον ἑπόμενόν σοι στρατεύεσθαι. πότερον οὖν καὶ περὶ τούτων μαρτύρων τινῶν καὶ τεκμηρίων τῷ λόγῳ προσδεῖ; ἢ δῆλον ἐκ τοῦ λέγοντος, ὅτι μὴ ψευδεῖς ἐπεισάγει λόγους; ἀλλ' ὑπὲρ μὲν τούτων οὐδὲν ἔτι πλέον ἄξιον ἐνδιατρίβειν. σωφροσύνης δὲ ὑπὲρ τῆς σῆς καὶ φρονήσεως καὶ ὅσην εὔνοιαν τοῖς ὑπηκόοις ἐνειργάσω, C βραχέα διελθεῖν ἴσως οὐκ ἄτοπον. τίς γάρ (σ') ἀγνοεῖ τῶν ἁπάντων τοσαύτην ἐκ παίδων τῆς ἀρετῆς ταύτης ἐπιμέλειαν ἐσχηκότα, ὅσην οὐδεὶς ἄλλος τῶν ἔμπροσθεν; καὶ τῆς μὲν ἐν παισὶ σωφροσύνης μάρτυς ὁ πατὴρ γέγονεν ἀξιόχρεως, σοὶ τὰ περὶ τὴν ἀρχὴν καὶ τὰ πρὸς τοὺς ἀδελφοὺς διοικεῖν ἐπιτρέψας μόνῳ, ὄντι γε οὐδὲ πρεσβυτάτῳ τῶν ἐκείνου παίδων· τῆς δὲ ἐν ἀνδράσιν ἅπαντες αἰσθανόμεθα, καθάπερ D πολίτου τοῖς νόμοις ὑπακούοντος, ἀλλ' οὐ βασιλέως τῶν νόμων ἄρχοντος, ἀεί σου προσφερομένου τῷ πλήθει καὶ τοῖς ἐν τέλει. τίς γάρ (σ') ἔγνω μεῖζον

8 εἵλω V 9 μόνος V 11 κοινωνεῖν] Vid. ad 17 B 19 ἴσως Cobetus] τέως | σ' add. H 29 σ' add. H

ὑπὸ τῆς εὐτυχίας φρονήσαντα; τίς δὲ ἐπαρθέντα τοῖς κατορθώμασι τοσούτοις [τὸ πλῆθος] καὶ τηλικούτοις ἐν βραχεῖ χρόνῳ γενομένοις; ἀλλὰ τὸν Φιλίππου φασὶν Ἀλέξανδρον, ἐπειδὴ τὴν Περσῶν καθεῖλε δύναμιν, οὐ μόνον τὴν ἄλλην δίαιταν πρὸς ὄγκον μείζονα καὶ λίαν ἐπαχθῆ τοῖς πᾶσιν ὑπεροψίαν μεταβαλεῖν, ἀλλ' ἤδη καὶ τοῦ φύσαντος ὑπερορᾶν καὶ 46
τῆς ἀνθρωπίνης ἁπάσης φύσεως. ἠξίου γὰρ υἱὸς Ἄμμωνος, ἀλλ' οὐ Φιλίππου νομίζεσθαι, καὶ τῶν συστρατευσαμένων ὅσοι μὴ κολακεύειν μηδὲ δουλεύειν ἠπίσταντο τῶν ἑαλωκότων πικρότερον ἐκολάζοντο. ἀλλὰ σοῦ γε τῆς εἰς τὸν πατέρα τιμῆς ἆρα ἄξιον ἐνταῦθα μεμνῆσθαι; ὃν οὐκ ἰδίᾳ μόνον σεβόμενος, ἀεὶ δὲ ἐν τοῖς κοινοῖς συλλόγοις διετέλεις ἀνακηρύττων καθάπερ ἀγαθὸν ἥρωα. τῶν φίλων δέ, ἀξιοῖς B
γὰρ αὐτοὺς οὐκ ἄχρις ὀνόματος μόνον τῆς τιμῆς, πολὺ δὲ πλέον διὰ τῶν πραγμάτων βεβαιοῖς ἐπ' αὐτῶν τοὔνομα· ἔστιν οὖν ἆρα τις ὁ μεμφόμενος ἀτιμίαν ἢ ζημίαν ἢ βλάβην ἤ τινα μικρὰν ὑπεροψίαν ἢ μείζονα; ἀλλ' οὐκ ἂν οὐδαμῶς εἰπεῖν ἔχοι τοιοῦτον οὐδέν. τούτων γὰρ οἱ μὲν γηραιοὶ σφόδρα, ταῖς ἀρχαῖς εἰς τὴν εἱμαρμένην τελευτὴν τοῦ βίου παραμείναντες, τὰς ἐπιμελείας τῶν κοινῶν συναπέθεντο τοῖς σώμασι, παισὶν ἢ φίλοις ἤ τισι πρὸς γέ- C
νους τοὺς κλήρους παραπέμποντες· ἄλλοι δὲ πρὸς τοὺς πόνους καὶ τὰς στρατείας ἀπαγορεύοντες, ἀφέσεως ἐντίμου τυχόντες, ζῶσιν ὄλβιοι· τινὲς δὲ καὶ

2 τὸ πλῆθος inclusit H, τῷ πλήθει V 4 τὴν Περσῶν VM] τῶν Περσῶν 9 νομίζεσθαι] λογίζεσθαι V 10 συστρατευσαμένων V] συστρατευομένων 11 τῶν ἐλαλωκότων (sic) πικρ. ἐκολ. V] πικρ. ἐκολ. τῶν ἑαλωκότων 12 ἄρα V] ἆρα 18 ἄρα V | ὁ μεμφόμενος V] μεμφόμενος 20 οὐδαμῶς] οὐδ' ἂν εἷς Rsk. 21 οὐδὲ ἓν V 26 στρατιὰς V

μετήλλαξαν, εὐδαίμονες παρὰ τοῦ πλήθους εἶναι κρινόμενοι. ὅλως δὲ οὐκ ἔστιν οὐδὲ εἷς, ὃς ἐπειδὴ ταύτης ἠξιώθη τῆς τιμῆς, εἰ καὶ μοχθηρὸς ὕστερον ἐφάνη, τιμωρίας ἔτυχε μικρᾶς ἢ μείζονος· ἤρκεσε δὲ αὐτὸν ἀπηλλάχθαι μόνον καὶ μηδὲν ἐνοχλεῖν ἔτι.

D Ἐν δὲ τούτοις ἅπασιν ὢν καὶ γεγονὼς τοιοῦτος
ἐξ ἀρχῆς ἡδονῆς ἁπάσης, ᾗ πρόσεστιν ὄνειδος καὶ
μικρόν, καθαρὰν τὴν ψυχὴν διεφύλαξας. μόνον δὲ
οἶμαι σὲ τῶν πρόσθεν αὐτοκρατόρων, σχεδὸν δὲ
πλὴν σφόδρα ὀλίγων καὶ πάντων ἀνθρώπων οὐκ
ἀνδράσι μόνον παράδειγμα πρὸς σωφροσύνην παρα-
σχεῖν κάλλιστον, καὶ γυναιξὶ δὲ τῆς πρὸς τοὺς ἄν-
47 δρας κοινωνίας. ὅσα γὰρ ἐκείναις ἀπαγορεύουσιν οἱ
νόμοι τοῦ γνησίως φύεσθαι τοὺς παῖδας ἐπιμελό-
μενοι, ταῦτα ὁ λόγος ἀπαγορεύει ταῖς ἐπιθυμίαις
παρὰ σοί. ἀλλ' ὑπὲρ μὲν τούτων ἔχων ἔτι πλείονα
λέγειν ἀφίημι. τῆς φρονήσεως δὲ ἄξιον μὲν ἔπαινον
διελθεῖν οὐδαμῶς εὐχερές, μικρὰ δὲ ὅμως καὶ ὑπὲρ
ταύτης ῥητέον. ἔστι δὲ τὰ μὲν ἔργα τῶν λόγων
οἶμαι πιστότερα. οὐ γάρ ἐστιν εἰκὸς τοσαύτην ἀρ-
B χὴν καὶ δύναμιν μὴ παρὰ τῆς ἴσης διοικουμένην
καὶ κρατουμένην φρονήσεως [πρὸς τοσοῦτον μέγεθος
ἀφικέσθαι καὶ κάλλος πράξεων· ἀγαπητὸν δέ, εἰ καὶ
τῇ τύχῃ μόνον δίχα φρονήσεως ἐπιτρεπομένη] ἐπὶ πολὺ

5 ἀπηλλάχθαι V] ἀπηλέχθαι (ἀπηλέγχθαι M) 6 ἐν δὴ V 9 οἶμαι σὲ Schaef.] οἶμαί σε 13 ἀπαγορεύουσιν V] ἀπαγορεύουσι 14 γνησίως V] γνησίους | ἐπιμελόμενοι VM] ἐπιμελούμενοι 16 παρὰ σοὶ VM] παρά σοι 22 Verba πρὸς τοσοῦτον — δίχα φρονήσεως ἐπιτρεπομένη habent V, codex Anglicanus apud Petavium, spanh. (quae πρὸς τοῦτο legit pro πρὸς τοσοῦτον), omittunt M et pet. 24 τῇ τύχῃ Wytt. et Schaef.] τύχῃ | ἐπὶ πολὺ μένειν om. V Anglic. *spanh.*, μένει emendabat Wytt.

μένειν. ἀνθῆσαι μὲν γὰρ τῇ τύχῃ προσσχόντα πρὸς βραχὺ ῥᾴδιον, διαφυλάξαι δὲ τὰ δοθέντα ἀγαθὰ δίχα φρονήσεως οὐ λίαν εὔκολον, μᾶλλον δὲ ἀδύνατον ἴσως. ὅλως δὲ εἰ χρὴ καὶ περὶ τούτων ἐναργὲς φράζειν τεκμήριον, πολλῶν καὶ γνωρίμων οὐκ ἀπορήσομεν. τὴν γὰρ εὐβουλίαν ὑπολαμβάνομεν τῶν C περὶ τὰς πράξεις ἀγαθῶν καὶ συμφερόντων ἐξευρίσκειν τὰ κράτιστα. σκοπεῖν οὖν ἄξιον ἐφ' ἁπάντων ἁπλῶς, εἰ μὴ τοῦθ' ἕν ἐστι τῶν σοι πραχθέντων. οὐκοῦν ὅπου μὲν ἦν ὁμονοίας χρεία, ἔχαιρες ἐλαττούμενος, ὅπου δὲ τοῖς κοινοῖς ἐχρῆν βοηθεῖν, τὸν πόλεμον εἵλου προθυμότατα. καὶ Περσῶν μὲν τὴν δύναμιν καταστρατηγήσας οὐδένα τῶν ὁπλιτῶν ἀποβαλὼν διέφθειρας, τὸν πρὸς τοὺς τυράννους δὲ πόλεμον διελὼν τοῦ μὲν ἐκράτησας ταῖς δημηγορίαις, D καὶ τὴν μετ' ἐκείνου δύναμιν ἀκέραιον καὶ κακῶν ἀπαθῆ προσλαβὼν κατεπολέμησας μᾶλλον διὰ τῆς συνέσεως ἢ διὰ τῆς ῥώμης τὸν τοσούτων τοῖς κοινοῖς αἴτιον συμφορῶν. βούλομαι δὲ σαφέστερον περὶ τούτων εἰπὼν ἅπασι δεῖξαι, τίνι μάλιστα πιστεύσας [καὶ] τοσούτοις σαυτὸν ἐπιδοὺς πράγμασιν οὐδενὸς ὅλως διήμαρτες. εὔνοιαν οἴει δεῖν παρὰ τῶν ὑπηκόων 48 ὑπάρχειν τῷ βασιλεύοντι ἐρυμάτων ἀσφαλέστατον. ταύτην δὲ ἐπιτάττοντα μὲν καὶ κελεύοντα καθάπερ εἰσφορὰς καὶ φόρους κτήσασθαι παντελῶς ἄλογον. λείπεται δὴ λοιπόν, καθάπερ αὐτὸς ὥρμηκας, τὸ

1 προσσχόντα Schaef.] προσχόντα 3 Wytt. suspicatur scribendum esse μᾶλλον δὲ ὅλως ἀδύνατον. εἰ δὲ χρὴ κτλ. 4 τούτων V] τούτων τῶν 9 σοὶ M 12 εἷλω V. Scribendum ἀνείλου. cf. 94 D 95 A 323 D 14 τοὺς om. V 16 μετ' ἐκείνου VM] μὲν ἐκείνου 17 μᾶλλον διὰ τ. συν. V] διὰ τ. συν. μᾶλλον 20 καὶ inclusit H 22 παρὰ τῶν] παράγων V 26 δὴ VM] δὲ | τὸ] τῷ V

πάντας εὖ ποιεῖν καὶ μιμεῖσθαι τὴν θείαν ἐν ἀνθρώποις φύσιν· πράως μὲν ἔχειν πρὸς ὀργήν, τῶν B τιμωριῶν δὲ ἀφαιρεῖσθαι τὰς χαλεπότητας, πταίσασι δὲ οἶμαι τοῖς ἐχθροῖς ἐπιεικῶς καὶ εὐγνωμόνως προσφέρεσθαι. ταῦτα πράττων, ταῦτα θαυμάζων, ταῦτα τοῖς ἄλλοις προστάττων μιμεῖσθαι τὴν Ῥώμην μέν, ἔτι τοῦ τυράννου κρατοῦντος τῆς Ἰταλίας, διὰ τῆς γερουσίας εἰς Παιονίαν μετέστησας, προθύμους δὲ εἶχες τὰς πόλεις πρὸς τὰς λειτουργίας. τῶν στρατευμάτων δὲ τὴν εὔνοιαν τίς ἂν ἀξίως διηγήσαιτο; τάξις μὲν ἱππέων πρὸ τῆς ἐν τῇ Μύρσῃ παρατάξεως C μεθειστήκει, ἐπεὶ δὲ τῆς Ἰταλίας ἐκράτησας, πεζῶν κατάλογοι καὶ τέλη λαμπρά. ἀλλὰ τὸ μικρὸν μετὰ τὴν τοῦ τυράννου δυστυχῆ τελευτὴν ἐν Γαλατίᾳ γενόμενον κοινὴν ἁπάντων ἔδειξε στρατοπέδων τὴν εὔνοιαν, τὸν θρασυνόμενον καθάπερ ἐπ' ἐρημίας καὶ τὴν γυναικείαν ἁλουργίδα περιβαλόμενον ὥσπερ τινὰ λύκον ἐξαίφνης διασπασαμένων. ὅστις δὲ ἐπὶ ταύτῃ γέγονας τῇ πράξει, καὶ ὅπως πράως ἅπασι καὶ φιλανD θρώπως τοῖς ἐκείνου γνωρίμοις προσηνέχθης, ὅσοι μηδὲν ἠλέγχοντο ἐκείνῳ συμπράξαντες, πολλῶν ἐφεστηκότων τῇ κατηγορίᾳ συκοφαντῶν, καὶ τὴν πρὸς ἐκεῖνον φιλίαν ὑποπτεύειν μόνον κελευόντων, ἐγὼ μὲν ἁπάσης ἀρετῆς τίθεμαι τὸ κεφάλαιον. καὶ γὰρ ἐπιεικῶς καὶ δικαίως φημὶ καὶ πολὺ πλέον ἐμφρόνως πεπράχθαι. ὅστις δὲ ἄλλως ἡγεῖται καὶ τῆς περὶ

3 χαλεπότητας V] χαλεπωτάτας 10 διηγήσαιτο scribendum aut ἂν delendum esse monuit Schaef., διηγήσηται V, διηγήσεται v 11 τῇ μύρσῃ V] Μύρσῃ 12 ἐπεὶ δὲ Pet.] ἐπειδὴ 17 περιβαλόμενον H] περιβαλλόμενον V, περιτιθέμενον v | τινῶν λύκων? 23 ἐκεῖνον VM] ἐκείνων 24 τὸ] τοῦτο? cf. ad 251 A

τοῦ πράγματος ἀληθοῦς ὑπολήψεως καὶ τῆς σῆς γνώ-
μης διήμαρτε. τοὺς μὲν γὰρ οὐκ ἐλεγχθέντας δίκαιον
ἦν, ὡς εἰκός, σώζεσθαι, ὑπόπτους δὲ τὰς φιλίας καὶ 49
διὰ τοῦτο φευκτὰς οὐδαμῶς ᾤου δεῖν κατασκευάζειν,
ὑπὸ τῆς τῶν ὑπηκόων εὐνοίας ἐς τοῦτο μεγέθους
ἀρθεὶς καὶ πράξεων. ἀλλὰ καὶ τὸν παῖδα τοῦ τετολ-
μηκότος νήπιον κομιδῇ τῆς πατρῴας οὐδὲν εἴασας
μετασχεῖν ζημίας. οὕτω σοι πρός ἐπιείκειαν ἡ πρᾶξις
ῥέπουσα τελείας ἀρετῆς ὑπάρχει γνώρισμα.

1 ἀληθοῦς] ἀγαθῆς V 4 οὖον V 6 καὶ κάλλους τῶν πράξεων Rsk. 9 Non pauca videntur deesse.

ΙΟΥΛΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ

ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΠΡΑΞΕΩΝ Η ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Τὸν Ἀχιλλέα φησὶν ἡ ποίησις, ὁπότε ἐμήνισε καὶ
διηνέχθη πρὸς τὸν βασιλέα, μεθεῖναι μὲν ταῖν χεροῖν
τὴν αἰχμὴν καὶ τὴν ἀσπίδα, ψαλτήριον δὲ ἁρμοσά-
μενον καὶ κιθάραν ᾄδειν καὶ ὑμνεῖν τῶν ἡμιθέων
τὰς πράξεις, καὶ ταύτην διαγωγὴν τῆς ἡσυχίας ποι-
D εἶσθαι, εὖ μάλα ἐμφρόνως τοῦτο διανοηθέντα. τὸ
μὲν γὰρ ἀπεχθάνεσθαι καὶ παροξύνειν τὸν βασιλέα
λίαν αὔθαδες καὶ ἄγριον· τυχὸν δὲ οὐδὲ ἐκείνης
ἀπολύεται τῆς μέμψεως ὁ τῆς Θέτιδος, ὅτι τῷ καιρῷ
τῶν ἔργων εἰς ᾠδὰς καταχρῆται καὶ κρούματα, ἐξὸν
τότε μὲν ἔχεσθαι τῶν ὅπλων καὶ μὴ μεθιέναι, αὖθις
δὲ ἐφ' ἡσυχίας ὑμνεῖν τὸν βασιλέα καὶ ᾄδειν τὰ
50 κατορθώματα. οὐ μὴν οὐδὲ τὸν Ἀγαμέμνονά φησιν
ὁ πατὴρ ἐκείνων τῶν λόγων μετρίως καὶ πολιτικῶς
προσενεχθῆναι τῷ στρατηγῷ, ἀλλ' ἀπειλῇ τε χρῆσθαι
καὶ ἔργοις ὑβρίζειν, τοῦ γέρως ἀφαιρούμενον. συνά-
γων δὲ αὐτοὺς ἐς ταὐτὸν ἀλλήλοις ἐπὶ τῆς ἐκκλησίας
μεταμελομένους, τὸν μὲν τῆς Θέτιδος ἐκβοῶντα

1 Ἰουλιανοῦ καίσαρος V] Ἰουλιανοῦ 8 ἢ περὶ βασιλείας add. VM 8 διαγωγὴν VM] τὴν διαγωγὴν 12 ὁ τῆς] τὸν τῆς VM 20 ἐς V] εἰς 21 μεταμελομένους V] μεταμελουμένους

Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
Ἔπλετο, σοὶ καὶ ἐμοί,

εἶτα ἐπαρώμενον τῇ προφάσει τῆς ἀπεχθείας καὶ ἀπ- B
αριθμούμενον τὰς ἐκ τῆς μήνιδος ξυμφοράς, τὸν βα-
σιλέα δὲ αἰτιώμενον Δία καὶ Μοίρας καὶ Ἐρινύν,
δοκεῖ μοι διδάσκειν, ὥσπερ ἐν δράματι τοῖς προ-
κειμένοις ἀνδράσιν οἷον εἰκόσι χρώμενος, ὅτι χρὴ
τοὺς μὲν βασιλέας μηδὲν ὕβρει πράττειν μηδὲ τῇ
δυνάμει πρὸς ἅπαν χρῆσθαι μηδὲ ἐφιέναι τῷ θυμῷ,
καθάπερ ἵππῳ θρασεῖ χήτει χαλινοῦ καὶ ἡνιόχου
φερομένῳ, παραινεῖν δὲ αὖ τοῖς στρατηγοῖς ὑπερο-
ψίαν βασιλικὴν μὴ δυσχεραίνειν, φέρειν δὲ ἐγκρατῶς C
καὶ πρᾴως τὰς ἐπιτιμήσεις, ἵνα μὴ μεταμελείας αὐ-
τοῖς ὁ βίος μεστὸς ᾖ. ταῦτα κατ' ἐμαυτὸν ἐννοῶν,
ὦ φίλε βασιλεῦ, καὶ σὲ μὲν ὁρῶν ἐπὶ τῶν ἔργων
τὴν Ὁμηρικὴν παιδείαν ἐπιδεικνύμενον καὶ ἐθέλοντα
πάντως κοινῇ τε ἅπαντας ἀγαθόν τι δρᾶν, ἡμῖν δὲ
ἰδίᾳ τιμὰς καὶ γέρα ἄλλα ἐπ' ἄλλοις παρασκευάζοντα,
τοσούτῳ δὲ οἶμαι κρείττονα τοῦ τῶν Ἑλλήνων βα-
σιλέως εἶναι ἐθέλοντα, ὥστε ὁ μὲν ἠτίμαζε τοὺς
ἀρίστους, σὺ δὲ οἶμαι καὶ τῶν φαύλων πολλοῖς τὴν
συγγνώμην νέμεις, τὸν Πιττακὸν ἐπαινῶν τοῦ λόγου, D
ὃς τὴν συγγνώμην τῆς τιμωρίας προυτίθει, αἰσχυ-
νοίμην ἄν, εἰ μὴ τοῦ Πηλέως φαινοίμην εὐγνω-
μονέστερος καὶ ἐπαινοίην εἰς δύναμιν τὰ προσόντα
σοι, οὔτι φημὶ χρυσὸν καὶ ἁλουργῆ χλαῖναν, οὐδὲ

1 Iliad. τ, 56 | ἦτ' ἆρ τόδ' M 2 ἔπλετο σοὶ V] ἔπλετό σοι 4 ξυμφορὰς V] 'συμφορὰς 5 Ερινύν H] Ἐριννῦν. Malim vero etiam aut *Μοῖραν*, quod apud Homerum vs. 87 legitur, aut *Ερινῦς* 9 πρὸς ἅπαν χρῆσθαι V] χρῆσθαι πρὸς ἅπαν 11 αὐτοῖς V 17 κοινῇ τε legitur etiam 157 D; at utroque loco praestat κοινῇ μέν. cf. 43 D 51 D 24 ἂν H] δ' V, δὲ v, om. M 25 καὶ] μηδὲ H

μὰ Δία πέπλους παμποικίλους, γυναικῶν ἔργα Σιδωνίων, οὐδὲ ἵππων Νισαίων κάλλη καὶ χρυσοκολ-
51 *λήτων ἁρμάτων ἀστράπτουσαν αἴγλην, οὐδὲ τὴν Ἰνδῶν λίθον εὐανθῆ καὶ χαρίεσσαν. καίτοι γε εἴ τις ἐθέλοι τούτοις τὸν νοῦν προσέχων ἕκαστον ἀξιοῦν λόγου, μικροῦ πᾶσαν οἶμαι τὴν Ὁμήρου ποίησιν ἀποχετεύσας ὅτι δεήσεται λόγων, καὶ οὐκ ἀποχρήσει σοὶ μόνῳ τὰ ξύμπασι ποιηθέντα τοῖς ἡμιθέοις ἐγκώμια. ἀρξώμεθα δὲ ἀπὸ τοῦ σκήπτρου πρῶτον, εἰ βούλει, καὶ τῆς βασιλείας αὐτῆς. τί γὰρ δή φησιν*
B *ὁ ποιητὴς ἐπαινεῖν ἐθέλων τῆς τῶν Πελοπιδῶν οἰκίας τὴν ἀρχαιότητα καὶ τὸ μέγεθος τῆς ἡγεμονίας ἐνδείξασθαι;*

Ἀνὰ δὲ κρείων Ἀγαμέμνων
Ἔστη σκῆπτρον ἔχων, τὸ μὲν Ἥφαιστος κάμε τεύχων, καὶ ἔδωκε Διί, ὁ δὲ τῷ τῆς Μαίας καὶ ἑαυτοῦ παιδί, Ἑρμείας δὲ ἄναξ δῶκε [, ὁ δὲ] Πέλοπι, Πέλοψ δὲ
δῶκ' Ἀτρέϊ ποιμένι λαῶν.
Ἀτρεὺς δὲ θνήσκων ἔλιπε πολύαρνι Θυέστῃ·
C *Αὐτὰρ ὅγ' αὖτε Θυέστ' Ἀγαμέμνονι δῶκε φορῆναι,*
Πολλῇσιν νήσοισι καὶ Ἄργεϊ παντὶ ἀνάσσειν.

αὕτη σοι τῆς Πελοπιδῶν οἰκίας ἡ γενεαλογία, εἰς τρεῖς οὐδὲ ὅλας μείνασα γενεάς· τά γε μὴν τῆς ἡμε-

2 *ἵππων* VM] *τῶν ἵππων* | *νισσαίων* V 4 *λίθον* VM] *λίθων* 5 *ἐθέλει* V | *ἀξιῶν* V 6 *σμικροῦ* V 7 *ἀποχρήσοι μόνω* V 8 *ξύμπασι* V] *σύμπασι* 9 *πρῶτον* H] *πρότερον* 12 *τῆς ἡγεμονίας* VM] *ἡγεμονίας* 14 *ἀνὰ* VM, ut Iliad. β, 101 legitur, *ἂν* v 16 et 17 *καὶ ἑαυτοῦ — ἄναξ δῶκε* om. cantocl. et fl. 17 *δῶκε — Πέλοψ δὲ* om. VM, *ὁ δὲ* cum Reiskio inclusi 21 *ὅ γ'*] *ὃ* Hom. | *δῶκε*] *λεῖπε* Hom. 23 *πολλῇσι* VM 24 *σοι*] *τοι* H

τέρας ξυγγενείας ἤρξατο μὲν ἀπὸ Κλαυδίου, μικρὰ δὲ ἐν μέσῳ διαλιπούσης τῆς ἡγεμονίας τὼ πάππω τὼ σὼ διαδέχεσθον. καὶ ὁ μὲν τῆς μητρὸς πατὴρ τὴν Ῥώμην διῴκει καὶ τὴν Ἰταλίαν, καὶ τὴν Λιβύην D
τε ἐπ' αὐτῇ, καὶ Σαρδὼ καὶ Σικελίαν, οὔτι φαυλοτέραν τῆς Ἀργείας καὶ Μυκηναίας δυναστείαν, ὅ γε μὴν τοῦ πατρὸς γεννήτωρ Γαλατίας ἔθνη τὰ μαχιμώτατα καὶ τοὺς Ἑσπερίους Ἴβηρας καὶ τὰς ἐντὸς Ὠκεανοῦ νήσους, αἳ τοσούτῳ μείζους τῶν ἐν τῇ θαλάττῃ τῇ καθ' ἡμᾶς ὁρωμένων εἰσίν, ὅσῳ καὶ τῆς εἴσω θαλάττης ἡ τῶν Ἡρακλείων στηλῶν ὑπερχεομένη. ταύτας δὲ ὅλας τὰς χώρας καθαρὰς ἀπέφηναν πολεμίων, κοινῇ μὲν ἐπιστρατεύοντες, εἴ ποτε τούτου 52
δεήσειεν, ἐπιφοιτῶντες δὲ ἔστιν ὅτε καὶ κατ' ἰδίαν ἕκαστος τῶν ὁμόρων βαρβάρων ὕβριν τε καὶ ἀδικίαν ἐξέκοπτον. ἐκεῖνοι μὲν δὴ τούτοις ἐκοσμοῦντο. ὁ πατὴρ δὲ τὴν μὲν προσήκουσαν αὐτῷ μοῖραν μάλα εὐσεβῶς καὶ ὁσίως ἐκτήσατο, περιμείνας τὴν εἱμαρμένην τελευτὴν τοῦ γεγεννηκότος, τὰ λοιπὰ δὲ ἀπὸ βασιλείας εἰς τυραννίδας ὑπενεχθέντα δουλείας ἔπαυσε χαλεπῆς, καὶ ἦρξε συμπάντων τρεῖς ὑμᾶς τοὺς αὑτοῦ B
παῖδας προσελόμενος ξυνάρχοντας. ἆρ' οὖν ἄξιον μέγεθος δυνάμεως παραβαλεῖν καὶ τὸν ἐν τῇ δυναστείᾳ χρόνον καὶ πλῆθος [τῶν] βασιλευσάντων; ἢ τοῦτο μέν ἐστιν ἀληθῶς ἀρχαῖον, μετιτέον δὲ ἐπὶ

1 ξυγγενείας VM] συγγενείας 2 δὲ] μὲν V | διαλειπούσης V | τὼ πάππω VM] πάππω 5 et 6 φαυλοτέραν VM] φαυλοτέρας 6 δυναστείαν H] δυναστείας 7 γεννήτωρ VM] γεννήτηρ pet., γεννητὴς spanh. 19 τοῦ γεγηρακότος cant. et fl. 21 συμπάντων V] ξυμπάντων | αὑτοῦ H] αὐτοῦ 22 προσελόμενος Horkelius] προελόμενος 23 παραβαλεῖν H] παραβάλλειν. cf. 29 B 32 C 52 D 53 C 67 A 74 A 320 C 24 τῶν om. V

τὸν πλοῦτον καὶ θαυμαστέον σου τὴν χλαμύδα ξὺν τῇ πόρπῃ, ἃ δὴ καὶ Ὁμήρῳ διατριβὴν παρέσχεν ἡδεῖαν; λόγου τε ἀξιωτέον πολλοῦ τὰς Τρωὸς ἵππους, αἳ τρισχίλιαι οὖσαι

C ἕλος κάτα βουκολέοντο,

καὶ τὰ φώρια τὰ ἐντεῦθεν; ἢ τοὺς Θρακίους ἵππους εὐλαβησόμεθα λευκοτέρους μὲν τῆς χιόνος, θεῖν δὲ ὠκυτέρους τῶν χειμερίων πνευμάτων, καὶ τὰ ἐν αὐτοῖς ἅρματα; καὶ ἔχομέν σε ἐν τούτοις ἐπαινεῖν, οἰκίαν τε οἶμαι τὴν Ἀλκίνου καὶ τὰ τοῦ Μενέλεω δώματα καταπληξάμενα καὶ τὸν τοῦ πολύφρονος Ὀδυσσέως παῖδα καὶ τοιαῦτα ληρεῖν ἀναπείσαντα
D τοῖς σοῖς παραβαλεῖν ἀξιώσομεν, μή ποτε ἄρα ἔλασσον ἔχειν ἐν τούτοις δοκῇς, καὶ οὐκ ἀπωσόμεθα τὴν φλυαρίαν; ἀλλ' ὅρα μή τις ἡμᾶς μικρολογίας καὶ ἀμαθίας τῶν ἀληθῶς καλῶν γραψάμενος ἕλῃ. οὐκοῦν ἀφέντας χρὴ τοῖς Ὁμηρίδαις τὰ τοιαῦτα πολυπραγμονεῖν ἐπὶ τὰ τούτων ἐγγυτέρω πρὸς ἀρετήν, καὶ ὧν μείζονα ποιεῖ προμήθειαν, σώματος ῥώμης καὶ τῆς ἐν τοῖς ὅπλοις ἐμπειρίας, θαρρούντως ἰέναι. τίνι δήποτε οὖν τῶν ὑπὸ τῆς Ὁμηρικῆς ὑμνουμένων
53 σειρῆνος εἴξομεν; ἔστι μὲν γὰρ τοξότης παρ' αὐτῷ Πάνδαρος, ἀνὴρ ἄπιστος καὶ χρημάτων ἥττων, ἀλλὰ καὶ ἀσθενὴς τὴν χεῖρα καὶ ὁπλίτης φαῦλος, Τεῦκρός τε ἐπ' αὐτῷ καὶ Μηριόνης, ὁ μὲν ἐπὶ τῆς πελειάδος

1 ξὺν VM] σὺν 2 παρέσχεν V] παρέσχον 4 αἳ V] αἱ 5 κάτα βουκολέοντο V et Iliad. υ, 221] κατὰ βουκολέοντο (καταβουκολέοντο M) 6 φώρια V] φόρια | θρακίους V] Θρακείους 8 ἐν] ἐπ' Pet. 9 ἔχομεν] οὐχ ὁ μέν V, οὐκ ἐώμενοι Bruno Friederich 10 ἀλκίνου V] Ἀλκινόου 11 τὸν om. V 12 ἀναπείσαντα] παραπείσαντα M cant. pet. 15 ὥρα V] | ὑμᾶς V 25 πελιάδος V

τῷ τόξῳ χρώμενος, ὁ δὲ ἠρίστευε μὲν ἐν τῇ μάχῃ, ἐδεῖτο δὲ ὥσπερ ἐρύματος καὶ τειχίου. ταῦτά τοι καὶ προβάλλεται τὴν ἀσπίδα, οὔτι τὴν οἰκείαν, τἀδελφοῦ δέ, καὶ στοχάζεται καθ' ἡσυχίαν τῶν πολεμίων, γελοῖος ἀναφανεὶς στρατιώτης, ὅς γε ἐδεῖτο μείζονος φύλακος καὶ οὐκ ἐν τοῖς ὅπλοις ἐποιεῖτο B τῆς σωτηρίας τὰς ἐλπίδας. σὲ δῆτα ἐθεασάμην, ὦ φίλε βασιλεῦ, ἄρκτους καὶ παρδάλεις καὶ λέοντας συχνοὺς καταβάλλοντα τοῖς ἀφιεμένοις βέλεσι, χρώμενον δὲ πρὸς θήραν καὶ παιδιὰν τόξῳ, ἐπὶ δὲ τῆς παρατάξεως ἀσπίς ἐστί σοι καὶ θώραξ καὶ κράνος· καὶ οὐκ ἂν καταδείσαιμι τὸν Ἀχιλλέα τοῖς Ἡφαιστείοις λαμπρυνόμενον καὶ ἀποπειρώμενον αὐτοῦ καὶ τῶν ὅπλων,

Εἴ οἱ ἐφαρμόσσειε, καὶ ἐντρέχοι ἀγλαὰ γυῖα· C

ἀνακηρύττει γὰρ εἰς ἅπαντας τὴν σὴν ἐμπειρίαν τὰ κατορθώματα. τήν γε μὴν ἱππικὴν καὶ τὴν ἐν τοῖς δρόμοις κουφότητα ἆρά σοι παραβαλεῖν ἄξιον τῶν πρόσθεν τοὺς ἀραμένους ὄνομα καὶ δόξαν μείζονα; ἢ τὸ μὲν οὐδὲ ηὕρητό πω; ἅρμασι γὰρ ἐχρῶντο καὶ οὔπω πώλοις ἄζυξι· τάχει δὲ ὅστις διήνεγκε, τούτῳ πρὸς σὲ γέγονεν ἀμφήριστος κρίσις· τάξιν δὲ κοσμῆσαι καὶ φάλαγγα διατάξαι καλῶς δοκεῖ Μενεσθεὺς κράτιστος, D καὶ τούτῳ διὰ τὴν ἡλικίαν ὁ Πύλιος οὐχ ὑφίεται τῆς ἐμπειρίας. ἀλλὰ τῶν μὲν οἱ πολέμιοι πολλάκις τὰς τάξεις συνετάραξαν, καὶ οὐδὲ

4 τἀδελφοῦ V] τοῦ ἀδελφοῦ 8 φίλε om. V 9 καταβάλλοντα V] καταβαλόντα 10 παιδιὰν fl.] παιδείαν. cf. 124 D 12 καταδείσαιμι V] καταδείσαιμεν 13 αὐτοῦ M, om. V 15 Iliad. τ, 385 | εἴ οἱ M, εἰ οἱ v, εἰ οἷ Hom. | ἐφαρμόσειε VM 16 ἅπαντας H] ἅπαντα 18 παραβάλλειν V 20 εὕρητό πω M 21 ἄζυξιν V 22 πρὸς σὲ γέγονεν Rsk.] προσγέγονεν 23 ἐδόκει Rsk.

ἐπὶ τοῦ τείχους ἴσχυον ἀντέχειν παραταττόμενοι· σοὶ δὲ μυρίαις μάχαις ξυμμίξαντι καὶ πολεμίοις πολλοῖς μὲν βαρβάροις, οὐκ ἐλάττοσι δὲ τούτων τοῖς οἴκοθεν ἀφεστῶσι καὶ συνεπιθεμένοις τῷ τὴν ἀρχὴν σφετερίσασθαι προελομένῳ ἀρραγὴς ἔμεινεν ἡ φάλαγξ
54 καὶ ἀδιάλυτος, οὐδ' ἐπὶ σμικρὸν ἐνδοῦσα. καὶ ὅτι μὴ λῆρος ταῦτα μηδὲ προσποίησις λόγων τῆς ἐπὶ τῶν ἔργων ἀληθείας κρείττων, ἐθέλω τοῖς παροῦσι διεξελθεῖν. γελοῖον γὰρ οἶμαι πρὸς σὲ περὶ τῶν σῶν ἔργων διηγεῖσθαι· καὶ ταὐτὸν ἂν πάθοιμι φαύλῳ καὶ ἀκόμψῳ θεατῇ τῶν Φειδίου δημιουργημάτων πρὸς αὐτὸν Φειδίαν ἐπιχειροῦντι διεξιέναι περὶ τῆς ἐν ἀκροπόλει παρθένου καὶ τοῦ παρὰ τοῖς Πισαίοις Διός. εἰ δὲ ἐς τοὺς ἄλλους ἐκφέροιμι τὰ σεμνότατα
B τῶν ἔργων, ἴσως ἂν ἀποφύγοιμι τὴν ἁμαρτάδα, καὶ οὐκ ἔσομαι ταῖς διαβολαῖς ἔνοχος· ὥστε ἤδη θαρροῦντα χρὴ λέγειν. καί μοι μή τις δυσχεράνῃ πειρωμένῳ πράξεων ἅπτεσθαι μειζόνων, εἰ καὶ τὸ τοῦ λόγου συνεκθέοι μῆκος, καὶ ταῦτα θέλοντος ἐπέχειν καὶ βιαζομένου, ὅπως μὴ τῷ μεγέθει τῶν ἔργων ἡ τῶν λόγων ἀσθένεια περιχεομένη διαλυμήνηται· καθάπερ δὴ τὸν χρυσόν φασι τοῦ Θεσπιᾶσιν Ἔρωτος
C τοῖς πτεροῖς ἐπιβληθέντα τὴν ἀκρίβειαν ἀφελεῖν τῆς τέχνης. δεῖται γὰρ ἀληθῶς τῆς Ὁμηρικῆς σάλπιγγος τὰ κατορθώματα, καὶ πολὺ πλέον ἢ τὰ τοῦ Μακεδόνος ἔργα. δῆλον δὲ ἔσται χρωμένοις ἡμῖν τῷ τρόπῳ τῶν λόγων, ὅνπερ ἐξ ἀρχῆς προυθέμεθα.

1 ἴσχων V 9 πρὸς σὲ VM] πρός σε 13 πισσαίοις VM 14 ἐκφέροιμι om. V 17 δυσχεράνη V] δυσχεραίνη (δυσχεραίνοι M) 19 συνεκθέοι V] συνεκθέει | ἐπέχειν VM] ἐπισχεῖν 22 δὴ V] δὴ καὶ | θεσπιάσιν V 25 καὶ] ἢ καὶ V | ἰέον VM] πλεῖον 27 ὅνπερ (vel ᾧπερ) Rsk. et H] ὅπερ

κίνετο δὲ τῶν βασιλέως ἔργων πρὸς τὰ τῶν ἡρώων λλὴ ξυγγένεια, καὶ αὐτὸν ἔφαμεν ἁπάντων προ- ῥειν ἐν ᾧ μάλιστα τῶν ἄλλων ἕκαστος διήνεγκε, ιὶ ὅπως ἐστὶ τοῦ μὲν δὴ βασιλέως αὐτοῦ βασιλι- D ότερος, εἴ που μεμνήμεθα τῶν ἐν προοιμίῳ ῥη- ένεων, ἐπεδείκνυμεν, ἔσται δὲ καὶ μάλα αὖθις κατα- ανές. νῦν δέ, εἰ βούλεσθε, τὰ περὶ τὰς μάχας ιὶ τοὺς πολέμους ἀθρήσωμεν. τίνας οὖν Ὅμηρος αφερόντως ὕμνησεν Ἑλλήνων ὁμοῦ καὶ βαρβάρων; αὐτὰ ὑμῖν ἀναγνώσομαι τῶν ἐπῶν τὰ καιριώτατα.

Τίς τ' ἄρ τῶν ὄχ' ἄριστος ἔην, σύ μοι ἔννεπε, 55
Μοῦσα,
Ἀνδρῶν ἠδ' ἵππων, οἳ ἅμ' Ἀτρείδαισιν ἕποντο.
Ἀνδρῶν μὲν μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας,
Ὄφρ' Ἀχιλεὺς μήνιεν· ὁ γὰρ πολὺ φέρτατος ἦεν.

αὶ αὖθις ὑπὲρ τοῦ Τελαμωνίου φησίν·

Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργ' ἐτέτυκτο,
Τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα. B

Ἑλλήνων μὲν δὴ τούτους ἀρίστους ἀφῖχθαί φησι, ῶν δὲ ἀμφὶ τοὺς Τρῶας Ἕκτορα καὶ Σαρπηδόνα. ούλεσθε οὖν αὐτῶν τὰ λαμπρότατα ἐπιλεξάμενοι ερια θρῶμεν τὸ μέγεθος; καὶ γάρ πως ἐς ταὐτόν ισι τῶν [τοῦ] βασιλέως ξυμφέρεται ἥ τε ἐπὶ τῷ οταμῷ τοῦ Πηλέως μάχη καὶ ὁ περὶ τὸ τεῖχος τῶν Ἀχαιῶν πόλεμος· Αἴας τε ὑπεραγωνιζόμενος τῶν C

1 τῶν βασιλέως VM] τοῦ βασιλέως 3 ἕκαστος Pet.] ἐκεῖ- ος 6 μάλιστα cant. et fl. 11 Iliad. β, 761 12 ἀνδρῶν v M] αὐτῶν (Hom.) 13 μὲν] δ' αὖ cant. et fl., αὖ Hom. 4 ἀχιλλεὺς VM 16 ἔργα τέτυκτο Hom. 18 φησὶν V 22 ισι] τι V] τοῦ suspectum est; namque in hac quidem oratione ..lianus vocabulo βασιλεύς, ubi de Constantio loquitur, articulum non videtur addidisse

νεῶν καὶ ἐπιβεβηκὼς τῶν ἰκρίων ἴσως ἂν τυγχάνοι τινὸς ἀξίας εἰκόνος. ἐθέλω δὲ ὑμῖν διηγεῖσθαι τὴν ἐπὶ τῷ ποταμῷ μάχην, ἣν ἠγωνίσατο βασιλεὺς ἔναγχος. ἴστε δὲ ὅθεν ὁ πόλεμος ἐξερράγη, καὶ ὅτι ξὺν δίκῃ καὶ οὐ τοῦ πλείονος ἐπιθυμίᾳ διεπολεμήθη. κωλύει δὲ οὐδὲν ὑπομνησθῆναι δι' ὀλίγων.

Ἀνὴρ ἄπιστος καὶ θρασὺς τῆς οὐ προσηκούσης
D ὀρεχθεὶς ἡγεμονίας κτείνει τὸν ἀδελφὸν βασιλέως καὶ τῆς ἀρχῆς κοινωνόν, καὶ ἤρετο λαμπραῖς ταῖς ἐλπίσιν, ὡς τὸν Ποσειδῶνα μιμησόμενος καὶ ἀποφανῶν οὐ μῦθον τὸν Ὁμήρου λόγον, παντὸς δὲ ἀληθῆ μᾶλλον, ὃς ἔφη περὶ τοῦ θεοῦ

Τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,
Αἰγάς,

καὶ ὡς ἐντεῦθεν τὴν πανοπλίαν ἀναλαβὼν καὶ ὑποζεύξας τοὺς ἵππους διὰ τοῦ πελάγους ἐφέρετο.

56 Γηθοσύνῃ δὲ θάλασσα διίστατο· τοὶ δ' ἐπέτοντο
Ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων,

ἅτε οὐδενὸς ἐμποδὼν ὄντος, πάντων δὲ ἐξισταμένων καὶ ὑποχωρούντων ἐν χαρμονῇ. οὔκουν οὐδὲν αὐτῷ πολέμιον οὐδὲ ἀντίπαλον ᾤετο καταλιπέσθαι, οὐδὲ αὐτὸν κατείργειν οὐδὲ ἓν τὸ μὴ ἐπὶ τοῦ Τίγρητος στῆναι ταῖς ἐκβολαῖς. εἵπετο δὲ αὐτῷ πολὺς μὲν

1 ἐπιβεβηκὼς VM] ὑπερβεβηκὼς 5 ξὺν VM] σὺν | πλέονος V 8 τὸν H] τε 10 μιμησόμενος M] μιμησάμενος | ἀποφανῶν Pet. in ed. fl.] ἀποφαίνων 13 Iliad. ν, 20 | τέταρτον VM 17 Iliad. ν, 29 20 οὔκουν V] οὐκοῦν | οὐδὲν H] οὐδὲ | αὐτῷ et 22 αὐτὸν H] αὐτῷ et αὐτὸν 22 τὸ μὴ H] τω (sine accentu) μὴ M, τῷ μὴ cant. et fl., τοῦ μὴ v 23 ἐκβολαῖς V] ἐμβολαῖς

ιλίτης πεζός, ἱππεῖς δὲ οὐχ ἧττους, ἀλλ' οἵπερ ἄλ- B
μοι, Κελτοὶ καὶ Ἴβηρες Γερμανῶν τε οἱ πρόσοικοι
ήνῳ καὶ τῇ θαλάττῃ τῇ πρὸς ἑσπέραν, ἣν εἴτε
κεανὸν χρὴ καλεῖν εἴτε Ἀτλαντικὴν θάλατταν εἴτε
λλῃ τινὶ χρῆσθαι προσωνυμίᾳ προσῆκον, οὐκ ἰσχυ-
ζομαι· πλὴν ὅτι δὴ αὐτῇ προσοικεῖ δύσμαχα καὶ
ὁμῃ διαφέροντα τῶν ἄλλων ἐθνῶν γένη βαρβάρων,
ὐκ ἀκοῇ μόνον, ἧπερ δὴ τυγχάνει πίστις οὐκ ἀσφα-
ής, ἀλλ' αὐτῇ πείρᾳ τοῦτο ἐκμαθὼν οἶδα. τούτων C
ἡ τῶν ἐθνῶν ἐξαναστήσας οὐκ ἔλαττον πλῆθος τῆς
ἴκοθεν αὐτῷ ξυνεπομένης στρατιᾶς, μᾶλλον δὲ τὸ
μὲν ὡς οἰκεῖον εἵπετο πολὺ καὶ αὐτῷ ξύμφυλον, τὸ
ὲ ἡμέτερον· οὕτω γὰρ καλεῖν ἄξιον· ὁπόσον Ῥω-
αίων βίᾳ καὶ οὐ γνώμῃ ξυνηκολούθησεν, ἐοικὸς
πικούροις καὶ μισθοφόροις, ἐν Καρὸς εἵπετο τάξει
αὶ σχήματι, δύσνουν μέν, ὡς εἰκός, βαρβάρῳ καὶ
ένῳ, μέθῃ καὶ κραιπάλῃ τὴν δυναστείαν περιφρο-
ήσαντι καὶ ἀνελομένῳ, ἄρχοντι δέ, ὥσπερ ἦν ἄξιον D
ν ἐκ τοιούτων προοιμίων καὶ προνομίων ἀρξά-
ενον. ἡγεῖτο δὲ αὐτὸς οὔτι κατὰ τὸν Τυφῶνα, ὃν
ποιητικὴ τερατεία φησὶ τῷ Διὶ χαλεπαίνουσαν τὴν
ῆν ὠδῖναι, οὐδὲ ὡς γιγάντων ὁ κράτιστος, ἀλλ'
αν ὁ σοφὸς ἐν μύθοις Πρόδικος τὴν Κακίαν δη-
μιουργεῖ πρὸς (τὴν) Ἀρετὴν διαμιλλωμένην καὶ ἐθέ-
λουσαν τὸν τοῦ Διὸς ἀναπείθειν παῖδα, ὅτι ἄρα
ὑτῷ μάλιστα πάντων τιμητέα εἴη. προάγων δὲ ἐπὶ

1 ἀλλ' ὅτιπερ ἄλκιμον Rsk. 3 ῥήνω VM] τῷ Ῥήνῳ 4 θάλασσαν M 8 μόνον H] μόνῃ | ᾗπερ Heylerus 9 τοῦτο] φασὶν M 11 ξυνεπομένης V] ξυνεφεπομένης 12 αὐτὸ (τὸ in rasura) V 13 ὁπόσον Pet.] ὅπως 15 ἐν Καρὸς εἵπετο τάξει] Cf. Suidas s. ἐν Καρός 18 ἦν] οὖν M, fortasse recte; vid. tamen 59 B 21 ἡ] δὴ V | τῷ Διὶ om. M 22 ὠδίναι V 24 τὴν Ἀρετὴν H] ἀρετὴν

57 τὴν μάχην προυφέρετο τὰ τοῦ Καπανέως, βαρβαρίζων
καὶ ἀνοηταίνων, οὔτι μὴν κατ' ἐκεῖνον τῇ ῥώμῃ τῆς
ψυχῆς πίσυνος οὐδὲ ἀλκῇ τοῦ σώματος, τῷ πλήθει
δὲ τῶν ξυνεπομένων βαρβάρων, οἷς δὴ καὶ λείαν
ἅπαντα προθήσειν ἠπείλει, ταξίαρχον ταξιάρχῳ καὶ
λοχαγὸν λοχαγῷ καὶ στρατιώτην στρατιώτῃ τῶν ἐξ
ἐναντίας αὐταῖς ἀποσκευαῖς καὶ κτήμασιν, οὐδὲ τὸ
σῶμα ἀφιεὶς ἐλεύθερον. αὔξει δὲ αὐτοῦ τὴν διά-
B νοιαν ἡ [τοῦ] βασιλέως δεινότης, καὶ ἐκ τῶν δυσχω-
ριῶν εἰς τὰ πεδία κατάγει γανύμενον καὶ οὐ ξυν-
ιέντα, δρασμὸν δὲ ἀτεχνῶς καὶ οὐ στρατηγίαν τὸ
πρᾶγμα κρίνοντα. ταῦτά τοι καὶ ἁλίσκεται, καθάπερ
ὄρνιθες καὶ ἰχθύες δικτύοις. ἐπειδὴ γὰρ ἐς τὴν
εὐρυχωρίαν καὶ τὰ πεδία τῶν Παιόνων ἦλθε καὶ
ἐδόκει λῷον ἐνταῦθα διαγωνίζεσθαι, τότε δὴ βασι-
λεὺς τούς τε ἱππέας ἐπὶ κέρως τάττει χωρὶς ἑκατέρου.
τούτων δὲ οἱ μέν εἰσιν αἰχμοφόροι, θώραξιν ἐλατοῖς
καὶ κράνεσιν ἐκ σιδήρου πεποιημένοις σκεπόμενοι·
C κνημῖδές τε τοῖς σφυροῖς εὖ μάλα περιηρμοσμέναι
καὶ περιγονατίδες καὶ περὶ τοῖς μηροῖς ἕτερα τοιαῦτα
ἐκ σιδήρου καλύμματα· αὐτοὶ δὲ ἀτεχνῶς ὥσπερ ἀν-
δριάντες ἐπὶ τῶν ἵππων φερόμενοι, οὐδὲν ἀσπίδος
δεόμενοι. τούτοις εἵπετο τῶν ἄλλων ἱππέων πλῆθος
ἀσπίδας φέροντες, οἱ δὲ ἀπὸ τῶν ἵππων τοξεύοντες.
πεζῶν δὲ ὁ μὲν ὁπλίτης ἦν ἐν τῷ μέσῳ συνάπτων

2 οὔτι H] οὔτε V, οὔτοι v | μὴν VM] μὲν 4 λίαν V 5 προυθήσειν V 6 στρατιώτην om. V | στρατιώτῃ om. M | τῶν H] τὸν (τῷ M). cf. 29 A 73 B 8 ἀφιεὶς Cobetus] ἀφεὶς | δὲ] δὴ V 9 τοῦ om. M cant. fl. vid. ad 55 B 10 ἐς M | γανύμενον H] γαννύμενον 13 ἰχθῦες V. Verum igitur videtur ἰχθῦς. vid. ad 59 A 15 λώιον V 16 ἱππέας V] ἱππεῖς | ἐπὶ κέρως Wytt.] ἐπικαίρως | ἑκατέρου Cobetus] ἑκατέρους. cf. 36 A 19 κνημίδες V 20 καὶ περιγονατίδες om. cant. et fl. 24 φέροντες VM] φερόντων

ἑκάτερα τοῖς ἱππεῦσιν· ἐξόπισθεν δὲ οἱ σφεν- D νῆται καὶ τοξόται καὶ ὁπόσον ἐκ χειρὸς βάλλει ›μνὸν ἀσπίδος καὶ θώρακος. οὕτω κοσμηθείσης ῆς φάλαγγος, μικρὰ τοῦ λαιοῦ κέρως προελθόντος παν τὸ πολέμιον συνετετάρακτο καὶ οὐκ ἐφύλαττε ξιν. ἐγκειμένων δὲ τῶν ἱππέων καὶ οὐκ ἀνιέντων εύγει μὲν αἰσχρῶς ὁ τὴν βασιλείαν αἴσχιον ἁρ-ίσας, λείπει δὲ αὐτοῦ τὸν ἵππαρχον καὶ χιλιάρχους ιὶ ταξιάρχους πάνυ πολλοὺς καὶ ἐρρωμένως ἀγωνι-μένους, ἐπὶ πᾶσι δὲ τὴν ποιητὴν τοῦ τερατώδους ιὶ ἐξαγίστου δράματος, ὃς πρῶτος ἐπὶ νοῦν ἐβάλετο 58 ταποιῆσαι τὴν βασιλείαν καὶ ἀφελέσθαι τοῦ γέρως ιᾶς. καὶ τέως (μὲν) ἔχαιρε τῆς πρώτης πείρας οὐκ ἀποσφαλεὶς οὐδὲ ἁμαρτήσας, τότε δὲ ἐφεστῶσας ξὺν ίκῃ ποινὰς ἀπαιτεῖται τῶν ἔργων καὶ ἄπιστον τι-ωρίαν εἰσπράττεται. πάντων γὰρ ὁπόσοι τοῦ πο-΄μου τῷ τυράννῳ συνεφήψαντο ἐμφανὴς μὲν ὁ ἀνατος, δήλη δ' ἡ φυγὴ καὶ ἄλλων μεταμέλεια· έτευον γὰρ πολλοί, καὶ ἔτυχον ἅπαντες συγγνώμης, B ισιλέως τὸν τῆς Θέτιδος ὑπερβαλλομένου μεγαλο-ροσύνῃ. ὁ μὲν γάρ, ἐπειδὴ Πάτροκλος ἔπεσεν, οὐδὲ ιπράσκειν ἁλόντας ἔτι τοὺς πολεμίους ἠξίου, ἀλλ' ετεύοντας περὶ τοῖς γόνασιν ἔκτεινεν· ὁ δὲ ἐκήρυτ-εν ἄδειαν τοῖς ἐξαρνουμένοις τὴν ξυνωμοσίαν, οὐ ανάτου μόνον ἢ φυγῆς ἤ τινος ἄλλης τιμωρίας ραιρῶν τὸν φόβον, ὥσπερ δὲ ἔκ τινος ταλαιπωρίας

1 σφενδονῆται VM] σφενδονῖται 3 οὕτω VM] οὕτως συνετετάρακτο H] συντετάρακτο 6 τὴν τάξιν ? 11 ἐβά-το V] ἐβάλλετο 13 μὲν add. Rsk. 14 ἐφεστῶσας — ταιτεῖται B. Friederich] ἐφεστὼς ἂν — ἀπαιτεῖ. Atque ἀπαι-ῖται quidem confirmat V | ξὺν VM] σὺν 24 ξυνωμοσίαν V M] συνωμοσίαν 26 τὸν φόβον VM] καὶ τὸν φόβον | ἀφαι-ρῶν τὸν φόβον V] τὸν φόβον ἀφαιρῶν

C καὶ ἄλης δυστυχοῦς τῆς ξὺν τῷ τυράννῳ βιοτῆς
κατάγειν σφᾶς ἐπ' ἀκεραίοις τοῖς πρόσθεν ἠξίου.
τοῦτο μὲν δὴ καὶ αὖθις τεύξεται λόγου· ἐκεῖνο δὲ
ἤδη ῥητέον, ὡς οὔτε ἐν τοῖς κειμένοις ἦν οὔτε ἐν
τοῖς φεύγουσιν ὁ παιδοτρίβης τοῦ τυράννου. τὸ γὰρ
μηδὲ ἐλπίσαι συγγνώμην εὔλογον οὕτω μὲν ἄδικα
διανοηθέντα, ἀσεβῆ δὲ ἐργασάμενον, φόνων τε ἀδί-
κων ἀνδρῶν καὶ γυναικῶν, πολλῶν μὲν ἰδιωτῶν,
D πάντων δὲ σχεδὸν ὁπόσοι τοῦ βασιλείου γένους μετ-
εῖχον ἁψάμενον, οὔτι ξὺν δείματι οὐδὲ ἄν τις ἐμ-
φύλιον φόνον διανοηθείη δρῶν, παλαμναίους τινὰς
καὶ μιάστορας δεδιὼς καὶ ὑφορώμενος ἐκ τοῦ μιά-
σματος, ἀλλὰ ὥσπερ τισὶ καθαρσίοις καινοῖς καὶ ἀτό-
ποις τοὺς πρόσθεν ἀπονιπτόμενος ἄνδρα ἐπ' ἀνδρὶ
καὶ γυναῖκας ἐπὶ τοῖς φιλτάτοις ἀποκτιννὺς εἰκότως
ἀπέγνω τὴν ἱκετηρίαν. ταῦτα εἰκὸς μὲν αὐτὸν δια-
59 νοηθῆναι, εἰκὸς δὲ καὶ ἄλλως ἔχειν. οὐ γὰρ δὴ ἴσμεν
ὅ, τί ποτε παθὼν ἢ δράσας ᾤχετο ἄιστος, ἄφαντος.
ἀλλ' εἴτε αὐτὸν δαίμων τιμωρὸς ξυναρπάσας, καθάπερ
Ὅμηρός φησι τὰς τοῦ Τυνδάρεω θυγατέρας, ἐπὶ γῆς
ἄγει πέρατα ποινὰς ἀπαιτήσων τῶν διανοημάτων,
εἴτε αὐτὸν ὁ ποταμὸς ὑποδεξάμενος ἑστιᾶν κελεύει
τοὺς ἰχθῦς, οὔτι πω δῆλον. ἄχρι μὲν γὰρ τῆς μά-
χης αὐτῆς καὶ ὁπηνίκα οἱ λόχοι συνετάττοντο πρὸς

1 ἄλης Pet. in ed. fl.] ἄλλης | ξὺν VM] σὺν 4 οὔτε — οὔτε H] οὐδὲ — οὐδὲ 6 ἄλογον V 7 ἐξεργασάμενον M | φόνων τε ἀδίκων Rsk. et H] φόνῳ (φόνων cant.) τε ἀδίκῳ v, ἀδίκῳ om. M 10 ἁψάμενον] ἀμειψάμενον V | ἄν τις H] ἄν τις V et pet., ἅ τις M cant. fl. spanh. 11 διανοηθείη Horkelius] διανοηθῇ | δρῶν idem] δρῴη (δρᾶν M cant. fl.) 15 ἀποκτινὺς V 18 ᾤχετο ἄπιστος, ἄφάντος] Odyss. α, 242, ubi pro ἄφαντος legitur ἄπυστος 19 ξυναρπάσας VM] ἐξαρπάσας 20 Ὅμηρος] Iliad. ζ, 343 ss. | πανδάρεω V 23 ἰχθῦς VM] ἰχθύας. cf. ad 57 B 85 A 176 D 206 A | πω V] που

ὶλαγγα θρασὺς ἦν ἐν μέσοις ἀναστρεφόμενος· ἐπεὶ B
ἐπράχθη τὰ τῆς μάχης, ὥσπερ ἦν ἄξιον, ἀφανὴς
ίετο οὐκ οἶδα ὑπὸ τοῦ θεῶν ἢ δαιμόνων κρυφθείς,
ιῆν ὅτι γε οὐκ ἐπ' ἀμείνοσι ταῖς τύχαις εὔδηλον.
γὰρ δὴ αὖθις ἔμελλε φανεὶς ἐπ' ἐξουσίας ὑβρί-
ιν ἀδεῶς εὐδαιμονήσειν, ὡς ᾤετο, ἀλλὰ ἐς τὸ παν-
λὲς ἀφανισθεὶς τιμωρίαν ὑφέξειν αὐτῷ μὲν δυστυχῆ,
ιλλοῖς δὲ ὠφέλιμον καὶ πρὸς ἐπανόρθωσιν. τὰ μὲν
περὶ τὸν μηχανοποιὸν τῆς ὅλης ὑποθέσεως πλείο-
ις ἀξιωθέντα λόγου, μέσῃ τῇ πράξει παρελόμενα C
ξυνεχὲς τῆς διηγήσεως, ἐνταῦθά που πάλιν ἀφε-
τέα. ἐπανιτέον δὲ ὅθενπερ ἐξῆλθον καὶ ἀποδοτέον τὸ
τέλος τῆς μάχης. οὐ γὰρ δὴ ξὺν τῇ τῶν στρατηγῶν
δειλίᾳ καὶ τὰ τῶν στρατιωτῶν πίπτει φρονήματα,
λλ' ἐπειδὴ τὰ τῆς τάξεως αὐτοῖς διεφθάρη, οὐ κα-
ᾳ σφῶν, ἀπειρίᾳ δὲ καὶ ἀμαθίᾳ τοῦ τάττοντος,
τὰ λόχους συνιστάμενοι διηγωνίζοντο· καὶ ἦν τὸ
γον ἁπάσης ἐλπίδος μεῖζον, τῶν μὲν οὐχ ὑφιεμέ- D
ιν ἐς τὸ παντελὲς τοῖς κρατοῦσι, τῶν δὲ ἐπεξελ-
ῖν τελέως τῇ νίκῃ φιλοτιμουμένων, ξυμμιγής τε
ετο τάραχος καὶ βοὴ καὶ κτύπος τῶν ὅπλων, ξι-
ῶν τε ἀγνυμένων ἀμφὶ τοῖς κράνεσι καὶ τῶν ἀσπί-
σων περὶ τοῖς δόρασιν. ἀνὴρ δὲ ἀνδρὶ ξυνίστατο,
καὶ ἀπορριπτοῦντες τὰς ἀσπίδας αὐτοῖς τοῖς ξίφεσιν
ὠθοῦντο μικρὰ τοῦ παθεῖν φροντίζοντες, ἅπαντα δὲ
εἰς τὸ δρᾶσαί τι δεινὸν τοὺς πολεμίους τὸν θυμὸν

1 φάλαγγα] πόλεμον M 2 τὰ M] τὸ 3 ὑπό του V | θεῶν Pet.] θεοῦ 5 αὖθις om. M 6 ἐς VM] εἰς 8 καὶ πρὸς ἐπανόρθωσιν addidi e VM 9 τὸν] τὸ V, at supra versum aliquid est erasum 10 μέσῃ τῇ πράξει V] μέσῃ τῆς πράξεως v, μισητῆς πράξεως Rsk. 12 ὅθεν παρεξῆλθον V 15 ἀλλ' VM] ἀλλὰ 24 τοῖς om. V 25 ἅπαντα VM] πάντα

τρέποτες, τοῦ μὴ καθαρὰν αὐτοῖς μηδὲ ἄδακρυν
παρασχεῖν τὴν νίκην καὶ τὸ ἀποθνήσκειν ἀνταλλατ-
60 τόμενοι. καὶ ταῦτα ἔδρων οὐ πεζοὶ μόνον πρὸς τοὺς
διώκοντας, ἀλλὰ καὶ ὅσοις τῶν ἱππέων ὑπὸ τῶν
θραυμάτων ἀχρεῖα παντελῶς ἐγεγόνει τὰ δόρατα
[σφῶν]. ξυστοὶ δέ εἰσιν εὐμήκεις, οὓς συγκαταγνύν-
τες καὶ ἀποπηδῶντες εἰς τοὺς ὁπλίτας μετεσκευάζοντο.
καὶ χρόνον μέν τινα χαλεπῶς καὶ μόλις ἀντεῖχον·
ἐπεὶ δὲ οἵ τε ἱππεῖς ἔβαλλον ἐκ τόξων πόρρωθεν
ἀφιππαζόμενοι καὶ οἱ θωρακοφόροι πυκναῖς ἐπ᾽ αὐ-
B τοὺς ἐχρῶντο ταῖς ἐπελάσεσιν ἅτε ἐν πεδίῳ καθαρῷ
καὶ λείῳ νύξ τε ἐπέλαβεν, ἐνταῦθα οἱ μὲν ἀπέφευ-
γον ἄσμενοι, οἱ δὲ ἐδίωκον καρτερῶς ἄχρι τοῦ χά-
ρακος, καὶ αὐτὸν αἱροῦσιν αὐταῖς ἀποσκευαῖς καὶ
ἀνδραπόδοις καὶ κτήνεσιν. ἀρξαμένης δέ, ὅπερ ἔφην,
ἄρτι τῆς τροπῆς τῶν πολεμίων καὶ τῶν διωκόντων
οὐκ ἀνιέντων, ἐπὶ τὸ λαιὸν ὠθοῦνται, ἵναπερ ὁ
ποταμὸς ἦν τοῖς κρατοῦσιν ἐν δεξιᾷ. ἐνταῦθα δὲ ὁ
πολὺς ἐγένετο φόνος, καὶ ἐπλήσθη νεκρῶν ἀνδρῶν
C τε καὶ ἵππων ἀναμίξ. οὐ γὰρ δὴ ὁ Δρᾶος ἐῴκει
Σκαμάνδρῳ, οὐδὲ ἦν εὐμενὴς τοῖς φεύγουσιν, ὡς
τοὺς μὲν νεκροὺς αὐτοῖς ὅπλοις ἐξωθεῖν καὶ ἀπορ-
ριπτεῖν τῶν ῥευμάτων, τοὺς ζῶντας δὲ ξυγκαλύπτειν
καὶ ἀποκρύπτειν ἀσφαλῶς ταῖς δίναις. τοῦτο γὰρ ὁ
παταμὸς ὁ Τρῶς τυχὲν μὲν ὑπὸ εὐνοίας ἔδρα, τυχὸν

2 ἀνταλαττόμενοι V 4 τῶν ἱππέων (ἵππων V) Pet. huc transposuit; vulgo inter τὰ et δόρατα leguntur 5 θραυμάτων cant.] τραυμάτων. Pet. θραυσμάτων 6 σφῶν del. Pet. | συγκαταμιγνύντες V 10 ἐφιππαζόμενοι aut παριππαζόμενοι scribendum videtur 12 ἀπέφυγον M 14 αἱροῦσιν Rsk. et H] ἀναιροῦσιν 15 ὥσπερ cant. 18 δὲ] καὶ M 20 θράος VM Suidas i. v. 22 ἀπορριπτεῖν V] ἀπορρίπτειν. cf. 59 D 23 ξυγκαλύπτειν V] συγκαλύπτειν

οὕτως ἔχων μεγέθους, ὡς ῥᾴδιον παρέχειν βαδι-
ζειν τε ἐθέλοντι καὶ νηχομένῳ τὸν πόρον· ἐπεὶ καὶ
γεφυροῦται μιᾶς ἐμβληθείσης εἰς αὐτὸν πτελέας, ἅπας D
ἀναμορμύρων ἀφρῷ καὶ αἵματι πλαζ' ὤμους Ἀχι-
λῆος, εἰ χρὴ καὶ τοῦτο πιστεῦσαι, βιαιότερον δὲ οὐ-
ν εἰργάζετο· καὶ ἐπιλαβόντος ὀλίγου καύματος ἀπα-
γορεύει τὸν πόλεμον καὶ ἐξόμνυται τὴν ἐπικουρίαν.
'μήρου δὲ ἔοικεν εἶναι καὶ τοῦτο παίγνιον, καινὸν
τι ἄτοπον μονομαχίας τρόπον ἐπινοήσαντος. ἐπεὶ
-ὶ τἆλλα δῆλός ἐστιν Ἀχιλλεῖ χαριζόμενος, καὶ ὥσπερ
εατὰς ἄγων τὸ στράτευμα μόνον ἄμαχον καὶ ἀνυ- 61
πόστατον ἐπάγει τοῖς πολεμίοις, κτείνοντα μὲν τοὺς
ἐντυγχάνοντας, τρεπόμενον δὲ ἁπαξαπλῶς πάντας φωνῇ
καὶ σχήματι καὶ τῶν ὀμμάτων ταῖς προσβολαῖς. ἀρ-
χομένης τε οἶμαι τῆς παρατάξεως [, καὶ] ἐπὶ τοῦ
'καμάνδρου ταῖς ἠόσιν ἕως εἰς τὸ τεῖχος ἄσμενοι
υνελέγησαν οἱ διαφυγόντες. ταῦτα ἐκεῖνος πολλοῖς
:εσι διηγούμενος καὶ θεῶν ἀναπλάττων μάχας καὶ
:ικοσμῶν μύθοις τὴν ποίησιν δεκάζει τοὺς κριτὰς B
τὶ οὐκ ἐπιτρέπει δικαίαν φέρειν καὶ ἀψευδῆ ψῆ-
ον. ὅστις δὲ ἐθέλει μηδὲν ὑπὸ τοῦ κάλλους ἐξα-
τᾶσθαι τῶν ῥημάτων καὶ τῶν ἔξωθεν ἐπιφερομένων
ιασμάτων, ὥσπερ ἐν ἀρχῇ περὶ ἀρωμάτων τινῶν καὶ
ρωμάτων, Ἀρεοπαγίτης ἔστω κριτής, καὶ οὐκ εὐλα-
βησόμεθα τὴν κρίσιν. εἶναι μὲν γὰρ ἀγαθὸν στρα-

4 ἀναμορμύρων — καὶ αἵματι] Iliad. φ, 325 | πλάζ' ὤμους Ἀχιλῆος ex Iliad. φ, 269 scripsi pro πέλαζεν ὤμοις Ἀχιλλῆος 5 τοῦτο V] τούτῳ. In M autem τούτω ex τοῦτο, ut videtur, correctum | βεβαιότερον fl. 10 τἆλλα V] τἄλλα 15 καὶ inclusit H 16 ἠόσιν scripsi pro ἠϊόσιν 19 δικάζει V 23 ὥσπερ — χρωμάτων] Locum corruptum ita olim tentavi, ut scriberem ὥσπερ ἐν γραφῇ ὑπ' ἀργυρωμάτων τινῶν καὶ χρυσωμάτων

τιώτην ὁμολογοῦμεν τὸν Πηλέως, ἐκ τῆς ποιήσεως ἀναπειθόμενοι. κτείνει μὲν ἄνδρας εἴκοσι,

C Ζωοὺς δ' ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους,
Τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠύτε νεβρούς,
Ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος·

τοσαύτην μέντοι ἤνεγκεν εἰς τὰ πράγματα τῶν Ἀχαιῶν ἡ νίκη τὴν ῥοπήν, ὥστε οὐδὲ μείζονα φόβον τοῖς πολεμίοις ἐνέβαλεν οὐδὲ ἀπογνῶναι ἐς τὸ παντελὲς ὑπὲρ σφῶν ἐποίει. καὶ ὑπὲρ τούτων ἄρ' ἑτέρου τινὸς μάρτυρος δεησόμεθα τὸν Ὅμηρον παραλιπόντες;
D καὶ οὐκ ἀπόχρη τῶν ἐπῶν μνησθῆναι, ἃ πεποίηκεν ἐκεῖνος, ὁπηνίκα ἐπὶ τὰς ναῦς ἦλθεν ὁ Πρίαμος φέρων ὑπὲρ τοῦ παιδὸς τὰ λύτρα; ἐρομένου γὰρ μετὰ τὰς διαλύσεις, [τὰς] ὑπὲρ ὧν ἀφῖκτο, τοῦ τῆς Θέτιδος υἱέος

Ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,

τά τε ἄλλα διέξεισι καὶ περὶ τοῦ πολέμου φησί·

Τῇ δὲ δυωδεκάτῃ πολεμίζομεν, εἴπερ ἀνάγκη.

62 οὕτως οὐδὲ ἐπαγγέλλειν ὀκνεῖ μετὰ τὴν ἐκεχειρίαν τὸν πόλεμον. ὁ δὲ ἀγεννὴς καὶ δειλὸς τύραννος ὄρη τε ὑψηλὰ προυτείνετο τῆς αὐτοῦ φυγῆς καὶ ἐξοικοδομήσας ἐπ' αὐτοῖς φρούρια οὐδὲ τῇ τῶν τόπων

3 δ' om. spanh. cum Hom. Iliad. φ, 27 4 Secundus versus apud Homerum et in edd. cant. et fl. post tertium legitur 6 μέντοι Rsk. et H] μὲν 7 τὴν malim abesse 8 ἐνέβαλλεν fl. | ἐς VM] εἰς 10 παραλείποντες cant. 14 τὰς del. Rsk. | ἀφῖκτο VM] ἀφίκτο (ἀφίκετο spanh.) 16 ποσσῆμαρ μέμονας κτερεϊζέμεν restituerunt Rsk. et H ex Iliad. ω, 657; κτερεϊζέμεν etiam VM, vulgo ὅπως ἐννῆμαρ μὲν ὅλας κτερεΐζομεν 17 φησὶν V 18 πολεμίζομεν V, πτολεμίζομεν M, πολεμίξομεν v 19 ἐπαγγέλλειν V] ἀπαγγέλλειν 21 προυτείνετο V] προυβάλλετο | αὑτοῦ fl.] αὐτοῦ | ἐξοικοδομήσας cant. et fl.] ἐξ οἰκοδομήσας. cf. 71 C

ὀχυρότητι πιστεύει, ἀλλὰ ἱκετεύει συγγνώμης τυγχάνειν. καὶ ἔτυχεν (ἄν), εἴπερ ἦν ἄξιος καὶ μὴ ἐφωράθη πολλάκις ἄπιστος καὶ θρασύς, ἄλλα ἐπ' ἄλλοις προστιθεὶς ἀδικήματα.

Τὰ μὲν δὴ κατὰ τὴν μάχην, εἰ μὴ δόξῃ τις τῶν διηγουμένων προσέχειν ἐθέλοι μηδὲ ἔπεσιν εὖ πεποιημένοις, [B] ἐς αὐτὰ δὲ ὁρᾶν τὰ ἔργα, κρινέτω. ἑξῆς δ', εἰ βούλεσθε τὴν Αἴαντος ὑπὲρ τῶν νεῶν καὶ τὴν ἐπὶ τοῦ τείχους τῶν Ἀχαιῶν ἀντιθεῖναι μάχην τοῖς ἐπὶ τῆς πόλεως ἐκείνης ἔργοις· ᾗ δὴ Μυγδόνιος ποταμῶν κάλλιστος τὴν αὑτοῦ προστίθησι φήμην, οὔσῃ δὲ καὶ Ἀντιόχου βασιλέως ἐπωνύμῳ· γέγονε δὲ αὐτῇ καὶ ἕτερον ὄνομα βάρβαρον, σύνηθες τοῖς πολλοῖς ὑπὸ τῆς πρὸς τοὺς τῇδε βαρβάρους ἐπιμιξίας· ταύτην δὴ τὴν πόλιν στρατὸς ἀμήχανος πλήθει Παρθυαίων ξὺν Ἰνδοῖς περιέσχεν, ὁπηνίκα ἐπὶ τὸν τύ- [C] ραννον βαδίζειν προὔκειτο· καὶ ὅπερ Ἡρακλεῖ φασιν ἐπὶ τὸ Λερναῖον ἰόντι θηρίον συνενεχθῆναι, τὸν θαλάττιον καρκίνον, τοῦτο ἦν ὁ Παρθυαίων βασιλεὺς ἐκ τῆς ἠπείρου Τίγρητα διαβὰς καὶ ἐπιτειχίζων τὴν πόλιν χώμασιν· εἶτα εἰς ταῦτα δεχόμενος τὸν Μυγδόνιον λίμνην ἀπέφηνε τὸ περὶ τῷ ἄστει χωρίον καὶ ὥσπερ νῆσον ἐν αὐτῇ συνεῖχε τὴν πόλιν, μικρὸν ὑπερεχουσῶν καὶ ὑπερφαινομένων τῶν ἐπάλξεων. ἐπο- [D] λιόρκει δὲ ναῦς τε ἐπάγων καὶ ἐπὶ νεῶν μηχανάς· καὶ ἦν οὐχ ἡμέρας ἔργον, μηνῶν δὲ οἶμαι σχεδόν

2 ἄν add. Rsk. 6 ἐθέλοι VM] ἐθέλει 7 et 8 δὲ εἰ VM, δὲ om. v 10 ἤδη V, correxit manus recentior 11 αὐτοῦ VM 11 et 12 οὔσῃ δὲ H] οὔσῃ γε 15 δὴ VM] δὲ 18 συνενεχθῆναι — καρκίνον om. M 19 καρκίνον H] καρκῖνον 20 περιτειχίζων? cf. 27 B 22 ἀπέφηνε V, ἀπέφαινε M, ἀπεφαίνετο v 23 συνεῖχε VM] ξυνεῖχε

τι τεττάρων. οἱ δὲ ἐν τῷ τείχει συνεχῶς ἀπεκρούοντο τοὺς βαρβάρους καταπιμπράντες τὰς μηχανὰς τοῖς πυρφόροις· ναῦς δὲ ἀνεῖλκον πολλὰς μὲν ἐκ τοῦ τείχους, ἄλλαι δὲ κατεάγνυντο ὑπὸ ῥώμης τῶν ἀφιεμένων ὀργάνων καὶ βάρους τῶν βελῶν. ἐφέροντο γὰρ
63 εἰς αὐτὰς λίθοι ταλάντων ὁλκῆς Ἀττικῶν ἑπτά. καὶ ἐπειδὴ συχναῖς ἡμέραις ταῦτ' ἐδρᾶτο, ῥήγνυται μέρος τοῦ χώματος καὶ ἡ τῶν ὑδάτων ἐκρεῖ πλήμμυρα, καὶ ἐπ' αὐτῇ τοῦ τείχους μέρος οὐκ ἔλασσον πήχεων ἑκατὸν συγκατηνέχθη. ἐνταῦθα κοσμεῖ τὴν στρατιὰν τὸν Περσικὸν τρόπον. διασώζουσι γὰρ καὶ ἀπομιμοῦνται τὰ Περσικὰ οὐκ ἀξιοῦντες, ἐμοὶ δοκεῖν, Παρθυαῖοι νομίζεσθαι, Πέρσαι δὲ εἶναι προσποιούμενοι.
B ταῦτά τοι καὶ στολῇ Μηδικῇ χαίρουσι· καὶ ἐς μάχας ἔρχονται ὁμοίως ἐκείνοις ὅπλοις τε ἀγαλλόμενοι τοιούτοις καὶ ἐσθήμασιν ἐπιχρύσοις καὶ ἁλουργέσι. σοφίζονται δὲ ἐντεῦθεν τὸ μὴ δοκεῖν ἀφεστάναι Μακεδόνων, ἀναλαβεῖν δὲ τὴν ἐξ ἀρχαίου βασιλείαν προσήκουσαν. οὐκοῦν καὶ ὁ βασιλεὺς Ξέρξην μιμούμενος ἐπί τινος χειροποιήτου καθῆστο γηλόφου, προσῆγε δὲ ἡ στρατιὰ ξὺν τοῖς θηρίοις. ταῦτα δὲ ἐξ Ἰνδῶν εἵπετο, καὶ ἔφερεν ἐκ σιδήρου πύργους τοξοτῶν πλήρεις. ἡγοῦντο δὲ αὐτῶν ἱππεῖς οἱ θωρακοφόροι καὶ οἱ
C τοξόται, ἕτερον ἱππέων πλῆθος ἀμήχανον. τὸ πεζὸν γάρ σφιν ἀχρεῖον ἐς τὰ πολεμικὰ καθέστηκεν οὔτε

2 καταπιμπράντες M, καταπιμπρῶντες V, καταπιπράντες v 4 κατεάγνυντο V] κατεάγοντο | ῥύμης praefert Reiskius 6 Ἀττικῆς Rsk. 7 ταῦτα VM 8 πλήμμυρα H] πλημμύρα 12 δοκεὶν H] δοκεῖ. cf. ad 308 B 16 ἐσθήμασιν VM] ἐσθήμασι 17 ἀφεστάναι VM] ἀφεστᾶναι 18 τὴν ἐξ ἀρχαίου] ἐξ ἀρχαίου τὴν V, ἐξ ἀρχῆς τὴν Mv; τὴν cum Reiskio transposui 20 προσῆγε] Malim προῆγε 21 ξὺν τοῖς θηρίοις VM] σὺν θηρίοις 25 σφιν V] φασιν | ἐς V] εἰς

ἐντίμου μετέχον τάξεως οὔτε ὂν σφιν ἐν χρείᾳ, πε-
διάδος οὔσης καὶ ψιλῆς τῆς χώρας ὁπόσην νέμονται.
ἔοικε γὰρ δὴ τὰ τοιαῦτα πρὸς τὰς τοῦ πολέμου
χρείας τιμῆς καὶ ἀτιμίας ἀξιοῦσθαι. ὡς οὖν ἀχρεῖον
τῇ φύσει οὐδὲ ἐκ τῶν νόμων πολυωρίας ἀξιοῦται.
συνέβη δὲ οὕτω καὶ περὶ τὴν Κρήτην καὶ Καρίαν
καὶ ἐν ἄλλοις δὲ μυρίοις ἔθνεσι τὰ περὶ τὸν πόλε- D
μον κατασκευασθῆναι. οὐκοῦν καὶ ἡ Θετταλῶν οὖσα
πεδιὰς ἱππεῦσιν ἐναγωνίζεσθαι καὶ ἐμμελετᾶν ἐπιτή-
δειος ἐφάνη. τὰ γὰρ δὴ τῆς ἡμετέρας πόλεως, ἅτε
ἐς ἀντιπάλους παντοδαποὺς καταστάντα, εὐβουλίᾳ
καὶ τύχῃ περιγενόμενα, εἰκότως ἐς ἅπαν εἶδος ὅπλων
τε καὶ παρασκευῆς (ἄλλοτε) ἄλλης ἡρμόσθη. ἀλλὰ
ταῦτα μὲν ἴσως οὐδὲν πρὸς τὸν λόγον, ὡς ἂν εἴποιεν
οἱ ταῖς τῶν ἐπαίνων τέχναις καθάπερ νόμοις ἐπιτε-
ταγμένοι· ἐγὼ δὲ εἰ μέν τί σοι προσήκει καὶ τού-
των, ἐν καιρῷ σκέψομαι, τά γε μὴν ὀνείδη τῶν ἀν- 64
ρώπων οὐ χαλεπῶς ἀπολύομαι. φημὶ γὰρ ὡς οὔτε
ἐγὼ τῶν τεχνῶν μεταποιοῦμαι οὔτε ὅστις μή τισιν
ʽμολόγησεν ἐμμενεῖν ἀδικεῖ μὴ φυλάττων ταῦτα·
τυχὸν δὲ καὶ ἄλλων οὐκ ἀπορήσομεν εὐπρεπῶν παρ-
αιτήσεων. ἀλλ' οὐ γὰρ ἄξιον μακρότερον εἰς οὐδὲν
δέον ἀπαρτᾶν τὸν λόγον καὶ ἀποπλανᾶσθαι τῆς ὑπο-
θέσεως. ἐπαναβῶμεν οὖν αὖθις εἰς ἴχνος καὶ ὅθεν
ἐξέβην. ἐπειδὴ γὰρ οἱ Παρθυαῖοι κοσμηθέντες ὅπλοις B
αὐτοί τε καὶ ἵπποι ξὺν τοῖς Ἰνδικοῖς θηρίοις προσ-
ῆγον τῷ τείχει, λαμπροὶ ταῖς ἐλπίσιν ὡς αὐτίκα μάλα

4 ὂν, quod vulgo post φύσει legitur, in M ante οὖν ponitur. Ego expunxi 6 οὕτω Rsk. et H] τοῦτο 10 τὰ γὰρ] τά γε Rsk. 13 ἄλλοτε add. Rsk. | ἡρμόσθαι V 20 ἐμμενεῖν H] ἐμμένειν | ταῦτα add. V 24 ἐπαναβῶμεν V] ἐπανάβωμεν 25 ἐξέβην V] ἐξέβημεν

διαρπασόμενοι, καὶ ἐδέδοτό σφιν τοῦ πρόσω χωρεῖν τὸ σημεῖον, ὠθοῦντο ξύμπαντες, αὐτός τις ἐθέλων πρῶτος ἐσαλέσθαι τὸ τεῖχος καὶ οἴχεσθαι φέρων τὸ ἐπ' αὐτῷ κλέος· εἶναί τε οὐδὲν ἐτόπαζον δέος· οὐδὲ γὰρ ὑπομενεῖν σφῶν τὴν ὁρμὴν τοὺς ἔνδον ἠξίουν.
C Παρθυαίοις μὲν τοσοῦτον περιῆν ἐλπίδος. οἱ δὲ πυκνήν τε εἶχον τὴν φάλαγγα κατὰ τὸ διερρηγμένον τοῦ τείχους, καὶ ὑπὲρ τοῦ συνεστῶτος ὁπόσον ἦν ἀχρεῖον πλῆθος ἐν τῇ πόλει κατέστησαν ἀναμίξαντες τῶν στρατιωτῶν οὐκ ἐλάττω μοῖραν. ἐπεὶ δὲ οἱ πολέμιοι προσήλαυνον καὶ οὐδὲν ἐπ' αὐτοὺς ἐκ τοῦ τείχους ἀφίετο βέλος, βεβαιοτέραν εἶχον τὴν ἐλπίδα τοῦ κατ' ἄκρας αἱρήσειν τὴν πόλιν, καὶ τοὺς ἵππους ἔπαιον μάστιξι καὶ ᾕμασσον τὰς πλευρὰς τοῖς κέν-
D τροις, ἕως ἐποιήσαντο σφῶν κατὰ νώτου τὰ χώματα· ἐπεποίητο δὲ ὑπ' αὐτῶν ἐκεῖνα πρότερον πρὸς τὸ ἐπέχειν τοῦ Μυγδονίου τὰς ἐκροάς, ἰλύς τε ἦν περὶ τὸ χωρίον εὖ μάλα βαθεῖα οὐδὲ αὐτοῦ παντελῶς ὄντος ὑπὸ τῆς ὕλης καὶ δια τὸ πίειραν εἶναι τὴν γῆν καὶ στέγειν δύνασθαι φύσει τὰς λιβάδας. ἦν δὲ ἐνταῦθα καὶ παλαιὸν ἔρυμα τῇ πόλει τάφρος εὐ-
65 ρεῖα, καὶ ἐν αὐτῇ βαθύτερον συνειστήκει τέλμα. ἁπτομένων δὲ ἤδη τῶν πολεμίων καὶ ταύτης καὶ διαβαίνειν πειρωμένων, ἐπεξήεσαν πολλοὶ μὲν ἔνδοθεν,

1 *διαρπασάμενοι* V. Videtur autem Iulianus *ἀναρπασόμενοι* scripsisse; vid. Wesseling. ad Diodor. vol. I p. 585 et Pflugk. ad Eur. Hel. 751 3 *ἐσάλλεσθαι* V. Spectat Iliad. μ, 438. cf. infra 71 B 4 *εἶναί τε* VM] *εἶναι δὲ* 5 *ὑπομενεῖν* H] *ὑπομένειν* | *ὀρμὴν* V 11 *ἐπ' αὐτοὺς ἐκ τοῦ τείχους* V] *ἐκ τοῦ τείχους ἐπ' αὐτοὺς* 15 *κατὰ*] *ἐπὶ* V 16 *ἐπεποίητο* H] *πεποίητο* | *ἐκεῖνα* H] *ἐκείνων* 18 *οὐδὲ αὐτὸ παντελῶς ὂν ξηρὸν ὑπό τε ὕλης* Rsk. 19 *ξλης* V 24 *ἐπεξήεσαν* (*ἐπεξῇσαν* scribendum) om. V, atque locum certe non *suum occupat*, sed post *ἔνδοθεν* videtur collocandum

ιλλοὶ δὲ ἀπὸ τῶν τειχῶν ἔβαλλον τοῖς λίθοις· καὶ αὐτῶν μὲν πολὺς ἐγένετο φόνος, φυγῇ δὲ ἔτρεπον τοὺς ἵππους ξὺμπαντες, τῷ μόνον ἐθέλειν καὶ δηλοῦν τὴν γνώμην διὰ τοῦ σχήματος. ἐπιστρεφόντων γὰρ ἔπιπτον εὐθέως καὶ κατέφερον τοὺς ἱππέας· βαρεῖς δὲ ὄντες τοῖς ὅπλοις μᾶλλον ἐνείχοντο τῷ τέλματι. καὶ αὐτῶν ἐνταῦθα γίνεται φόνος, ὅσος B οὔπω πρόσθεν ἐν πολιορκίᾳ τοσαύτη γέγονεν. ἐπεὶ δὲ τὰ τῶν ἱππέων ὧδε ἐπεπράγει, τῶν ἐλεφάντων πειρῶνται, καταπλήξεσθαι μᾶλλον οἰόμενοι τῷ ξένῳ τῆς μάχης· οὐ γὰρ δὴ τοσοῦτον αὐτοῖς τὰ τῶν ὀμμάτων διέφθαρτο, ὡς μὴ καθορᾶν βαρύτερον μὲν ὂν ἵππου τὸ θηρίον, φέρον δὲ ἄχθος οὐχ ἵππων δυοῖν ἢ πλειόνων, ἁμαξῶν δὲ οἶμαι συχνῶν, τοξότας καὶ ἀκοντιστὰς καὶ σιδηροῦν πύργον. ταῦτα δὲ ἦν C ἅπαντα πρὸς τὸ χωρίον χειροποίητον γεγονὸς τέλμα ολύματα, καὶ ἦν αὐτοῖς ἔργῳ φανερά· ὅθεν οὐκ ιὸς εἰς μάχην ἰέναι, ἀλλὰ ἐς κατάπληξιν τῶν ἔνδον ιαρασκευάζεσθαι. προσῆγον δὲ ἐν τάξει μέτρον διεστῶτες ἀλλήλων ἴσον, καὶ ἐῴκει τείχει τῶν Παρθυων ἡ φάλαγξ· τὰ μὲν θηρία τοὺς πύργους φέροντα, τῶν ὁπλιτῶν δὲ ἀναπληρούντων τὰ ἐν μέσῳ. ταχθέντες δὲ οὕτως οὐ μέγα ὄφελος ἦσαν τῷ βαρβάρῳ· παρεῖχον γὰρ ἡδονὴν καὶ τέρψιν τοῖς ἐκ τοῦ τείχους D θεωμένοις. ὡς δὲ ἐγένοντο διακορεῖς οἱονεὶ λαμπρᾶς

8 τοσαύτη] „Non placet τοσαύτη. num τοιαύτη, an potius τοσοῦτος legendum et collocandum inter φόνος et ὅσος?“ Rsk. 9 ἐπεπράγει M] ἐπεπράχει V, ἐξεπράγη v 11 δὴ add. V 12 et 13 μὲν οὖν ὂν V 17 ἦν H] ἐν 18 εἰς V] ες 20 ἴσον V 21 τὰ μὲν θηρία κτλ.] Locus corruptus. Quid autem scribere potuerit Iulianus, ostendunt loci similes Diodor. 17, 87, 5, Appian. Syr. 32, Polyaen. 4, 3, 22 23 δὲ om. M | οὕτως VM] οὕτω | οὐ om. V

καὶ πολυτελοῦς πομπῆς πεμπομένης, λίθους ἐκ μηχα-
νῶν ἀφιέντες καὶ τόξοις βάλλοντες ἐς τὴν τειχομα-
χίαν προυκαλοῦντο τοὺς βαρβάρους. φύσει δὲ ὄντες
εἰς ὀργὴν ὀξύρροποι καὶ δεινὸν ποιούμενοι τὸ γέ-
λωτα ὀφλῆσαι καὶ ἀπαγαγεῖν ὀπίσω τὴν παρασκευὴν
ἄπρακτον, ἐγκελευομένου σφίσι τοῦ βασιλέως, προσ-
ῆγον τῷ τείχει καὶ ἐβάλλοντο πυκνῶς τοῖς λίθοις
66 καὶ τοῖς τοξεύμασι· καὶ ἐτρώθη τῶν θηρίων τινὰ
καὶ ἀπέθανεν εἰσενεχθέντα ὑπὸ τῆς ἰλύος. δείσαντες
δὲ καὶ ὑπὲρ τῶν ἄλλων ἀπῆγον ὀπίσω πάλιν εἰς τὸ
στρατόπεδον. ὡς δὲ καὶ ταύτης ὁ Παρθυαῖος ἥμαρτε
τῆς πείρας, τοὺς τοξότας διελὼν εἰς μοίρας διαδέχε-
σθαί τε ἀλλήλους κελεύει καὶ συνεχῶς βάλλειν πρὸς
τὸ διερρηγμένον τοῦ τείχους, ὡς μὴ δυνηθεῖεν ἀποι-
κοδομῆσαι καὶ ἔχειν ἀσφαλῶς τὴν πόλιν· οὕτω γὰρ
αἱρήσειν λαθὼν ἢ βιασάμενος τῷ πλήθει τοὺς ἔνδον
B ἤλπιζε. μάταιον γὰρ ἀπέφηνεν ἡ βασιλέως παρα-
σκευὴ τοῦ βαρβάρου τὸ διανόημα. κατὰ νώτου γὰρ
τῶν ὁπλιτῶν ἕτερον τεῖχος εἰργάζετο· ὁ δὲ ᾤετο τοῖς
ἀρχαίοις ἴχνεσιν ἐς τὰ θεμέλια χρωμένους μέλλειν
ἔτι. ἡμέρᾳ δὲ ὅλῃ καὶ νυκτὶ συνεχῶς ἐργασαμένων
ἔστε ἐπὶ τέτταρας πήχεις ὕψους ἠγείρετο, καὶ ἕωθεν
ὤφθη λαμπρὸν καὶ νεουργές, ἐκείνων οὐδὲ ἀκαρῆ
χρόνον ἐνδιδόντων, διαδεχομένων δὲ ἀλλήλους καὶ
ἀκοντιζόντων ἐς τοὺς ἐφεστῶτας τῷ κειμένῳ τείχει.

2 καὶ τόξοις βάλλοντες addidi ex V | ἐς V] εἰς 3 προυκαλοῦντο H] προεκαλοῦντο 4 εἰς om. VM 6 προσεῖχον V 9 κατενεχθέντα aut εἰς ἄβυσσον ἐνεχθέντα Rsk. 16 βιασάμενος VM] βιασόμενος 17 γὰρ] Aut δὲ scribendum esse conjecit Pet. aut quidpiam deesse; Rsk. legit δ' ἄρα aut ἤλπιζε. μάτην. μάταιον γάρ; ego ἀλλὰ ante μάταιον excidisse puto. De verborum positura ἀλλὰ μάταιον γὰρ vid. ad 115 B 20 μέλειν V 22 ὕψους V] ὕψος

τοῦτο ἐξέπληξε δεινῶς τὸν βάρβαρον. οὐ μὴν ἀπῆγεν C
εὐθὺς τὴν στρατιάν, ἀλλ' αὖθις τοῖς αὐτοῖς χρῆται
παλαίσμασι. δράσας δὲ οἶμαι καὶ παθὼν παραπλήσια
ἀπῆγε τὴν στρατιὰν ὀπίσω, πολλοὺς μὲν ὑπὸ τῆς
ἐνδείας δήμους ἀπολέσας, πολλὰ δὲ ἀναλώσας περὶ
τοῖς χώμασι καὶ τῇ πολιορκίᾳ σώματα, σατράπας δὲ
ἀνελὼν συχνούς, ἄλλον ἄλλο ἐπαιτιώμενος, τὸν μὲν D
ὅτι μὴ καρτερῶς ἐπεποίητο τὰ χώματα, εἶξε δὲ καὶ
ἐπεκλύσθη παρὰ τῶν ποταμίων ῥευμάτων, τὸν δὲ ὡς
φαύλως ἀγωνισάμενον ὑπὸ τοῖς τείχεσι, καὶ ἄλλους
ἄλλας ἐπάγων αἰτίας ἔκτεινεν. ἔστι γὰρ εὖ μάλα
τοῖς κατὰ τὴν Ἀσίαν βαρβάροις σύνηθες ἐς τοὺς
ὑπηκόους τὰς αἰτίας τῆς δυσπραγίας ἀποσκευάζεσθαι,
ὃ δὴ καὶ τότε δράσας ἀπιὼν ᾤχετο. καὶ ἄγει πρὸς
ἡμᾶς εἰρήνην ἐκ τούτου, καὶ οὔτε ὅρκων οὔτε συν-
θηκῶν ἐδεήσεν, ἀγαπᾷ δὲ οἴκοι μένων, εἰ μὴ στρα- 67
τεύοιτο βασιλεὺς ἐπ' αὐτὸν καὶ δίκην ἀπαιτοίη τοῦ
θράσους καὶ τῆς ἀπονοίας. ἆρά γε ἄξιον ταύτην
παραβαλεῖν τὴν μάχην ταῖς ὑπὲρ τῶν νεῶν τῶν Ἑλ-
ληνικῶν καὶ τοῦ τείχους; ἀθρεῖτε δὲ ὧδε τὴν ὁμοιό-
τητα καὶ τὸ διάφορον λογίζεσθε. Ἑλλήνων μὲν
Αἴαντε καὶ οἱ Λαπίθαι καὶ Μενεσθεὺς τοῦ τείχους
εἶξαν καὶ περιεῖδον τὰς πύλας συντριβομένας ὑφ'
Ἕκτορος καὶ τῶν ἐπάλξεων ἐπιβεβηκότα τὸν Σαρπη-
δόνα. οἱ δὲ οὐδὲ διαρραγέντος αὐτομάτως τοῦ τεί- B
χους ἐνέδοσαν, ἀλλὰ ἐνίκων μαχόμενοι καὶ ἀπεκρού-
οντο Παρθυαίους ξὺν Ἰνδοῖς ἐπιστρατεύσαντας. εἶτα
ὁ μὲν ἐπιβὰς τῶν νεῶν ἀπὸ τῶν ἰκρίων ὥσπερ ἐρύ-

10 ἄλλους] ἄλλοις cant. 11 ἄλλας ἐπάγων αἰτίας M cant. fl.] ἄλλαις ἐπάγων αἰτίαις 19 παραβαλεῖν V] παραβάλλειν 22 οἱ λαπίθαι VM] Λαπίθαι 23 ὑφ' V] πρὸς 25 οὐδὲ VM] οὐ

ματος πεζὸς διαγωνίζεται, οἱ δὲ πρότερον ἀπὸ τῶν τειχῶν ἐναυμάχουν, τέλος δὲ οἱ μὲν τῶν ἐπάλξεων εἶξαν καὶ τῶν νεῶν, οἱ δὲ ἐνίκων ναυσί τε ἐπιόντας καὶ πεζῇ τοὺς πολεμίους. ἀλλὰ γὰρ εὖ ποιῶν ὁ λόγος ἐπὶ τὸν Ἕκτορα καὶ τὸν Σαρπηδόνα, οὐκ οἶδα
C ὅπως, ὑπηνέχθη καὶ ἐπ' αὐτό γέ φασι τῶν ἔργων τὸ κεφάλαιον, τὴν καθαίρεσιν τοῦ τείχους, (ὃ) μιᾷ πρότερον ἡμέρᾳ τοὺς Ἀχαιούς φησι, τοῦ Πυλίου δημαγωγοῦ καὶ βασιλέως ξυμπείθοντος, ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ κατασκευάσασθαι. σχεδὸν γάρ μοι τοῦτο φαίνεται τὸ γενναιότατον τῶν ἔργων Ἕκτορος, καὶ οὐχὶ Γλαύκου τέχνη συνεῖναι οὐδὲ σοφωτέρας ἐπινοίας δεῖται, Ὁμήρου σαφῶς διδάσκοντος, ὡς Ἀχιλλέως μὲν φανέντος

ἐδύσατο οὐλαμὸν ἀνδρῶν.

D Ἀγαμέμνονος δὲ τοῖς Τρωσὶν ἐπικειμένου καὶ ἐς τὸ τεῖχος καταδιώξαντος Ἕκτορα ὕπαγε Ζεύς, ἵνα ἀποσώζοιτο καθ' ἡσυχίαν. προσπαίζων δὲ αὐτὸν ὁ ποιητὴς καὶ καταγελῶν τῆς δειλίας ὑπὸ τῇ φηγῷ καὶ πρὸς ταῖς πύλαις ἤδη καθημένῳ τὴν Ἶριν ἥκειν ἔφη παρὰ τοῦ Διὸς φράζουσαν

Ὄφρ' ἂν μέν κεν ὁρᾷς Ἀγαμέμνονα ποιμένα λαῶν
68 Θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
Τόφρ' ὑπόεικε μάχης.

7 ὃ add. Pet. 9 ἄρρηκτον — εἶλαρ Iliad. ξ, 56 10 εἶλαρ VM 12 τέχνη cant. (Heindorf. ad Plat. Phaedon. 108 D), τέχνῃ v. Sed nescio an τέχνης potius cum Reiskio scribendum sit 15 Iliad. υ, 379 17 ὕπαγε] Iliad. λ, 163 18 ὁ ποιητὴς αὐτὸν M 20 πρὸς ταῖς πύλαις V] ταῖς πύλαις 22 *Iliad. λ, 202 | ὄφρα μέν κεν M*

πῶς γὰρ εἰκὸς οὕτως ἀγεννῆ καὶ δειλὰ παραινεῖν τὸν Δία, ἄλλως τε οὐδὲ μαχομένῳ, ξὺν πολλῇ δὲ ἑστῶτι ῥᾳστώνῃ; καὶ ὁπηνίκα δὲ ὁ τοῦ Τυδέως, τῆς Ἀθηνᾶς πολλὴν ἐκ τοῦ κράνους ἀναπτούσης φλόγα, πολλοὺς μὲν ἔκτεινε, φεύγειν δὲ ἠνάγκαζε τοὺς ὑπομένοντας, πόρρω τε ἀφειστήκει τοῦ πολέμου, καὶ B πολλὰ ὑπομένων ὀνείδη ἀπέγνω μὲν κρατοῦσι τοῖς Ἀχαιοῖς ἀντιστῆναι, εὐπρεπῆ δὲ ποιεῖται τὴν εἰς τὸ ἄστυ πορείαν, ὡς τῇ μητρὶ παραινέσων ἐξιλεοῦσθαι τὴν Ἀθηνᾶν μετὰ τῶν Τρωάδων. καίτοι εἰ μὲν αὐτὸς ἱκέτευε πρὸ τοῦ νεὼ ξὺν τῇ γερουσίᾳ, πολὺν (ἂν) εἶχε λόγον· προσήκει γὰρ οἶμαι τὸν στρατηγὸν ἢ βασιλέα καθάπερ ἱερέα καὶ προφήτην θεραπεύειν ἀεὶ ξὺν κόσμῳ τὸν θεὸν καὶ μηδὲν ὀλιγωρεῖν μηδὲ C ἑτέρῳ μᾶλλον προσήκειν ἡγεῖσθαι μηδὲ ἐπιτρέπειν, ἀνάξιον αὐτοῦ νομίζοντα τὸ διακόνημα.

Οἶμαι γὰρ τὴν Πλάτωνος μικρὰ παρατρέψας λέξιν οὐχ ἁμαρτήσεσθαι, ὡς ὅτῳ ἀνδρί, μᾶλλον δὲ βασιλεῖ, ἐς τὸν θεὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἀναγκάζεται αὐτὸς καὶ τὰ ἐκείνου πράγματα, τούτῳ ἄριστα παρε- D σκεύασται πρὸς τὸ ζῆν. εἰ δὲ ἐπιτρέποι μηδεὶς παραγράφειν μηδὲ ἐκτρέπειν μηδὲ μεταλαμβάνειν τοὔνομα, ἀλλὰ ὥσπερ ἱερὸν ἀρχαῖον κελεύοι μένειν ἐᾶν ἀκίνητον, οὐδὲ οὕτως ἄλλο τι διανοεῖσθαι τὸν σοφὸν ἐροῦμεν. τὸ γὰρ σεαυτοῦ οὐ δήπου τὸ σῶμά φησιν οὐδὲ τὰ χρήματα οὐδὲ εὐγένειαν καὶ δόξαν πατέρων·

1 δεινὰ V 6 πόρρω τε V] πόρρωθεν 8 εἰς VM] ἐς 9 ἐξιλάσασθαι cant. 12 ἂν add. H 16 αὐτοῦ VM 17 Πλάτωνος] Menex. 247 E 25 κελεύοι V] κελεύει 27 σεαυτὸ V. Scribendum ἑαυτὸν

ταῦτα γὰρ αὐτοῦ μέν τινος οἰκεῖα κτήματα, οὐ μήν
ἐστι ταῦτα αὐτός· ἀλλὰ νῷ καὶ φρονήσει, φησί, καὶ
69 τὸ ὅλον τῷ ἐν ἡμῖν θεῷ· ὃ δὴ καὶ αὐτὸς ἑτέρωθι
κυριώτατον ἐν ἡμῖν ψυχῆς εἶδος ἔφη, καὶ ὡς ἄρα
αὐτὸν δαίμονα θεὸς ἑκάστῳ δέδωκε, τοῦτο ὃ δή
φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς
δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν.
ἐς τοῦτο γὰρ ἔοικεν ἐπιτάττειν ἀνηρτῆσθαι χρῆναι
ἑκάστῳ ἀνδρί, καὶ οὐκ εἰς ἄλλους ἀνθρώπους, οἳ
τὰ μὲν ἄλλα βλάπτειν καὶ κωλύειν ἐθέλοντες πολλάκις
ἐδυνήθησαν· ἤδη δέ τινες καὶ μὴ βουλόμενοι τῶν
B ἡμετέρων τινὰ παρείλοντο· τοῦτο δὲ ἀκώλυτον μόνον
καὶ ἀπαθές ἐστιν, ἐπεὶ μηδὲ θεμιτὸν ὑπὸ τοῦ χεί-
ρονος τὸ κρεῖττον βλάπτεσθαι. ἔστι δὲ καὶ οὗτος
ἐκεῖθεν ὁ λόγος. ἀλλ' ἔοικα γὰρ καταφορτίζειν ὑμᾶς
τοῖς τοῦ Πλάτωνος λόγοις μικρὰ ἐπιπάττων τῶν ῥη-
μάτων ὥσπερ ἁλῶν ἢ χρυσοῦ ψήγματος. τούτων δὲ
οἱ μὲν [ὡς] ἡδίω τὴν τροφήν, ὁ δὲ εὐπρεπῆ μᾶλλον
παρέχει τὴν θέαν. ἀμφότερα δὲ ἐν τοῖς Πλάτωνος
C λόγοις· καὶ γὰρ αἰσθέσθαι διὰ τῆς ἀκοῆς ἡδίους
τῶν ἁλῶν καὶ θρέψαι ψυχὴν ξὺν ἡδονῇ καὶ καθῆραι
θαυμαστοί· ὥστε οὐκ ἀποκνητέον οὐδὲ εὐλαβητέον
τὸν ψόγον, εἴ τις ἄρα καταμέμφοιτο τὴν ἀπληστίαν,
καὶ ὅτι παντὸς ἐπιδραττόμεθα ὥσπερ ἐν τοῖς συμ-
ποσίοις οἱ λίχνοι τῶν ἐδωδίμων ἁπάντων, οὐχ ὑπο-

2 ἐστι] ἐπεὶ V | Accusativos νοῦν, φρόνησιν, τὸν θεόν requiro. Sed gravius mendum videtur latere 5 αὐτὸν] αὐτὸς M 8 ἔοικεν V] ἕλκων | ἐπιτάττειν VM] ἐπιτάττει 11 ἐδυνήθησαν M] ἠδυνήθησαν 13 et 14 μηδὲ θεμιτὸν — βλάπτεσθαι] Plat. Apol. 30 D 15 ὑμᾶς V] ἡμᾶς 16 ἐπιπάττων fl.] ἐπιτάττων (ἐπιττάττων M, ἐπὶ πάντων cant.) 18 ὡς inclusit H | μᾶλλον add. V 19 πλάτωνος V] τοῦ Πλάτωνος 21 ἁλῶν H] ἄλλων | καθῆραι H] καθᾶραι (καθάραι V) 22 θαυμαστοί V] δυνατοί | ἀποκτητέον VM

μένοντες το μὴ τῶν προκειμένων ἅψασθαι. τοῦτο
γὰρ δὴ τρόπον τινὰ καὶ ἡμῖν ἔοικε συμβαίνειν,
ἐπαίνους ἅμα καὶ δόγματα ᾄδειν καὶ πρὶν ἢ μετρίως
ἐφικέσθαι τοῦ προτέρου λόγου μέσον ὑποτεμομένοις D
φιλοσόφων ἐξηγεῖσθαι ῥήσεις. πρὸς δὴ τοὺς τὰ τοι-
αῦτα καταμεμφομένους εἴρηται μὲν ἤδη καὶ πρότερον
καὶ αὖθις δὲ ἴσως λελέξεται.

Νῦν δὲ τὸ συνεχὲς ἀποδόντες τῷ παρόντι λόγῳ
ἐπὶ τὸν ἐξ ἀρχῆς ἐπανάγωμεν ὥσπερ οἱ προεκθέον-
τες ἐν τοῖς δρόμοις. ἐλέγετο δ' οὖν ἐν τοῖς πρό-
σθεν ὡς αὐτὸν μέν τινά φησι Πλάτων τὸν νοῦν
καὶ τὴν ψυχήν, αὐτοῦ δὲ τὸ σῶμα καὶ τὴν κτῆσιν. 70
ταῦτα δὲ ἐν τοῖς θαυμασίοις διώρισται νόμοις. ὥσπερ
οὖν, εἴ τις ἐξ ἀρχῆς ἀναλαβὼν λέγοι· „Ὅτῳ ἀνδρὶ
ἐς νοῦν καὶ φρόνησιν ἀνήρτηται πάντα τὰ ἐς εὐ-
δαιμονίαν φέροντα καὶ μὴ ἐν τοῖς ἐκτός, ἐξ ὧν εὖ
ἢ κακῶς πραξάντων ἢ καὶ πασχόντων πλανᾶσθαι
ἀναγκάζεται, τούτῳ ἄριστα παρεσκεύασται πρὸς τὸ
ζῆν“, οὐ παρατρέπει τὴν λέξιν οὐδὲ παραποιεῖ, ἐξη-
γεῖται δὲ ὀρθῶς καὶ ἑρμηνεύει· οὕτω δὲ καὶ ὅστις B
ἀντὶ τῆς αὐτοῦ λέξεως τὸν θεὸν παραλαμβάνει οὐκ
ἀδικεῖ. εἰ γὰρ τὸν ἐν ἡμῖν δαίμονα, ὄντα μὲν ἀπαθῆ
τῇ φύσει καὶ θεῷ ξυγγενῆ, πολλὰ δὲ ἀνατλάντα καὶ
ὑπομείναντα διὰ τὴν πρὸς τὸ σῶμα κοινωνίαν καὶ
τοῦ πάσχειν τε καὶ φθείρεσθαι φαντασίαν πολλοῖς
παρασχόντα, τοῦ παντὸς ἐκεῖνος προΐσταται βίου τῷ
γε εὐδαιμονήσειν μέλλοντι, τί χρὴ προσδοκᾶν αὐτὸν

4 ὑποτεμνομένοις spanh. 9 προσεκθέοντες V 10 πρόσθεν V] ἔμπροσθεν (In M ἔμπροσθεν ex πρόσθεν eadem manu correctum) 15 ἐς VM] εἰς | πάντα τὰ VM] πάντα 18 παρεσκεύασται VM] παρεσκευάσθαι 23 ξυγγενῆ VM] συγγενῆ 25 πάσχειν] φάσκειν V | πολλοῖς] Malim τοῖς πολλοῖ

ὑπὲρ τοῦ καθαροῦ καὶ ἀμιγοῦς γηίνῳ σώματι δια-
C νοηθῆναι νοῦ, ὃν δὴ καὶ θεὸν εἶναί φαμεν καὶ
αὐτῷ τὰς ἡνίας ἐπιτρέπειν τοῦ βίου χρῆναι παραι-
νοῦμεν πάντα τε ἰδιώτην καὶ βασιλέα, τόν γε ὡς
ἀληθῶς ἄξιον τῆς ἐπικλήσεως καὶ οὐ νόθον οὐδὲ ψευ-
δώνυμον, συνιέντα μὲν αὐτοῦ καὶ αἰσθανόμενον διὰ
συγγένειαν, ὑφιέμενον δὲ αὐτῷ τῆς ἀρχῆς καὶ ὑπο-
χωροῦντα τῆς ἐπιμελείας ὡς ἔμφρονα; ἀνόητον γὰρ
καὶ μάλα αὔθαδες τὸ μὴ καθάπαξ ἐς δύναμιν πείθε-
D σθαι τῷ θεῷ ἀρετῆς ἐπιμελομένους· τούτῳ γὰρ μά-
λιστα χαίρειν ὑποληπτέον τὸν θεόν. οὐ μὴν οὐδὲ
τῆς ἐννόμου θεραπείας ἀποστατέον οὐδὲ τὴν τοιαύ-
την τιμὴν ὑπεροπτέον τοῦ κρείττονος, θετέον δὲ ἐν
ἀρετῆς μοίρᾳ τὴν εὐσέβειαν τὴν κρατίστην. ἔστι γὰρ
ὁσιότης τῆς δικαιοσύνης ἔκγονος· αὕτη δὲ ὅτι τοῦ
θειοτέρου ψυχῆς εἴδους ἐστίν, οὐδένα λέληθε τῶν
ὅσοι τὰ τοιαῦτα μεταχειρίζονται.

Ταῦτά τοι καὶ ἐπαινοῦμεν τὸν Ἕκτορα σπένδειν
71 μὲν οὐκ ἐθέλοντα διὰ τὸν ἐπὶ τῶν χειρῶν λύθρον·
ἠξιοῦμεν δὲ μηδὲ ἐς ἄστυ ἰέναι μηδὲ ἀπολείπειν τὴν
μάχην μέλλοντά γε οὐ στρατηγοῦ καὶ βασιλέως ἐπι-
τελεῖν ἔργον, διακόνου δὲ καὶ ὑπηρέτου, Ἰδαίου τινὸς
ἢ Ταλθυβίου τάξιν ἀναληψόμενον. ἀλλ' ἔοικε γάρ,
ὅπερ ἔφαμεν ἐξ ἀρχῆς, πρόφασις εὐπρεποῦς εἶναι
φυγῆς τοῦτο. καὶ γὰρ ὁπότε τῷ Τελαμωνίῳ ξυνί-

1 et 2 *διανοηθῆναι νοῦ* V] *νοῦ διανοηθῆναι* 4 *τε ἰδιώτην*] Rectius *ἰδιώτην τε.* cf. ad 34 A 90 AD 128 B 7 *ξυγγένειαν* M 10 *ἐπιμελομένους* V] *ἐπιμελουμένους* 15 *τῆς* H] *τις* (om. cant.) cf. 89 A | *αὕτη* VM] *αὐτὴ* 21 *γε* Rsk.] *δὲ* 23 *ἀλλ' ἔοικε γάρ* H] *ἀλλ' ἔοικέ γε.* cf. 69 B 85 D 174 D 24 *ἔφαμεν* H] *ἔφημεν* | *εὐπρεποῦς*] Scribendum est *εὐπρεπὴς ἀπρεποῦς.* Similem maculam abstersit Pet. 19 D 25 *ὁπότε* VM] *ὅτε*

στατο πεισθεὶς τῇ φήμῃ τοῦ μάντεως, ἀσπασίως διε-
λύθη καὶ ἔδωκε δῶρα, τὸν θάνατον ἐκφυγὼν ἀσμέ- B
νως· καθόλου δὲ εἰπεῖν, φεύγουσιν ἕπεται θρασέως,
αἴτιος δέ ἐστιν οὐδαμοῦ νίκης καὶ τροπῆς, πλὴν ὅτε

πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν

ξὺν τῷ Σαρπηδόνι. πότερον οὖν ὡς αὐκ ἔχοντες
τηλικοῦτον ἔργον βασιλέως εὐλαβησόμεθα τὸν ἀγῶνα,
μή ποτε ἄρα μικρὰ μεγάλοις καὶ φαῦλα σπουδῆς
ἀξίοις μείζονος παρατιθέναι δόξωμεν, ἢ τολμήσομεν C
καὶ πρὸς τηλικοῦτον ἔργον ἁμιλλᾶσθαι; οὐκοῦν ἐκεῖνο
μὲν ἦν τὸ τεῖχος ὑπὲρ τῆς ᾐόνος, ἐν οὐδὲ ὅλῳ
τῷ πρὸ μεσημβρίας χρόνῳ συντελεσθέν, ὁποίους ἡμῖν
τοὺς χάρακας ἔννομον κατασκευάζεσθαι· τὸ δὲ ὑπὲρ
τῶν Ἄλπεων τεῖχος παλαιόν τε ἦν φρούριον, καὶ
αὐτῷ χρῆται μετὰ τὴν φυγὴν ὁ τύραννος, ὥσπερ
ἔρυμά τι νεουργὲς ἀποφήνας καὶ ἀξιόλογον φρουρὰν
ἀπολιπὼν ἐρρωμένων ἀνδρῶν. οὐδὲ αὐτὸς ὡς πορ- D
ρωτάτω πορεύεται, ἔμενε δὲ ἐν τῇ πλησίον πόλει.
ἔστι δὲ Ἰταλῶν ἐμπόριον πρὸς θαλάττῃ μάλα εὔδαι-
μον καὶ πλούτῳ βρύον. φέρουσι γὰρ ἐντεῦθεν φορτία
Μυσοὶ καὶ Παίονες καὶ τῶν Ἰταλῶν ὁπόσοι τὴν με-
σόγαιαν κατοικοῦσιν, Ἑνετοὶ δὲ οἶμαι τὸ πρόσθεν
ὠνομάζοντο. νῦν δὲ ἤδη Ῥωμαίων τὰς πόλεις ἐχόν-
των τὸ μὲν ἐξ ἀρχῆς ὄνομα σῴζουσι βραχείᾳ προσ-
θήκῃ γράμματος ἐν ἀρχῇ τῆς ἐπωνυμίας· ἔστι δὲ
αὐτοῦ σύμβολον χαρακτὴρ εἷς, ὀνομάζουσι δὲ αὐτὸν 72
οὖ, καὶ χρῶνται ἀντὶ τοῦ βῆτα πολλάκις προσπνεύ-
σεως οἶμαι τινὸς ἕνεκα καὶ ἰδιότητος τῆς γλώττης.

2 ἀσμένως] Malim ἄσμενος 5 Iliad. μ, 438 | ἐσήλλατο V 9 ἄξια V 11 ᾐόνος H] ἠϊόνος 12 μεσηβρίας V 22 κατοικοῦσι V | ἐνετοὶ VM 27 οὖ M] οὐ 28 ἕνεκα om. V | τῆς γλώττης VM] γλώττης

τὸ μὲν δὴ ξύμπαν ἔθνος ὧδε ἐπονομάζεται· τῇ πόλει δὲ ἀετός, ὥς φασιν, οἰκιζομένῃ δεξιὸς ἐκ Διὸς ἱπτάμενος τὴν αὐτοῦ φήμην χαρίζεται. οἰκεῖται δὲ ὑπὸ τοῖς ποσὶ τῶν Ἄλπεων· ὄρη δέ ἐστι ταῦτα παμμιγῆ καὶ ἀπορρῶγες ἐν αὐτοῖς πέτραι, μόλις ἁμάξῃ μιᾷ καὶ ὀρικῷ ζεύγει τὴν ὑπέρβασιν βιαζομένοις ξυγχω-
B ροῦντα, ἀρχόμενα μὲν ἀπὸ θαλάττης, ἣν δὴ τὸν Ἰόνιον εἶναί φαμεν, ἀποτειχίζοντα δὲ τὴν νῦν Ἰταλίαν ἀπό τε Ἰλλυριῶν καὶ Γαλατῶν καὶ ἐς τὸ Τυρρηνὸν πέλαγος ἀναπαυόμενα. Ῥωμαῖοι γὰρ ἐπειδὴ τῆς χώρας ἁπάσης ἐκράτουν· ἔστι δὲ ἐν αὐτῇ τό τε τῶν Ἑνετῶν ἔθνος καὶ Λίγυές τινες καὶ τῶν ἄλλων Γαλατῶν οὐ φαύλη μοῖρα· τὰ μὲν ἀρχαῖα σφῶν ὀνόματα σώζειν οἱ διεκώλυσαν, τῷ κοινῷ δὲ τῶν Ἰταλῶν ξυγχωρεῖν κατηνάγκασαν. καὶ νῦν ὁπόσα μὲν
C εἴσω τῶν Ἄλπεων κατοικεῖται, ἔστε ἐπὶ τὸν Ἰόνιον καὶ τὸν Τυρρηνὸν καθήκοντα, ταύτῃ κοσμεῖται τῇ προσωνυμίᾳ· τὰ δὲ ὑπὲρ τῶν Ἄλπεων τῶν πρὸς ἑσπέραν Γαλάται νέμονται, καὶ Ῥαιτοὶ δὲ τὰ ὑπὸ τὴν ἄρκτον, ἵνα Ῥήνου τέ εἰσιν αἵ πηγαὶ καὶ αἱ τοῦ Ἴστρου πλησίον παρὰ τοῖς γείτοσι βαρβάροις· τὰ δὲ ἐκ τῆς ἔξω ταῦτα δὴ τὰς Ἄλπεις ὀχυροῦν ἔφαμεν, ἵναπερ ὁ τύραννος τὴν φρουρὰν κατεσκευάσατο.
D οὕτω δὴ τῆς Ἰταλίας ἁπανταχόθεν ὄρεσί τε συνεχομένης λίαν δυσβάτοις καὶ θαλάσσῃ τεναγώδει, ἅτε

3 αὐτοῦ VM 4 παμμιγῆ] fort. παμμεγέθη 5 ἀπορρῶγες VM] ἀπορρῶγες γῆς 7 μὲν VM] δὲ 8 ἰόνιον VM] Ἰώνιον 9 τυρηνὸν V 12 ἑνετῶν VM 13 μοίρα V 16 ἰόνιον VM] Ἰώνιον 17 καὶ τὸν V} καὶ | Τυρρηνὸν H] Τυρσηνὸν (Τυρρήνον cant.) 19 καὶ Ῥαιτοὶ δὲ τὰ Rsk.] καὶ Ῥῆτοι (ῥετοὶ V). τὰ δὲ | ὑπὸ] ὑπὲρ VM 20 τῶν ἄρκτων V *22 τὰ δὲ H] τὸ δὲ | ταύτας V* 24 δὴ V] δὲ

ἐσρεόντων ποταμῶν μυρίων, οἳ ποιοῦσιν ἕλος προσ-
εοικὸς τοῖς Αἰγυπτίοις ἕλεσι, τὸ ξύμπαν τῆς ἐκείνῃ
θαλάττης πέρας βασιλεὺς ὑπὸ σοφίας ἔλαβε καὶ
ἐβιάσατο τὴν ἄνοδον. καὶ ἵνα μὴ διατρίβειν δοκῶ
αὖθίς τε ὑπὲρ τῶν δυσχωριῶν διαλεγόμενος, καὶ ὡς
οὔτε στρατόπεδον ἦν οὐδὲ χάρακα πλησίον καταβαλέ-
σθαι, οὔτε ἐπάγειν μηχανὰς καὶ ἑλεπόλεις, ἀνύδρου
δεινῶς ὄντος καὶ οὐδὲ μικρὰς λιβάδας ἔχοντος τοῦ
πέριξ χωρίου, ἐπ' αὐτὴν εἶμι τὴν αἵρεσιν. καὶ εἰ 73
βούλεσθε τὸ κεφάλαιον ἀθρόως ἑλεῖν τοῦ λόγου,
ὑπομνήσθητε τῆς τοῦ Μακεδόνος ἐπὶ τοὺς Ἰνδοὺς
πορείας, οἳ τὴν πέτραν ἐκείνην κατῴκουν, ἐφ' ἣν
οὐδὲ τῶν ὀρνίθων ἦν τοῖς κουφοτάτοις ἀναπτῆναι,
ὅπως ἑάλω, καὶ οὐδὲν πλέον ἀκούειν ἐπιθυμήσετε·
πλὴν τοσοῦτον μόνον, ὅτι Ἀλέξανδρος μὲν ἀπέβαλε
πολλοὺς Μακεδόνας ἐξελὼν τὴν πέτραν, ὁ δὲ ἡμέ-
τερος ἄρχων καὶ στρατηγὸς οὐδὲ χιλίαρχον ἀποβαλὼν
ἢ λοχαγόν τινα, ἀλλ' οὐδὲ ὁπλίτην τῶν ἐκ κατα- B
λόγου, καθαρὰν καὶ ἄδακρυν περιεποιήσατο τὴν νίκην.
Ἕκτωρ δὲ οἶμαι καὶ Σαρπηδὼν πολλοὺς ἐκ τοῦ τει-
χίσματος ἔβαλον, ἐντυχόντες δὲ ἀριστεύοντι Πατρό-
κλῳ ὁ μὲν ἐπὶ τῶν νεῶν κτείνεται, ὁ δὲ ἔφευγεν
αἰσχρῶς οὐδὲ ἀνελόμενος τὸ σῶμα τοῦ φίλου. οὕτως
οὐδενὶ ξὺν νῷ, ῥώμῃ δὲ μᾶλλον σωμάτων θρασυνό-
μενοι τὴν ἐς τὸ τεῖχος πάροδον ἐτόλμων. βασιλεὺς
δὲ οὗ μὲν ἀλκῆς ἔργον ἐστὶ καὶ θυμοῦ χρῆται τοῖς

1 ἐσρεόντων VM] εἰσρεόντων 2 ἐκείνῃ M] ἐκείνης 7 ἑλεπόλεις V 11 ὑπομνήσθητε VM] ὑπομνησθῆτε | ἰνδικοὺς V 14 οὐδὲν V] οὐδὲ 16 μακεδόνας V] Μακεδόνων 18 τῶν] τὸν V 19 τὴν δίκην V 21 ἔβαλλον V. Rsk. malit κατέβαλ‹ο›ν 24 οὐδενὶ Wytt.] οὐδὲ (οὐδὲν VM). cf. 119 D Aristoph. Nubb. 580

C ὅπλοις καὶ κρατεῖ ξυμβουλίᾳ, οὗ δὲ μόνον ἐδέησε γνώμης, ταύτῃ κυβερνᾷ καὶ κατεργάζεται πράγματα τοσαῦτα, ὁπόσα οὐδὲ ὁ σίδηρος ἐξελεῖν ἰσχύσει.

Ἀλλ' ἐπειδὴ καθ' αὑτὸν ὁ λόγος φερόμενος ἥκει πάλαι ποθῶν τὴν ξύνεσιν ἐπαινεῖν καὶ τὴν εὐβουλίαν, ἀποδοτέον. καὶ ὑπὲρ τούτων ὀλίγα ἅπαντα διεληλύθαμεν· ὁπόσα δὲ ἡμῖν ἐφαίνετο πρὸς τὰ τῶν
D ἡρώων ἐκείνων ἔχειν ξυγγένειαν, μεγάλα μικροῖς εἰκάζοντες, δι' ὁμοιότητα δηλοῦμεν. δῆλον δὲ ἀποβλέψαντι πρὸς τὸ τῆς παρασκευῆς μέγεθος καὶ τῆς δυνάμεως τὴν περιουσίαν. τότε γὰρ ἥ τε Ἑλλὰς ἐκεκίνητο ξύμπασα καὶ Θρᾳκῶν μοῖρα καὶ Παιόνων τό τε τοῦ Πριάμου ξύμπαν ὑπήκοον,

Ὅσσον Λέσβος ἔσω Μάκαρος ἕδος ἐντὸς ἐέργει
Καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων.

74 τὰ δὲ νῦν ἔθνη συνιόντα βασιλεῖ καὶ συμπολεμοῦντα τὸν πόλεμον καὶ τοὺς ἀντιταξαμένους καταριθμεῖν μὴ λῆρος ᾖ καὶ φλυαρία περιττὴ καὶ λίαν ἀρχαῖος. ὅσῳ δὲ μείζους αἱ συνιοῦσαι δυνάμεις, τοσούτῳ τὰ ἔργα προφέρειν εἰκός· ὥστε ἀνάγκη καὶ ταῦτα ἐκείνων ὑπεραίρειν. πλήθει γε μὴν ποῦ ποτε ἄξιον συμβαλεῖν; οἱ μὲν γὰρ περὶ μιᾶς ἐμάχοντο πόλεως ξυνεχῶς, καὶ οὔτε (Τρῶες) ἀπελάσαι τοὺς Ἀχαιοὺς

1 εὐβουλίᾳ Wytt. Fort. ξὺν εὐβουλίᾳ 3 ὁ σίδηρος VM] σίδηρος | ἐξελεῖν] ἐκτελεῖν H | ἰσχύσει] Aut ἰσχύει aut οὐδ' ἂν — ἰσχύσειεν scribendum 5 ἐπαινεῖν καὶ τὴν εὐβουλίαν V] καὶ τὴν εὐβουλίαν ἐπαινεῖν 6 ἅπαντα] Fort. πάλαι 9 δηλοῦμεν] διήλθομεν aut διηγούμεθα Rsk. 12 μοίρα V 13 ξύμπαν ὑπήκοον V, ξύμπαν [β] ὑπήκοον [α] M, ὑπήκοον ξύμπαν v 14 Iliad. ω, 544 | ὅσον VM | ἔσω] ἄνω Hom. | μάκαρος VM] μακάρων | ἔδος V 15 καθύπερθεν VM 18 Aut καὶ ὕθλος λίαν ἀρχαῖος aut saltim ἀρχαῖον Rsk. 23 οὔτε H] οὐδὲ | Τρῶες add. H

ἐπικρατοῦντες ἠδύναντο, οὔτε ἐκεῖνοι νικῶντες ἐξελεῖν καὶ ἀνατρέψαι τῶν Πριαμιδῶν τὴν ἀρχὴν καὶ τὴν βασιλείαν ἴσχυον, δεκαέτης δὲ αὐτοῖς ἀναλώθη χρόνος. βασιλεῖ δὲ πολλοὶ μέν εἰσιν ἀγῶνες· .... ἀνεγράφη Γερμανοῖς τοῖς ὑπὲρ τοῦ Ῥήνου πελεμῶν, τά τε ἐπὶ τῷ Τίγρητι ζεύγματα καὶ τῆς Παρθυαίων δυνάμεως καὶ τοῦ φρονήματος ἔλεγχος οὐ φαῦλος, ὅτε οὐχ ὑπέμενον ἀμῦναι τῇ χώρᾳ πορθουμένῃ, ἀλλὰ περιεῖδον ἅπασαν τμηθεῖσαν τὴν εἴσω Τίγρητος καὶ Λύκου, τῶν γε μὴν πρὸς τὸν τύραννον πραχθέντων C ὅ τε ἐπὶ Σικελίαν ἔκπλους καὶ ἐς Καρχηδόνα, Ἠριδανοῦ τε αἱ προκαταλήψεις τῶν ἐκβολῶν ἁπάσας αὐτοῦ τὰς ἐν Ἰταλίᾳ δυνάμεις ἀφελόμεναι, καὶ τὸ τελευταῖον καὶ τρίτον πάλαισμα περὶ ταῖς Κοττίαις Ἄλπεσιν, ὃ δὴ βασιλεῖ μὲν παρέσχεν ἀσφαλῆ καὶ τοῦ μέλλοντος ἀδεᾶ τὴν ὑπὲρ τῆς νίκης ἡδονήν, τὸν δὲ ἡττηθέντα δίκην ἐπιθεῖναι δικαίαν αὐτῷ καὶ τῶν ἐξειργασμένων πάνυ ἀξίαν κατηνάγκασε. D

Τοσαῦτα ὑπὲρ τῶν βασιλέως ἔργων ἐν βραχεῖ διεληλύθαμεν, οὔτε κολακείᾳ προστιθέντες καὶ αὔξειν ἐπιχειροῦντες τυχὸν οὐδενὸς διαφέροντα τῶν ἄλλων, οὔτε πόρρωθεν ἕλκοντες καὶ βιαζόμενοι τῶν ἔργων τὰς ὁμοιότητας, καθάπερ οἱ τοὺς μύθους ἐξηγούμενοι τῶν ποιητῶν καὶ ἀναλύοντες ἐς λόγους πιθανοὺς καὶ ἐνδεχομένους τὰ πλάσματα ἐκ μικρᾶς πάνυ τῆς ὑπονοίας ὁρμώμενοι καὶ ἀμυδρὰς λίαν παραλαβόντες τὰς 75

1 ἐπικρατοῦντες H] ἐπικρατοῦντας | οὔτε H] οὐδὲ 3 ἴσχων V | ἀναλώθη V] ἀνηλώθη. cf. 292 D 369 A 4 Lacunam a Petavio indicatam Horkelius explevit καὶ γὰρ additis 9 τίγριδος V. cf. ad 22 A 13 ἀφελόμεναι Pet.] ἀφελόμενος 13 et 14 τὸ τελευταῖον V] τό γε τελευταῖον 14 Κοττίαις Pet.] σκοτίαις 16 τὸν] τῷ V 17 ἡττηθέντα M cant. fl.] ἡττηθέντι | αὐτῷ VM 24 πιθανοὺς om. V

ἀρχὰς πειρῶνται ξυμπείθειν, ὡς δὴ ταῦτά γε αὐτα ἐκείνων ἐθελόντων λέγειν. ἐνταῦθα δὲ εἴ τις ἐξέλοι τῶν Ὁμήρου μόνον τὰ τῶν ἡρώων ὀνόματα, ἐνθείη δὲ τὸ βασιλέως καὶ ἐναρμόσειεν, οὐ μᾶλλον εἰς ἐκείνους ἢ τοῦτον πεποιῆσθαι δόξει τὰ [ὑπὲρ] τῆς Ἰλιάδος ἔπη. ἀλλ' ὅπως μὴ τὰ ὑπὲρ τῶν ἔργων μόνον ἀκούοντες ταὶ τῶν κατορθωμάτων (τῶν) ἐς τὸν πόλεμον
B ἔλαττον ἔχειν ὑπολαμβάνητε βασιλέα περὶ τὰ σεμνότερα καὶ ὧν ἄξιον μείζονα ποιεῖσθαι λόγον, δημηγοριῶν φημι καὶ ξυμβουλιῶν, καὶ ὁπόσα γνώμη μετὰ νοῦ καὶ φρονήσεως κατευθύνει, ἀθρεῖτε ἐν Ὀδυσσεῖ καὶ Νέστορι τοῖς ἐπαινουμένοις κατὰ τὴν ποίησιν, καὶ ἤν τι μεῖον ἐν βασιλεῖ καταμανθάνητε, τοῖς ἐπαινέταις τοῦτο λογίζεσθε, πλέον δὲ ἔχοντα δικαίως (ἂν) αὐτὸν μᾶλλον ἀποδεχοίμεθα. οὐκοῦν ὁ μέν, ὁπηνίκα χαλεπαίνειν καὶ στασιάζειν ἤρχοντο περὶ τῆς αἰχμαλώτου κόρης, λέγειν ἐπιχειρῶν οὕτω
C δή τι πείθει τὸν βασιλέα καὶ τὸν τῆς Θέτιδος, ὥστε ὁ μὲν ἀκόσμως διέλυσε τὸν ξύλλογον, ὁ δὲ οὐδὲ περιμείνας ἀφοσιώσασθαι τὰ πρὸς τὸν θεόν, ἔτι δὲ αὐτὰ δρῶν καὶ ἀφορῶν ἐς τὴν θεωρίδα, στέλλει τοὺς κήρυκας ἐπὶ τὴν Ἀχιλλέως σκηνήν, ὥσπερ οἶμαι δεδιὼς μὴ τῆς ὀργῆς ἐπιλαθόμενος καὶ ἀπαλλαγεὶς τοῦ πάθους μεταγνοίη καὶ ἀποφύγοι τὴν ἁμαρτάδα· ὁ δὲ ἐκ τῆς Ἰθάκης ῥήτωρ πολύτροπος πείθειν ἐπιχειρῶν πρὸς διαλλαγὰς Ἀχιλλέα καὶ δῶρα πολλὰ δι-

4 τὰ βασιλέως V | ἐναρμόσειεν H] ἐναρμόσοι (ἐναρμόσαι Rsk.) 5 ὑπὲρ Rsk. malit abesse 7 τῶν add. H 15 ἂν add. H 17 et 18 οὕτω δή τι] Idem legitur 212 B et apud Herodotum non semel, οὕτω τι saepissime apud Philostratum 21 αὐτὸ V 23 τῆς ἑορτῆς ἐπιλαβόμενος V 24 ἀποφύγη V

δούς, μυρία δὲ ἐπαγγελλόμενος, οὕτω τὸν νεανίσκον D
παρώξυνεν, ὥστε οὐ πρότερον βουλευσάμενον τὸν
ἀπόπλουν παρασκευάζεσθαι. ἔστι δὲ αὐτῶν τὰ θαυ-
μαστὰ τῆς συνέσεως δείγματα αἵ τε ἐπὶ τὸν πόλεμον
παρακλήσεις καὶ ἡ τειχοποιία τοῦ Νέστορος, πρεσβυ-
τικὸν λίαν καὶ ἄτολμον ἐπινόημα. οὔκουν οὐδὲ ὄφελος
ἦν πολὺ τοῖς Ἀχαιοῖς τοῦ μηχανήματος· ἀλλὰ ἡτ-
τῶντο τῶν Τρώων τὸ τεῖχος ἐπιτελέσαντες, καὶ μάλα 76
εἰκότως. τότε μὲν γὰρ αὐτοὶ τῶν νεῶν ᾤοντο προ-
βεβλῆσθαι καθάπερ ἔρυμα γενναῖον· ἐπεὶ δὲ ᾔσθοντο
τὸ σφῶν προκείμενον καὶ ἀποικοδομούμενον τεῖχος
τάφρῳ βαθείᾳ καὶ πασσάλοις ὀξέσι διηλούμενον,
κατερρᾳθύμουν καὶ ὑφίεντο τῆς ἀλκῆς τῷ τειχίσματι
πεποιθότες. ἀλλ' οὐ γὰρ εἴ τις ἐκείνοις μέμφοιτο
καὶ ἐπιδεικνύοι διαμαρτάνοντας, οὗτός ἐστι βασιλέως
ἀξιόχρεως ἐπαινέτης· ὅστις δὲ οἶμαι τῶν ἔργων ἀξίως B
μνησθείη, οὐ μάτην οὐδὲ αὐτομάτως οὐδὲ ἀλόγῳ
φορᾷ γενομένων, προβουλευθέντων δὲ ὀρθῶς καὶ
διοικηθέντων, οὗτος ἀρκούντως ἐπαινεῖ τὴν βασιλέως
ἀγχίνοιαν. τὸ δὲ ἐφ' ἑκάστῃ συνόδῳ τὰς δημηγορίας
ἐκλέγειν (τὰς) ἐς τὰ στρατόπεδα καὶ δήμους καὶ βου-
λευτήρια μακροτέρας δεῖται τῆς ξυγγραφῆς. ἑνὸς δὲ
ἴσως ἐπακούειν οὐ χαλεπόν. καί μοι πάλιν ἐννοή-
σατε τὸν Λαέρτου, ὁπότε ὡρμημένους ἐκπλεῖν τοὺς
Ἕλληνας ἐπέχει τῆς ὁρμῆς καὶ ἐς τὸν πόλεμον μετα- C
τίθησι τὴν προθυμίαν, καὶ [τοῦ] βασιλέως τὸν ἐν

2 οὐ πρότερον] Malim πρότερον οὐ | βουλευσάμενον — παρασκευάζεσθαι V] βουλευσάμενος — παρασκευάζεται 3 αὐτῶν H] αὐτῷ 6 ἄτολμον V] ἄτοπον | οὔκουν H] οὐκοῦν 11 Scribendum esse puto τὸ σφῶν προκείμενον ἀπῳκοδομημένον τείχει καὶ τάφρῳ βαθείᾳ καὶ πασσάλοις ὀξέσι διειλημμένον 21 τὰς add. Rsk. 24 ὁρμωμένους M 26 τοῦ aeque suspectum est ac 55 B

Ἰλλυριοῖς ξύλλογον, ἵνα δὴ πρεσβύτης ἀνὴρ ὑπὸ μειρακίων παιδικὰ φρονεῖν ἀναπειθόμενος ὁμολογιῶν ἐπελανθάνετο καὶ πίστεων, καὶ τῷ μὲν σωτῆρι καὶ εὐεργέτῃ δυσμενὴς ἦν, σπονδὰς δὲ ἐποιεῖτο πρὸς ὃν ἦν ἄσπονδος καὶ ἀκήρυκτος βασιλεῖ πόλεμος, στρατόν τε ἤγειρε καὶ ἐπὶ τοῖς ὁρίοις ἀπήντα τῆς χώρας, κω- D λῦσαι τοῦ πρόσω χωρεῖν ἐπιθυμῶν. ἐπεὶ δὲ ἐς ταὐτὸν ἦλθον ἀμφοτέρω τὼ στρατεύματε καὶ ἐχρῆν ἐπὶ τῶν ὁπλιτῶν ποιεῖσθαι τὴν ἐκκλησίαν, βῆμά τε ὑψηλὸν ἤρετο καὶ αὐτὸ περιέσχεν ὁπλιτῶν δῆμος καὶ ἀκοντιστῶν καὶ τοξοτῶν ἱππεῖς τε ἐνσκευασάμενοι τοὺς ἵππους καὶ τὰ σημεῖα τῶν τάξεων· ἀνῄει τε ἐπ' αὐτὸ βασιλεὺς μετὰ τοῦ τέως ξυνάρχοντος οὔτε αἰχμὴν φέρων οὔτε 77 ἀσπίδα καὶ κράνος, ἀλλὰ ἐσθῆτα τὴν συνήθη. καὶ οὐδὲ αὐτῷ τις τῶν δορυφόρων εἵπετο, μόνος δὲ ἐπὶ τοῦ βήματος εἱστήκει πεποιθὼς τῷ λόγῳ σεμνῶς ἡρμοσμένῳ. ἐργάτης γάρ ἐστι καὶ τούτων ἀγαθός, οὐκ ἀποσμιλεύων οὐδὲ ἀπονυχίζων τὰ ῥήματα οὐδὲ ἀποτορνεύων τὰς περιόδους καθάπερ οἱ κομψοὶ ῥήτορες, σεμνὸς δὲ ἅμα καὶ καθαρὸς καὶ τοῖς ὀνόμασι ξὺν καιρῷ χρώμενος, ὥστε ἐνδύεσθαι ταῖς ψυχαῖς B οὐ τῶν παιδείας καὶ ξυνέσεως μεταποιουμένων μόνον, ἀλλ' ἤδη καὶ τῶν ἰδιωτῶν ξυνιέναι πολλοὺς καὶ ἐπαΐειν τῶν ῥημάτων. οὐκοῦν ἦρει μυριάδας ὁπλιτῶν συχνὰς καὶ χιλιάδας ἱππέων εἴκοσι καὶ ἔθνη [τὰ] μαχιμώτατα καὶ χώραν πάμφορον, οὐ βίᾳ ἕλκων οὐδὲ αἰχμαλώτους ἄγων, ἑκόντας δὲ αὐτῷ πειθομέ-

6 τε V] δὲ | τῆς VM] τοῖς | κωλύσαι V 8 ἦλθεν V, fortasse recte 12 τε] δὲ V; fort. δὴ | αὐτὸν V 13 ξυνάρχοντος VM] συνάρχοντος 15 αὐτῶν cant. 18 ἀποσμιλύων V 21 ἐσδύεσθαι V 23 τῶν ἰδιωτῶν VM cant.] ἰδιωτῶν 26 τὰ om. V

νους καὶ τὸ ἐπιταττόμενον ποιεῖν ἐθέλοντας. ταύτην ἐγὼ τὴν νίκην κρίνω τῆς Λακωνικῆς μακρῷ σεμνοτέραν· ἡ μέν γε ἦν ἄδακρυς μόνον τοῖς κρατοῦσιν, ἡ δὲ οὐδὲ τοῖς κρατηθεῖσιν ἤνεγκε δάκρυα, ἀλλ' C ἀπὸ τοῦ βήματος κατῆλθεν ὁ τῆς βασιλείας ὑποκριτὴς δικασάμενος καὶ ὥσπερ ὄφλημα βασιλεῖ πατρῷον ἀποδοὺς τὴν ἁλουργίδα· τἆλλα δὲ αὐτῷ δίδωσι βασιλεὺς ἄφθονα μᾶλλον ἢ Κῦρόν φασι παρασχεῖν τῷ πάππῳ, ζῆν τε ἐποίησε καὶ διαιτᾶσθαι, καθάπερ Ὅμηρος ἀξιοῖ τῶν ἀνδρῶν τοὺς ἀφηλικεστέρους,

Τοιούτῳ γὰρ ἔοικεν, ἐπεὶ λούσαιτο φάγοι τε,
Εὑδέμεναι μαλακῶς· ἣ γὰρ δίκη ἐστὶ γερόντων. D

τὸ μὲν οὖν ἐμὸν ἡδέως ἂν τοὺς ῥηθέντας λόγους διεξῆλθον, καὶ οὐκ ἄν με ὄκνος καταλάβοι οὕτω καλῶν ἁπτόμενον λόγων· αἰδὼς δὲ οἶμαι κατείργει καὶ οὐκ ἐπιτρέπει μετατιθέναι καὶ ἐξερμηνεύειν ἐς ὑμᾶς τοὺς λόγους. ἀδικοίην γὰρ ἂν διαφθείρων καὶ ἐλεγχόμενος αἰσχυνοίμην, εἴ τις ἄρα τὸ βασιλέως ἀναγνοὺς ξύγγραμμα ἢ τότε ἀκούσας ἀπομνημονεύοι καὶ ἀπαιτοίη οὐ τὰ νοήματα μόνον, ὅσαις δὲ ἀρεταῖς 78 ἐκεῖνα κοσμεῖται κατὰ τὴν πάτριον φωνὴν ξυγκείμενα. τοῦτο δὲ οὐκ ἦν Ὁμήρῳ τὸ δέος πολλαῖς μὲν ὕστερον γενεαῖς τοὺς λόγους διηγουμένῳ, λιπόντων δὲ ἐκείνων οὐδὲν ὑπόμνημα τῶν ἐς τοὺς ξυλλόγους ῥηθέντων, καὶ σαφῶς οἶμαι πιστεύοντι, ὅτι ἄρα τἀκεί-

2 μακρῷ] πολλῷ V 3 μέν γε] fort. μὲν γάρ. Vid. tamen ad 100 A | μόνον] Malim μόνοις 4 ἡ δὲ] ὁ δὲ V 6 δικασόμενος V | πατρῴιον ἀποδιδοὺς V 7 τἆλλα V] τἄλλα 11 Odyss. ω, 253, unde locum apud Iulianum correxit Pet. | τοιούτῳ] οὕτω V, τούτω M, τοῦτο v | λοῦσαί τε VM | φάγοι τε VM] φάγῃ τε 12 εὑδέμεναι V | ἣ VM cant.] ἡ 16 ἐς VM] εἰς 25 πιστεύειν τι V | ὅτι ἄρα] „Deest vox ἄμεινον.“ Pet. Malim ὅτι ἄρα κἀκείνων (sic cant. et fl.) ἄμεινον

νων αὐτὸς ἐξαγγελεῖ καὶ διηγήσεται. τὸ δὲ ἐπὶ τὸ χεῖρον μιμεῖσθαι καταγέλαστον καὶ οὐκ ἄξιον ἐλευ- B *θέρας ψυχῆς καὶ γενναίας. τὰ μὲν δὴ θαυμαστὰ τῶν ἔργων καὶ ὁπόσων ὁ πολὺς ὅμιλος θεατής τε ἐγένετο καὶ διασώζει τὴν μνήμην ξὺν εὐφημίᾳ, ἅτε ἐς (τὸ) τέλος ἀφορῶν καὶ τῶν εὖ ἢ κακῶς ἀποβάντων κριτὴς καθεστὼς καὶ ἐπαινέτης οὐ μάλα ἀστεῖος, ἀκηκόατε πολλάκις τῶν μακαρίων σοφιστῶν καὶ τοῦ ποιητικοῦ γένους πρὸς αὐτῶν τῶν μουσῶν ἐπιπνεομένου, ὥστε ὑμᾶς τούτων ἕνεκα καὶ διωχλήκαμεν, μακροτέρους τοὺς ὑπὲρ αὐτῶν ποιούμενοι λόγους·* C *καὶ γάρ ἐστε λίαν αὐτῶν ἤδη διακορεῖς καὶ ὑμῶν ἐστι τὰ ὦτα πλήρη, καὶ οὐ μή ποτε ἐπιλίπωσιν οἱ τούτων ποιηταί, πολέμους ὑμνοῦντες καὶ νίκας ἀνακηρύττοντες λαμπρᾷ τῇ φωνῇ κατὰ τοὺς Ὀλυμπίασι κήρυκας· παρέσχεσθε γὰρ ὑμεῖς τῶν ἀνδρῶν τούτων ἀφθονίαν, ἀσμένως ἐπακούοντες. καὶ οὐδὲν θαυμαστόν. εἰσὶ γὰρ αἱ τούτων ὑπολήψεις ἀγαθῶν πέρι* D *καὶ φαύλων ταῖς ὑμετέραις ξυγγενεῖς, καὶ ἀπαγγέλλουσι πρὸς ὑμᾶς τὰ ὑμῶν αὐτῶν διανοήματα, (ἃ) ὥσπερ ἐσθῆτα ποικίλην τοῖς ὀνόμασι σκιαγραφήσαντες καὶ διαπλάσαντες ἡδίστοις ῥυθμοῖς καὶ σχήμασιν ὡς δή τι καινὸν εὑρόντες εἰς ὑμᾶς φέρουσιν· ὑμεῖς δὲ ἄσμενοι παραδέχεσθε, καὶ ἐκείνους τε οἴεσθε ὀρθῶς ἐπαινεῖν, τούτοις τε ἀποδίδοσθαι τὸ προσῆκόν φατε. τὸ δέ ἐστι μὲν ἴσως ἀληθές, τυχὸν δὲ*

4 τε] γε V 6 τὸ add. Rsk. 9 τῶν om. V | ἐπιπνεομένους V 13 ἐπιλίπωσιν H] ἐπιλείπωσιν 15 Ὀλυμπίασι cant.] Ὀλυμπιᾶσι (Ὀλυμπιάσι VM) 16 παρέχεσθε M 18 πέρι VM] περὶ 19 καὶ φαύλων Pet.] κεφαλῶν 20 ἃ add. Rsk. 21 ἐσθῆτα ποικίλην Matthias Sladus in exemplo suo Petavianae editionis, quod postea Reiskii factum est] ἐσθῆτι ποικίλῃ 24 ἐκείνους τε VM] ἐκείνους 25 τούτοις δὲ V

καὶ ἄλλως ἔχει, ἀγνοούμενον πρὸς ὑμῶν ὅπη ποτὲ
ἂν ὀρθῶς γίγνοιτο. ἐπεὶ καὶ τὸν Ἀθηναῖον ἐνενόησα
Σωκράτη· ἴστε δὲ ὑμεῖς ἀκοῇ τὸν ἄνδρα καὶ τὸ ἐπ' 79
αὐτῷ κλέος τῆς σοφίας παρὰ τῆς Πυθίας ἐκβοηθέν·
οἱ ταῦτα εὐδαιμονοῦντα οὐδὲ εὐδαίμονας καὶ μακα-
ρίους ὁμολογοῦντα τοὺς πολλὴν κεκτημένους χώραν,
πλεῖστα δ' ἔθνη καὶ ἐν αὐτοῖς πολλοὺς μὲν Ἑλλή-
νων, πλείους δὲ ἔτι καὶ μείζους βαρβάρων καὶ τὸν
Ἄθω διορύττειν δυναμένους καὶ σχεδίᾳ τὰς ἠπείρους,
ἐπειδὰν ἐθέλωσι διαβαίνειν, συνάπτοντας καὶ ἔθνη
καταστρεφομένους καὶ αἱροῦντας νήσους καὶ σαγη- B
νεύοντας καὶ λιβανωτοῦ χίλια τάλαντα καταθύοντας.
οὔτε οὖν Ξέρξην ἐκεῖνος ἐπῄνει ποτὲ οὔτε ἄλλον
τινὰ Περσῶν ἢ Λυδῶν ἢ Μακεδόνων βασιλέα, ἀλλ'
οὐδὲ Ἑλλήνων στρατηγόν, πλὴν σφόδρα ὀλίγων,
ὁπόσους ἠπίστατο χαίροντας ἀρετῇ καὶ ἀσπαζομένους
ἀνδρείαν μετὰ σωφροσύνης καὶ φρόνησιν μετὰ δικαιο-
σύνης στέργοντας. ὅσους δὲ ἀγχίνους ἢ δεινοὺς ἢ
στρατηγικοὺς ἢ κομψοὺς καὶ τῷ πλήθει πιθανοὺς
ἑώρα, σμίκρ' ἄττα μόρια καταν̣ειμαμένους ἀρετῆς,
οὐδὲ τούτους ἐς ἅπαν ἐπῄνει. ἕπεται δὲ αὐτοῦ τῇ C
κρίσει σοφῶν ἀνδρῶν δῆμος ἀρετὴν θεραπεύοντες,
τὰ κλεινὰ δὲ οἶμαι ταῦτα καὶ θαυμαστὰ οἱ μὲν ὀλίγου
τινός, οἱ δὲ οὐδενὸς ἄξια λέγοντες. εἰ μὲν οὖν καὶ
ὑμῖν ταύτῃ πῃ ξυνδοκεῖ, δέος οὐ φαῦλόν με ἔχει
περὶ τῶν ἔμπροσθεν λόγων καὶ ἐμαυτοῦ, μή ποτε

1 ἀγνούμενον V | ὑμῶν V] ἡμῶν | ὅπη V] ὅποι 3 Σω-κράτη H] Σωκράτην | Cf. Plat. Gorg. 470 D ss. Legg. III 698 s. 5 εὐδαιμονοῦντα] ἐπαινοῦντα vel ἀποσεμνύνοντα Rsk. 7 δ' VM] δὲ 9 Ἄθων V. cf. 243 B 13 ἐκεῖνος ἐπῄνει ποτὲ VM] τότε ἐκεῖνος ἐπῄνει | ἄλλον VM] ἄλλων 15 ὀλίγους cant. 20 σμικρὰ τὰ V, σμικράττα M 21 ἐς V] εἰς

ἄρα τοὺς μὲν παιδιὰς ἀποφήνητε, σοφιστὴν δὲ ἐμὲ γελοῖον καὶ ἀμαθῆ, μεταποιούμενον τέχνης, ἧς σφόδρα
D ἀπείρως ἔχειν ὁμολογῶ, ὥς γ' ἐμοὶ πρὸς ὑμᾶς ὁμολογητέον ἐστὶ τοὺς ἀληθεῖς ἐπαίνους διεξιόντι καὶ ὧν ἀκούειν ἄξιον ὑμῖν οἴεσθε, εἰ καὶ ἀγροικότεροι καὶ ἐλάττους μακρῷ τῶν ῥηθέντων τοῖς πολλοῖς φαίνοιντο. εἰ δέ, ὅπερ ἔμπροσθεν ἔφην, ἀποδέχεσθε τοὺς ἐκείνων ποιητάς, ἐμοὶ μὲν ἀνεῖται τὸ δέος εὖ μάλα. οὐ γὰρ πάντα ὑμῖν ἄτοπος φανοῦμαι, ἀλλὰ πολλῶν μὲν οἶμαι φαυλότερος, κατ' ἐμαυτὸν δὲ ἐξε-
80 ταζόμενος οὐ παντάπασιν ἀπόβλητος οὐδὲ ἀτόποις ἐπιχειρῶν. ὑμῖν δὲ ἴσως οὐ ῥᾴδιον σοφοῖς καὶ θείοις ἀπιστεῖν ἀνδράσιν, οἳ δὴ λέγουσι πολλὰ μὲν ἕκαστος ἰδίᾳ, τὸ κεφάλαιον δέ ἐστι τῶν λόγων ἀρετῆς ἔπαινος. ταύτην δὲ τῇ ψυχῇ φασιν ἐμφύεσθαι καὶ αὐτὴν ἀποφαίνειν εὐδαίμονα καὶ βασιλικὴν καὶ ναὶ μὰ Δία πολιτικὴν καὶ στρατηγικὴν καὶ μεγαλόφρονα καὶ πλουσίαν γε ἀληθῶς, οὐ τὸ Κολοφώνιον ἔχουσαν χρυσίον

B Οὐδ' ὅσα λάινος οὐδὸς ἀφήτορος ἐντὸς ἔεργε

τὸ πρὶν ἐπ' εἰρήνης, ὅτε ἦν ὀρθὰ τὰ τῶν Ἑλλήνων πράγματα, οὐδὲ ἐσθῆτα πολυτελῆ καὶ ψήφους Ἰνδικὰς καὶ γῆς πλέθρων μυριάδας πάνυ πολλάς, ἀλλ' ὃ πάντων ἅμα τούτων καὶ κρεῖττον καὶ θεοφιλέστερον, ὃ καὶ ἐν ναυαγίαις ἔνεστι διασώσασθαι καὶ ἐν ἀγορᾷ καὶ ἐν δήμῳ καὶ ἐν οἰκίᾳ καὶ ἐπ' ἐρημίας,

1 παιδιὰς Cobetus] παιδείους (sic) V, παῖδας v | ἀποφήνηται VM 3 ὥς γ' ἐμοὶ Rsk.] ὥστε μοι 5 ἄξιον ὑμῖν V] ὑμῖν ἄξιον 13 λέγουσι VM cant.] λέγουσιν 18 καὶ ante πλουσίαν om. V 20 Iliad. ι, 404 | ἐέργει Hom. 22 ἐσθῆτα *Horkelius*] ἔθνη τὰ 23 ἀλλὰ VM 25 ναυαγίαις V] ναυαγίοις 26 ἐρημίας H] ἐρημίαις

ἐν λησταῖς μέσοις καὶ ἀπὸ τυράννων βιαίων. ὅλως C
γὰρ οὐδέν ἐστιν ἐκείνου κρεῖττον, ὃ βιασάμενον καθέξει καὶ ἀφαιρήσεται τὸν ἔχοντα ἅπαξ. ἔστι γὰρ ἀτεχνῶς ψυχῇ τὸ κτῆμα τοῦτο τοιοῦτον, ὁποῖον οἶμαι τὸ φῶς ἡλίῳ. καὶ γὰρ δὴ τοῦδε νεὼς μὲν καὶ ἀναθήματα πολλοὶ πολλάκις ὑφελόμενοι καὶ διαφθείραντες ᾤχοντο, δόντες μὲν ἄλλοι τὴν δίκην, ἄλλοι δὲ ὠλιγωρηθέντες ὡς οὐκ ἄξιοι κολάσεως εἰς ἐπανόρθωσιν φερούσης· τὸ φῶς δὲ οὐδεὶς αὐτὸν ἀφαιρεῖται, οὐδὲ ἐν ταῖς συνόδοις ἡ σελήνη τὸν κύκλον ὑποτρέχουσα, οὐδὲ εἰς αὑτὴν δεχομένη τὴν ἀκτῖνα D
καὶ ἡμῖν πολλάκις, τοῦτο δὴ τὸ λεγόμενον, ἐκ μεσημβρίας νύκτα δεικνῦσα. ἀλλ' οὐδὲ αὐτὸς αὑτὸν ἀφαιρεῖται φωτὸς τὴν σελήνην ἐξ ἐναντίας ἱσταμένην περιλάμπων καὶ μεταδιδοὺς αὐτῇ τῆς αὑτοῦ φύσεως οὐδὲ τὸν μέγαν καὶ θαυμαστὸν τουτονὶ κόσμον ἐμπλήσας αὐγῆς καὶ ἡμέρας. οὔκουν οὐδὲ ἀνὴρ ἀγαθὸς ἀρετῆς μεταδιδοὺς ἄλλῳ τῷ μεταδοθέντι μεῖον ἔχων ἐφάνη ποτέ· οὕτω θεῖόν ἐστι κτῆμα καὶ πάγ- 81
καλον, καὶ οὐ ψευδὴς ὁ λόγος τοῦ Ἀθηναίου ξένου, ὅστις ποτὲ ἄρα ἦν ἐκεῖνος ὁ θεῖος ἀνήρ· Πᾶς γὰρ ὅ τε ὑπὸ γῆς καὶ ἐπὶ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. θαρροῦντες οὖν ἤδη πλούσιον καλῶμεν τὸν ταύτην ἔχοντα, οἶμαι δὲ ἐγὼ καὶ εὐγενῆ καὶ βασιλέα μόνον τῶν ἁπάντων, εἴ τῳ ξυνδοκεῖ. κρείττων μὲν εὐγένεια φαυλότητος γένους, κρείττων δὲ ἀρετὴ δια-

3 ἀφαιρήσεται H] καταφαιρήσεται 6 ἀφελόμενοι V 7 μὲν ἄλλοι V M] μὲν καὶ ἄλλοι 11 αὑτὴν H] αὐτὴν 12 τὸ om. V | μεσηβρίας V 14 φωτὶ V 16 τουτονὶ V] τοῦτον 17 αὐγῆς Pet.] αὐτὴν (αὐτῇ V) | οὔκουν H] οὐκοῦν 18 ἄλλῳ τῳ VM 20 Ἀθηναίου] Plat. Legg. V 728 A 21 ἄρα ἦν ἐκεῖνος ὁ θεῖος V] ἦν ἄρα ὁ θεῖος ἐκεῖνος 25 κρεῖττον cant. fl. pet.

B θέσεως οὐ πάντῃ σπουδαίας. καὶ μή τις οἰέσθω τὸν
λόγον δύσεριν καὶ βίαιον εἰς τὴν συνήθειαν ἀφορῶν
τῶν ὀνομάτων· φασὶ γὰρ οἱ πολλοὶ τοὺς ἐκ πάλαι
πλουσίων εὐγενεῖς. καίτοι πῶς οὐκ ἄτοπον μάγειρον
μὲν ἢ σκυτέα καὶ ναὶ μὰ Δία κεραμέα τινὰ χρή-
ματα ἐκ τῆς τέχνης ἢ καὶ ἄλλοθέν ποθεν ἀθροίσαντα
μὴ δοκεῖν εὐγενῆ μηδὲ ὑπὸ τῶν πολλῶν ἐπονομάζε-
σθαι τοῦτο τὸ ὄνομα, εἰ δὲ ὁ τούτου παῖς διαδεξά-
μενος τὸν κλῆρον εἰς τοὺς ἐκγόνους διαπορθμεύσειε,
C τούτους δὲ ἤδη μέγα φρονεῖν καὶ τοῖς Πελοπίδαις
ἢ τοῖς Ἡρακλείδαις ὑπὲρ τῆς εὐγενείας ἁμιλλᾶσθαι;
ἀλλ᾽ οὐδὲ ὅστις προγόνων ἀγαθῶν ἔφυ, αὐτὸς δὲ
ἐπὶ τὴν ἐναντίαν τοῦ βίου ῥοπὴν κατηνέχθη, δι-
καίως ἂν μεταποιοῖτο τῆς πρὸς ἐκείνους ξυγγενείας,
(εἰ) μηδὲ ἐς τοὺς Πελοπίδας ἐξῆν ἐγγράφεσθαι τοὺς
μὴ φέροντας ἐπὶ τῶν ὤμων τοῦ γένους τὰ γνωρίσ-
ματα. λόγχη δὲ λέγεται περὶ τὴν Βοιωτίαν τοῖς
Σπαρτοῖς ἐντυπωθῆναι παρὰ τῆς τεκούσης καὶ θρε-
D ψαμένης αὐτοὺς βώλου, καὶ τὸ ἐντεῦθεν ἐπὶ πολὺ
διασωθῆναι τοῦτο τῷ γένει σύμβολον. ἐπὶ δὲ τῶν
ψυχῶν οὐδὲν οἰόμεθα δεῖν ἐγκεχαράχθαι τοιοῦτον,
ὃ τοὺς πατέρας ἡμῖν ἀκριβῶς κατερεῖ καὶ ἀπελέγξει
τὸν τόκον γνήσιον; ὑπάρχειν δέ φασι καὶ Κελτοῖς
ποταμὸν ἀδέκαστον κριτὴν τῶν ἐγγόνων· καὶ οὐ πεί-
θουσιν αὐτὸν οὔτε αἱ μητέρες ὀδυρόμεναι συγκα-
82 λύπτειν αὐτὰ καὶ ἀποκρύπτειν τὴν ἁμαρτάδα οὔτε

15 εἰ add. H | ἐς V] εἰς 18 Σπαρτοῖς Rsk.] Σπαρτίοις (σπαρτιώταις M) 19 αὐτοὺς V spanh.] αὐτὴν 23 τὸν τόκον γνήσιον V] γνήσιον τὸν τόκον. „F. οὐ γνήσιον, quia verbum ἐλέγχειν paene solis deterioribus adhiberi solet.“ Rsk. | ὑπάρξειν V 24 ἐγγόνων V] ἐκγόνων 26 αὐτὰ] αὐταῖς H, αὐταῖς aut αὐτῶν Rsk.

οἱ πατέρες ὑπὲρ τῶν γαμετῶν καὶ τῶν ἐγγόνων ἐπὶ τῇ κρίσει δειμαίνοντες, ἀτρεκὴς δέ ἐστι καὶ ἀψευδὴς κριτής. ἡμᾶς δὲ δεκάζει μὲν πλοῦτος, δεκάζει δὲ ἰσχὺς καὶ ὥρα σώματος καὶ δυναστεία προγόνων ἔξωθεν ἐπισκιάζουσα, καὶ οὐκ ἐπιτρέπει διορᾶν οὐδὲ ἀποβλέπειν ἐς τὴν ψυχήν, ᾗπερ δὴ τῶν ἄλλων ζῴων διαφέροντες εἰκότως ἂν κατ' αὐτὸ τὴν ὑπὲρ τῆς εὐγενείας ποιοίμεθα κρίσιν. καί μοι δοκοῦσιν εὐστοχίᾳ φύσεως οἱ πάλαι θαυμαστῇ χρώμενοι, καὶ οὐκ B ἐπίκτητον ὥσπερ ἡμεῖς ἔχοντες τὸ φρονεῖν, οὔτι πλαστῶς, ἀλλ' αὐτοφυῶς φιλοσοφοῦντες, τοῦτο κατανοῆσαι, καὶ τὸν Ἡρακλέα τοῦ Διὸς ἀνειπεῖν ἔγγονον καὶ τὼ τῆς Λήδας υἱέε, Μίνω τε οἶμαι τὸν νομοθέτην καὶ Ῥαδάμανθυν τὸν Κνώσιον τῆς αὐτῆς ἀξιῶσαι φήμης· καὶ ἄλλους δὲ ἄλλων ἐκγόνους ἀνεκήρυττον πολλοὺς διαφέροντας τῶν φύσει πατέρων. ἔβλεπον γὰρ ἐς τὴν ψυχὴν αὐτὴν καὶ τὰς πράξεις, ἀλλ' οὐκ ἐς πλοῦτον βαθὺν καὶ χρόνῳ πολιόν, οὐδὲ δυναστείαν ἐκ πάππων τινῶν καὶ ἐπιπάππων ἐς αὐτοὺς ἥκουσαν· καίτοι γε ὑπῆρχέ τισιν οὐ παντάπασιν ἀδόξων γενέσθαι πατέρων· ἀλλὰ διὰ τὴν ὑπερ- C βολὴν ἧς ἐτίμων τε καὶ ἐθεράπευον ἀρετῆς αὐτῶν ἐνομίζοντο τῶν θεῶν παῖδες. δῆλον δὲ ἐνθένδε· ἄλλων γαρ οὐδὲ εἰδότες τοὺς φύσει γονέας ἐς τὸ δαιμόνιον ἀνῆπτον τὴν φήμην, τῇ περὶ αὐτοὺς ἀρετῇ χαριζόμενοι. καὶ οὐ πειστέον τοῖς λέγουσιν, ὡς ἄρα

1 ἐγγόνων V] ἐκγόνων 3 κριτὴς om. M et edd. spanhemiana priores | δικάζει bis VM, sed in hoc correctum manu secunda 8 ποιούμεθα V 9 θαυμαστῇ V] θαυμαστῶς 10 οὔτι V] οὔτε. Imitatur Platonem Legg. I 642 C 12 ἔγγονον V] ἔκγονον 15 φήμης] μνήμης M | δὲ ἄλλων VM] δὲ τῶν ἄλλων 17 εἰς M 26 λέγουσιν VM] λέγουσι

ἐκεῖνοι ὑπο ἀμαθίας ἐξαπατώμενοι ταῦτα τῶν θεῶν
D κατεψεύδοντο. εἰ γὰρ δὴ καὶ ἐπὶ τῶν ἄλλων εἰκὸς
ἦν ἐξαπατηθῆναι θεῶν ἢ δαιμόνων, σχήματα περι-
τιθέντας ἀνθρώπινα καὶ μορφὰς τοιαύτας, ἀφανῆ
μὲν αἰσθήσει καὶ ἀνέφικτον κεκτημένων αὐτῶν φύ-
σιν, νῷ δὲ ἀκριβεῖ διὰ ξυγγένειαν μόλις προσπίπτου-
σαν· οὔτι γε καὶ ἐπὶ τῶν ἐμφανῶν θεῶν τοῦτο
παθεῖν εὔλογον ἐκείνους, Ἡλίου μὲν ἐπιφημίζοντας
Αἰήτην υἱέα, Ἑωσφόρου δὲ ἕτερον, καὶ ἄλλους ἄλ-
83 λων. ὅπερ δὲ ἔφην, χρὴ περὶ αὐτῶν πειθομένους
ἡμᾶς ταύτην ποιεῖσθαι τὴν ὑπὲρ τῆς εὐγενείας ἐξέ-
τασιν· καὶ ὅτῳ μὲν ἂν ὦσιν ἀγαθοὶ πατέρες καὶ
αὐτὸς ἐκείνοις ἐμφερής, τοῦτον ὀνομάζειν θαρρούν-
τως εὐγενῆ· ὅτῳ δὲ τὰ μὲν τῶν πατέρων ὑπῆρξεν
ἀρετῆς ἐνδεᾶ, αὐτὸς δὲ μετεποιήθη τούτου τοῦ κτή-
ματος, τούτου δὲ νομιστέον πατέρα τὸν Δία καὶ
φυτουργόν, καὶ οὐδὲν μεῖον αὐτῷ δοτέον ἐκείνων,
οἳ γεγονότες πατέρων ἀγαθῶν τοὺς σφῶν τοκέας
B ἐζήλωσαν· ὅστις δὲ ἐξ ἀγαθῶν γέγονε μοχθηρός,
τοῦτον τοῖς νόθοις ἐγγράφειν ἄξιον· τοὺς δὲ ἐκ
μοχθηρῶν φῦντας καὶ προσομοίους τοῖς αὐτῶν τοκεῦ-
σιν οὔποτε εὐγενεῖς φατέον, οὐδὲ εἰ πλουτοῖεν τα-
λάντοις μυρίοις, οὐδὲ εἰ ἀπαριθμοῖντο προγόνους
δυναστὰς ἢ ναὶ μὰ Δία τυράννους εἴκοσιν, οὐδὲ εἰ
νίκας Ὀλυμπιακὰς ἢ Πυθικὰς ἢ τῶν πολεμικῶν ἀγώ-
C νων, αἳ δὴ τῷ παντὶ 'κείνων εἰσὶ λαμπρότεραι, ἀν-
ελομένους ἔχοιεν δείκνυσθαι πλείους ἢ Καῖσαρ ὁ

2 δὴ καὶ VM] δὴ 15 τούτου τοῦ κτήματος VM] τοῦ κτήματος 17 οὐδὲν VM] οὐδὲ 21 τοῖς αὐτῶν τοκεῦσιν VM] τοῖς τοκεῦσιν 23 ἀπαριθμοῖτο V 24 τυράννους] δυναστείας M 25 Ὀλυμπιακὰς fl. M] Ὀλυμπικὰς 26 κεί-νων V] ἐκείνων 27 ἐνδείκνυσθαι ἔχοι V

πρῶτος, ὀρύγματά (τε) τὰ Ἀσσύρια καὶ τὰ Βαβυλωνίων τείχη πυραμίδας τε ἐπ' αὐτοῖς τὰς Αἰγυπτίων, καὶ ὅσα ἄλλα πλούτου καὶ χρημάτων καὶ τρυφῆς γέγονε σημεῖα καὶ διανοίας ὑπὸ φιλοτιμίας ἀναφλεγομένης ἐς ὅ,τι τῷ πλούτῳ χρήσεται, εἶτα ἐς τοῦτο τὰς τῶν χρημάτων εὐπορίας καταβαλλομένης. εὖ γὰρ δὴ ἴστε, ὡς οὔτε πλοῦτος ἀρχαῖος ἢ νεωστί ποθεν ἐπιρρέων βασιλέα ποιεῖ οὔτε ἁλουργὲς ἱμάτιον οὔτε D τιάρα καὶ σκῆπτρον καὶ διάδημα καὶ θρόνος ἀρχαῖος, ἀλλ' οὐδὲ ὁπλῖται πολλοὶ καὶ ἱππεῖς μυρίοι, οὐδὲ εἰ πάντες ἄνθρωποι βασιλέα σφῶν τοῦτον ὁμολογοῖεν συνελθόντες, ὅτι μηδὲ ἀρετὴν οὗτοι χαρίζονται, ἀλλὰ δυναστείαν μὲν οὐ μάλα εὐτυχῆ τῷ λαβόντι, πολὺ δὲ πλέον τοῖς παρασχομένοις. δεξάμενος γὰρ ὁ τοιοῦτος αἴρεται μετέωρος ἐπίπαν, οὐδὲν διαφέρων τοῦ περὶ τὸν Φαέθοντα μύθου καὶ πάθους. καὶ οὐδὲν ἑτέρων δεῖ παραδειγμάτων πρὸς πίστιν τῷ λόγῳ, τοῦ 84 βίου παντὸς ἀναπεπλησμένου τοιούτων παθημάτων καὶ ἐπ' αὐτοῖς λόγων. ὑμῖν δὲ εἰ θαυμαστὸν δοκεῖ τὸ μὴ δικαίως μεταποιεῖσθαι τῆς καλῆς ταύτης καὶ θεοφιλοῦς ἐπωνυμίας τοὺς πολλῆς μὲν γῆς καὶ ἐθνῶν ἀπείρων ἄρχοντας, γνώμῃ δὲ αὐτεξουσίῳ δίχα νοῦ καὶ φρονήσεως καὶ τῶν ταύτῃ ξυνεπομένων ἀρετῶν τὰ προστυχόντα κρίνοντας· ἴστε οὐδὲ ἐλευθέρους ὄντας, οὐ μόνον εἰ τὰ παρόντα οὐδενός σφισιν ἐμ- B ποδὼν ὄντος ἔχοιεν καὶ ἐμφοροῖντο τῆς ἐξουσίας,

1 τε τὰ H] τὰ | βαβυλωνίων V] Βαβυλώνια 4 ἀναφλεγομένης V] ἀναφλεγμαινομένης. Post hoc καὶ ἀπορουμένης vel simile quid excidisse videtur 5 τοῦτο] τοιοῦτο H 6 τὰς — εὐπορίας H] τῆς — εὐπορίας (τὴν — εὐπορίαν Rsk.) 10 ὁπλιτῶν V 14 πλέον] μεῖον H | γὰρ om. V 15 αἴρεται μετέωρος H] δέχεται μετέωρον. cf. 23 C 35 D 175 D 16 πάθας V 23 ξυνεπομένων V] συνεπομένων | ἀρετῇ M

ἀλλὰ καὶ εἰ τῶν ἐπιστρατευόντων κρατοῖεν καὶ ἐπ-
ιόντες ἀνυπόστατοί τινες σφόδρα καὶ ἄμαχοι φαί-
νοιντο. εἰ δὲ ἀπιστεῖ τις ὑμῶν τῷ λόγῳ τῷδε, μάλα
ἐμφανῶν μαρτύρων οὐκ ἀπορήσομεν, Ἑλλήνων ὁμοῦ
καὶ βαρβάρων, οἳ μάχας πολλὰς καὶ ἰσχυρὰς λίαν
μαχεσάμενοι καὶ νενικηκότες ἔθνη μὲν ἐκτῶντο καὶ
C αὐτοῖς φόρους ἀπάγειν κατηνάγκαζον, ἐδούλευον δὲ
αἴσχιον ἐκείνων ἡδονῇ καὶ τρυφῇ καὶ ἀκολασίᾳ καὶ
ὕβρει καὶ ἀδικίᾳ. τούτους δὲ οὐδὲ ἰσχυροὺς ἂν φαίη
νοῦν ἔχων ἀνήρ, εἰ καὶ ἐπιφαίνοιτο καὶ ἐπιλάμποι
μέγεθος τοῖς ἔργοις. μόνος γάρ ἐστι τοιοῦτος ὁ μετὰ
ἀρετῆς ἀνδρεῖος καὶ μεγαλόφρων· ὅστις δὲ ἥττων μὲν
ἡδονῶν, ἀκράτωρ δὲ ὀργῆς καὶ ἐπιθυμιῶν παντοίων, καὶ
ὑπὸ σμικρῶν ἀπαγορεύειν ἀναγκαζόμενος, οὗτος δὲ
D οὐδὲ ἰσχυρὸς οὐδὲ ἀνδρεῖος ἀνθρωπίνην ἰσχύν· ἐπι-
τρεπτέον δὲ ἴσως αὐτῷ κατὰ τοὺς ταύρους ἢ τοὺς
λέοντας ἢ τὰς παρδάλεις τῇ ῥώμῃ γάνυσθαι, εἰ μὴ
καὶ ταύτην ἀποβαλὼν καθάπερ οἱ κηφῆνες ἀλλοτρίοις
ἐφέστηκε πόνοις, αὐτὸς ὢν μαλθακὸς αἰχμητὴς καὶ
δειλὸς καὶ ἀκόλαστος. τοιοῦτος δὲ ὢν οὐ μόνον
ἀληθοῦς ἐνδεὴς πλούτου καθέστηκεν, ἀλλὰ καὶ τοῦ
πολυτιμήτου καὶ σεμνοῦ καὶ ἀγαπητοῦ, ἐξ οὗ παντο-
δαπαὶ κρεμάμεναι ψυχαὶ πράγματα ἔχουσι μυρία καὶ
85 πόνους, τοῦ καθ' ἡμέραν κέρδους ἕνεκα πλεῖν τε
ὑπομένουσαι καὶ καπηλεύειν καὶ λῃστεύειν καὶ ἀναρ-
πάζειν τὰς τυραννίδας. ζῶσι γὰρ ἀεὶ μὲν κτώμενοι,

2 σφόδρα deleverim 7 αὐτοῖς VM, αὐτοὺς v | ἀπάγειν Rsk. et H] ἀπαιτεῖν 11 μέγεθος V] τὸ μέγεθος 12 μὲν add. V 13 ἡδονῶν VM] ἡδονῆς 17 γάνυσθαι H] γαννυσθαι 18 ταύτην V] ταῦτα | οἱ] οιεν (sic) V 19 μαλακὸς V. Vid. Iliad. ρ, 588 22 πολυτιμήτου V] πολυκμήτου 23 ἔχουσι VM] ἔχουσιν 25 ἀναρπάζειν V] ἁρπάζειν 26 γὰρ ἀεὶ μὲν V] μὲν γὰρ ἀεὶ

ἀεὶ δὲ ἐνδεεῖς, οὔτι τῶν ἀναγκαίων φημὶ σιτίων καὶ ποτῶν καὶ ἐσθημάτων· ὥρισται γὰρ ὁ τοιοῦτος πλοῦτος εὖ μάλα παρὰ τῆς φύσεως, καὶ οὐκ ἔστιν αὐτοῦ στέρεσθαι οὔτε τοὺς ὄρνιθας οὔτε τοὺς ἰχθύας οὔτε τὰ θηρία, ἀλλ' οὐδὲ ἀνθρώπων τοὺς σώφρονας· ὅσους δὲ ἐνοχλεῖ χρημάτων ἐπιθυμία καὶ ἔρως δυσ- B τυχής, τούτους δὲ ἀνάγκη πεινῆν διὰ βίου καὶ ἀθλιώτερον ἀπαλλάττειν μακρῷ τῶν τῆς ἐφημέρου τροφῆς ἐνδεομένων. τούτοις μὲν γὰρ ἀποπλήσασι τὴν γαστέρα πολλὴ γέγονεν εἰρήνη καὶ ἀνοκωχὴ τῆς ἀλγηδόνος, ἐκείνοις δὲ οὔτε ἡμέρα πέφηνεν ἀκερδὴς ἡδεῖα, οὔτε εὐφρόνη τὸν λυσιμελῆ καὶ λυσιμέριμνον ὕπνον ἐπάγουσα παῦλαν ἐνεποίησε τῆς ἐμμανοῦς λύττης, στροβεῖ δὲ αὐτῶν καὶ στρέφει τὴν ψυχὴν C ἐκλογιζομένων καὶ ἀπαριθμουμένων τὰ χρήματα· καὶ οὐκ ἐξαιρεῖται τοὺς ἄνδρας τῆς ἐπιθυμίας καὶ τῆς ἐπ' αὐτῇ λοιδορίας οὐδὲ ὁ Ταντάλου καὶ Μίδου πλοῦτος περιγενόμενος οὐδὲ ἡ μεγίστη καὶ χαλεπωτάτη δαιμόνων τυραννὶς προσγενομένη. ἢ γὰρ οὐκ ἀκηκόατε Δαρεῖον τὸν Περσῶν μονάρχην μισθωτόν, οὐ παντάπασι μοχθηρὸν ἄνθρωπον, δυσέρωτα δὲ αἰσχρῶς εἰς χρήματα καὶ νεκρῶν θήκας ὑπὸ τῆς ἐπιθυμίας διορύττειν ἀναπειθόμενον καὶ πολυτελεῖς ἐπιτάττειν φόρους; ὅθεν αὐτῷ τὸ κλεινὸν ὄνομα γέ- D

4 ἰχθῦας V. Scribendum ἰχθῦς, cf. 59 A | οὔτε H] οὐδὲ 7 et 8 ἀνάγκη — ἀπαλλάττειν cit. Philemo gramm. p. 261 Os. 8 ἀπαλάττειν V 9 ἐνδεομένων H] δεομένων 10 ἀνοκωχὴ H] ἀνακωχή. cf. ad 39 D 11 κείνοις V 12 λυσιτελῆ V 14 λύττης Rsk.] λύπης 17 λοιδορίας] ταλαιπωρίας H 18 οὐδὲ H] οὔτε 18 et 19 μεγίστη — τυραννίς] Spectant haec Eurip. Phoen. 509. cf. Eur. fr. 252 Plutarch. mor. 479 A 481 A 20 ἠκηκόατε V | τὸν VM] τῶν | μονάρχου V. Scribendum videtur μόναρχον | μισθωτὸν] ἢ μισθωτὸν Rsk. 21 παντάπασι VM] παντάπασιν | μοχθηρὸν add. VM

γονε κατὰ πάντας ἀνθρώπους ἐκφανές· ἐκάλουν γὰρ αὐτὸν Περσῶν οἱ γνώριμοι ὅτιπερ Ἀθηναῖοι τὸν Σάραμβον.

Ἀλλ' ἔοικε γὰρ ὁ λόγος, ὥσπερ ὁδοῦ τινος κατάντους ἐπιλαβόμενος, ἀφειδῶς ἐμφορεῖσθαι τῆς καταρρήσεως καὶ πέρα τοῦ δέοντος κολάζειν τῶν ἀνδρῶν τοὺς τρόπους, ὥστε οὐκ ἐπιτρεπτέον αὐτῷ περαιτέρω
86 φοιτᾶν. ἀπαιτητέον δὲ εἰς δύναμιν τὸν ἀγαθὸν ἄνδρα καὶ βασιλικὸν καὶ μεγαλόφρονα. ἔστι δὲ πρῶτον μὲν εὐσεβὴς καὶ οὐκ ὀλίγωρος θεραπείας θεῶν, εἶτα ἐς τοὺς τοκέας ζῶντάς τε οἶμαι καὶ τελευτήσαντας ὅσιος καὶ ἐπιμελής, ἀδελφοῖς τε εὔνους, καὶ ὁμογνίους θεοὺς αἰδούμενος, ἱκέταις καὶ ξένοις πρᾷος καὶ μείλιχος, τοῖς μὲν ἀγαθοῖς τῶν πολιτῶν ἀρέσκειν ἐθέλων, τῶν πολλῶν δὲ ἐπιμελόμενος ἐν δίκῃ καὶ ἐπ' ὠφελείᾳ· ἀγαπᾷ δὲ πλοῦτον, οὔτι τὸν χρυσῷ
B καὶ ἀργύρῳ βριθόμενον, φίλων δὲ ἀληθοῦς εὐνοίας καὶ ἀκολακεύτου θεραπείας μεστόν· ἀνδρεῖος μὲν φύσει καὶ μεγαλοπρεπής, πολέμῳ δὲ ἥκιστα χαίρων καὶ στάσιν ἐμφύλιον ἀπεχθαίρων, τούς γε μὴν ἔκ τινος τύχης ἐπιφυομένους ἢ διὰ τὴν σφῶν αὐτῶν μοχθηρίαν ἀνδρείως ὑφιστάμενος καὶ ἀμυνόμενος ἐγκρατῶς, τέλος τε ἐπάγων τοῖς ἔργοις καὶ οὐ πρότερον ἀφιστάμενος, πρὶν ἂν ἐξέλῃ τῶν πολεμίων τὴν
C δύναμιν καὶ ὑποχείριον αὐτῷ ποιήσηται. κρατήσας δὲ μετὰ τῶν ὅπλων ἔπαυσε τὸ ξίφος φόνων, μίασμα κρίνων τὸν οὐκ ἀμυνόμενον ἔτι κτείνειν καὶ αναιρεῖν. φιλόπονος δὲ ὢν φύσει καὶ μεγαλόψυχος κοι-

1 κατὰ] καὶ κατὰ? | ἐκφανὲς VM] ἐμφανὲς 5 ἀφειδοῦς V 14 μείλιχος V] μειλίχιος 15 ἐπιμελόμενος V] ἐπιμελούμενος 24 πρὶν ἂν V] πρὶν πᾶσαν 25 ποιήσεται VM *26 φόνων] φονῶν?*

νωνεῖ μὲν ἅπασι τῶν πόνων, καὶ ἔχειν ἐν αὐτοῖς τὸ πλέον ἀξιοῖ, μεταδίδωσι δὲ ἐκείνοις τῶν κινδύνων τὰ ἔπαθλα, χαίρων καὶ γεγηθὼς οὔτι τῷ πλέον ἔχειν τῶν ἄλλων χρυσίον καὶ ἀργύριον καὶ ἐπαύλεις κόσμῳ πολυτελεῖ κατεσκευασμένας, ἀλλὰ τῷ πολλοὺς D μὲν εὖ ποιεῖν δύνασθαι, χαρίζεσθαι δὲ ἅπασιν ὅτου ἂν τύχωσιν ἐνδεεῖς ὄντες· τούτων αὐτὸν ὅ γε ἀληθινὸς ἀξιοῖ βασιλεύς. φιλόπολις δὲ ὢν καὶ φιλοστρατιώτης τῶν μεν καθάπερ νομεὺς ποιμνίων ἐπιμελεῖται, προνοῶν ὅπως ἂν αὐτῷ θάλλῃ καὶ εὐθηνῆται τὰ θρέμματα δαψιλοῦς καὶ ἀταράχου τῆς νομῆς ἐμπιμπλάμενα, τοὺς δὲ ἐφορᾷ καὶ συνέχει, πρὸς ἀνδρείαν καὶ ῥώμην καὶ πρᾳότητα γυμνάζων καθάπερ σκύλακας εὐφυεῖς καὶ γενναίους τῆς ποίμνης φύλα- 87 κας, ἔργων τε αὐτῷ κοινωνοὺς καὶ ἐπικούρους τῷ πλήθει νομίζων, ἀλλ' οὐχὶ ἁρπακτῆράς τινας οὐδὲ λυμεῶνας τῶν ποιμνίων καθάπερ οἱ λύκοι καὶ κυνῶν οἱ φαυλότατοι, (οἳ) τῆς αὐτῶν φύσεως καὶ τροφῆς ἐπιλαθόμενοι ἀντὶ σωτήρων καὶ προαγωνιστῶν ἀνεφάνησαν αὐτοὶ δηλήμονες· οὐδὲ μὴν ὑπνηλοὺς ἀνέξεται εἶναι καὶ ἀργοὺς καὶ ἀπολέμους, ὅπως ἂν μὴ φυλάκων ἑτέρων οἱ φρουροὶ δέωνται, ἀλλ' οὐδὲ ἀπειθεῖς ἄρχουσιν, εἰδὼς ὅτι τοῦτο μάλιστα B πάντων, ἔστι δὲ ὅπου καὶ μόνον ἀπόχρῃ σωτήριον ἐπιτήδευμα πρὸς πόλεμον· πόνων δὲ ἁπάντων ἐνδεεῖς καὶ ἀτεράμονας, οὔτι ῥαθύμους ἐργάσεται, ἐπι-

5 πολυτελεῖ V spanh.] πολυτελεῖς | τῷ V] τὸ 8 φιλόπολις] φιλοπολίτης H 12 ἐμπιμπλάμενα H] ἐμπιπλάμενα | συνέχῃ V 15 αὐτῷ H] αὐτῷ 17 τῶν ποιμνίων V] τῷ ποιμνίῳ 18 οἳ add. H | αὐτῶν H] αὐτῶν 20 οὐδὲ H] οὔτε 23 Malim τοῖς ἄρχουσιν 25 ἐνδεεῖς] ἀνενδεεῖς vel ἀδεεῖς Rsk.

στάμενος ὅτι μὴ μέγα ὄφελος φύλακος τὸν πόνον φεύγοντος καὶ οὐ δυναμένου καρτερεῖν οὐδὲ ἀντέχειν πρὸς κάματον. ταῦτα δὲ οὐ παραινῶν μόνον οὐδὲ ἐπαινῶν τοὺς ἀγαθοὺς προθύμως καὶ χαριζό-
C μενος ἢ κολάζων ἐγκρατῶς καὶ ἀπαραιτήτως ξυμπείθει καὶ βιάζεται, ἀλλὰ πολὺ πρότερον αὑτὸν τοιοῦτον ἐπιδεικνύων, ἀπεχόμενος μὲν ἡδονῆς ἁπάσης, χρημάτων δὲ οὐδὲν οὔτε σμικρὸν οὔτε μεῖζον ἐπιθυμῶν καὶ ἀφαιρούμενος τῶν ὑπηκόων, ὕπνῳ τε εἴκων ὀλίγα καὶ τὴν ἀργίαν ἀποστρεφόμενος. ἀληθῶς γὰρ οὐδεὶς οὐδενὸς εἰς οὐδὲν ἄξιος καθεύδων ἀνὴρ ἢ καὶ ἐγρηγορὼς τοῖς καθεύδουσιν ἐμφερής. πειθομένους δὲ αὐτοὺς ἕξει καλῶς αὑτῷ τε οἶμαι
D καὶ τοῖς ἄρχουσιν, εἰ τοῖς ἀρίστοις πειθόμενος νόμοις καὶ τοῖς ὀρθοῖς ξυνεπόμενος διατάγμασι δῆλος εἴη, καὶ ὅλως τὴν ἡγεμονίαν ἀποδοὺς τῷ φύσει βασιλικῷ καὶ ἡγεμονικῷ τῆς ψυχῆς μορίῳ, ἀλλ' οὐ τῷ θυμοειδεῖ καὶ ἀκολάστῳ. καὶ καρτερεῖν δὲ καὶ ὑπομένειν τόν τε ἐπὶ στρατιᾶς καὶ ἐν τοῖς ὅπλοις κάματον ὁπόσα τε κατὰ τὴν εἰρήνην ἐξηυρέθη γυμνάσια μελέτης ἕνεκα τῆς πρὸς τοὺς ὀθνείους ἀγῶνας, πῶς ἄν τις μάλιστα πείσειεν; ἢ δῆλον ὡς αὐτὸς ὁρώ-
88 μενος καρτερὸς καὶ ἀδαμάντινος; ἔστι γὰρ ἀληθῶς ἥδιστον θέαμα στρατιώτῃ πονουμένῳ σώφρων αὐτοκράτωρ, συνεφαπτόμενος ἔργων καὶ προθυμούμενος καὶ παρακαλῶν καὶ ἐν τοῖς δοκοῦσι φοβεροῖς φαιδρὸς καὶ ἀδεὴς καὶ ὅπου λίαν θαρροῦσι σεμνὸς καὶ ἐμβριθής. πέφυκε γὰρ ἐξομοιοῦσθαι πρὸς τὸν ἄρ-

6 αὐτὸν VM 11 οὐδεὶς — ἄξιος] Plat. Legg. VII 808 B 12 ἢ καὶ] ἢ V | ἐμφερῶς V 13 αὑτῷ H] αὐτῷ 20 ἐξηυρέθη H] ἐξευρέθη 21 εἵνεκα V 22 πείσειεν H] πεισθείη | ἢ M] ἡ

χοντα τὰ τῶν ὑπηκόων εὐλαβείας πέρι καὶ θράσους. προνοητέον δὲ αὐτῷ τῶν εἰρημένων οὐ μεῖον ὅπως ἄφθονον τὴν τροφὴν ἔχωσι καὶ οὐδενὸς τῶν ἀναγκαίων ἐνδέωνται. πολλάκις γὰρ οἱ πιστότατοι τῶν B ποιμνίων φρουροὶ καὶ φύλακες ὑπὸ τῆς ἐνδείας ἀναγκαζόμενοι ἄγριοί τέ εἰσι τοῖς νομεῦσι καὶ αὐτοὺς πόρρωθεν ἰδόντες περιυλακτοῦσι καὶ οὐδὲ τῶν προβάτων ἀπέσχοντο. τοιοῦτος μὲν ἐπὶ στρατοπέδων ὁ γενναῖος, πόλει δὲ σωτὴρ καὶ κηδεμών, οὔτι τοὺς ἔξωθεν μόνον ἀπείργων κινδύνους οὐδὲ ἀντιταττόμενος ἢ καὶ ἐπιστρατεύων βαρβάροις γείτοσι· στάσιν δὲ ἐξαιρῶν καὶ ἔθη μοχθηρὰ καὶ τρυφὴν καὶ ἀκο- C λασίαν τῶν μεγίστων κακῶν παρέξει ῥᾳστώνην. ὕβριν δὲ ἐξείργων καὶ παρανομίαν καὶ ἀδικίαν καὶ ἐπιθυμίαν ἀμέτρου κτήσεως [καὶ] τὰς ἐκ τούτων ἀναφυομένας στάσεις καὶ ἔριδας εἰς οὐδὲν χρηστὸν τελευτώσας οὐδὲ τὴν ἀρχὴν ἀνέξεται φῦναι, γενομένας δὲ ὡς ἔνι τάχιστα ἀφανίσει καὶ ἐξελάσει τῆς αὑτοῦ πόλεως. λήσεται δὲ αὐτὸν οὐδεὶς ὑπερβὰς τὸν νόμον καὶ βιασάμενος, (οὐ) μᾶλλον ἢ τῶν πολεμίων τις τὸν χάρακα. φύλαξ δὲ ὢν ἀγαθὸς τῶν νόμων, ἀμεί- D νων ἔσται δημιουργός, εἴ ποτε καιρὸς καὶ τύχη καλοίη· καὶ οὐδεμία μηχανὴ πείθει τὸν τοιοῦτον ψευδῆ καὶ κίβδηλον καὶ νόθον τοῖς κειμένοις ἐπεισάγειν νόμον, οὐ μᾶλλον ἢ τοῖς αὑτοῦ παισὶ δούλειον καὶ

1 θάρσους V 4 ἐνδέωνται H] ἐνδέοιντο 9 ὁ γενναῖος VM] γενναῖος. Rsk. putat deesse ἡγεμὼν. At vid. 90 C et Themist. p. 40 A et 43 C | τοὺς VM] τῶν 11 ἢ καὶ] ἢ M 12 ἐξαίρων VM | ἔθη μοχθηρὰ V] μοχθηρὰ ἔθη 15 καὶ inclusit H 17 γενομένας M] γενόμενος V, γενόμενα v 18 ἔνι om. V | ἀφανιεῖ Cobetus | αὑτοῦ H] αὐτοῦ 20 οὐ add. H. cf. infra D 21 φάρακα V 23 οὐδὲ μία V | πείθει] πείσει malim 24 ἐπεισάγει V 25 αὐτοῦ VM

*ἀγεννὲς ἐπ(εισ)αγαγεῖν σπέρμα. δίκης δὲ αὐτῷ μέλει
καὶ θέμιδος, καὶ οὔτε γονεῖς οὔτε ξυγγενεῖς καὶ
φίλοι πείθουσι καταχαρίσασθαί σφιν καὶ προδοῦναι
89 τὸ ἔνδικον. ὑπολαμβάνει γὰρ ἁπάντων εἶναι τὴν
πατρίδα κοινὴν ἑστίαν καὶ μητέρα, πρεσβυτέραν μὲν
καὶ σεμνοτέραν τῶν [φίλων καὶ] πατέρων, φιλτέραν
δὲ ἀδελφῶν καὶ ξένων καὶ φίλων· ἧς ἀποσυλῆσαι
τὸν νόμον καὶ βιάσασθαι μεῖζον ἀσέβημα κρίνει τῆς
περὶ τὰ χρήματα τῶν θεῶν παρανομίας. ἔστι γὰρ
ὁ νόμος ἔγγονος τῆς δίκης, ἱερὸν ἀνάθημα καὶ θεῖον
ἀληθῶς τοῦ μεγίστου θεοῦ, ὃν οὐδαμῶς ὅ γε ἔμ-
φρων ἀνὴρ περὶ σμικροῦ ποιήσεται οὐδὲ ἀτιμάσει·
B ἀλλὰ ἐν δίκῃ πάντα δρῶν τοὺς μὲν ἀγαθοὺς τι-
μήσει προθύμως, τοὺς μοχθηροὺς δὲ ἐς δύναμιν
ἰᾶσθαι καθάπερ ἰατρὸς ἀγαθὸς προθυμήσεται. διτ-
τῶν δὲ ὄντων τῶν ἁμαρτημάτων, καὶ τῶν μὲν ὑπο-
φαινόντων ἐλπίδας ἀμείνους καὶ οὐ πάντῃ τὴν θε-
ραπείαν ἀπεστραμμένων, τῶν δὲ ἀνίατα πλημμελούν-
των· τούτοις δὲ οἱ νόμοι θάνατον λύσιν τῶν κακῶν
ἐπενόησαν, οὐκ εἰς τὴν ἐκείνων μᾶλλον, εἰς δὲ τὴν
C ἄλλων ὠφέλειαν· διττὰς δ' ἀνάγκη τὰς κρίσεις γί-
γνεσθαι. οὐκοῦν τῶν μὲν ἰασίμων αὐτῷ προσήκειν
ὑπολήψεται τήν τε ἐπίγνωσιν καὶ τὴν θεραπείαν,
ἀφέξεται δὲ τῶν ἄλλων μάλα ἐρρωμένως, καὶ οὐκ
ἄν ποτε ἑκὼν ἅψαιτο κρίσεως, ἐφ' ᾗ θάνατος ἡ
ζημία παρὰ τῶν νόμων τοῖς ὠφληκόσι τὴν δίκην*

1 *ἐπεισαγαγεῖν* H] *ἐπαγαγεῖν* 2 *οἱ ξυγγενεῖς* V 3 *σφιν* V] *σφι* 4 *ὑπολαμβάνει* VM] *προλαμβάνει* 6 *φίλων καὶ* delenda sunt 7 *ἀδελφῶν* VM] *τῶν ἀδ.* 10 *ἔγγονος* V] *ἔκγονος* 15 *προθυμηθήσεται* V 19 *λύσιν* om. V 20 *οὐκ εἰς* VM] *οὐκ ἐς* 21 *ἄλλων* V] *τῶν ἄλλ.* | *δ'* V] *δὲ.* Scribendumne *δὴ*? | *γίγνεσθαι* VM] *γίνεσθαι* 23 *τε* add. *VM* 25 *ἅψαιτο* V] *ἅψεται*

προαγορεύεται. νομοθετῶν δὲ ὑπὲρ τῶν τοιούτων
ὕβριν μὲν καὶ χαλεπότητα καὶ πικρίαν τῶν τιμωριῶν
ἀφαιρήσει, ἀποκληρώσει δὲ αὐτοῖς ἀνδρῶν σωφρόνων
καὶ διὰ παντὸς τοῦ βίου βάσανον οὐ φαύλην τῆς D
αὐτῶν ἀρετῆς παρασχομένων τὸ δικαστήριον, οἳ μη-
δὲν αὐθαδῶς μηδὲ ὁρμῇ τινι παντελῶς ἀλόγῳ χρώ-
μενοι, ἐν ἡμέρας μορίῳ σμικρῷ βουλευσάμενοι, τυχὸν
δὲ οὐδὲ βουλῇ δόντες, ὑπὲρ ἀνδρὸς πολίτου τὴν
μέλαιναν οἴσουσι ψῆφον. αὐτῷ δὲ οὔτε ἐν τῇ χειρὶ
ξίφος εἰς πολίτου, κἂν ἀδικῇ τὰ ἔσχατα, φόνον οὔτε
ἐν τῇ ψυχῇ κέντρον ὑπεῖναι χρή, ὅπου καὶ τὴν
τῶν μελιττῶν ὁρῶμεν βασιλεύουσαν καθαρὰν ὑπὸ
τῆς φύσεως πλήκτρου γενομένην. ἀλλ' οὐκ εἰς με- 90
λίττας βλεπτέον, εἰς αὐτὸν δὲ οἶμαι τῶν θεῶν τὸν
βασιλέα, οὗπερ εἶναι χρὴ τὸν ἀληθῶς ἄρχοντα προ-
φήτην καὶ ὑπηρέτην. οὐκοῦν ὅσα μὲν ἀγαθὰ γέγονε
παντελῶς τῆς ἐναντίας ἄμικτα φύσεως καὶ ἐπ' ὠφε-
λείᾳ κοινῇ τῶν ἀνθρώπων καὶ τοῦ παντὸς κόσμου,
τούτων δὲ αὐτὸς ἦν τε καὶ ἔστι δημιουργός· τὰ
κακὰ δὲ οὔτ' ἐγέννησεν οὔτ' ἐπέταξεν εἶναι, ἀλλ'
αὐτὰ μὲν ἐφυγάδευσεν ἐξ οὐρανοῦ, περὶ δὲ τὴν γῆν B
στρεφόμενα καὶ τὴν ἐκεῖθεν ἀποικίαν σταλεῖσαν τῶν
ψυχῶν διαλαβόμενα κρίνειν ἐπέταξε καὶ διακαθαίρειν
τοῖς αὐτοῦ παισὶ καὶ ἐγγόνοις. τούτων δὲ οἱ μὲν
εἰσι σωτῆρες καὶ ἐπίκουροι τῆς ἀνθρωπίνης φύσεως,

1 Malim προηγόρευται | ὑπὲρ VM] περὶ 5 τὸ velim abesse | μηθὲν V 6 αὐθαδῶς] „Videtur ποιοῦντες vel κρίνοντες deesse.“ Rsk. 7 σμικρῷ VM] ὡς μικρῷ 8 οὐδὲ V] οὐ | βουλῇ] βουλὴν H. Vid. ad Xenoph. C. D. VII, 2, 26 10 οὔτε H] οὐδὲ 11 et 12 τὴν τῶν V] τῶν | τὴν ante βασιλεύουσαν vulgo positum om. V 14 εἰς αὐτὸν Rsk.] ἐπ' αὐτὸν 18 κοινῇ τῶν] κοινῇ τε V (cf. ad 70 C), κινεῖται M 20 οὔτ' bis VM] οὔτε 21 αὐτὰ VM] αὐτὸς 24 ἐγγόνοις V] ἐκγόνοις

ἄλλοι δὲ ἀπαραίτητοι κριταί, τῶν ἀδικημάτων ὀξεῖαν καὶ δεινὴν ἐπάγοντες δίκην ζῶσί τε ἀνθρώποις καὶ ἀπολυθεῖσι τῶν σωμάτων, οἱ δὲ ὥσπερ δήμιοι τι- C μωροί τινες καὶ ἀποπληρωταὶ τῶν δικασθέντων, ἕτερον τῶν φαύλων καὶ ἀνοήτων δαιμόνων τὸ φῦλον· ἃ δὴ μιμητέον τῷ γενναίῳ καὶ θεοφιλεῖ, καὶ μεταδοτέον πολλοῖς μὲν ἀρετῆς διὰ φιλίας ἐς ταύτην τὴν κοινωνίαν, ἀρχὰς δὲ ἐπιτρεπτέον οἰκείας ἑκάστου τῇ φύσει καὶ προαιρέσει, τῷ μὲν ἀνδρώδει καὶ τολμηρῷ καὶ μεγαλοθύμῳ μετὰ ξυνέσεως στρατιωτικάς, ἵν' εἰς δέον ἔχῃ τῷ θυμῷ χρῆσθαι καὶ τῇ ῥώμῃ, τῷ δικαίῳ δὲ καὶ πράῳ καὶ φιλανθρώπῳ καὶ πρὸς D οἶκτον εὐχερῶς ἐπικλωμένῳ τῶν πολιτικῶν τὰς ἀμφὶ τὰ συναλλάγματα, βοηθείας τοῖς ἀσθενεστέροις καὶ ἁπλουστέροις μηχανώμενον καὶ πένησι πρὸς τοὺς ἰσχυροὺς καὶ ἀπατεῶνας καὶ πανούργους καὶ ἐπαιρομένους τοῖς χρήμασιν ἐς τὸ βιάζεσθαι καὶ ὑπερορᾶν τῆς δίκης, τῷ δὲ ἐξ ἀμφοῖν κεκραμένῳ μείζονά τε ἐν τῇ πόλει τιμὴν καὶ δύναμιν περιθετέον, καὶ αὐτῷ τὰς ὑπὲρ τῶν ἁμαρτημάτων κρίσεις, οἷς ἕπεται 91 τιμωρία καὶ κόλασις ἔνδικος ἐπ' ὠφελείᾳ τῶν ἀδικουμένων, ὀρθῶς ἂν καὶ ἐμφρόνως λογίζοιτο. κρίνας γὰρ ὁ τοιοῦτος ἀδεκάστως ἅμα τοῖς συνέδροις παραδώσει τῷ δημίῳ τὰ γνωσθέντα ἐπιτελεῖν, οὔτε διὰ θυμοῦ μέγεθος οὔτε διὰ μαλακίαν ψυχῆς ἁμαρτάνων

7 „F. *πολλοῖς μὲν τῆς ἑαυτοῦ ἀρετῆς διὰ φιλίας* (vel *φιλίαν*) *εἰς ταύτην τὴν κοινωνίαν προσληφθεῖσιν.*" Rsk. 10 *στρατιωτικάς* Pet.] *στρατιωτικῆς* 16 *ἐπαιρομένους*] *ἐπαινουμένους* V 18 *κεκραμμένω* V 19 *τε* aut deleam aut post *τιμὴν* ponam. Vid. tamen ad 70 C 21 *καὶ οὐ κόλασις* V 22 *λογίζοιτο*] Si incorruptum est, excidisse quidpiam videtur, fortasse *ἐπιτρέπων* post *ἀδικουμένων*· Rsk. putat *περιτιθεὶς* *pro* *περιθετέον* atque *αὐτὰς* pro *αὐτῷ* esse scribendum 23 *ὁ τοιοῦτος ἀδεκάστως* V] *ἀδεκάστως ὁ τοιοῦτος*

τοῦ φύσει δικαίου. κινδυνεύει δὲ ὁ κράτιστος ἐν πόλει τοιοῦτός τις εἶναι, τὰ μὲν ἐν ἀμφοτέροις ἔχων ἀγαθά, τὰς δὲ οἷον κῆρας ἐκ τοῦ πλεονάζοντος ἐν B ἑκάστῳ τῶν ἔμπροσθεν εἰρημένων ἐκφεύγων. ἐφορῶν δὲ αὐτὸς ἅπαντα καὶ κατευθύνων καὶ ἄρχων ἀρχόντων τοὺς μὲν ἐπὶ τῶν μεγίστων ἔργων καὶ διοικήσεων τεταγμένους καὶ αὐτῷ τῆς ὑπὲρ ἁπάντων βουλῆς κοινωνοῦντας ἀγαθούς τε εἶναι καὶ ὅ,τι μάλιστα αὐτοῦ παραπλησίους εὔξεται γενέσθαι. αἱρήσεται δὲ οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, οὐδ' ἐθελήσει φαυλότερος εἶναι κριτὴς τῶν λιθογνωμόνων καὶ τῶν βασανιζόντων τὸ χρυσίον ἢ τὴν πορφύραν. τούτοις C γὰρ οὐ μία ὁδὸς ἐπὶ τὴν ἐξέτασιν ἀπόχρη, ἀλλὰ συνιέντες οἶμαι τῶν πανουργεῖν ἐθελόντων ποικίλην καὶ πολύτροπον τὴν μοχθηρίαν καὶ τὰ ἐπιτεχνήματα εἰς δύναμιν ἅπασιν ἀντετάξαντο, καὶ ἀντέστησαν ἐλέγχους τοὺς ἐκ τῆς τέχνης. ὃ δὴ καὶ αὐτὸς περὶ τῆς κακίας ὑπολαμβάνων, ὡς ἐστὶ ποικίλη καὶ ἀπατηλὴ καὶ τοῦτό ἐστι χαλεπώτατον τῶν ἐκείνης ἔργων, ὅτι δὴ ψεύδεται πολλάκις ἀρετὴν ὑποδυομένη καὶ D ἐξαπατᾷ τοὺς οὐ δυναμένους ὀξύτερον ὁρᾶν ἢ καὶ ἀποκάμνοντας τῷ μήκει τοῦ χρόνου πρὸς τὴν ἐξέτασιν, τὸ παθεῖν τι τοιοῦτον ὀρθῶς φυλάξεται. ἑλόμενος δὲ ἅπαξ καὶ περὶ αὐτὸν τοὺς ἀρίστους ἔχων τούτοις ἐπιτρέψει τὴν τῶν ἐλασσόνων ἀρχόντων αἵρεσιν. νόμων μὲν δὴ πέρι καὶ ἀρχόντων τοιάδε γινώσκει. τοῦ πλήθους δὲ τὸ μὲν ἐν τοῖς ἄστεσιν

3 κήρας V 4 ἑκάστῳ] ἑκατέρῳ? Vid. tamen 147 B | ἐκφεύγων] ἐμφύτων V 5 et 6 ἄρχων ἀρχόντων VM] ἀρχόντων 9 αὐτοῦ] αὐτῷ H 10 δὲ om. V | οὐδ' ἐθελήσει] οὐδὲ ἐθελήσει (οὐδὲ θελήσει V) 21 οὐ om. V 22 ἀποκάμνοντας VM] ἀποκαμνόντων

οὔτε ἀργον οὔτε αὔθαδες ἀνέξεται εἶναι οὔτε μὴν
92 ἐνδεὲς τῶν ἀναγκαίων· τὸ δὲ ἐν τοῖς ἀγροῖς τῶν γεωργῶν φῦλον ἀροῦντες καὶ φυτεύοντες τροφὴν ἀποίσουσι τοῖς φύλαξι καὶ ἐπικούροις σφῶν, μισθὸν καὶ ἐσθῆτα τὴν ἀναγκαίαν. οἰκοδομήματα δὲ Ἀσσύρια καὶ πολυτελεῖς καὶ δαπανηρὰς λειτουργίας χαίρειν ἐάσαντες ἐν εἰρήνῃ πολλῇ τῶν τε ἔξωθεν πολεμίων καὶ τῶν οἴκοθεν καταβιώσονται, ἀγαπῶντες μὲν τὸν αἴτιον τῶν παρόντων σφίσι καθάπερ ἀγαθὸν δαί-
B μονα, ὑμνοῦντες δὲ ἐπ' αὐτῷ τὸν θεὸν καὶ ἐπευχόμενοι, οὔτι πλαστῶς οὐδὲ ἀπὸ γλώττης, ἔνδοθεν δὲ ἀπ' αὐτῆς τῆς ψυχῆς αἰτοῦσιν αὐτῷ τὰ ἀγαθά. φθάνουσι δὲ οἱ θεοὶ τὰς εὐχάς, καὶ αὐτῷ πρότερον τὰ θεῖα δόντες οὐδὲ τῶν ἀνθρωπίνων ἐστέρησαν. εἰ δὲ τὸ χρεὼν βιάζοιτο κακῷ τῳ περιπεσεῖν, τούτων δὴ τῶν θρυλουμένων ἀνηκέστων· χορευτήν τε αὐτῶν ἐποιήσαντο καὶ συνέστιον, καὶ αὐτῷ κλέος
C καθ' ἅπαντας ἤγειραν ἀνθρώπους. ταῦτα ἐγὼ τῶν σοφῶν ἀκούω πολλάκις, καί με ὁ λόγος ἰσχυρῶς πείθει. οὐκοῦν καὶ ἐς ὑμᾶς αὐτὸν διεξῆλθον, μακρότερα μὲν τυχὸν ἴσως τοῦ καιροῦ φθεγγόμενος, ἐλάττονα δὲ οἶμαι τῆς ὑποθέσεως· καὶ ὅτῳ γέγονε τῶν τοιούτων λόγων ἐπακούειν ἐν φροντίδι, οὗτος ὅτι μὴ ψεύδομαι σαφῶς ἐπίσταται. ἑτέρα δέ

1 οὔτε ἀργὸν οὔτε αὔθαδες VM] οὐδὲ αὔθαδες 4 καὶ V] ἢ 5—7 οἰκοδομήματα — ἐάσαντες cit. Suidas v. οἰκοδομήματα et v. ψεκτέος 6 καὶ πολυτελεῖς om. Suid. 11 οὐδὲ] οὔτε V 14 τῶν ἀνθρώπων V 15 τὸ χρεὼν V] τῷ χρεὼν | περιπεσεῖν] περιβαλεῖν Rsk. 16 θρυλουμένων H] θρυλλουμένων | τε] τινα M 17 αὐτῶν H] αὐτῶν | ἐποιήσαντο V] τε ἐποιήσαντο 20 μακρότερα H] μακρότερον 21 τυχὸν add. V 22 ἐλάττονα Rsk.] ἔλαττον 23 ἐπακούειν V] ὑπακούειν

ιν αἰτία τοῦ μήκους τῆς μὲν εἰρημένης ἧττον
'αγκαία, προσεχεστέρα δὲ οἶμαι τῷ παρόντι λόγῳ· D
'χὸν δὲ οὐδὲ ταύτης ἀνηκόους ὑμᾶς εἶναι χρή.

Πρῶτον μὲν οὖν ὑπομνησθῶμεν μικρὰ τῶν ἔμ-
ιοσθεν, ὁπότε τῆς ὑπὲρ τούτων διηγήσεως ἀπεπαυ-
ιεθα. ἔφαμέν που χρῆναι τοὺς σπουδαίους τῶν
ληθινῶν ἐπαίνων ἀκροατὰς οὐκ εἰς ταῦτα ὁρᾶν, ὧν
τύχη καὶ τοῖς μοχθηροῖς πολλάκις μεταδίδωσιν,
εἰς δὲ τὰς ἕξεις καὶ τὴν ἀρετήν, ἧς μόνοις μέτεστι
τοῖς ἀγαθοῖς ἀνδράσι καὶ φύσει σπουδαίοις. εἶτα
ἐντεῦθεν ἑλόντες τὴν ἀρχὴν τοὺς ἑξῆς ἐπεραίνομεν 93
λόγους, ὥσπερ κανόνα τινὰ καὶ στάθμην ἀπευθύ-
νοντες, ᾗ τοὺς τῶν ἀγαθῶν ἀνδρῶν καὶ βασιλέων
ἐπαίνους ἐναρμόττειν ἐχρῆν. καὶ ὅτῳ μὲν ἀληθὴς
καὶ ἀπαράλλακτος ἁρμονία πρὸς τοῦτο γέγονε τὸ
ἀρχέτυπον, ὄλβιος μὲν αὐτὸς καὶ ὄντως εὐδαίμων,
εὐτυχεῖς δὲ οἱ μεταλαβόντες τῆς τοιαύτης ἀρχῆς·
ὅστις δὲ ἐγγὺς ἀφίκετο, τῶν πλέον ἀπολειφθέντων
ἀμείνων καὶ εὐτυχέστερος· οἱ δὲ ἀπολειφθέντες παν- B
τελῶς ἢ καὶ τὴν ἐναντίαν τραπόμενοι δυστυχεῖς καὶ
ἀνόητοι καὶ μοχθηροί, αὐτοῖς τε καὶ ἄλλοις τῶν με-
γίστων αἴτιοι συμφορῶν. εἰ δὴ οὖν καὶ ὑμῖν ταύτῃ
πῃ ξυνδοκεῖ, ὥρα ἐπεξιέναι τοῖς ἔργοις, ἃ τεθαυμά-
καμεν. καὶ ὅπως μή τις ὑπολάβῃ τὸν λόγον καθ'
αὑτὸν ἰόντα, καθάπερ ἵππον ἀνταγωνιστοῦ στερό-
μενον ἐν τοῖς δρόμοις, κρατεῖν καὶ ἀποφέρειν τὰ
νικητήρια, πειράσομαι, πῇ ποτε διαφέρετον ἀλλήλων
ὅ τε ἡμέτερος καὶ ὁ τῶν σοφῶν ῥητόρων ἔπαινος,

1 εἰρημένης Pet.] εἰρήνης 20 τραπόμενοι] πραττόμενοι V 21 αὐτοῖς H] αὑτοῖς | καὶ ἄλλοις V] καὶ τοῖς λοιποῖς 24 ὑπολάβῃ V] ὑπολάβοι

C δεῖξαι. οὐκοῦν οἱ μὲν τὸ προγόνων γενέσθαι δυνα-
στῶν καὶ βασιλέων θαυμάζουσι μάλα, ὀλβίων καὶ
εὐδαιμόνων μακαρίους ὑπολαμβάνοντες τοὺς ἐκγόνους·
τὸ δὲ ἐπὶ τούτοις οὔτε ἐνενόησαν οὔτε ἐσκέψαντο,
τίνα τρόπον διατελοῦσιν ἀλλήλοις χρώμενοι. καίτοι
γε τοῦτο ἦν τῆς εὐτυχίας ἐκείνης τὸ κεφάλαιον καὶ
σχεδὸν ἁπάντων τῶν ἐκτὸς ἀγαθῶν· εἰ μή τις καὶ
D πρὸς τοὔνομα δυσχεραίνει, τὴν κτῆσιν ὑπὸ τῆς ἔμ-
φρονος χρήσεως ἀγαθὴν καὶ φαύλην ὑπὸ τῆς ἐναν-
τίας γίγνεσθαι συμβαίνειν· ὥστε οὐ μέγα, καθάπερ
οἴονται, τὸ βασιλέως πλουσίου καὶ πολυχρύσου γε-
νέσθαι, μέγα δὲ ἀληθῶς τὸ τὴν ἀρετὴν τὴν πατρῴαν
ὑπερβαλλόμενον ἄμεμπτον αὑτὸν τοῖς γειναμένοις
παρασχεῖν εἰς ἅπαν. βούλεσθε οὖν εἰ τοῦτο ὑπάρχει
βασιλεῖ καταμαθεῖν; παρέξομαι δὲ ὑμῖν ἐγὼ μαρτυ-
ρίαν πιστήν, καί με οὐχ αἱρήσετε ψευδομαρτυριῶν,
94 εὖ οἶδα· ὑπομνήσω γὰρ ὑμᾶς αὐτοὺς ὧν ἴστε· τυ-
χὸν δὲ καὶ ἤδη τοῦ λεγομένου ξυνίετε, εἴ τε οὔπω
δῆλον, αὐτίκα μάλα ξυνήσετε ἐννοήσαντες πρῶτον
μὲν ὡς αὐτὸν ὁ πατὴρ ἠγάπα διαφερόντως, οὔτι
πρᾷος ὢν λίαν τοῖς ἐγγόνοις οὐδὲ τῇ φύσει πλέον
ἢ τῷ τρόπῳ διδούς, ἡττώμενος δὲ οἶμαι τῆς θερα-
πείας καὶ οὐκ ἔχων, ὅ,τι μέμφοιτο, δῆλος ἦν εὔ-
B νους ὤν. καὶ αὐτοῦ σημεῖον τῆς γνώμης, πρῶτον
μὲν ὅτι Κωνσταντίῳ ταύτην ἐξεῖλε τὴν μοῖραν, ἣν

3 ἐκγόνους VM] ἐγγόνους 4 ἐσκέψαντο VM] ἐπεσκέψαντο 5 ἀλλήλοις Petavius merito corruptum esse dicit. Requiritur τοῖς ἀγαθοῖς vel simile quid 6 ἐκείνης V] ἐκείνοις 10 γίγνεσθαι V] γίνεσθαι 12 τὴν πατρῴαν VM] πατρῴαν 15 ὑμῖν ἐγὼ V] ἐγὼ ὑμῖν 16 ψευδομαρτυριῶν VM] ψευδομαρτυρίας 17 αὐτοὺς] Hoc aut expungendum aut αὐτοὶ scribendum 18 εἰ δὲ μήπω H 21 ἐκγόνοις M 22 δὲ *om.* V

αὐτῷ πρότερον προσήκειν ἔχειν ὑπέλαβεν, ἀλλ' ὅτι τελευτῶν τὸν βίον, τὸν πρεσβύτατον καὶ τὸν νεώτατον ἀφεὶς σχολὴν ἄγοντας, τοῦτον δὴ ἄσχολον ἐκάλει καὶ ἐπέτρεπε τὰ περὶ τὴν ἀρχὴν ξύμπαντα. γενόμενος δὲ ἐγκρατὴς ἁπάντων οὕτω τοῖς ἀδελφοῖς δικαίως ἅμα καὶ σωφρόνως προσηνέχθη, ὥστε οἱ μὲν οὔτε κληθέντες οὔτε ἀφικόμενοι πρὸς ἀλλήλους ἐστασίαζον καὶ διεμάχοντο, τούτῳ δὲ ἐχαλέπαινον οὐδὲν οὐδὲ C ἐμέμφοντο. ἐπεὶ δὲ αὐτῶν ἡ στάσις τέλος εἶχεν οὐκ εὐτυχές, ἐξὸν μεταποιεῖσθαι πλειόνων, ἑκὼν ἀφῆκε, τῆς αὐτῆς ἀρετῆς ὑπολαμβάνων· πολλά τε ἔθνη καὶ ὀλίγα δεῖσθαι, περικεῖσθαι δὲ οἶμαι φροντίδας μείζονας ὅτῳ πλειόνων ἀνάγκη [ἐπιμελεῖν καὶ] κήδεσθαι. οὐ γὰρ δὴ τρυφῆς ὑπολαμβάνει τὴν βασιλείαν εἶναι παρασκευὴν οὐδέ, ὥσπερ ἐπὶ τῶν χρημάτων εἰς πότους καὶ ἡδονὰς οἱ καταχρώμενοι μειζόνων D εὐπορίαν προσόδων ἐπινοοῦσιν, οὕτω χρῆναι τὸν βασιλέα παρασκευάζεσθαι, οὐδὲ ἀναιρεῖσθαι πόλεμον, ὅ,τι μὴ τῶν ἀρχομένων τῆς ὠφελείας ἕνεκα. οὐκοῦν ἐκείνῳ μὲν ἔχειν τὸ πλέον ξυγχωρῶν, αὐτὸς δὲ μετὰ ἀρετῆς ἔλαττον ἔχων τῷ κρατίστῳ πλεονεκτεῖν ὑπέλαβε. καὶ ὅτι μὴ δέει μᾶλλον τῆς ἐκείνου παρασκευῆς τὴν ἡσυχίαν ἠγάπα, τεκμήριον ὑμῖν ἐμφανὲς 95 ἔστω ὁ μετὰ ταῦτα ξυμπεσὼν πόλεμος. ἐχρήσατο γοῦν πρὸς τὰς ἐκείνου δυνάμεις ὑπὲρ αὐτοῦ τοῖς

1 αὐτῷ V] αὐτῷ | προσήκειν V] προσῆκον 4 ξύμπαντα VM] ἅπαντα 6 et 7 οὔτε — οὔτε H] οὐδὲ — οὐδὲ 13 ἐπιμελεῖν] ἐπιμένειν M, ἐπισυνέχειν, ut videtur, V, in cujus margine legitur ἐπιμέλειν. Inclusi ἐπιμελεῖν καί, sed fort. scribendum κήδεσθαι καὶ ἐπαμύνειν (cf. 293 C) 15 τῶν VM] τὸν 20 ἐκείνῳ] ἐκεῖνα V, ἐκεῖνο M | ξυγχωρεῖ V, ξυγχωρεῖν M 23 ἐμφανὲς add. V. cf. 97 B 101 D

ὅπλοις ὕστερον. πάλιν δὲ ἐνταῦθα ἐκεῖνοι μέν που τὸ νικᾶν τεθαυμάκασιν· ἐγὼ δὲ πολὺ πλέον τὸ ξὺν δίκῃ μὲν ἀνελέσθαι τὸν πόλεμον, διενεγκεῖν δὲ ἀνδρείως καὶ μάλα ἐμπείρως, ἐπιθείσης δὲ τὸ τέλος τῆς τύχης δεξιὸν χρήσασθαι τῇ νίκῃ σωφρόνως καὶ βασιλικῶς, καὶ ὅλως ἄξιον τοῦ κρατεῖν φανῆναι. B βούλεσθε οὖν καὶ τούτων ὑμῖν ὥσπερ ἐν τοῖς δικαστηρίοις ὀνομαστὶ καλῶμεν τοὺς μάρτυρας; καὶ ὅτι μὲν οὐδείς πω πόλεμος συνέστη πρότερον οὐδὲ ἐπὶ τὴν Τροίαν τοῖς Ἕλλησιν οὐδὲ ἐπὶ τοὺς Πέρσας Μακεδόσιν, οἵπερ δὴ δοκοῦσιν ἐν δίκῃ γενέσθαι, τοσαύτην ἔχων ὑπόθεσιν, καὶ παιδί που δῆλον, τοῖς μέν γε λίαν ἀρχαίων ἀδικημάτων τιμωρίας σφόδρα νεωτέρας οὔτ' εἰς παῖδας οὔτε εἰς ἐγγόνους γενομένης, ἀλλὰ εἰς τὸν ἀφελόμενον καὶ ἀποστερήσαντα C τὴν ἀρχὴν τοὺς τῶν ἀδικησάντων ἀπογόνους· Ἀγαμέμνων δὲ ὥρμητο

Τίσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε,

καὶ ἐπὶ τοὺς Τρῶας ἐστράτευε γυναῖκα μίαν ἐκδικεῖν ἐθέλων. τῷ δὲ ἔτι μὲν ἦν νεαρὰ τὰ ἀδικήματα, ἦρχε δὲ οὐ κατὰ Δαρεῖον οὐδὲ Πρίαμον ἀνὴρ εὐγενὴς καὶ τυχὸν δι' ἀρετὴν ἢ κατὰ γένος προσηκούσης αὐτῷ τῆς βασιλείας ἀξιωθείς, ἀλλὰ ἀναιδὴς καὶ τραχὺς βάρβαρος τῶν ἑαλωκότων οὐ πρὸ πολλοῦ. D καὶ ὅσα μὲν ἔπραξε καὶ ὅπως ἦρχεν, οὔτε ἡδύ μοι λέγειν οὔτε ἐν καιρῷ· ἐν δίκῃ δὲ ὅτι πρὸς αὐτὸν ἐπολέμησεν, ἀκηκόατε. τῆς δὲ ἐμπειρίας καὶ τῆς ἀν-

1 κεῖνοι V, 'κεῖνοι M 2 πολὺ πλέον add. V 4 ἐπιθήσειν VM 9 et 10 οὐδὲ — οὐδὲ] οὔθ' ὁ — οὔθ' ὁ H 10 τὴν add. V | τροῖαν V 12 τοῖς Rsk. et H] τῆς 14 νεαρᾶς H | οὔτε εἰς π. VM | ἐγγόνους V] ἐκγόνους 18 Iliad. β, 356 20 ἀδικήματα VM] ἐκδικήματα 24 βραχὺς V

δρείας ἱκανὰ μὲν τὰ πρόσθεν ῥηθέντα σημεῖα, πιστότερα δὲ οἶμαι τὰ ἔργα τῶν λόγων. τὰ δὲ ἐπὶ τῇ νίκῃ γενόμενα καὶ ὅπως ξίφους μὲν οὐδὲν ἐδέησεν ἔτι, οὐδ' εἴ τις ἀδικημάτων μειζόνων εἶχεν ὑποψίαν, οὐδὲ εἴ τῳ πρὸς τὸν τύραννον οἰκειοτέρα 96
γέγονε φιλία, οὐδὲ μὴν εἴ τις ἐκείνῳ χαριζόμενος φέρειν τε ἠξίου κηρύκιον καὶ ἐλοιδορεῖτο βασιλεῖ, τῆς προπετείας ἀπέτισε δίκην, ὅ,τι μὴ τἆλλα μοχθηρὸς ἦν, ἐννοήσατε δὴ πρὸς φιλίου Διός. Ποταπὸν δὲ χρῆμα λοιδορία; ὡς θυμοδακὲς ἀληθῶς καὶ ἀμύττον ψυχὴν μᾶλλον ἢ σίδηρος χρῶτα; οὐκοῦν καὶ τὸν Ὀδυσσέα παρώξυνεν εἰς δύναμιν ἀμύνασθαι λόγῳ τε καὶ ἔργῳ· διηνέχθη γοῦν ὑπὲρ τούτου πρὸς τὸν B
ξενοδόκον αὐτὸς ὢν ἀλήτης καὶ ξένος, καὶ ταῦτα εἰδώς, ὅτι

Ἄφρων — καὶ οὐτιδανὸς πέλει ἀνήρ,
Ὅστις ξεινοδόκῳ ἔριδα προφέρῃσι βαρεῖαν,

καὶ Ἀλέξανδρον τὸν Φιλίππου καὶ Ἀχιλλέα τὸν [τῆς] Θέτιδος καὶ ἄλλους δέ τινας οὐ φαύλους οὐδὲ ἀγεννεῖς ἀνθρώπους. μόνῳ δὲ ὑπῆρχεν οἶμαι Σωκράτει C
καὶ σπανίοις τισὶν ἐκείνου ζηλωταῖς, εὐδαίμοσιν ἀληθῶς καὶ μακαρίοις γενομένοις, τὸν ἔσχατον ἀποδύσασθαι χιτῶνα τῆς φιλοτιμίας. φιλότιμον γὰρ δεινῶς τὸ πάθος, καὶ ἔοικεν ἐμφύεσθαι διὰ τοῦτο μᾶλλον ταῖς γενναίαις ψυχαῖς· ἄχθονται γὰρ ὡς ἐναντιωτάτῳ σφίσι λοιδορίᾳ, καὶ τοὺς ἀπορρίπτοντας ἐς αὐτοὺς

1 *ἀπιστότερα* VM 4 *οὐδ'* V] *οὐδὲ* 7 *ἐλοιδορεῖτο* VM] *ἐλοιδόρει τῷ.* vid. ad 55 B 8 *τἄλλα* V] *τἆλλα* 9 *δή* M] *δὲ* 10 *λοιδορίᾳ* v 14 *ξενοδόκον* V] *ξεινοδόκον* | Verba *αὐτὸς ὢν — ξεινοδόκῳ* om. V 16 Odyss. *ϑ*, 209 17 *προφέρηται ἀέθλων* Hom. 18 *τῆς* om. V 19 *δέ* H] *δή* | *ἀγενεῖς* V

τοιαῦτα ῥήματα μισοῦσι μᾶλλον ἢ τοὺς ἐπάγοντας
D τὸν σίδηρον καὶ ἐπιβουλεύοντας φόνον, διαφόρους
τε αὐτοῖς ὑπολαμβάνουσι φύσει καὶ οὐ νόμῳ, εἴ γε
οἱ μὲν ἐπαίνου καὶ τιμῆς ἐρῶσιν, οἱ δὲ οὐ τούτων
μόνον ἀφαιροῦνται, ἀλλὰ καὶ ἐπ' αὐτοῖς μηχανῶνται
βλασφημίας ψευδεῖς. τούτου καὶ Ἡρακλέα φασὶ καὶ
ἄλλους δέ τινας ἀκράτορας τοῦ πάθους γενέσθαι.
ἐγὼ δὲ οὔτε περὶ ἐκείνων τῷ λόγῳ πείθομαι, καὶ
βασιλέα τεθέαμαι σφόδρα ἐγκρατῶς τὴν λοιδορίαν
97 τρεψάμενον, οὔτι φαυλότερον ἔργον, ὡς ἐγὼ κρίνω,
τοῦ Τροίαν ἑλεῖν καὶ φάλαγγα γενναίαν τρέψασθαι.
εἰ δὲ ἀπιστεῖ τις καὶ οὐ μέγα οἴεται οὐδὲ ἄξιον
ἐπαίνων τοσούτων, ἐς αὐτὸν ἀφορῶν, ὅταν ἔν τινι
τοιαύτῃ ξυμφορᾷ γένηται, κρινέτω, καὶ αὐτῷ οὐ
σφόδρα ληρεῖν δόξομεν, ὡς ἐγὼ πείθομαι. τοιοῦτος
δὲ ὢν καὶ γενόμενος βασιλεὺς μετὰ τὸν πόλεμον εἰ-
κότως οὐ μόνον ἐστὶ ποθεινὸς τοῖς φίλοις καὶ ἀγα-
B πητός, πολλῆς μὲν τιμῆς καὶ δυνάμεως καὶ παρρησίας
μεταδιδούς, χρήματα δέ αὐτοῖς ἄφθονα χαριζόμενος
καὶ χρῆσθαι ὅπως τις βούλεται τῷ πλούτῳ ξυγχωρῶν,
ἀλλὰ καὶ τοῖς πολεμίοις τοιοῦτος ἐδόκει. τεκμήριον
δὲ ὑμῖν ἐμφανὲς καὶ τοῦδε γιγνέσθω· ἄνδρες, τῆς
γερουσίας ὅτιπερ ὄφελος, ἀξιώσει καὶ πλούτῳ καὶ
ξυνέσει διαφέροντες τῶν ἄλλων, ὥσπερ ἐς λιμένα
καταφεύγοντες τὴν τούτου δεξιάν, ἑστίας τε λιπόντες
C καὶ οἴκους καὶ παῖδας Παιονίαν μὲν ἀντὶ τῆς Ῥώ-

3 αὐτοῖς] αὑτοῖς VM, αὑτοὺς v | εἴ γε VM] ὅτι 10 τρεψάμενον] δεξάμενον Pet., ἀποτριψάμενον H 13 αὐτὸν fl.] αὑτὸν 14 αὐτῷ fort. delendum 15 ληρεῖν] λοιδορεῖν V 16 δὲ add. V 18 πολλῆς] πολλοῖς fl., quod praestare videtur 19 αὐτοῖς add. V 20 χρῆται V 23 ἀξιώσει V] ἀξιώμα[illegible] 25 ἑστίαν M 26 παιονίαν V] καὶ Παιονίαν | τῆς add. V

μης, τὴν μετα τούτου δὲ ἀντὶ τῶν φιλτάτων συνουσίαν ἠσπάσαντο, ἴλη τε τῶν ἐπιλέκτων ἱππέων ξὺν τοῖς σημείοις καὶ τὸν στρατηγὸν ἄγουσα τούτῳ τοῦ κινδύνου ξυμμετέχειν μᾶλλον ἢ 'κείνῳ τῆς εὐτυχίας ἠξίου. καὶ ταῦτα ἅπαντα ἐδρᾶτο πρὸ τῆς μάχης, ἣν ἐπὶ τοῦ Δράου ταῖς ᾐόσιν ὁ πρόσθεν λόγος παρέστησεν. ἐντεῦθεν γὰρ ἤδη βεβαίως ἐθάρρουν, τέως δ' ἐδόκει τὰ τῶν τυράννων ἐπικρατεῖν, πλεονεκτήματός τινος περὶ τοὺς κατασκόπους τοῦ βασιλέως D γενομένου, ὃ δὴ 'κεῖνόν τε ἐποίησεν ὑπὸ τῆς ἡδονῆς ἄφρονα καὶ ἐξετάραττε τοὺς οὐ δυναμένους ἐφικνεῖσθαι οὐδὲ διορᾶν τὴν στρατηγίαν. ὁ δὲ ἦν ἀκατάπληκτος καὶ γεννάδας καθάπερ ἀγαθὸς νεὼς κυβερνήτης, ἐξαπίνης νεφῶν ῥαγείσης λαίλαπος, εἶτα ἐπ' αὐτῇ τοῦ θεοῦ σείοντος τὸν βυθὸν καὶ τὰς ᾐόνας. ἐνταῦθα γὰρ τοὺς μὲν ἀπείρους δεινὸν καὶ ἄτοπον κατέλαβε δέος, ὁ δὲ ἤδη χαίρει καὶ γάνυται, γαλήνην ἀκριβῆ 98 καὶ νηνεμίαν ἐλπίζων. λέγεται γὰρ δὴ καὶ ὁ Ποσειδῶν συνταράττων τὴν γῆν παύειν τὰ κύματα. καὶ ἡ τύχη δὲ τοὺς ἀνοήτους ἐξαπατᾷ καὶ σφάλλει περὶ τοῖς μείζοσι, μικρὰ πλεονεκτεῖν ἐπιτρέπουσα, τοῖς ἔμφροσι δὲ τὸ βεβαίως θαρσεῖν ὑπὲρ τῶν μειζόνων, ὅταν ἐν τοῖς ἐλάττοσιν αὐτοὺς διαταράττῃ, παρέχει. τοῦτο Λακεδαιμόνιοι παθόντες ἐν Πύλαις οὐκ ἀπηγόρευον οὐδὲ ἔδεισαν τὸν Μῆδον ἐπιφερόμενον, B

1 συνουσίαν Pet. in ed. fl.] συνοικίαν 2 ξὺν V] σὺν ἢ 'κείνω V] ἢ ἐκείνῳ 6 ᾐόσιν] ἠϊόσιν 9 τινος] τινος ὑτοῖς Rsk. | τοὺς βασιλέως H. vid. ad 55 B 10 'κεῖνόν V, ·εῖνον M, ἐκεῖνόν v | ἐποίησεν VM] ἐποίησε 11 ἔμφρονα M | ἐξετάραττε V] ἐξετάραξε 14 ἐξαπίνης Pet.] ἐξ ἀπειῆς | ἐπ' αυτῇ V] ἐπ' αὐτοῦ 15 ᾐόνας] ἠϊόνας 17 γάνυται H] γάννυται 22 τὸ βεβαίως Rsk.] βεβαίως τὸ 23 ·αταράττῃ, παρέχει M] διαταράττειν παρέχῃ

τριακοσίους Σπαρτιατῶν καὶ τὸν βασιλέα περὶ τὰς
εἰσβολὰς τῆς Ἑλλάδος προέμενοι· τοῦτο Ῥωμαῖοι πολ-
λάκις παθόντες μείζονα κατώρθουν ὕστερον· ὃ δὴ
καὶ βασιλεὺς ἐννοῶν καὶ λογιζόμενος οὐδαμῶς ἐσφάλη
τῆς γνώμης. ἀλλ' ἐπείπερ ἅπαξ ἑκὼν ὁ λόγος ἐς
τοῦτο ἀφῖκται καὶ τὴν εὔνοιαν τοῦ πλήθους καὶ τῶν
ἐν τέλει καὶ τῶν φυλάκων, οἵπερ δὴ ξυμφυλάττουσιν
αὐτῷ τὴν ἀρχὴν καὶ ἀπείργουσι τοὺς πολεμίους,
C διηγεῖται· βούλεσθε ὑμῖν ἐναργὲς εἴπω τεκμήριον
χθές που ἢ καὶ πρῴην γενόμενον; ἀνὴρ τῶν ἐπι-
ταχθέντων τοῖς ἐν Γαλατίᾳ στρατοπέδοις· ἴστε ἴσως
καὶ τοὔνομα καὶ τὸν τρόπον· ὅμηρον φιλίας καὶ πί-
στεως ἀπέλιπεν οὐδὲν δεομένῳ βασιλεῖ τὸν παῖδα·
εἶτα ἦν ἀπιστότερος τῶν λεόντων, οἷς οὐκ ἔστι, φησί,
πρὸς ἄνδρας [Ὅμηρος] ὅρκια πιστά, ἁρπάζων τε ἐκ
D τῶν πόλεων τὰ χρήματα καὶ διανέμων τοῖς ἐπιοῦσι
βαρβάροις καὶ ὥσπερ λύτρα καταβαλλόμενος, ἐξὸν τῷ
σιδήρῳ παρασκευάζειν καὶ οὐ τοῖς χρήμασι ποιεῖσθαι
τὴν ἀσφάλειαν· ὁ δὲ ἐκείνους ὑπήγετο διὰ τῶν χρη-
μάτων εἰς εὔνοιαν· καὶ τέλος ἐκ τῆς γυναικωνίτιδος
ἀνελόμενος ἁλουργὲς ἱμάτιον γελοῖος ἀληθῶς τύραν-
νος καὶ τραγικὸς ὄντως ἀνεφάνη. ἐνταῦθα οἱ στρα-
τιῶται χαλεπῶς μὲν εἶχον πρὸς τὴν ἀπιστίαν, θῆλυν
δὲ οὐχ ὑπομένοντες ὁρᾶν ἐνδεδυκότα στολὴν τὸν
99 δείλαιον ἐπιθέμενοι σπαράττουσιν, οὐδὲ τὸν τῆς σε-

9 διηγεῖται VM] διηγεῖσθαι 11 τοῖς om. VM 14 ἀπιστότερος] Ὅμηρα δεδωκὼς φιλίας ἀπιστότερος καὶ τῶν λεόντων ἐγένετο Stobaei append. Flor. p. 184, 7 Mein. 15 Ὅμηρος delevit Heylerus. Spectat Iliad. χ, 262 | πιστὰ τὰ ὅρκια V 18 πονεῖσθαι V 19 ἐπήγετο fl. 22 ἐφάνη V 23 καὶ ante χαλεπῶς vulgo additum delevit Wytt. | πρὸς] περὶ V | θῆλυν] Cf. Eurip. Bacch. 822, 830, 846 25 οὐδὲ *H*] οὔτε | τὸν add. VM

λήνης κύκλον ἄρξαι σφῶν ἀνασχόμενοι. τοῦτο μὲν δὴ παρὰ τῆς τῶν φυλάκων εὐνοίας ὑπῆρξε βασιλεῖ τὸ γέρας, ἀρχῆς ἀμεμφοῦς καὶ δικαίας ἀμοιβὴ θαυμαστή. ὅστις δὲ ἐπ' αὐτῇ γέγονε ποθεῖτε ἀκούειν· ἀλλ' οὐδὲ τοῦτο ὑμᾶς λέληθεν, ὅτι μήτε ἐς τὸν ἐκείνου παῖδα χαλεπὸς μήτε ἐς τοὺς φίλους ὕποπτος καὶ δεινὸς εἵλετο γενέσθαι, ἀλλὰ ὡς ἔνι μάλιστα B πράως εἶχε καὶ εὐμενὴς πᾶσιν ἦν, καίτοι πολλῶν συκοφαντεῖν ἐθελόντων καὶ διηρμένων ἐπὶ τοὺς οὐκ αἰτίους τὰ κέντρα. πολλῶν δὲ τυχὸν ἀληθῶς ἐνόχων ὄντων ταῖς περὶ αὐτῶν ὑποψίαις, ὁμοίως ἅπασιν ἦν πρᾶος τοῖς οὐκ ἐλεγχθεῖσιν οὐδὲ ἀποφανθεῖσι κοινωνοῖς τῶν ἀτόπων καὶ ἐξαγίστων βουλευμάτων. τὴν δὲ ἐς τὸν τοῦ παρανομήσαντος παῖδα καὶ πατήσαντος πίστιν καὶ ὅρκια φειδὼ ἄρα βασιλικὸν ἀληθῶς C καὶ θεῖον φήσομεν, ἢ μᾶλλον ἀποδεξόμεθα τὸν Ἀγαμέμνονα χαλεπαίνοντα καὶ πικραινόμενον τῶν Τρώων οὐ τοῖς ξυν(εξ)ελθοῦσι μόνον τῷ Πάριδι καὶ καθυβρίσασι τοῦ Μενέλεω τὴν ἑστίαν, ἀλλὰ καὶ τοῖς κυουμένοις ἔτι καὶ ὧν τυχὸν οὐδὲ αἱ μητέρες τότ' ἐγεγόνεσαν, ὁπότε ἐκεῖνος τὰ περὶ τὴν ἁρπαγὴν ἐνενόει; εἰ δὴ τὸ μὲν ὠμόν τις οἴεται καὶ τραχὺ καὶ ἀπάνθρωπον ἥκιστα βασιλεῖ πρέπειν, τὸ πρᾶον D δὲ οἶμαι καὶ χρηστὸν καὶ φιλάνθρωπον ἁρμόττειν ἥκιστα μὲν χαίροντι τιμωρίαις, ἀχθομένῳ δὲ ἐπὶ ταῖς τῶν ὑπηκόων ξυμφοραῖς, ὅπως ἂν γίγνωνται, εἴτε κακίᾳ σφῶν καὶ ἀμαθίᾳ, εἴτε ἔξωθεν παρὰ τῆς τύχης

1 κύκλον om. V 5 ἐς V] εἰς 6 ἐς VM] εἰς 11 αὐτῶν M] αὐτὸν 12 ἐξελεγχθεῖσιν H. cf. 100 C 14 ἐς VM] εἰς 18 ξυνεξελθοῦσι H] ξυνελθοῦσι 20 ὧν τυχὸν H] τυχὸν ὧν 20 et 21 τότ' ἐγεγόνεσαν H] τότε γεγόνεσαν 26 ξυμφοραῖς V] συμφοραῖς | γίγνωνται V] γίνωνται

ἐπάγοιντο, δῆλός ἐστι τούτῳ διδοὺς τὰ νικητήρια. ἐννοεῖτε γάρ, ὡς περὶ τὸν παῖδα γέγονε τοῦ φύσαντος ἀμείνων καὶ δικαιότερος, περὶ δὲ τοὺς ἐκείνου φίλους πιστότερος τοῦ τὴν φιλίαν ὁμολογήσαντος. ὁ μὲν γὰρ ἅπαντας προεῖτο, ὁ δὲ ἀπέσωσεν ἅπαντας. καὶ εἰ μὲν ἐκεῖνος ταῦτα περὶ τοῦ βασιλέως ἐγνωκώς, ἅτε ἐν πολλῷ χρόνῳ τὸν τρόπον κατανοήσας, σφόδρα ἐπίστευεν, ἀσφαλῶς μέν οἱ τὰ τοῦ παιδός, βεβαίως δὲ ὁρμεῖν τὰ τῶν φίλων, συνίει μὲν ὀρθῶς, πολλάκις δὲ ἦν πανοῦργος καὶ μοχθηρὸς καὶ δυστυχής, πολέμιος ἐθέλων εἶναι τῷ τοιούτῳ καὶ ὃν
B σφόδρα ἀγαθὸν καὶ διαφερόντως πρᾷον ἠπίστατο μισῶν καὶ ἐπιβουλεύων καὶ ἀφαιρούμενος ὧν οὐδαμῶς ἐχρῆν. εἰ δέ, ἀνελπίστου μέν οἱ τοῦ παιδὸς τῆς σωτηρίας τυγχανούσης, χαλεπῆς δὲ καὶ ἀδυνάτου (τῆς) τῶν φίλων καὶ τῶν συγγενῶν, τὴν ἀπιστίαν ὅμως προείλετο, ὁ μὲν ἦν καὶ διὰ ταῦτα μοχθηρὸς καὶ ἀνόητος καὶ ἀγριώτερος τῶν θηρίων, ὁ δὲ ἥμερος καὶ πρᾷος καὶ μεγαλόφρων, τοῦ μὲν νηπίου
C κατελεήσας τὴν ἡλικίαν καὶ τὸν τρόπον, τοῖς δὲ οὐκ ἐξελεγχθεῖσι πρᾴως ἔχων, τοῦ δὲ ὑπεριδὼν καὶ καταφρονήσας τῶν πονηρευμάτων. ὁ γὰρ ἃ μηδὲ τῶν ἐχθρῶν τις διὰ μέγεθος ὧν αὐτῷ σύνοιδεν ἀδικημάτων ἐλπίζει ξυγχωρῶν εἰκότως ἀρετῆς ἐστι νικηφόρος, τὴν δίκην μὲν ἐπὶ τὸ κρεῖττον καὶ πρᾳότερον

5 *μέν τε* V. Voluit fortasse *μέν γε*, quod non prorsus spernendum. Vid. 77 B et Heindorf. ad. Plat. Prot. p. 565 7 *τὸν τρόπον* om. V, in M add. m. s. Conieci igitur: *περὶ τοῦ βασιλέως ἐγνωκὼς τρόπου, ἅτε ἐν πολλῷ χρόνῳ κατανοήσας* 9 *ὁρμεῖν* Pet.] *ὁρμῇ* | *συνίῃ* V 14 *μέν οἱ* hic V, supra cum vulgata *μὲν οἱ* 16 *τῆς* add. H 21 *ἐξελεγχθεῖσι* VM] *ἐλεγχθεῖσι* 22 *πονηρευμάτων* V] *πονηρευσάντων* 24 *ξυγχωρῶν* VM] *συγχωρῶν* | *ἀρετῆς νικηφόρος*] Vid. ad 354 A

μετατιθείς, σωφροσύνῃ δὲ ὑπερβαλλόμενος τοὺς τὸ μέτριον ἐπιτιθέντας ταῖς τιμωρίαις, ἀνδρείᾳ δὲ διαφέρων τῷ μηδένα πολέμιον ἀξιόχρεων ὑπολαμβάνειν, D φρόνησιν δὲ ἐπιδεικνύμενος τῷ συγκαταλύειν τὰς ἔχθρας καὶ οὐ παραπέμπειν εἰς τοὺς παῖδας οὐδὲ εἰς ἐγγόνους προφάσει τῆς ἀκριβοῦς δίκης καὶ τοῦ βούλεσθαί περ ἐπιεικῶς μάλα πίτυος δίκην τῶν πονηρῶν ἀφανίζειν τὰ σπέρματα. ἐκείνων γὰρ δὴ καὶ τὸ ἔργον τόδε, καὶ ἐπ' αὐτῷ τὴν εἰκόνα παλαιὸς ἀπέφηνε λόγος. ὁ δὲ ἀγαθὸς βασιλεὺς μιμούμενος ἀτεχνῶς τὸν θεὸν οἶδε μὲν καὶ ἐκ τῶν πετρῶν 101 ἑσμοὺς μελιττῶν ἐξιπταμένους καὶ ἐκ τοῦ δριμυτάτου ξύλου τὸν γλυκὺν καρπὸν φυόμενον, σῦκά φημι τὰ χαρίεντα, καὶ ἐξ ἀκανθῶν τὴν σίδην καὶ ἄλλα ἐξ ἄλλων φυόμενα ἀνόμοια τοῖς γεννῶσι καὶ ἀποτίκτουσιν. οὔκουν οἴεται ταῦτα χρῆναι πρὸ τῆς ἀκμῆς διαφθείρειν, ἀλλὰ περιμένειν τὸν χρόνον καὶ ἐπιτρέπειν αὐτοῖς ἀπωσαμένοις τῶν πατέρων τὴν ἄνοιαν καὶ τὴν μωρίαν ἀγαθοῖς γενέσθαι καὶ σώφροσι, ζη- B λωτὰς δὲ γενομένους τῶν πατρῴων ἐπιτηδευμάτων ὑφέξειν ἐν καιρῷ τὴν δίκην, οὐκ ἀλλοτρίοις ἔργοις καὶ ξυμφοραῖς παραναλωθέντας.

Ἆρ' οὖν ὑμῖν ἱκανῶς δοκοῦμεν ἐκτετελεκέναι τὸν ἀληθινὸν ἔπαινον; ἢ ποθεῖτε ἀκούειν ὑμεῖς καὶ τὴν καρτερίαν καὶ τὴν σεμνότητα, καὶ ὡς οὐ μόνον ἐστὶ τῶν πολεμίων ἀήττητος, ἀλλ' οὔτε αἰσχρᾶς ἐπιθυμίας C

1 δὲ] τὲ V 4 Post *συγκαταλύειν* excidisse videtur aut *τῇ τιμωρίᾳ* aut simile quidpiam 7 *ὅπερ ἐπιεικῶς μάλα προφασίζονται, πίτυος δίκην* Rsk. Malim *περ* delere, ortum fortasse ex *ὥσπερ*, quod aliquis ad *δίκην* explicandum addidisse videtur, ut 406 C 8 *κείνων* VM 12 *ἑσμοὺς*] *ἐσμοὺς* 16 *οὔκουν* V, *ουκουν* sine accentu M, *οὐκοῦν* v | *ταῦτα χρῆνα·* V] *χρῆναι ταῦτα* 22 *ξυμφοραῖς* VM] *συμφοραῖς*

ἑάλω πώποτε, οὔτε οἰκίας καλῆς οὔτ' ἐπαύλεως πολυτελοῦς οὔτε ὅρμων σμαραγδίνων ἐπιθυμήσας ἀφείλετο βίᾳ ἢ καὶ πειθοῖ τοὺς κεκτημένους, ἀλλ' οὐδὲ γυναικὸς ἐλευθέρας οὐδὲ θεραπαίνης, οὐδὲ ὅλως τὴν ἄδικον ἀφροδίτην ἠγάπησε, καὶ ὡς οὐδὲ ὧν ὧραι φύουσιν ἀγαθῶν τὴν ἄμετρον ἀπαιτεῖ πλησμονήν, οὐδὲ αὐτῷ θέρους ὥρᾳ τοῦ κρυστάλλου μέλει, οὐδὲ
D μεταβάλλει πρὸς τὰς ὥρας τὴν οἴκησιν, τοῖς πονουμένοις δὲ ἀεὶ πάρεστι τῆς ἀρχῆς μέρεσιν ἀντέχων καὶ πρὸς τὸ κρύος καὶ πρὸς τὰ θάλπη τὰ γενναῖα; τούτων δὲ εἴ με κελεύοιτε φέρειν ὑμῖν ἐμφανῆ τὰ τεκμήρια, γνώριμα μὲν ἐρῶ καὶ οὐκ ἀπορήσω, μακρὸς δὲ ὁ λόγος καὶ διωλύγιος, ἐμοί τε οὐ σχολὴ τὰς μούσας ἐπὶ τοσοῦτον θεραπεύειν, ἀλλ' ὥρα λοιπὸν πρὸς ἔργον τρέπεσθαι.

4 θεραπαίνης V] θεραπαινίδος 5 οὐδὲ H] οὔτε 6 τὴν add. VM | ἀπαιτεῖν V 7 οὐδὲ V] οὔτε

ΙΟΥΛΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ ΕΥΣΕΒΙΑΣ ΤΗΣ ΒΑΣΙΛΙΔΟΣ ΕΓΚΩΜΙΟΝ. 102

Τί ποτε ἄρα χρὴ διανοεῖσθαι περὶ τῶν ὀφειλόντων μεγάλα καὶ ὑπὲρ μεγάλων, οὔτι φημὶ χρυσίον οὐδὲ ἀργύριον, ἀλλὰ ἁπλῶς ὅ,τι ἂν τύχῃ τις παρὰ τοῦ πέλας εὖ παθών· εἶτα τοιαῦτα μὲν ἀποτίνειν οὔτε ἐπιχειρούντων οὔτε διανοουμένων, ῥαθύμως δὲ καὶ ὀλιγώρως ἐχόντων πρὸς τὸ τὰ δυνατὰ ποιεῖν καὶ διαλύεσθαι τὸ ὄφλημα; ἢ δῆλον ὅτι φαύλους καὶ B
μοχθηροὺς νομιστέον; οὐδενὸς γὰρ οἶμαι τῶν ἄλλων ἀδικημάτων ἔλαττον μισοῦμεν ἀχαριστίαν καὶ ὀνειδίζομεν τοῖς ἀνθρώποις, ὅταν εὖ παθόντες περὶ τοὺς εὐεργέτας ὦσιν ἀχάριστοι· ἔστι δὲ οὐχ οὗτος ἀχάριστος μόνον, ὅστις εὖ παθὼν δρᾷ κακῶς ἢ λέγει, ἀλλὰ καὶ ὅστις σιωπᾷ καὶ ἀποκρύπτει, λήθῃ παραδιδοὺς καὶ ἀφανίζων τὰς χάριτας. καὶ τῆς μὲν θηριώδους ἐκείνης καὶ ἀπανθρώπου μοχθηρίας σφόδρα ὀλίγα καὶ εὐαρίθμητα κομιδῇ τὰ παραδείγματα· πολ- C
λοὶ δὲ ἀποκρύπτουσι τὸ δοκεῖν εὖ παθεῖν, οὐκ οἶδα

1 et 2 *Ἰουλιανοῦ καίσαρος εὐσεβίας τῆς βασιλίδος ἐγκώμιον* V, *Ἰουλιανοῦ (τοῦ αὐτοῦ* M) *ἐγκώμιον πρὸς τὴν βασίλισσαν Εὐσεβίαν* M v 4 *ὑπὲρ*] *πέρα* Cob. 5 *τύχῃ* V] *τύχοι* 7 *διανοουμένων* Rsk.] *δυναμένων* | *ῥαθύμων* V 9 *δῆλον ὅτι* V] *δηλονότι* 14 *εὖ*] *οὐ* pet. M (in rasura) | *παθὼν* om. pet.

ὅ,τι βουλόμενοι· φασὶ δὲ ὅμως θωπείας τινὸς καὶ
ἀγεννοῦς κολακείας τὴν δόξαν ἐκκλίνειν. ἐγὼ δὲ
103 οὗτοι μὲν ὅτι μηδὲν ὑγιὲς λέγουσι σαφῶς εἰδὼς ὅμως
ἀφίημι, καὶ κείσθω διαφεύγειν αὐτούς, καθάπερ οἴ-
ονται, κολακείας οὐκ ἀληθῆ δόξαν, πολλοῖς ἅμα πά-
θεσιν ἐνόχους φανέντας καὶ νοσήμασιν αἰσχίστοις
πάνυ καὶ ἀνελευθέροις. ἢ γὰρ οὐ συνιέντες ἀναί-
σθητοι λίαν εἰσίν, ὧν οὐδαμῶς ἀναίσθητον εἶναι
χρῆν, ἢ συνιέντες ἐπιλήσμονες ὧν ἐχρῆν εἰς ἅπαντα
μεμνῆσθαι τὸν χρόνον· μεμνημένοι δὲ καὶ ἀποκνοῦν-
τες δι᾿ ἁσδηποτοῦν αἰτίας δειλοὶ καὶ βάσκανοι φύσει
B καὶ ἁπλῶς ἅπασιν ἀνθρώποις δυσμενεῖς, οἵ γε οὐδὲ
τοῖς εὐεργέταις πρᾶοι καὶ προσηνεῖς ἐθέλοντες εἶναι,
εἶτα, ἂν μὲν δέῃ λοιδορῆσαί που καὶ δακεῖν, ὥσπερ
τὰ θηρία ὀργίλον καὶ ὀξὺ βλέπουσιν· ὥσπερ δὲ
ἀνάλωμα πολυτελὲς φεύγοντες τὸν ἀληθινὸν ἔπαινον,
οὐκ οἶδα ὅπως, αἰτιῶνται τὰς ὑπὲρ τῶν καλῶν ἔρ-
γων εὐφημίας, ἐξὸν ἐκεῖνο ἐξετάζειν μόνον, εἰ τὴν
ἀλήθειαν τιμῶσι καὶ περὶ πλείονος ποιοῦνται τοῦ
C δοκεῖν ἐν τοῖς ἐπαίνοις χαρίζεσθαι. οὐδὲ γὰρ τοῦτο
ἔνεστιν εἰπεῖν, ὡς ἀνωφελὲς χρῆμα ἡ εὐφημία οὔτε
τοῖς ὑπὲρ ὧν γέγονεν οὔτε αὖ τοῖς ἄλλοις, ὁπόσοι
τὴν ἴσην ἐκείνοις κατὰ τὸν βίον τάξιν εἰληχότες
τῆς ἐν ταῖς πράξεσιν ἀρετῆς ἀπελείφθησαν. τοῖς
μὲν γὰρ ἄκουσμά τέ ἐστιν ἡδὺ καὶ προθυμοτέρους
παρέχει περὶ τὰ καλὰ καὶ διαφέροντα τῶν ἔργων·
τοὺς δὲ ἐπὶ τὸ ζηλοῦν ἐκεῖνα πειθοῖ καὶ βίᾳ παρ-

2 τὴν V] οὐκ ἀληθῆ 6 et 7 αἰσχίστοις πάνυ] Cf. 374 C 396 D Lucian. de salt. 4 Hermann. ad Lucian. de hist. conscr. p. 31 Jacobs. ad Delect. Epigr. V, 90 7 ἐλευθέροις fl. pet. 9 χρῆν H] ἐχρῆν | ἐπιλήσμονες add. V 11 διασδηποτοῦν V] δι᾿ ἃς δή ποτ᾿ οὖν 25 τέ V] τί 27 ἐπὶ τὸ ζηλοῦν V] ἐπιζηλοῦν | πειθοῖ VM] πείθει

ὥρμησεν ὁρῶντας, ὅτι μηδὲ τῶν προλαβόντων τινὲς
ἀπεστερήθησαν ὃ μόνον δοῦναί τε καὶ λαβεῖν ἐστι
δημοσίᾳ καλόν. χρήματα μὲν γὰρ εἰς τὸ ἐμφανὲς D
διδόναι καὶ περιβλέπειν, ὅπως ὅτι πλεῖστοι τὸ δο-
θὲν εἴσονται, πρὸς ἀνδρὸς ἀπειροκάλου· ἀλλ' οὐδὲ
ὑποσχεῖν τὼ χεῖρε ὑποδέξαιτο ἄν τις ἐν ὀφθαλμοῖς
πάντων, μὴ παντάπασιν ἀποσεισάμενος αἰδῶ καὶ
ἐπιείκειαν τοῦ τρόπου. Ἀρκεσίλαος δὲ καὶ διδοὺς
τὸν λαβόντα ἐπειρᾶτο λαθεῖν· συνίει δὲ ἐκεῖνος ἐκ 104
τῆς πράξεως τον δράσαντα. ἐπαίνων δὲ ζηλωτὸν
μὲν ἀκροατὰς ὡς πλείστους εὑρεῖν, ἀγαπητὸν δὲ οἴ-
μαι καὶ ὀλίγους. καὶ ἐπῄνει δὲ Σωκράτης πολλοὺς
καὶ Πλάτων καὶ Ἀριστοτέλης· Ξενοφῶν δὲ καὶ
Ἀγησίλαον τὸν βασιλέα καὶ Κῦρον τὸν Πέρσην, οὔτι
τὸν ἀρχαῖον ἐκεῖνον μόνον, ἀλλὰ καὶ ᾧ συνεστρά-
τευτο [ἐφ' Ἑλλάδα], καὶ τοὺς ἐπαίνους ξυγγράφων
οὐκ ἀπεκρύπτετο. ἐμοὶ δὲ θαυμαστὸν εἶναι δοκεῖ, B
εἰ τοὺς ἄνδρας μὲν τοὺς καλοὺς προθύμως ἐπαινε-
σόμεθα, γυναῖκα δὲ ἀγαθὴν τῆς εὐφημίας οὐκ ἀξιώ-
σομεν, ἀρετῆς οὐδὲν μεῖον αὐταῖς ἤπερ τοῖς ἀνδράσι
προσήκειν ὑπολαμβάνοντες. καὶ γὰρ οἶμαι σώφρονα
καὶ συνετὴν καὶ νέμειν ἑκάστῳ τὰ πρὸς τὴν ἀξίαν
καὶ θαρραλέαν ἐν τοῖς δεινοῖς καὶ μεγαλόφρονα καὶ
ἐλευθέριον καὶ πάντα ὡς ἔπος εἰπεῖν ὑπάρχειν ἐκεί-

1 προλαβόντων VM] παραλαβόντων 6 ὑποσχὼν V | ὑποδέξαιτ' ἄν τις Cob.] ὑπεδέξατο ἄν τις 8 καὶ διδοὺς] διδοὺς καὶ H, quod jam interpres expressit. De re vid. Wyttenb. ad Plut. mor. p. 63 D 12 δὲ (supra δ scripto γ) V] γε 14 οὔτι V] οὐχὶ 15 συνεστράτευτο fl. et Cob.] συνεστρατεύετο 16 ἐφ' Ἑλλάδα inclusit H, ἐπὶ βασιλέα scripsit Cob. 18 μὲν H] γε | τε κἀγαθοὺς post καλοὺς addit Cob. 20 αὐταῖς H] αὐτοῖς V, αὐτῇ v 21 καὶ γὰρ] Malim ἦ γὰρ | οἶμαι] εἶναι H 22 καὶ νέμειν] καὶ οἷαν νέμειν H 24 ἐκείνῃ Pet. in ed. fl. et Cob.

νην οἰόμενοι χρῆναι τὰ τοιαῦτα, τῶν ἐπὶ τοῖς ἔργοις
C ἐγκωμίων ἀφαιρησόμεθα τὸν ἐκ τοῦ κολακεύειν δο-
κεῖν ψόγον δεδοικότες; Ὅμηρος δὲ οὐκ ᾐσχύνετο
τὴν Πηνελόπην ἐπαινέσας οὐδὲ τὴν Ἀλκίνου γαμε-
τήν, οὐδὲ εἴ τις ἄλλη διαφερόντως ἀγαθὴ γέγονεν
ἢ καὶ ἐπὶ σμικρὸν ἀρετῆς μετεποιήθη. οὔκουν οὐδὲ
ἐκείνη τῆς ἐπ' αὐτῷ τούτῳ διήμαρτεν εὐφημίας.
πρὸς δὲ αὖ τούτοις παθεῖν μὲν εὖ καὶ τυχεῖν τινος
ἀγαθοῦ, σμικροῦ τε ὁμοίως καὶ μείζονος, οὐδὲν ἔλατ-
D τον παρὰ γυναικὸς ἢ παρὰ ἀνδρὸς δεξόμεθα, τὴν
δὲ ἐπ' αὐτῷ χάριν ἀποτίνειν ὀκνήσομεν; ἀλλὰ μή
ποτε καὶ αὐτὸ τὸ δεῖσθαι καταγέλαστον εἶναι φῶσι
καὶ οὐκ ἄξιον ἀνδρὸς ἐπιεικοῦς καὶ γενναίου, εἶναι
δὲ καὶ τὸν Ὀδυσσέα τὸν σοφὸν ἀγεννῆ καὶ δειλόν,
ὅτι τὴν τοῦ βασιλέως ἱκέτευε θυγατέρα παίζουσαν
ἐπὶ τοῦ λειμῶνος ξὺν ταῖς ὁμήλιξι παρθένοις παρὰ
τοῦ ποταμοῦ ταῖς ᾐόσι. μή ποτε οὖν οὐδὲ τῆς
Ἀθηνᾶς τῆς τοῦ Διὸς ἀπόσχωνται παιδός, ἣν Ὅμη-
105 ρός φησιν ἀπεικασθεῖσαν παρθένῳ καλῇ καὶ γενναίᾳ
Ὀδυσσεῖ μὲν ἡγήσασθαι τῆς ἐπὶ τὰ βασίλεια φε-
ρούσης ὁδοῦ, σύμβουλον δὲ αὐτοῦ καὶ διδάσκαλον
γενομένην, ὧν ἐχρῆν εἴσω παρελθόντα δρᾶν καὶ
λέγειν, καθάπερ τινὰ ῥήτορα ξὺν [τῇ] τέχνῃ τέλειον
ᾆσαι βασιλίδος ἐγκώμιον, ἄνωθεν ἀπὸ τοῦ γένους
ἀρξαμένην. ἔχει δὲ αὐτῷ τὰ ὑπὲρ τούτων ἔπη τὸν
τρόπον τόνδε·

1 εἶτα ante τῶν addit Cob. 4 ἀλκίνου VM] Ἀλκινόου 6 οὔκουν M] οὐκοῦν 12 φῶσι H, ut paulo post ἀπόσχωνται legitur, φασι v 17 ᾐόσι] ἠϊόσι | οὐδὲ H] οὔτε 20 μὲν add. VM | ἐπὶ H et Cob.] περὶ 21 αὐτῷ Cob. 23 τῇ delevit Cob. 24 ἀλλ' ante ἄνωθεν add. fl. pet.

Δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισιν,
Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον, ἐκ δὲ τοκήων B
Τῶν αὐτῶν, οἵπερ τέκον Ἀλκίνοον βασιλῆα.

ἀναλαβὼν δὲ ἄνωθεν ἀπὸ τοῦ Ποσειδῶνος οἶμαι τὴν ἀρχὴν τοῦ γένους καὶ ὅσα ἔδρασάν τε καὶ ἔπαθον εἰπών, καὶ ὅπως αὐτὴν ὁ θεῖος, τοῦ πατρὸς ἀπολομένου νέου καὶ νυμφίου, ἔγημέ τε καὶ ἐτίμησεν,

ὡς οὔτις ἐπὶ χθονὶ τίεται ἄλλη,

καὶ ὅσων τυγχάνει C

Ἔκ τε φίλων παίδων ἔκ τ' αὐτοῦ Ἀλκινόοιο,

ἔτι δὲ οἶμαι τῆς γερουσίας καὶ τοῦ δήμου, οἳ καθάπερ θεὸν ὁρῶσι πορευομένην διὰ τοῦ ἄστεος, τέλος ἐπέθηκε ταῖς εὐφημίαις ζηλωτὸν ἀνδρὶ καὶ γυναικί,

Οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῦ

λέγων, καὶ ὡς κρίνειν εὖ ἠπίστατο, οἷσίν τ' εὖ φρονέῃσι, καὶ διαλύειν τὰ πρὸς ἀλλήλους ἐγκλήματα D *τοῖς πολίταις ἀναφυόμενα ξὺν δίκῃ. ταύτην δὴ οὖν ἱκετεύσας εἰ τύχοις εὔνου, πρὸς αὐτὸν ἔφη,*

Ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον·

ὁ δ' ἐπείσθη τῇ ξυμβουλῇ. ἆρ' οὖν ἔτι δεησόμεθα μειζόνων εἰκόνων καὶ ἀποδείξεων ἐναργεστέρων, ὥστε ἀποφυγεῖν τὴν ἐκ τοῦ κολακεύειν δοκεῖν ὑποψίαν; οὐχὶ δὲ ἤδη μιμούμενοι τὸν σοφὸν ἐκεῖνον καὶ θεῖον 106

1 Odyss. η, 53 4 et 5 *τὴν ἀρχὴν* VM] *ἀρχὴν* 6 *ἀπολλομένου* V 8 Odyss. η, 67 | *οὔτις* om. V 10 Odyss. η, 70 11 *ἔτι δέομαι* V 15 Odyss. η, 73 | *αὔτη* VM 16 *οἷσίν τ' εὖ φρονέῃσι* Cob. ex Odyss. η, 74] *ἦσειν δὲ εὐφροσύνη* V, *ἤδη δὲ εὐφροσύνη* M, *ἤδη δὲ φρονήσει* v 18 *ξὺν* VM] *σὺν* 19 *τύχης*, ut videtur, V 20 Odyss. η, 76 22 *δ'* VM] *δὲ* | *ξυμβουλῇ* VM] *συμβουλῇ* 25 *οὐδὲ ἤδη* V

ποιητὴν ἐπαινέσομεν Εὐσεβίαν τὴν ἀρίστην, ἐπιθυμοῦντες μὲν ἔπαινον αὐτῆς ἄξιον διεξελθεῖν, ἀγαπῶντες δέ, εἰ καὶ μετρίως τυγχάνοιμεν οὕτω καλῶν καὶ πολλῶν ἐπιτηδευμάτων; οὐ τῶν ἀγαθῶν τῶν ὑπαρχόντων ἐκείνῃ, σωφροσύνης καὶ δικαιοσύνης ἢ πρᾳότητος καὶ ἐπιεικείας ἢ τῆς περὶ τὸν ἄνδρα φιλίας ἢ τῆς περὶ τὰ χρήματα μεγαλοψυχίας ἢ τῆς B περὶ τοὺς οἰκείους καὶ ξυγγενεῖς τιμῆς. προσήκει δὲ οἶμαι καθάπερ ἴχνεσιν ἑπόμενον τοῖς ἤδη ῥηθεῖσιν οὕτω ποιεῖσθαι τὴν ξὺν εὐφημίᾳ τάξιν, ἀποδιδόντα τὴν αὐτὴν ἐκείνῃ, πατρίδος τε, ὡς εἰκός, καὶ πατέρων μνημονεύοντα, καὶ ὅπως ἐγήματο καὶ ᾧτινι, καὶ τἆλλα πάντα τὸν αὐτὸν ἐκείνοις τρόπον.

Περὶ μὲν οὖν τῆς πατρίδος πολλὰ σεμνὰ λέγειν ἔχων, τὰ μὲν διὰ παλαιότητα παρήσειν μοι δοκῶ· C φαίνεται γὰρ εἶναι τῶν μύθων οὐ πόρρω· ὁποῖον δή τι καὶ τὸ περὶ τῶν Μουσῶν λεγόμενον, ὡς εἶεν δήπουθεν ἐκ τῆς Πιερίας, οὐχὶ δὲ ἐξ Ἑλικῶνος εἰς τὸν Ὄλυμπον ἀφίκοιντο παρὰ τὸν πατέρα κληθεῖσαι. τοῦτο μὲν δὴ καὶ εἰ δή τι τοιοῦτον ἕτερον, μύθῳ μᾶλλον ἢ λόγῳ προσῆκον, ἀπολειπτέον· ὀλίγα δὲ εἰπεῖν τῶν πᾶσι γνωρίμων τυχὸν οὐκ ἄτοπον. αὐδὲ ἄπο τοῦ παρόντος λόγου. Μακεδόνων γὰρ οἰκίσαι φασὶ τὴν χώραν τοὺς Ἡρακλέους ἐγγόνους, Τημένου D παῖδας, οἳ τὴν Ἀργείαν λῆξιν νεμόμενοι καὶ στασιά-

3 et 4 καλῶν καὶ πολλῶν V] πολλῶν καὶ καλῶν. Cf. 415 B et Lobeck. Paralipp. p. 60 4 οὐ] καὶ Pet. in ed. fl. Rsk. audacter scribit: ἐπιτηδευμάτων. ἀπορῶ μὲν οὖν ὅτου ἅψωμαι πρώτου τῶν ἀγαθῶν. Fort. scribendum οὕτως ἀγαθῶν ὑπαρχόντων 8 ξυγγενεῖς VM] συγγενεῖς 10 τᾶξιν, ut solet, V 11 ἐκείνη V] ἐκείνην 13 τἄλλα V] τἆλλα 16 εἶναι] οἶμαι V 18 εἰς VM] ἐς 21 ὀλίγα VM] ὀλίγον 23 ἄπο VM] ἀπὸ | οἰκίσαι V] οἰκῆσαι 24 ἡρακλέος V | ἐγγόνους V] ἐκγόνους

τέλος ἐποιήσαντο τὴν ἀποικίαν τῆς πρὸς ἀλ-
ους ἔριδος καὶ φιλοτιμίας· εἶτα ἑλόντες τὴν Μακε-
ίαν καὶ γένος ὄλβιον ἀπολείποντες βασιλεῖς ἐκ
σιλέων διετέλουν καθάπερ κλῆρον τὴν τιμὴν δια-
χόμενοι. πάντας μὲν οὖν αὐτοὺς ἐπαινεῖν οὔτε
ηθὲς οὔτε οἶμαι ῥᾴδιον. πολλῶν δὲ ἀγαθῶν ἀν-
ῶν γενομένων καὶ καταλιπόντων Ἑλληνικοῦ τρό-
υ μνημεῖα πάγκαλα, Φίλιππος καὶ ὁ τούτου παῖς
ρετῇ διηνεγκάτην πάντων, ὅσοι πάλαι Μακεδονίας 107
καὶ Θρᾴκης ἦρξαν, οἶμαι δὲ ἔγωγε καὶ ὅσοι Λυδῶν
ἢ Μήδων καὶ Περσῶν καὶ Ἀσσυρίων, πλὴν μόνου
τοῦ Καμβύσου παιδός, ὃς ἐκ τῶν Μήδων ἐς Πέρσας
τὴν βασιλείαν μετέστησεν. ὁ μὲν γὰρ πρῶτος ἐπει-
ράθη τὴν Μακεδόνων αὐξῆσαι δύναμιν, καὶ τῆς
Εὐρώπης τὰ πλεῖστα καταστρεψάμενος ὅρον ἐποιή-
σατο πρὸς ἕω μὲν καὶ πρὸς μεσημβρίαν τὴν θάλατ-
ταν, ἀπ' ἄρκτων δὲ οἶμαι τὸν Ἴστρον καὶ πρὸς
ἑσπέραν τὸ Ὠρικὸν ἔθνος. ὁ τούτου δὲ αὖ παῖς B
ὑπὸ τῷ Σταγειρίτῃ σοφῷ τρεφόμενος τοσοῦτον με-
γαλοψυχίᾳ τῶν ἄλλων ἁπάντων διήνεγκε καὶ προσέτι
τὸν αὐτοῦ πατέρα τῇ στρατηγίᾳ καὶ τῇ θαρραλεότητι
καὶ ταῖς ἄλλαις ἀρεταῖς ὑπερβαλλόμενος, οὐκ ἄξιον
αὑτῷ ζῆν ὑπελάμβανεν, εἰ μὴ ξυμπάντων μὲν ἀν-
θρώπων, πάντων δὲ ἐθνῶν κρατήσειεν. οὐκοῦν τὴν
μὲν Ἀσίαν ἐπῆλθε σύμπασαν καταστρεφόμενος, καὶ C
ἀνίσχοντα πρῶτος ἀνθρώπων τὸν ἥλιον προσεκύνει,
ὡρμημένον δὲ αὐτὸν ἐπὶ τὴν Εὐρώπην, ὅπως τὰ

2 ἑλόντες] ἔχοντες Rsk. 3 ἀπολείποντες V] ἀπολιπόντες 13 μετέστησεν V] κατέστησεν 16 μεσημβρίαν] ἑσπέραν V 19 τοσοῦτον V] τοσούτῳ (τοσοῦτο M) 21 αὐτοῦ VM 22 Ante οὐκ ἄξιον videtur ὥσθ' excidisse 23 αὐτῷ VM

λειπόμενα περιβαλόμενος γῆς τε ἁπάσης καὶ θαλάττης κύριος γένοιτο, τὸ χρεὼν ἐν Βαβυλῶνι κατέλαβε. Μακεδόνες δὲ ἁπάντων ἦρχον, ὧν ὑπ' ἐκείνῳ κτησάμενοι πόλεων καὶ ἐθνῶν ἔτυχον. ἆρ' οὖν ἔτι χρὴ διὰ μειζόνων τεκμηρίων δηλοῦν, ὡς ἔνδοξος μὲν ἡ
D Μακεδονία καὶ μεγάλη τὸ πρόσθεν γένοιτο; ταύτης δὲ αὐτῆς τὸ κράτιστον ἡ πόλις ἐκείνη, ἣν ἀνέστησαν, πεσόντων οἶμαι Θετταλῶν, τῆς κατ' ἐκείνων ἐπώνυμον νίκης. καὶ περὶ μὲν τούτων οὐδὲν ἔτι δέομαι μακρότερα λέγειν· εὐγενείας γε μὴν τί ἂν ἔχοιμεν ἔτι πράγματα ἐπιζητοῦντες φανερώτερον καὶ ἐναργὲς μᾶλλον τεκμήριον; θυγάτηρ γάρ ἐστιν ἀνδρὸς ἀξίου νομισθέντος τὴν ἐπώνυμον τοῦ ἔτους ἀρχὴν (ἄρχειν), πάλαι μὲν ἰσχυρὰν καὶ βασιλείαν
108 ἀτεχνῶς ὀνομαζομένην, μεταβαλοῦσαν δὲ διὰ τοὺς οὐκ ὀρθῶς χρωμένους τῇ δυνάμει τὸ ὄνομα· νῦν δὲ ἤδη τῆς δυνάμεως ἐπιλειπούσης, ἐπειδὴ πρὸς μοναρχίαν τὰ τῆς πολιτείας μεθέστηκε, τιμὴ καθ' αὑτὴν τῶν ἄλλων ἁπάντων στερομένη πρὸς πᾶσαν ἰσχὺν ἀντίρροπος εἶναι δοκεῖ, τοῖς μὲν ἰδιώταις οἷον ἆθλον ἀποκειμένη καὶ γέρας ἀρετῆς ἢ πίστεως ἤ τινος εὐνοίας καὶ ὑπηρεσίας περὶ τοὺς τῶν ὅλων ἄρχοντας
B ἢ πράξεως λαμπρᾶς, τοῖς βασιλεῦσι δὲ πρὸς οἷς ἔχουσιν ἀγαθοῖς οἷον ἄγαλμα καὶ κόσμος ἐπιτιθεμένη· τῶν μὲν γὰρ ἄλλων ὀνομάτων τε καὶ ἔργων, ὁπόσα τῆς παλαιᾶς ἐκείνης πολιτείας διασώζει τινὰ

1 περιβαλόμενος M] περιβαλλόμενος 6 μακεδονία V] Μακεδόνων | τὸ om. V 11 ἔχοιμεν ἔτι πράγματα V] ἔτι πράγματα ἔχοιμεν 14 ἀρχὴν ἄρχειν H. et Cob.] ἀρχὴν 15 ὀνομαζομένην Cob.] νομιζομένην 17 ἐπιλειπούσης VM] ἐπιλιπούσης 18 τί μὴ V 20 ἆθλον M] ἄθλον 24 ἐπιτεθειμένη M

ιληn καὶ ἀμυδρὰν εἰκόνα, ἢ παντάπασιν ὑπερ-
ντες διὰ τὴν ἰσχὺν κατέγνωσαν, ἢ προσιέμενοί
διὰ βίου καρποῦνται τὰς ἐπωνυμίας· μόνης δὲ
ιαι ταύτης οὐδὲ τὴν ἀρχὴν ὑπερεῖδον, χαίρουσι
καὶ πρὸς ἐνιαυτὸν τυγχάνοντες· καὶ οὔτε ἰδιώτης C
δεὶς οὔτε βασιλεύς ἐστιν ἢ γέγονεν, ὃς οὐ ζηλω-
ν ἐνόμισεν ὕπατος ἐπονομασθῆναι. εἰ δέ, ὅτι
ῶτος ἔτυχεν ἐκεῖνος καὶ γέγονεν ἀρχηγὸς τῷ γένει
ς εὐδοξίας, ἔλαττόν τις ἔχειν αὐτὸν τῶν ἄλλων
τολαμβάνει, λίαν ἐξαπατώμενος οὐ μανθάνει· τῷ
ιντὶ γὰρ οἶμαι κρεῖττόν ἐστι καὶ σεμνότορον ἀρχὴν
αρασχεῖν τοῖς ἐγγόνοις περιφανείας τοσαύτης ἢ
ιβεῖν παρὰ τῶν προγόνων. ἐπεὶ καὶ πόλεως με- D
γίστης οἰκιστὴν γενέσθαι κρεῖττον ἢ πολίτην, καὶ
λαβεῖν ὁτιοῦν ἀγαθὸν τοῦ δοῦναι τῷ παντὶ κατα-
δεέστερον. λαμβάνειν δὲ ἐοίκασι παρὰ τῶν πατέρων
οἱ παῖδες καὶ οἱ πολῖται παρὰ τῶν πόλεων οἷον
ἀφορμάς τινας πρὸς εὐδοξίαν. ὅστις δὲ ἀποδίδωσι
πάλιν ἐξ ἑαυτοῦ προγόνοις τε καὶ πατρίδι μείζονα
τιμῆς ὑπόθεσιν, λαμπροτέραν μὲν ἐκείνην καὶ σεμνο-
τέραν, τοὺς πατέρας δὲ ἐνδοξοτέρους ἀποφαίνων,
οὗτος οὐδενὶ καταλείπει πρὸς εὐγενείας λόγον ἅμιλ-
λαν· οὐδὲ ἔστιν ὅστις ἐκείνου φήσει κρείττων γε- 109
γονέναι· ἐξ ἀγαθῶν μὲν γὰρ ἀγαθὸν φῦναι χρή. ὁ

4 οὐδὲ — χαίρουσι δὲ] Et hoc loco scripserim οὔτε — χαίρουσί τε et 111 C δυσχεραίνειν τε 6 οὔτε βασ. V] οὐδὲ βασ. 10 μανθάνει V] λανθάνει 12 ἐγγόνοις VM] ἐκγόνοις 13 λαβεῖν VM] παραλαβεῖν 15 τοῦ δοῦναι τῷ παντὶ Cob.] τοῦ διδόναι τῷ παντὶ Pet., οὐ τῷ παντὶ pet., ἢ τῷ παντὶ M, ἢ τὸ πάντη V spanh. 17 οἱ πολῖται VM] πολῖται 22 καταλιπεῖν VM, καταλίπει pet. Legam igitur δοκεῖ καταλιπεῖν | λόγον ἅμιλλαν Cob.] ἅμιλλαν λόγον (λόγων V) 23 οὐδὲ ἔστιν H] οὐδέ ἐστιν | φήσει H] φησί. cf. 18 D et 115 D

δὲ ἐξ ἐνδόξων ἐνδοξότερος γενόμενος, ἐς ταὐτὸν
ἀρετῇ τῆς τύχης πνεούσης, οὗτος οὐδενὶ δίδωσιν
ἀπορεῖν, εἰ τῆς εὐγενείας εἰκότως μεταποιεῖται.

Εὐσεβία δέ, περὶ ἧς ὁ λόγος, παῖς μὲν ὑπάτου
γέγονε, γαμετὴ δέ ἐστι βασιλέως ἀνδρείου, σώφρονος,
συνετοῦ, δικαίου, χρηστοῦ καὶ πράου καὶ μεγαλο-
ψύχου, ὃς ἐπειδὴ πατρῴαν οὖσαν αὐτῷ τὴν ἀρχὴν
B ἀνεκτήσατο, ἀφελόμενος τοῦ βίᾳ λαβόντος, γάμου τε
ἐδεῖτο πρὸς παίδων γένεσιν, οἳ κληρονομήσουσι τῆς
τιμῆς καὶ τῆς ἐξουσίας, ταύτην ἀξίαν ἔκρινε τῆς
κοινωνίας γεγονὼς ἤδη σχεδόν τι τῆς οἰκουμένης
ἁπάσης κύριος. καίτοι πῶς ἄν τις μείζονα μαρτυ-
ρίαν ἐπιζητήσειε τῆσδε; οὐ μόνον περὶ τῆς εὐγενείας
C αὐτῆς, ὑπὲρ δὲ ἁπάντων ἁπλῶς, ὅσα χρῆν οἶμαι τὴν
βασιλεῖ τοσούτῳ συνιοῦσαν, καθάπερ φερνὴν οἴκοθεν
ἐπιφερομένην, κομίζειν ἀγαθά, παιδείαν ὀρθήν, σύν-
εσιν ἐμμελῆ, ἀκμὴν καὶ ὥραν σώματος καὶ κάλλος
τοσοῦτον, ὥστε ἀποκρύπτεσθαι τὰς ἄλλας παρθένους,
καθάπερ οἶμαι περὶ τῇ σελήνῃ πληθούσῃ οἱ δια-
φανεῖς ἀστέρες καταυγαζόμενοι κρύπτουσι τὴν μορ-
φήν. ἓν μὲν γὰρ τούτων οὐδὲ ἓν ἐξαρκεῖν δοκεῖ
πρὸς κοινωνίαν βασιλέως, πάντα δὲ ἅμα, ὥσπερ θεοῦ
D τινος ἀγαθῷ βασιλεῖ καλὴν καὶ σώφρονα πλάττοντος
τὴν νύμφην, εἰς ταὐτὸ συνεληλυθότα πόρρωθεν καὶ
οὐκ ἀπὸ τῶν ὀμμάτων ἐφελκυσάμενα μάλα ὄλβιον
ἦγε τὸν νυμφίον. κάλλος μὲν γὰρ τῆς ἐκ τοῦ γέ-
νους βοηθείας καὶ τῶν ἄλλων ἀγαθῶν οἶμαι στερό-

3 εἰκότως add. V   9 γέννεσιν V   10 τιμῆς] γῆς V   12 et 13 μαρτυρίαν ἐπιζητήσειε V] ἐπιζ. μαρτ.   13 τῆσδε V] τῆς δὲ   19 et 20 περὶ τῇ σελήνῃ — μορφήν] Spectat Sapphus fragm. 3 Bergk.; vid. Heyler. ad Epp. p. 242   21 οὐδὲ ἓν V] οὐδὲν | ἐξαρκεῖν δοκεῖ] ἐξαρκεῖ M

μενον οὐδὲ ἰδιώτην ἀκόλαστον ἰσχύει πείθειν τὴν γαμήλιον ἀνάψαι λαμπάδα, ἄμφω δὲ ἅμα συνελθόντα γάμον μὲν ἥρμοσε πολλάκις, ἀπολειπόμενα δὲ τῆς ἐκ τῶν τρόπων ἁρμονίας καὶ χάριτος οὐ λίαν ἐφάνη 110 ζηλωτά. ταῦτα ἐπιστάμενον σαφῶς τὸν βασιλέα τὸν σώφρονα φαίην ἂν εἰκότως πολλάκις βουλευσάμενον ἑλέσθαι τὸν γάμον, τὰ μὲν οἶμαι πυνθανόμενον, ὅσα χρῆν δι' ἀκοῆς περὶ αὐτῆς μαθεῖν, τεκμαιρόμενον δὲ ἀπὸ τῆς μητρὸς τὴν εὐταξίαν· ὑπὲρ ἧς τὰ μὲν ἄλλα τί δεῖ λέγοντας διατρίβειν, καθάπερ οὐκ ἔχοντας ἴδιον ἐγκώμιον (τῆς), ὑπὲρ ἧς ὁ λόγος, διελθεῖν; τοσοῦτον δὲ ἴσως οὔτε εἰπεῖν οὔτε ἐπακοῦσαι πολὺ B καὶ ἐργῶδες, ὅτι δὴ γένος μὲν αὐτῇ σφόδρα Ἑλληνικόν, Ἑλλήνων τῶν πάνυ, καὶ πόλις ἡ μητρόπολις τῆς Μακεδονίας, σωφροσύνῃ δὲ ὑπέρ τε Εὐάδνην τὴν Καπανέως καὶ τὴν Θετταλὴν ἐκείνην Λαοδάμειαν. αἱ μὲν γὰρ καλοὺς καὶ νέους καὶ ἔτι νυμφίους τοὺς ἄνδρας ἀφαιρεθεῖσαι δαιμόνων βίᾳ βασκάνων ἢ μοιρῶν νήμασι τοῦ ζῆν ὑπερεῖδον διὰ τὸν ἔρωτα, ἡ δέ, ἐπειδὴ τὸ χρεὼν τὸν κουρίδιον αὐτῆς C ἄνδρα κατέλαβε, τοῖς παισὶ προσκαθημένη τοσοῦτον ἐπὶ σωφροσύνῃ κλέος αὑτῇ εἰργάσατο, ὥστε τῇ μὲν Πηνελόπῃ, περιόντος ἔτι καὶ πλανωμένου τοῦ γήμαντος, προσήει τὰ μειράκια μνηστευσόμενα ἔκ τε Ἰθάκης καὶ Σάμου καὶ Δουλιχίου, τῇ δὲ ἀνὴρ μὲν οὐδεὶς καλὸς καὶ μέγας ἢ ἰσχυρὸς καὶ πλούσιος [, ὃς] ὑπὲρ τούτων εἰς λόγους ἐλθεῖν ὑπέμεινέ ποτε·

2 ἀνάψαι] ἀναλάμψαι V 6 πολλάκις VM] καὶ πολλάκις 8 ἐχρῆν V 11 τῆς add. Cob. 15 ὑπέρ τε] ὑπὲρ τὴν V 16 λαοδάμειαν V] Λαοδαμίαν (λαοδάμαν M) 20 αὐτῆς v 22 αὐτῇ V 24 μνηστευσόμενα VM] μνηστευόμενα 26 ἢ om. V 27 ὃς delevit Horkelius

*τὴν θυγατέρα δὲ βασιλεὺς ἑαυτῷ συνοικεῖν ἀξίαν
D ἔκρινε, καὶ ἔδρασε τὸν γάμον λαμπρῶς μετὰ τὰ τρό-
παια, ἔθνη καὶ πόλεις καὶ μούσας ἑστιῶν. εἰ δέ τις
ἄρα ἐκείνων ἐπακούειν ποθεῖ, ὅπως μὲν ἐκ Μακε-
δονίας ἐκαλεῖτο μετὰ τῆς μητρὸς ἡ νύμφη, τίς δὲ
ἦν ὁ τῆς πομπῆς τρόπος, ἁρμάτων καὶ ἵππων καὶ
ὀχημάτων παντοδαπῶν χρυσῷ καὶ ἀργύρῳ καὶ ὀρει-
χάλκῳ μετὰ τῆς ἀρίστης τέχνης εἰργασμένων, ἴστω
παιδικῶν σφόδρα ἀκουσμάτων ἐπιθυμῶν. καθάπερ
111 γὰρ οἶμαι κιθαρῳδοῦ τινος δεξιοῦ τὴν τέχνην· ἔστω
δέ, εἰ βούλει, Τέρπανδρος οὗτος ἢ ὁ Μηθυμναῖος
ἐκεῖνος, ὃν δὴ λόγος ἔχει δαιμονίᾳ πομπῇ χρησάμε-
νον φιλομουσοτέρου τοῦ δελφῖνος τυχεῖν ἢ τῶν
ξυμπλεόντων, καὶ ἐπὶ τὴν Λακωνικὴν ἄκραν κομι-
σθῆναι· ἔθελγε γὰρ οἶμαι τοὺς δυστυχεῖς ναύτας ὅσα
ἐκεῖνος ἀπὸ τῆς τέχνης εἰργάσατο, αὐτῆς δὲ ἐκείνης
ὑπερεώρων καὶ οὐδεμίαν ὤραν ἐποιοῦντο τῆς μουσι-
B κῆς· εἰ δὴ οὖν τις τοῖν ἀνδροῖν ἐκείνοιν τὸν κρά-
τιστον ἐπιλεξάμενος καὶ ἀποδοὺς τὸν περὶ τὸ σῶμα
κόσμον τῇ τέχνῃ πρέποντα εἶτα ἐς θέατρον παρ-
αγάγοι παντοδαπῶν ἀνδρῶν καὶ γυναικῶν καὶ παίδων
φύσει τε καὶ ἡλικίᾳ καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασι
διαφερόντων, οὐκ ἂν οἴεσθε τοὺς μὲν παῖδας καὶ
τῶν ἀνδρῶν καὶ [τῶν] γυναικῶν ὁπόσοι τοιοῦτοι
εἰς τὴν ἐσθῆτα καὶ τὴν κιθάραν ἀποβλέποντας ἐκ-
πεπλῆχθαι δεινῶς πρὸς τὴν ὄψιν, τῶν ἀνδρῶν δὲ*

1 *ἀξίαν* Cob.] *ἄξιον* 6 *τε καὶ ἵππων* Rsk. 8 *ἴστω* Wytt.] *ἅτε* 9 *τῶν* ante *παιδικῶν* sustuli 10 *καὶ* ante *κιθαρῳδοῦ* add. M pet. 11 *ὁ* om. V 16 *ἀπὸ*] *ὑπὸ* V 17 *ὤραν* H] *ὥραν* 19 *τὸν σῶμα* V 20 *ἐς* VM] *εἰς* 23 *διαφερόντων* H] *διαφερομένων* 24 *τῶν* inclusum om. V 25 *ἐκπεπλῆσθαι* V

τοὺς ἀμαθεστέρους καὶ γυναικῶν πλὴν σφόδρα ὀλί-
γων ἅπαν τὸ πλῆθος ἡδονῇ καὶ λύπῃ κρίνειν τὰ C
κρούματα, μουσικὸν δὲ ἄνδρα, τοὺς λόγους ἐξεπιστά-
μενον τῆς τέχνης, οὔτε μιγνύμενα τὰ μέλη τῆς ἡδο-
νῆς χάριν φαύλως ἀνέχεσθαι, δυσχεραίνειν δὲ καὶ
εἴ [τις] τοὺς τρόπους τῆς μουσικῆς διαφθείροι καὶ
εἰ ταῖς ἁρμονίαις μὴ δεόντως χρῷτο μηδὲ ἑπομένως
τοῖς νόμοις τῆς ἀληθινῆς καὶ θείας μουσικῆς; ὁρῶν
δὲ ἐμμένοντα τοῖς νομισθεῖσι καὶ οὐ κίβδηλον ἡδο-
νήν, καθαρὰν δὲ καὶ ἀκήρατον τοῖς θεαταῖς ἐνερ- D
γασάμενον ἄπεισι τοῦτον ἐπαινῶν καὶ ἐκπληττόμενος,
ὅτι δὴ σὺν τέχνῃ μηδὲν ἀδικῶν τὰς Μούσας τῷ
θεάτρῳ ξυγγέγονε. τὸν δὲ τὴν ἁλουργίδα καὶ τὴν
κιθάραν ἐπαινοῦντα ληρεῖν οἴεται καὶ ἀνοηταίνειν·
καὶ εἰ μετὰ πλείονος τὰ τοιαῦτα διηγεῖται, λέξει τε
ἡδίστῃ κοσμῶν καὶ ἐπιλεαίνων τὸ φαῦλον καὶ ἀγεν-
νὲς τῶν διηγημάτων, γελοιότερον νομίζει τῶν ἀπο-
τορνεύειν τὰς κέγχρους ἐπιχειρούντων, καθάπερ οἶμαι 112
φασὶ τὸν Μυρμηκίδην ἀντιταττόμενον τῇ Φειδίου
τέχνῃ. οὔκουν οὐδὲ ἡμεῖς ἑκόντες αὑτοὺς ταύταις
ὑποθήσομεν ταῖς αἰτίαις, ἱματίων πολυτελῶν καὶ δώ-
ρων παντοίων ὅρμων τε καὶ στεφάνων κατάλογον
τῶν ἐκ βασιλέως μακρόν τινα τοῦτον ᾄδοντες, οὐδὲ

3 λόγους] νόμους? 5 δὲ] τε H. Vid. ad 108 B 6 τις om. VM fl. 7 ἑπόμενος V 9 δὲ VM] τε 10 ἐνεργασάμενον V] ἐργασάμενον 11 τοῦτο V 15 μετὰ πλείονος] διὰ πλειόνων H | τε VM] δὲ 17—20 γενοιότερον — τέχνῃ cit. Suidas v. γέλοιος. Cf. idem v. Μυρμηκίδην et v. Φειδίας 17 νομίζει] ἀπεργάζῃ Suid. et Paroemiogr. gr. I p. 389 | ἀποτορνεύειν Dindorfius ad Thesaur. i. v.] ἀποτορεύειν 18 καθάπερ] ἢ καθάπερ Suid. et Paroemiogr. l. l. 19 ἀντιταττόμενον M fl. Suid. v. Φειδίας] ἀντιπραττόμενον 20 οὔκουν H] οὐκοῦν 22 κατάλογον V] καὶ κατάλογον 23 οὐδὲ H] οὔτε

ὡς ἀπήντων οἱ δῆμοι δεξιούμενοι καὶ χαίροντες, οὐδὲ ὅσα κατὰ τὴν ὁδὸν ἐκείνην λαμπρὰ καὶ ζηλωτὰ B *γέγονε καὶ ἐνομίσθη. ἀλλ' ἐπειδὴ τῶν βασιλείων εἴσω παρῆλθε καὶ τῆς ἐπωνυμίας ταύτης ἠξιώθη, τί πρῶτον ἔργον ἐκείνης γέγονε, καὶ αὖθις δεύτερον, καὶ ἐπ' αὐτῷ τρίτον, καὶ πολλὰ δὴ μάλα τὸ ἐντεῦθεν; οὐ γάρ, εἰ σφόδρα λέγειν ἐθέλοιμι καὶ μακρὰς ὑπὲρ τούτων βίβλους ξυντιθέναι, ἀρκέσειν ὑπολαμβάνω τῷ πλήθει τῶν ἔργων, ὅσα ἐκείνῃ φρόνησιν καὶ πρᾳότητα καὶ σωφροσύνην καὶ φιλανθρωπίαν ἐπιείκειάν τε καὶ ἐλευθεριότητα καὶ τὰς ἄλλας ἀρε-* C *τὰς ἐξεμαρτύρησε λαμπρότερον, ἢ νῦν ὁ παρὼν περὶ αὐτῆς λόγος δηλοῦν ἐπιχειρεῖ καὶ ἐκδιδάσκειν τοὺς πάλαι διὰ τῶν ἔργων ἐγνωκότας. οὐ μὴν ἐπειδὴ 'κεῖνο δυσχερές, μᾶλλον δὲ ἀδύνατον ἐφάνη, παντελῶς ἄξιον ὑπὲρ ἁπάντων ἀποσιωπῆσαι, πειρᾶσθαι δὲ εἰς δύναμιν φράζειν ὑπὲρ αὐτῶν καὶ τῆς μὲν φρονήσεως ποιεῖσθαι σημεῖον καὶ τῆς ἄλλης ἀρετῆς πάσης, ὅτι τὸν γήμαντα διέθηκεν οὕτω περὶ αὐτήν, ὥσπερ οὖν ἄξιον γυναῖκα καλὴν καὶ γενναίαν. ὥστε ἔγωγε τῆς Πηνελόπης πολλὰ καὶ ἄλλα νομίσας ἐπαί-* D *νων ἄξια τοῦτο ἐν τοῖς μάλιστα θαυμάζω, ὅτι δὴ τὸν ἄνδρα λίαν ἔπειθε στέργειν καὶ ἀγαπᾶν αὐτὴν ὑπερορῶντα μέν, ὥς φασί, δαιμονίων γάμων, ἀτιμάζοντα δὲ οὐ μεῖον τὴν τῶν Φαιάκων ξυγγένειαν. Καίτοι γε εἶχον αὐτοῦ πᾶσαι ἐρωτικῶς, Καλυψὼ καὶ Κίρκη καὶ Ναυσικάα· καὶ ἦν αὐταῖς τὰ βασίλεια*

1 *ἀπήντουν* V 2 *οὐδὲ* H] *οὔτε* | *ἐκείνης* V 6 *καὶ πολλὰ* VM] *πολλὰ* 9 *ἐκείνῃ* VM fl.] *ἐκείνης* 15 *κεῖνο* MV m. pr. (*ἐκεῖνο* m. recentior) 19 *οὕτω* H] *οὕτως* | *αὐτὴν* VM 23 *ἔπειθε* VM] *καὶ ἔπειθε* 24 *γάμων*] *ἀγαθῶν* V 25 *ξυγγένειαν* V] *συγγένειαν* 26 *καίτοι γε* V] *καὶ τοίγε*

πάγκαλα, κήπων τινῶν καὶ παραδείσων ἐν αὐτοῖς 113 πεφυτευμένων μάλα ἀμφιλαφέσι καὶ κατασκίοις τοῖς δένδρεσι, λειμῶνές τε ἄνθεσι ποικίλοις καὶ μαλακῇ τῇ πόᾳ βρύοντες·

Κρῆναι δ' ἑξείης πίσυρες ῥέον ὕδατι λευκῷ·

καὶ ἐτεθήλει περὶ τὴν οἰκίαν ἡμερὶς ἡβῶσα σταφυλῆς οἶμαι τῆς γενναίας, βριθομένη τοῖς βότρυσι· καὶ παρὰ τοῖς Φαίαξιν ἕτερα τοιαῦτα, πλὴν ὅσῳ πολυτελέστερα, ἅτε οἶμαι ποιητὰ ξὺν τέχνῃ, τῆς τῶν αὐ- B τοφυῶν ἔλαττον μετεῖχε χάριτος καὶ ἧττον εἶναι ἐδόκει 'κείνων ἐράσμια. τῆς τρυφῆς δὲ αὖ καὶ τοῦ πλούτου καὶ προσέτι τῆς περὶ τὰς νήσους ἐκείνας εἰρήνης καὶ ἡσυχίας τίνα οὐκ ἂν ἡττηθῆναι δοκεῖ τοσούτους ἀνατλάντα πόνους καὶ κινδύνους καὶ ἔτι ὑφορώμενον δεινότατα πείσεσθαι, τὰ μὲν ἐν θαλάττῃ τὰ δὲ ἐπὶ τῆς οἰκίας αὐτῆς, πρὸς ἑκατὸν νεανίσκους ἡβῶντας εὖ μάλα μόνον ἀγωνίζεσθαι μέλλοντα, ὅπερ C οὐδὲ ἐν Τροίᾳ 'κείνῳ ποτὲ συνηνέχθη; εἴ τις οὖν ἔροιτο τὸν Ὀδυσσέα παίζων ὧδέ πως· τί ποτε, ὦ σοφώτατε ῥῆτορ ἢ στρατηγὲ ἢ ὅ τι χρή σε ὀνομάζειν, τοσούτους ἑκὼν ὑπέμεινας πόνους, ἐξὸν εἶναι ὄλβιον καὶ εὐδαίμονα, τυχὸν δὲ καὶ ἀθάνατον, εἴ τι χρὴ ταῖς ἐπαγγελίαις Καλυψοῦς πιστεύειν, σὺ δὲ ἑλόμενος τὰ χείρω πρὸ τῶν βελτιόνων τοσούτους σαυτῷ προστέθεικας πόνους, οὐδὲ ἐν τῇ Σχερίᾳ κατα-

1 ἐν αὐτοῖς M spanh.] ἐν αὐταῖς pet., om. V 3 τε VM] δὲ 5 Odyss. ε, 70 | δὲ ἑξήεις VM 6 ἡβώωσα Cob. coll. Odyss. ε, 69 11 κείνων V, 'κείνων M, ἐκείνων v 13 δοκεῖ] δοκεῖτε H, εἰκὸς Rsk. 15 δεινότερα H 18 κείνω VM, ἐκείνῳ v | προσηνέχθη V 25 σαυτῶ VM] αὑτῷ. Ceterum cf. 342 A | ἐν τῇ δυσχερεία (ρι superscr.) V, ἐν τῇ σχεδία M, ἐν τῇ σαυτῷ Χεριδίᾳ fl. pet., ἐν τῇ δὴ Σχερίᾳ spanh. e Petavii emendatione

D *μεῖναι ἐθελήσας, ἐξὸν ἐκεῖ που παυσάμενον τῆς πλάνης καὶ τῶν κινδύνων ἀπηλλάχθαι· σὺ δὲ ἡμῖν ἐπὶ τῆς οἰκίας ἔγνως στρατεύεσθαι καὶ ἄθλους δή τινας καὶ ἀποδημίαν ἑτέραν ἐκτελεῖν οὔτι τῆς πρόσθεν, ὥς γε τὸ εἰκός, ἀπονωτέραν οὐδὲ κουφοτέραν. τί δη οὖν οἴεσθε πρὸς ταῦτα ἐκεῖνον εἰπεῖν ἔχειν; ἆρ' οὐχ ὅτι τῇ Πηνελόπῃ συνεῖναι ἐθέλων τοὺς ἄθλους αὐτῇ καὶ τὰς στρατείας χαρίεντα διηγήματα φέρειν ὑπέλαβε; ταῦτά τοι καὶ τὴν μητέρα πεποίηκεν* 114 *αὐτῷ παραινοῦσαν μεμνῆσθαι πάντων, ὧν τε εἶδε θεαμάτων καὶ ὧν ἤκουσεν ἀκουσμάτων,*

ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα γυναικί,

φησίν. ὁ δὲ οὐδενὸς ἐπιλαθόμενος, ἐπειδὴ πρῶτον ἀφίκετο καὶ τῶν μειρακίων τῶν ἐπὶ τὰ βασίλεια κωμαζόντων ἐκράτει ξὺν δίκῃ, πάντα ἀθρόως αὐτῇ διηγεῖτο, ὅσα τε ἔδρασε καὶ ὅσα ἀνέτλη, καὶ εἰ δή τι ἄλλο ὑπὸ τῶν χρησμῶν ἀναπειθόμενος ἐκτελεῖν διενοεῖτο· ἀπόρρητον δὲ ἐποιεῖτο πρὸς αὐτὴν οὐδὲ B *ἕν, ἀλλ' ἠξίου κοινωνὸν γίγνεσθαι τῶν βουλευμάτων καὶ ὅ,τι πρακτέον εἴη συννοεῖν καὶ συνεξευρίσκειν. ἆρα τοῦτο ὑμῖν τῆς Πηνελόπης ὀλίγον ἐγκώμιον δοκεῖ, ἢ εἴ δή τις ἄλλη τὴν ἐκείνης ἀρετὴν ὑπερβαλλομένη γαμετή τε οὖσα βασιλέως ἀνδρείου καὶ μεγαλοψύχου καὶ σώφρονος τοσαύτην εὔνοιαν ἐνεποίησεν αὐτῆς τῷ γήμαντι, συγκερασαμένη τῇ παρὰ* C *τῶν ἐρώτων ἐπιπνεομένῃ φιλίᾳ τὴν ἐκ τῆς ἀρετῆς καθάπερ ῥεῦμα θεῖον ἐπιφερομένην ταῖς ἀγαθαῖς καὶ*

1 *ἐθελήσας* VM fl.] *ἐθέλησας* 3 *ἐκ τῆς οἰκείας* Rsk. 12 Odyss. *λ*, 223 14 *τὰ βασίλεια* V] *τῇ βασιλίδι* 19 *ἀλλὰ* V | *γίγνεσθαι* V] *γίνεσθαι* 22 *εἰ δὴ*] *ἤδη* Horkelius 24 et 25 *ἐνεποίησεν αὐτῆς* V, *αὐτῆς ἐνεποίησε* v

γενναίαις ψυχαῖς; δύο γὰρ δὴ τώδε τινὲ πειθώ τε καὶ ἰδέα φιλίας ἔστον, ὧν ἥδε κατ' ἴσον ἀρυσαμένη βουλευμάτων τε αὐτῷ γέγονε κοινωνὸς καὶ πρᾷον ὄντα φύσει τὸν βασιλέα καὶ χρηστὸν καὶ εὐγνώμονα πρὸς ἃ πέφυκε παρακαλεῖ μᾶλλον πρεπόντως καὶ πρὸς συγγνώμην τὴν δίκην τρέπει. ὥστε οὐκ ἄν τις εἰπεῖν ἔχοι, ὅτῳ γέγονεν ἡ βασιλὶς ἥδε ἐν δίκῃ τυχὸν ἢ. καὶ παρὰ δίκην αἰτία τιμωρίας καὶ κολάσεως μικρᾶς ἢ μείζονος. Ἀθήνησι μὲν οὖν φασιν, ὅτε τοῖς D
πατρίοις ἔθεσιν ἐχρῶντο καὶ ἔζων τοῖς οἰκείοις πειθόμενοι νόμοις μεγάλην καὶ πολυάνθρωπον οἰκοῦντες πόλιν, εἴ ποτε τῶν δικαζόντων αἱ ψῆφοι κατ' ἴσον γένοιντο τοῖς φεύγουσι πρὸς τοὺς διώκοντας, τὴν τῆς Ἀθηνᾶς ἐπιτιθεμένην τῷ τὴν δίκην ὀφλήσειν μέλλοντι ἀπολύειν ἄμφω τῆς αἰτίας, τὸν μὲν ἐπάγοντα τὴν κατηγορίαν τοῦ δοκεῖν εἶναι συκοφάντην, τὸν δέ, ὡς εἰκός, τοῦ δοκεῖν ἔνοχον εἶναι τῷ πονηρεύματι. 115
τοῦτον δὴ φιλάνθρωπον ὄντα καὶ χαρίεντα τὸν νόμον ἐπὶ τῶν δικῶν, ἃς βασιλεὺς κρίνει, σωζόμενον πρᾳότερον αὕτη καθίστησιν. οὐ γὰρ ἂν ὁ φεύγων παρ' ὀλίγον ἔλθῃ τὴν ἴσην ἐν ταῖς ψήφοις λαχεῖν, πείθει, τὴν ὑπὲρ αὐτοῦ δέησιν προσθεῖσα καὶ ἱκετηρίαν, ἀφεῖναι πάντως τῆς αἰτίας. ὁ δὲ ἑκὼν ἑκόντι τῷ θυμῷ χαρίζεται τὰ τοιαῦτα, καὶ οὔ, καθάπερ Ὅμηρός φησιν, ἐκβιαζόμενος παρὰ B
τῆς γαμετῆς ὁμολογεῖ ὅ,τι ξυγχωροίη καὶ δίδωσιν

1 τώ δέ V, τὼ δὲ v | πειθώ] πίθω Bruno Friederich 2 ἀρρυσαμένη V 5 παρακαλεῖν et 6 τρέπειν V 7 ἥδε] ἠδὲ pet. 10 πατρῴοις (π̄ρ̄ῴοις scriptum, ut π̄ρ̄ῷον 115 C) M, πρώτοις pet. 14 προστιθεμένην Rsk. 23 τῆς αἰτίας V] τὰς αἰτίας 24 εἴκοντι VM 25 ἐκβιαζόμενον V 26 ὁμολογεῖν VM. Cobetus igitur probabiliter censet Iulianum scripsisse: Ὅμηρός φησι τὸν Δία ἐκβιαζόμενον — ὁμολογεῖν, col'

ἑκὼν ἀέκοντί γε θυμῷ. καὶ τυχὸν οὐκ ἄτοπον χαλεπῶς καὶ μόλις τὰ τοιαῦτα ξυγχωρεῖν κατὰ ἀνδρῶν ὑβριστῶν καὶ ἀλαζόνων. οὐδὲ γὰρ εἰ σφόδρα ἐπιτήδειοί τινές εἰσι πάσχειν κακῶς καὶ κολάζεσθαι, τούτους ἐκ παντὸς ἀπολέσθαι χρεών· ὃ δὴ καὶ ἡ βασιλὶς ἥδε ξυννοοῦσα κακὸν μὲν οὐδὲν οὔτε ᾔτησεν C ἄλλῳ ποτέ τινι οὔτε κόλασιν οὔτε τιμωρίαν ἐπαγαγεῖν οὐχ ὅπως βασιλείᾳ τινὸς ἢ πόλει, ἀλλ' οὐδὲ οἰκίᾳ μιᾷ τῶν πολιτῶν. προσθείην δ' ἂν ἔγωγε θαρρῶν εὖ μάλα, ὅτι μηδὲν ψεῦδός φημι, ὡς οὐδὲ ἐφ' ἑνὸς ἀνδρὸς ἢ γυναικὸς μιᾶς ἔστιν αὐτὴν αἰτιᾶσθαι ξυμφορᾶς τῳ τῆς τυχούσης, ἀγαθὰ δὲ ὅσα καὶ οὕστινας δρᾷ καὶ ἔδρασεν, ἡδέως ἂν ὑμῖν τὰ πλεῖστα ἐξαριθμησαίμην καθ' ἕκαστα ἀπαγγέλλων, ὡς ὅδε μὲν τὸν πατρῷον δι' ἐκείνην νέμεται κλῆρον, ἐκεῖ- D νος δὲ ἀπηλλάγη τιμωρίας, ὀφλήσας τοῖς νόμοις, ἄλλος συκοφαντίαν διέφυγε, παρ' ὀλίγον ἐλθὼν κινδύνου, τιμῆς δὲ ἔτυχον καὶ ἀρχῆς μυρίοι. καὶ ταῦτα οὐκ ἔστιν ὅστις ἐμὲ ψεύδεσθαι τῶν ἁπάντων φήσει, εἰ καὶ ὀνομαστὶ τοὺς ἄνδρας μὴ καταλέγοιμι. ἀλλ' ὀκνῶ, μή τισιν ἐξονειδίζειν δόξω τὰς συμφορὰς καὶ οὐκ ἔπαινον τῶν ταύτης ἀγαθῶν, κατάλογον δὲ

Iliad. δ, 43. Tum autem etiam καὶ ante δίδωσιν tollendum erit, ut se excipiant καὶ οὐ δίδωσιν. Vulgatum retineri poterit, ubi cum Reiskio ξυγχωρεῖ scripseris 3 εἰ] οἱ M. Sed locum apparet aut corruptum esse aut mutilum. Fortasse ἀλλ' excidit ante οὐδὲ γάρ. De verborum positura cf. 64 A 76 A 85 D 69 B 174 D et ad 66 B 6 ἥδε V] ἤδὲ 7 τινι om. V. Scribendum esse censeo: οὐδὲν ἐκέλευσεν οὔτε ἄλλο ποτὲ οὔτε κτλ. Atque ἐκέλευσεν quidem Reiskio post ἐπαγαγεῖν deesse videbatur 11 ἔστιν H] ἐστιν | αὐτῇ V 13 ὑμῖν VM] ἡμῖν 14 ἐξαριθμησαίμην VM] ἐπαριθμησαίμην 15 πατρῷον VM] πρῶτον | κεῖνος V, 'κεῖνος M 20 μὴ add. M fl. Rectius vero etiam nunc mihi videtur quod olim conjiciebam: ἐπεὶ κἂν ὀνομαστὶ τοὺς ἄνδρας καταλέγοιμι

τῶν ἀλλοτρίων συγγράφειν ἀτυχημάτων. τοσούτων δὲ ἔργων μηδὲν παρασχέσθαι μηδὲ εἰς τὸ ἐμφανὲς ἄγειν τεκμήριον κενόν πως εἶναι δοκεῖ καὶ ἐς ἀπι- 116 στίαν ἄγειν τὸν ἔπαινον. οὐκοῦν ἐκεῖνα παραιτησάμενος, ὁπόσα γ' ἐμοί τε εἰπεῖν ἀνεπίφθονον ταύτῃ τε ἀκούειν καλὰ λέγοιμ' ἂν ἤδη. ἐπειδὴ γὰρ τὴν τοῦ γήμαντος εὔνοιαν τηλαυγέστατον πρόσωπον, κατὰ τὸν σοφὸν Πίνδαρον, ἀρχομένη τῶν ἔργων ἔθετο, γένος τε ἅπαν καὶ ξυγγενεῖς εὐθὺς ἐνέπλησε τιμῆς, τοὺς μὲν ἤδη γνωρίμους καὶ πρεσβυτέρους ἐπὶ μειζόνων τάττουσα πράξεων καὶ ἀποφήνασα μακαρίους καὶ ζηλωτοὺς βασιλεῖ τ' ἐποίησε· φίλους καὶ B τῆς εὐτυχίας τῆς παρούσης ἔδωκε τὴν ἀρχήν. καὶ γὰρ εἴ τῳ δοκοῦσιν, ὥσπερ οὖν ἀληθές, δι' αὐτοὺς τίμιοι, ταύτῃ γε οἶμαι προσθήσει τὸν ἔπαινον· δῆλον γὰρ ὅτι μὴ τῇ τοῦ γένους κοινωνίᾳ μόνον, πολὺ δὲ πλέον ἀρετῇ φαίνεται νέμουσα· οὗ μεῖζον οὐκ οἶδα ὅπως τις ἐγκώμιον ἐρεῖ. περὶ μὲν τούσδε γέγονε τοιάδε. ὅσοι δὲ ἀγνῶτες ἔτι διὰ νεότητα τοῦ C γνωρισθῆναι καὶ ὁπωσοῦν ἐδέοντο, τούτοις ἐλάττονας διένειμε τιμάς· ἀπέλιπε δὲ οὐδὲν εὐεργετοῦσα ξύμπαντας. καὶ οὐ τοὺς ξυγγενεῖς μόνον τοσαῦτα ἔδρα-

2 ἔργω V 3 κενόν Rsk. et Cob.] κοινόν. cf. ad 147 B et 248 A 4 ἄγει Cob. 5 γ' ἐμοί τε H] γέ μοι 6 ἤδη] ἃ δεῖ V 8 Πίνδαρον] Olymp. 6, 4 9 καὶ ξυγγενεῖς εὐθὺ V, εὐθὺς καὶ ξυγγενεῖς v 11 τάττουσα Rsk.] ἄγουσα. cf. 91 B 14 αὐτοὺς H] αὐτοὺς· 21 οὐδὲ V 22 τοὺς ξυγγενεῖς VM] τοῖς ξυγγενέσι | μόνον] μὲν scribit Cob. et deinde οὐκ ante ἀνόητον tollit. Quam ingeniosam conjecturam non dubitassem recipere, nisi viderem (quod Cobetus et Madvigius Synt. p. 215 negant) quum alios non raro tum Iulianum saepe δέ pro ἀλλά post οὐ μόνον ponere. Vid. paulo ante B 7 C 16 C 21 C 27 A 37 B 46 ABD 58 B 78 A 88 B 109 B 154 B, et cf. Ast. ad Plat. Legg. p. 123 et Stallbaum. ad Plat. Legg. V 747 D

σεν ἀγαθά, ξενίαν δὲ ὅτῳ πρὸς τοὺς ἐκείνης πατέρας ὑπάρξασαν ἔγνω, οὐκ ἀνόνητον ἀφῆκε τοῖς κτησαμένοις, τιμᾷ δὲ οἶμαι καὶ τούτους καθάπερ ξυγγενεῖς, καὶ ὅσους τοῦ πατρὸς ἐνόμισε φίλους, ἅπασιν ἔνειμε
D τῆς φιλίας ἔπαθλα θαυμαστά. ἐγὼ δέ, ἐπειδή μοι τεκμηρίων καθάπερ ἐν δικαστηρίῳ τὸν λόγον ὁρῶ δεόμενον, αὐτὸς ὑμῖν ἐμαυτὸν τούτων ἐκείνων μάρτυρα καὶ ἐπαινέτην παρέξομαι· ἀλλ' ὅπως μου μή ποτε ὑπιδόμενοι τὴν μαρτυρίαν πρὶν ἐπακοῦσαι τῶν λόγων διαταράττησθε, ὄμνυμι ὑμῖν, ὡς οὐδὲν ψεῦδος οὐδὲ πλάσμα ἐρῶ· ὑμεῖς δὲ καὶ ἀνωμότῳ πιστεύσετε
117 πάντως οὐ κολακείας ἕνεκα λέγοντι. ἔχω γὰρ ἤδη τοῦ θεοῦ διδόντος καὶ τοῦ βασιλέως ἅπαντα τὰ ἀγαθά, αὐτοῦ τε οἶμαι καὶ αὐτῆς ταύτης ξυμπροθυμουμένης, ὑπὲρ ὧν ἄν τις κολακεύων ἅπαντα ἀφείη ῥήματα, ὥστε, εἰ μὲν πρὸ τούτων ἔλεγον, ἴσως ἐχρῆν ὀρρωδεῖν τὴν ἄδικον ὑποψίαν· νῦν δὲ ἐν ταύτῃ γεγονὼς τῇ τύχῃ καὶ ἀπομνημονεύων τῶν ἐκείνης εἰς ἐμαυτὸν ἔργων παρέξομαι ὑμῖν εὐγνωμοσύνης μὲν ἐμαυτοῦ σημεῖον, μαρτύριον δὲ ἀληθὲς
B τῶν ἐκείνης ἔργων. πυνθάνομαι γὰρ δὴ καὶ Δαρεῖον, ἕως ἔτι δορυφόρος ἦν τοῦ Περσῶν μονάρχου, τῷ Σαμίῳ ξένῳ περὶ τὴν Αἴγυπτον συμβαλεῖν φεύγοντι τὴν αὑτοῦ, καὶ λαβόντα φοινικίδα τινὰ δῶρον,

2 ἀνόνητον VM] ἀνόητον 7 ἐκείνων] ἐκείνῳ (sc. τῷ λόγῳ) H, ἱκανὸν B. Friederich 9 ὑπιδόμενοι Cob.] ὑπειδόμενοι 10 διαταράττησθε V] διαταράττοισθε 11 πιστεύσατε V, κἂν ἀνωμότῳ ἐπιστεύσατε πάντα — λέγειν Cob. 12 πάντως V] πάντα 14 αὐτοῦ τε] αὐτῆς τε V | ταύτης om. M. Scribendum mihi videtur αὐτῆς γε οἶμαι καὶ ταύτης ξυμπροθυμουμένης 16 ἀφείη H et Cob.] ἀφίῃ (ἀφίει M) 19 εὐγνωμοσύνης V] τῆς εὐγνωμοσύνης 23 συμβαλεῖν V] ξυμβαλεῖν 24 σαυτοῦ VM

σφόδρα ἐπεθύμει, τὴν Σαμίων ὕστερον ἀντιδοῦ- .ι τυραννίδα, ὁπηνίκα οἶμαι τῆς Ἀσίας ἀπάσης ριος κατέστη. εἰ δὴ οὖν καὶ αὐτὸς πολλὰ μὲν αρ' αὐτῆς, ὅτε ἔτι ζῆν ἐξῆν ἐν ἡσυχίᾳ, τὰ μέγιστα ὲ δι' αὐτὴν παρὰ τοῦ γενναίου καὶ μεγαλόφρονος C ασιλέως λαβὼν ὁμολογοίην τοῦ μὲν ἀντιδοῦναι τὴν ην λείπεσθαι· ἔχει γὰρ οἶμαι ξύμπαντα παρ' αὐ- οῦ τοῦ καὶ ἡμῖν χαρισαμένου λαβοῦσα· τῷ βούλεσθαι δὲ τὴν μνήμην ἀθάνατον αὐτῇ τῶν ἔργων γενέσθαι καὶ ἐς ὑμᾶς ταῦτα ἀπαγγέλλειν· τυχὸν οὐκ ἀγνωμονέστερος φανοῦμαι τοῦ Πέρσου, εἴπερ εἰς τὴν γνώμην ὁρῶντα χρὴ κρίνειν, ἀλλ' οὐχ ὅτῳ παρέσχεν ἡ τύχη πολλαπλάσιον ἀποτῖσαι τὸ εὐεργέτημα. τί ποτε οὖν ἐγὼ τοσοῦτον εὖ παθεῖν φημι καὶ ἀνθ' D ὅτου τὸν ἅπαντα χρόνον ὑπόχρεων ἐμαυτὸν εἶναι χάριτος ὁμολογῶ τῇδε, σφόδρα ὥρμησθε ἀκούειν. ἐγὼ δὲ οὐκ ἀποκρύψομαι· ἐμοὶ γὰρ βασιλεὺς οὑτοσὶ σχεδὸν ἐκ παιδὸς νηπίου γεγονὼς ἤπιος πᾶσαν ὑπερεβάλλετο φιλοτιμίαν, κινδύνων τε ἐξαρπάσας τηλικούτων, οὓς οὐδ' ἂν ἡβῶν ἀνὴρ εὖ μάλα διαφύγοι, 118 μὴ θείας τινὸς καὶ ἀμηχάνου σωτηρίας τυχών, εἶτα τὴν οἰκίαν καταληφθεῖσαν καθάπερ ἐπ' ἐρημίας παρά του τῶν δυναστῶν ἀφείλετο ξὺν δίκῃ καὶ ἀπέφηνεν αὖθις πλούσιον. καὶ ἄλλα ἂν ἔχοιμι περὶ αὐτοῦ πρὸς ὑμᾶς εἰπεῖν εἰς ἐμαυτὸν ἔργα πολλῆς ἄξια χάριτος, ὑπὲρ ὧν τὸν ἅπαντα χρόνον εὔνουν ἐμαυτὸν

2 ἀπάσης V] πάσης 3 οὖν add. V 9 αὐτῇ V] ἐν αὐτῇ 13 ἀποτῖσαι H] ἀποτίσαι 14 τοσοῦτον H et Cob.] τοιοῦτον 18 ἤπιος VM pet. 19 τε V] δὲ | ἐξαρπάσας H] ἐξαρπάσαι V, ἐξήρπασε v 20 οὐδ' ἂν H] οὐδὲ | διαφύγη (οι superscr.) V, διαφύγη M 22 καταληφθεῖσαν VM] καταλειφθεῖσαν

ἐκείνῳ καὶ πιστὸν παρέχων οὐκ οἶδα ἐκ τίνος αἰ-
B τίας τραχυτέρως ἔχοντος ᾐσθόμην ἔναγχος. ἡ δὲ
ἐπειδὴ τὸ πρῶτον ἤκουσεν ἀδικήματος μὲν οὐδενὸς
ὄνομα, ματαίας δὲ ἄλλως ὑποψίας, ἠξίου διελέγχειν
καὶ μὴ πρότερον προσέσθαι μηδὲ ἐνδέξασθαι ψευδῆ
καὶ ἄδικον διαβολήν, καὶ οὐκ ἀνῆκε ταῦτα δεομένη
πρὶν ἐμὲ ἤγαγεν ἐς ὄψιν τὴν βασιλέως καὶ τυχεῖν
ἐποίησε λόγου· καὶ ἀπολυομένῳ πᾶσαν αἰτίαν ἄδικον
συνήσθη, καὶ οἴκαδε ἐπιθυμοῦντι πάλιν ἀπιέναι πομ-
C πὴν ἀσφαλῆ παρέσχεν, ἐπιτρέψαι πρῶτον τὸν βασιλέα
ξυμπείσασα. δαίμονος δέ, ὅσπερ οὖν ἐῴκει μοι τὰ
πρόσθεν μηχανήσασθαι, ἤ τινος ξυντυχίας ἀλλοκότου
τὴν ὁδὸν ταύτην ὑποτεμομένης, ἐποψόμενον πέμπει
τὴν Ἑλλάδα, ταύτην αἰτήσασα παρὰ βασιλέως ὑπὲρ
ἐμοῦ καὶ ἀποδημοῦντος ἤδη τὴν χάριν, ἐπειδή με
λόγοις ἐπέπυστο χαίρειν καὶ παιδείᾳ τὸ χωρίον ἐπι-
τήδειον εἶναι ξυννοοῦσα. ἐγὼ δὲ τότε μὲν αὐτῇ καὶ
D πρώτῳ γε, ὡς εἰκός, βασιλεῖ πολλὰ καὶ ἀγαθὰ δι-
δόναι τὸν θεὸν ηὐχόμην, ὅτι μοι τὴν ἀληθινὴν
ποθοῦντι καὶ ἀγαπῶντι πατρίδα παρέσχον ἰδεῖν·
ἐσμὲν γὰρ τῆς Ἑλλάδος οἱ περὶ τὴν Θρᾴκην καὶ τὴν
Ἰωνίαν οἰκοῦντες ἔγγονοι, καὶ ὅστις ἡμῶν μὴ λίαν
ἀγνώμων, ποθεῖ προσειπεῖν τοὺς πατέρας καὶ τὴν
χώραν αὐτὴν ἀσπάσασθαι. ὃ δὴ καὶ ἐμοὶ πάλαι μὲν
ἦν, ὡς εἰκός, ποθεινόν, καὶ ὑπάρξαι μοι τοῦτο ἐβου-
119 λόμην μᾶλλον ἢ πολὺ χρυσίον καὶ ἀργύριον. ἀν-
δρῶν γὰρ ἀγαθῶν φημι ξυντυχίαν πρὸς χρυσίου
πλῆθος ὁσονδηοῦν ἐξεταζομένην καθέλκειν τὸν ζυγὸν

1 ἔκ τινος V 5 πρόσεσθαι V | ἐνδείξασθαι V spanh. 7 ἐς V] εἰς 11 ὥσπερ V 16 ἐπέπειστο M pet. 18 πρώτῳ V] πρῶτα 22 ἔγγονοι V] ἔκγονοι 28 ὁσονδηοῦν] ὅσον δὴ οὖν

καὶ οὐκ ἐπιτρέπειν τῷ σώφρονι κριτῇ οὐδὲ ἐπ' ὀλίγον ῥοπῆς ἐπιστῆσαι. παιδείας δὲ ἕνεκα καὶ φιλοσοφίας πέπονθεν οἶμαι νῦν τὰ τῆς Ἑλλάδος παραπλήσιόν τι τοῖς Αἰγυπτίοις μυθολογήμασι καὶ λόγοις. λέγουσι γὰρ δὴ καὶ Αἰγύπτιοι τὸν Νεῖλον παρ' αὐτοῖς εἶναι τά τ' ἄλλα σωτῆρα καὶ εὐεργέτην τῆς B χώρας καὶ ἀπείργειν αὐτοῖς τὴν ὑπὸ τοῦ πυρὸς φθοράν, ὁπόταν ἥλιος διὰ μακρῶν τινων περιόδων ἄστροις γενναίοις συνελθὼν ἢ συγγενόμενος ἐμπλήσῃ τὸν ἀέρα πυρὸς καὶ ἐπιφλέγῃ τὰ σύμπαντα. οὐ γὰρ ἰσχύει, φασίν, ἀφανίσαι οὐδὲ ἐξαναλῶσαι τοῦ Νείλου τὰς πηγάς. οὔκουν οὐδὲ ἐξ Ἑλλήνων παντελῶς οἴχεται φιλοσοφία, οὐδὲ ἐπέλιπε τὰς Ἀθήνας οὐδὲ τὴν C Σπάρτην οὐδὲ τὴν Κόρινθον· ἥκιστα δέ ἐστι (τούτων) τῶν πηγῶν ἔκητι τὸ Ἄργος πολυδίψιον· πολλαὶ μὲν γὰρ ἐν αὐτῷ τῷ ἄστει, πολλαὶ δὲ καὶ πρὸ τοῦ ἄστεος περὶ τὸν παλαιὸν ἐκεῖνον Μάσητα· τὴν Πειρήνην δὲ αὐτὴν ὁ Σικυὼν ἔχει καὶ οὐχ ἡ Κόρινθος. τῶν Ἀθηνῶν δὲ πολλὰ μὲν καὶ καθαρὰ καὶ ἐπιχώρια τὰ νάματα, πολλὰ δὲ ἔξωθεν ἐπιρρεῖ καὶ ἐπιφέρεται τίμια τῶν ἔνδον οὐ μεῖον· οἱ δὲ ἀγαπῶσι καὶ στέργουσι, πλουτεῖν ἐθέλοντες οὗ μόνου σχεδὸν ὁ πλοῦτος D ζηλωτόν.

Ἡμεῖς δὲ τί ποτε ἄρα πεπόνθαμεν; καὶ τίνα νῦν διαπεραίνειν οἰόμεθα λόγον, εἰ μὴ τῆς φίλης Ἑλλάδος ἔπαινον (, ἧς) οὐκ ἔστι μνησθέντα μὴ

2 ῥοπῆς] F. ῥοπῆς πέρι 6 τά τ' ἄλλα Rsk. et H] τἄλλα (τἀλλα V) 9 ἐμπλήσῃ V] ἐμπλήσειε 10 ἐπιφλέγῃ H] ἐπιφλέγοι (ἐπιφλέγει V) 12 οὔκουν H] οὐκ οὖν 14 τούτων add. Rsk. 18 ὁ Σικυὼν V] ἡ Σικυών 22 μόνου V] μόνον 25 Post διαπεραίνειν fortasse δεῖν excidit. Malim vero scribere περαίνειν διανοούμεθα 26 ἧς add. Horkelius

πάντα θαυμάζειν; ἀλλ' οὐ φήσει τις τυχὸν ὑπομνησθεὶς τῶν ἔμπροσθεν ταῦτα ἐθέλειν ἡμᾶς ἐξ ἀρχῆς διελθεῖν, καθάπερ δὲ τοὺς Κορυβαντιῶντας ὑπὸ τῶν αὐλῶν ἐπεγειρομένους χορεύειν καὶ πηδᾶν οὐδενὶ
120 ξὺν λόγῳ, καὶ ἡμᾶς ὑπὸ τῆς μνήμης τῶν παιδικῶν ἀνακινηθέντας ᾆσαι τῆς χώρας καὶ τῶν ἀνδρῶν ἐγκώμιον. πρὸς δὴ τοῦτον ἀπολογεῖσθαι χρεὼν ὧδέ πως λέγοντα· ὦ δαιμόνιε καὶ τέχνης ἀληθῶς γενναίας ἡγεμών, σοφὸν μὲν χρῆμα ἐπινοεῖς, οὐκ ἐφιεὶς οὐδὲ ἐπιτρέπων τῶν ἐπαινουμένων οὐδὲ ἐπὶ σμικρὸν μεθίεσθαι, ἅτε αὐτὸς οἶμαι ξὺν τέχνῃ τοῦτο δρῶν. ἡμῖν δὲ τὸν ἔρωτα τοῦτον, ὃν σὺ φῂς αἴτιον εἶναι
B τῆς ἐν τοῖς λόγοις ἀταξίας, ἐπειδὴ προσγέγονεν, οἶμαι παρακελεύεσθαι μὴ σφόδρα ὀκνεῖν μηδὲ εὐλαβεῖσθαι τὰς αἰτίας. οὐ γὰρ ἀλλοτρίων ἡψάμεθα λόγων δεῖξαι ἐθέλοντες, ὅσων ἡμῖν ἀγαθῶν αἰτία γέγονε τιμῶσα τὸ φιλοσοφίας ὄνομα. τοῦτο δὲ οὐκ οἶδα ὅντινά μοι τρόπον ἐπικείμενον ἀγαπήσαντι μὲν εὖ μάλα τὸ ἔργον καὶ ἐρασθέντι δεινῶς τοῦ πράγματος, ἀπολειφθέντι δὲ οὐκ οἶδα ὅντινα τρόπον ὄνομα
C ἐτύγχανε μόνον καὶ λόγος ἔργου στερόμενος. ἡ δὲ ἐτίμα καὶ τοὔνομα· αἰτίαν γὰρ δὴ ἄλλην οὔτε αὐτὸς εὑρίσκω οὔτε ἄλλου του πυθέσθαι δύναμαι, δι' ἣν οὕτω μοι πρόθυμος γέγονε βοηθὸς καὶ ἀλεξίκακος καὶ σώτειρα, τὴν τοῦ γενναίου βασιλέως εὔνοιαν ἀκέραιον ἡμῖν καὶ ἀσινῆ μένειν ξὺν πολλῷ πόνῳ

2 ἐθέλειν] καλῶς ἔχειν Rsk., εὖ ἔχειν H 3 et 4 τῶν ἄλλων V 5 οὕτω ante καὶ ἡμᾶς non est adjiciendum; vid. 247 B et Epist. 58 p. 111 Heyl. 10 τὸν ἐπαινούμενον V 11 αὐτός V] αὐτοῖς M, αὐτὸ v 13 προσγέγονεν M] πρᾶος γέγονεν 15 ἡψάμεθα] ἡττώμεθα V 16 γέγονε V] γέγονεν 18 μὲν Cob.] δὲ 23 ἄλλου του VM] ἄλλου τοῦ

πραγματευσαμένη, ἧς μεῖζον ἀγαθὸν οὔποτε ἐγώ τι
τῶν ἀνθρωπίνων νομίσας ἑάλων, οὐ τὸν ἐπὶ γῆς καὶ
ὑπὸ γῆς χρυσὸν ἀντάξιον οὐδ' ἀργύρου πλῆθος, D
ὁπόσος νῦν ἐστιν ὑπ' αὐγὰς ἡλίου, καὶ εἴ ποτε ἄλ-
λος προσγένοιτο, τῶν μεγίστων ὁρῶν αὐταῖς οἶμαι
πέτραις καὶ δένδρεσι μεταβαλλόντων εἰς τήνδε τὴν
φύσιν, οὐδὲ ἀρχὴν τὴν μεγίστην οὐδὲ ἄλλο τῶν
πάντων οὐδέν· ἐκ μὲν γὰρ δὴ 'κείνης ταῦτά μοι
γέγονε πολλὰ καὶ ὅσα οὐδεὶς ἂν ἤλπισεν, οὐ σφόδρα
πολλῶν δεομένῳ γε οὐδὲ ἐμαυτὸν ἐλπίσι τοιαύταις
τρέφοντι. εὔνοιαν δὲ ἀληθινὴν οὐκ ἔστι πρὸς χρυ-
σίον ἀμείψασθαι, οὐδὲ ἄν τις αὐτὴν ἐντεῦθεν πρί-
αιτο, θείᾳ δέ τινι καὶ κρείττονι μοίρᾳ ἀνθρώπων 121
ἀγαθῶν συμπροθυμουμένων . . . ὃ δὴ καὶ ἐμοὶ παρὰ
βασιλέως παιδὶ μὲν ὑπῆρχε κατὰ θεόν, ὀλίγου δὲ
οἴχεσθαι δεῆσαν ἀπεσώθη πάλιν τῆς βασιλίδος ἀμυ-
νούσης καὶ ἀπειργούσης τὰς ψευδεῖς καὶ ἀλλοκότους
ὑποψίας. ἃς ἐπειδὴ παντελῶς ἐκείνη διέλυσεν, ἐναρ-
γεῖ τεκμηρίῳ τῷ βίῳ τὠμῷ χρωμένη, καλοῦντός τε
αὖθις τοῦ βασιλέως ἀπὸ τῆς Ἑλλάδος ὑπήκουον, B
ἆρα ἐνταῦθα κατέλιπεν, ὡς οὐκέτι πολλῆς βοηθείας,
ἅτε οὐδενὸς ὄντος ἐν μέσῳ δυσχεροῦς οὐδὲ ὑπόπτου,
δεόμενον; καὶ πῶς ἂν ὅσια δρῴην οὕτως ἐναργῆ
καὶ σεμνὰ σιωπῶν καὶ ἀποκρύπτων; κυρουμένης τε

1 οὔποτε V] οὐπώποτε 2 ἐπὶ γῆς V] ὑπὸ γῆν v et M m. s., ὑπὸ γῆς M m. pr. 3 ὑπὸ γῆς V] ἐπὶ γῆς. cf. ad 81 A | οὐδ' V] οὐδὲ 4 ὁπόσος VM] ὁπόσον | ἐστιν VM] ἐστι | ἄλλος VM] ἄλλο 6 μεταβαλλόντων V fl.] μεταβαλόντων 8 πάντων V] ἁπάντων | κείνης VM] ἐκείνης | μοι add. V 10 γε] τε V 11 πρὸς χρυσίον V] χρυσίου 14 Deest aliquid velut παραγίγνεται, ut Reiskio videtur 15 ὑπῆρχε V] ὑπῆρξε 19 τω μῷ M | τε M] γε V, δὲ v 21 ἆρα V] ἄρα

γὰρ ἐπ' ἐμοὶ τοῦ βασιλέως ταυτησὶ τῆς γνώμης δια-
φερόντως ηὐφραίνετο καὶ συνεπήχει μουσικόν, θαρ-
ρεῖν κελεύουσα καὶ μήτε τὸ μέγεθος δείσαντα τῶν
διδομένων ἀρνεῖσθαι τὸ λαβεῖν, μήτε ἀγροίκῳ καὶ
C [λίαν] αὐθάδει χρησάμενον παρρησίᾳ φαύλως ἀτι-
μάσαι τοῦ τοσαῦτα ἐργασαμένου ἀγαθὰ τὴν ἀνα-
γκαίαν αἴτησιν. ἐγὼ δὲ ὑπήκουον οὔτι τοῦτό γε
ἡδέως σφόδρα ὑπομένων, ἄλλως δὲ ἀπειθεῖν χαλε-
πὸν ὂν σφόδρα ἠπιστάμην. οἷς γὰρ ἂν ἐξῇ πράτ-
τειν ὅ,τι ἂν ἐθέλωσι σὺν βίᾳ, ἢ που δεόμενοι
δυσωπεῖν καὶ πείθειν ἀρκοῦσιν. οὐκοῦν ἐπειδή μοι
πεισθέντι γέγονε καὶ μεταβαλόντι ἐσθῆτα καὶ θερα-
D πείαν καὶ διατριβὰς τὰς συνήθεις καὶ τὴν οἴκησιν
δὲ αὐτὴν καὶ δίαιταν πάντα ὄγκου πλέα καὶ σεμνό-
τητος ἐκ μικρῶν, ὡς εἰκός, καὶ φαύλων τῶν πρό-
σθεν, ἐμοὶ μὲν ὑπὸ ἀηθείας ἡ ψυχὴ διεταράττετο,
οὔτι τὸ μέγεθος ἐκπληττομένῳ τῶν παρόντων ἀγα-
θῶν· σχεδὸν γὰρ ὑπὸ ἀμαθίας οὐδὲ μεγάλα ταῦτα
ἐνόμιζον, ἀλλὰ δυνάμεις τινὰς χρωμένοις μὲν ὀρθῶς
σφόδρα ὠφελίμους, ἁμαρτάνουσι δὲ περὶ τὴν χρῆσιν
122 βλαβερὰς καὶ οἴκοις καὶ πόλεσι πολλαῖς μυρίων αἰ-
τίας ξυμφορῶν. παραπλήσια δὲ ἐπεπόνθειν ἀνδρὶ
σφόδρα ἀπείρως ἡνιοχικῆς ἔχοντι καὶ οὐδὲ ἐθελή-
σαντι ταύτης μεταλαβεῖν τῆς τέχνης, κᾆτα ἀναγκαζο-
μένῳ καλοῦ καὶ γενναίου κομίζειν ἅρμα ἡνιόχου,
πολλὰς μὲν ξυνωρίδας, πολλὰ δὲ οἶμαι τέτρωρα τρέ-
φοντος καὶ ἅπασι μὲν ἐπιβεβηκότος, διὰ ⟨δὲ⟩ γεν-

4 διδομένων H] δεδομένων. cf. 265 B 276 D 434 B 5 λίαν om. V 6 τοῦ — ἐργασαμένου Rsk. H Cob.] τὸν (τὸ M) — ἐργασάμενον 10 ἢ που V 12 μεταβαλόντι Rsk.] μεταβαλὼν 22 παραπλήσιον V 24 κᾆτα Cob.] κα εἶτα V, εἶτα v 27 δὲ add. H

ναιότητα φύσεως καὶ ῥώμην ὑπερβάλλουσαν ἔχοντος οἶμαι τὰς ἡνίας πάντων ἐγκρατῶς, εἰ καὶ ἐπὶ τῆς B μιᾶς ἄντυγος βαίνοι, οὐ μὴν ἀεί γε ἐπ' αὐτῆς μένοντος, μεταφερομένου δὲ πολλάκις ἐνθένδε ἐκεῖσε καὶ ἀμείβοντος δίφρον ἐκ δίφρου, εἴ ποτε τοὺς ἵππους πονουμένους ἢ καὶ ὑβρίσαντας αἴσθοιτο, ἐν δὲ δὴ τοῖς ἅρμασι τοῖσδε κεκτημένου τέτρωρον ὑπὸ ἀμαθίας καὶ θράσους ὑβρίζον, πιεζόμενον τῇ συνεχεῖ ταλαιπωρίᾳ καὶ τοῦ θράσους οὐδέν τι μᾶλλον ἐπιλαθόμενον, ἀγριαῖνον δὲ ἀεὶ καὶ παροξυνόμενον ὑπὸ τῶν συμφορῶν ἐπὶ τὸ μᾶλλον ὑβρίζειν καὶ ἀπειθεῖν C καὶ ἀντιτείνειν, οὐ δεχόμενον ἄλλως ἐπὶ τὸν ἡνίοχον πορεύεσθαι, ἀλλ' εἰ μὴ καὶ αὐτὸν ὁρῴη διὰ τέλους χαλεπαῖνον ἤ, τό γε ἔλαττον, στολὴν γοῦν ἡνιοχικὴν ἄνθρωπον φέροντα· οὕτως ἐστὶν ἀλόγιστον φύσει. ὁ δὲ οἶμαι παραμυθούμενος αὐτοῦ τὴν ἄνοιαν ἄνδρα ἐπέστησε, δοὺς φέρειν τοιαύτην ἐσθῆτα καὶ σχῆμα περιβαλὼν ἡνιόχου σεμνοῦ καὶ ἐπιστήμονος, ὃς εἰ D μὲν ἄφρων εἴη παντελῶς καὶ ἀνόητος, χαίρει καὶ γέγηθε καὶ μετέωρος ὑπὸ τῶν ἱματίων καθάπερ πτερῶν ἐπαίρεται, συνέσεως δὲ εἰ καὶ ἐπὶ σμικρὸν μετέχοι καὶ σώφρονος νοῦ, σφόδρα εὐλαβεῖται,

Μήπως αὐτόν τε τρώσῃ σύν θ' ἅρματα ἄξῃ,

καὶ τῷ μὲν ἡνιόχῳ ζημίας, αὐτῷ δὲ αἰσχρᾶς καὶ

2 ἐγκρατῶς πάντων (β α) V 3 βαίνοι] μαίνοι M, μένοι pet. 4 ἐνθένδε H] ἔνθεν. cf. ad 132 B 12-14 „Οὐ δεχόμενον ἀμῶς γέ πῃ πορεύεσθαι, ἀλλ', εἰ μὴ καὶ αὐτὸν ὁρῴη τὸν ἡνίοχον, διὰ τέλους χαλεπαῖνον.“ Rsk. 14 χαλεπαῖνον V] χαλεπαίνων M, χαλεπαίνοντα v | γοῦν H et Cob.] οὖν 15 φοροῦντα et paulo post φορεῖν scripsisse Iulianus videtur 17 τοιαύτην V] τὴν τοιαύτην 23 Iliad. ψ, 341 | αὐτόν] αὐτόν | ἄξῃ V m. s.; pr. manus scripsit fortasse ει pro η, certe ε

ἀδόξου συμφορᾶς αἴτιος γένηται. ταῦτα ἐγὼ ἐλογι-
ζόμην ἐν νυκτὶ βουλεύων καὶ δι' ἡμέρας κατ' ἐμαυ-
123 τὸν ἐπισκοπούμενος, σύννους ὢν ἀεὶ καὶ σκυθρωπός.
ὁ γενναῖος δὲ καὶ θεῖος ἀληθῶς αὐτοκράτωρ ἀφῄρει
τι πάντως τῶν ἀλγεινῶν, ἔργοις καὶ λόγοις τιμῶν
καὶ χαριζόμενος. τέλος δὲ τὴν βασιλίδα προσειπεῖν
κελεύει, θάρσος τε ἡμῖν ἐνδιδοὺς καὶ τοῦ σφόδρα
πιστεύειν γενναῖον εὖ μάλα παρέχων γνώρισμα. ἐγὼ
δὲ ἐπειδὴ πρῶτον ἐς ὄψιν ἐκείνης ἦλθον, ἐδόκουν
μὲν ὥσπερ ἐν ἱερῷ καθιδρυμένον ἄγαλμα σωφροσύ-
B νης ὁρᾶν· αἰδὼς δὲ ἐπεῖχε τὴν ψυχήν, καὶ ἐπέπηκτό
μοι κατὰ γῆς τὰ ὄμματα συχνὸν ἐπιεικῶς χρόνον,
ἕως ἐκείνη θαρρεῖν ἐκέλευε. καὶ Τὰ μέν, ἔφη, ἤδη
παρ' ἡμῶν ἔχεις, τὰ δὲ καὶ ἕξεις σὺν θεῷ, μόνον
εἰ πιστὸς καὶ δίκαιος εἰς ἡμᾶς γένοιο. τοσαῦτα
ἤκουσα σχεδόν· οὐδὲ γὰρ αὐτὴ πλεῖον ἐφθέγξατο,
καὶ ταῦτα ἐπισταμένη τῶν γενναίων ῥητόρων οὐδὲ
ἓν φαυλοτέρους ἀπαγγέλλειν λόγους. ταύτης ἐγὼ τῆς
ἐντεύξεως ἀπαλλαγεὶς σφόδρα ἐθαύμασα καὶ ἐξεπε-
C πλήγμην, ἐναργῶς δοκῶν ἀκηκοέναι σωφροσύνης αὐ-
τῆς φθεγγομένης· οὕτω πρᾷον ἦν αὐτῇ φθέγμα καὶ
μείλιχον, ταῖς ἐμαῖς ἀκοαῖς ἐγκαθιδρυμένον. βού-
λεσθε οὖν τὰ μετὰ ταῦτα πάλιν ἔργα καὶ ὅσα ἔδρα-
σεν ἡμᾶς ἀγαθὰ καθ' ἕκαστον λεπτουργοῦντες ἀπαγ-
γέλλωμεν; ἢ τά γε ἐντεῦθεν ἀθρόως ἑλόντες, καθάπερ
ἔδρασεν αὕτη, πάντα ὁμοῦ διηγησώμεθα; ὁπόσους
D μὲν εὖ ἐποίησε τῶν ἐμοὶ γνωρίμων, ὅπως δὲ ἐμοὶ

3 ἐπισκοπούμενος VM] περισκοπούμενος | ὢν om. V 7 τε] δέ τε V 9 ἐς VM] εἰς 13 et 14 παρ' ἡμῶν ἤδη V 15 ταῦτα V 16 πλεῖον] πλείονα H; vid. ad 152 A 25 τά γε H] τό γε 26 Malim αὐτή | διηγησώμεθα Cob.] διηγησόμεθα

τοῦ βασιλέως τὸν γάμον ἥρμοσεν. ὑμεῖς δὲ
ποθεῖτε καὶ τὸν κατάλογον ἀκούειν τῶν δώρων,

Ἑπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα

λέβητας ἐείκοσιν. ἀλλ' οὔ μοι σχολὴ περὶ τῶν
ούτων ἀδολεσχεῖν· ἑνὸς δὲ ἴσως τῶν ἐκείνης δώ-
ν τυχὸν οὐκ ἄχαρι καὶ εἰς ὑμᾶς ἀπομνημονεῦσαι,
μοι δοκῶ καὶ αὐτὸς [σφόδρα] ἡσθῆναι διαφερόν-
ς· βίβλους γὰρ φιλοσόφων καὶ ξυγγραφέων ἀγα-
ῶν καὶ ῥητόρων πολλῶν καὶ ποιητῶν, ἐπειδὴ παν- 124
τελῶς ὀλίγας οἴκοθεν ἔφερον, ἐλπίδι καὶ πόθῳ τοῦ
πάλιν οἴκαδε ἐπανελθεῖν τὴν ταχίστην ψυχαγωγού-
μενος, ἔδωκεν ἀθρόως τοσαύτας, ὥστε ἐμοῦ μὲν ἀπο-
πλῆσαι τὴν ἐπιθυμίαν σφόδρα ἀκορέστως ἔχοντος
τῆς πρὸς ἐκεῖνα συνουσίας, μουσεῖον δὲ Ἑλληνικὸν
ἀποφῆναι βιβλίων ἕκητι τὴν Γαλατίαν καὶ τὴν Κελ-
τίδα. τούτοις ἐγὼ προσκαθήμενος συνεχῶς τοῖς δώ-
ροις, εἴ ποτε σχολὴν ἄγοιμι, οὐκ ἔστιν ὅπως ἐπιλαν- B
θάνωμαι τῆς χαρισαμένης· ἀλλὰ καὶ στρατευομένῳ
μοι ἕν γέ τι πάντως ἕπεται οἷον ἐφόδιον τῆς στρα-
τείας πρὸς αὐτόπτου πάλαι ξυγκείμενον. πολλὰ γὰρ
δὴ τῆς τῶν παλαιῶν [ἔργων] ἐμπειρίας ὑπομνήματα
ξὺν τέχνῃ γραφέντα τοῖς ἁμαρτοῦσι διὰ τὴν ἡλικίαν
τῆς θέας ἐναργῆ καὶ λαμπρὰν εἰκόνα φέρει τῶν πάλαι
πραχθέντων, ὑφ' ἧς ἤδη καὶ νέοι πολλοὶ γερόντων

3 Iliad. ι, 122 4 εἴκοσιν V 7 σφόδρα expungendum 8 ξυγγραφέων VM] συγγραφέων 14 ἐκεῖνα ferri potest, sed praestat Reiskii ἐκείνας | Ἑλληνικὸν H] Ἑλληνικῶν 17 ἐπιλανθάνωμαι Cob.] ἐπιλανθάνομαι 19 ἕν γέ τι VM] ἕν γέ τοι | στρατιᾶς V 20 αὐτόπτου Horkelius] αὐτό που 21 τῆς] τοῖς M pet. | ἔργων pet. non habet nisi ad marginem, et Rsk. malit abesse

μυρίων πολιὸν μᾶλλον ἐκτήσαντο τὸν νοῦν καὶ τὰς
C φρένας, καὶ τὸ δοκοῦν ἀγαθὸν ἐκ τοῦ γήρως ὑπάρ-
χειν τοῖς ἀνθρώποις μόνον, τὴν ἐμπειρίαν, δι' ἣν
ὁ πρεσβύτης ἔχει τι λέξαι τῶν νέων σοφώτερον,
τοῖς οὐ ῥᾳθύμοις τῶν νέων ἔδωκεν. ἔστι δὲ οἶμαί
τις ἐν αὐτοῖς καὶ παιδαγωγία πρὸς ἦθος γενναῖον,
εἴ τις ἐπίσταιτο τοὺς ἀρίστους ἄνδρας καὶ λόγους
καὶ πράξεις, οἷον ἀρχέτυπα προτιθέμενος δημιουργός,
πλάττειν ἤδη πρὸς ταῦτα τὴν αὑτοῦ διάνοιαν καὶ
ἀφομοιοῦν πρὸς τοὺς λόγους. ὧν εἰ μὴ πάμπληθες
D ἀπολειφθείη, τυγχάνοι δὲ καὶ ἐπ' ὀλίγον τῆς ὁμοιό-
τητος, οὐ σμικρὰ ἂν ὄναιτο, εὖ ἴστε. ὃ δὴ καὶ αὐ-
τὸς πολλάκις ξυννοῶν παιδιάν τε οὐκ ἄμουσον ἐν
αὐτοῖς ποιοῦμαι καὶ στρατευόμενος καθάπερ σιτία
φέρειν ἀναγκαῖα καὶ ταῦτα ἐθέλω· μέτρον δέ ἐστι
τοῦ πλήθους τῶν φερομένων ὁ καιρός. ἀλλὰ μή ποτε
οὐκ ἐκείνων χρὴ νῦν τὸν ἔπαινον γράφειν οὐδὲ ὅσα
ἡμῖν ἀγαθὰ γένοιτ' ἂν ἐνθένδε, ὁπόσου δὲ τὸ δῶρον
125 ἄξιον καταμαθόντας χάριν ἀποτίνειν τυχὸν οὐκ ἀλ-
λοτρίαν τοῦ δοθέντος τῇ χαρισαμένῃ. λόγων γὰρ
ἀστείων καὶ παντοδαπῶν θησαυροὺς τὸν ἐν ταῖς
βίβλοις δεξάμενον οὐκ ἄδικον διὰ σμικρῶν καὶ φαύ-
λων ῥημάτων ἰδιωτικῶς καὶ ἀγροίκως ἄγαν ξυγκει-
μένων ᾄδειν εὐφημίαν. οὐδὲ γὰρ γεωργὸν φήσεις
εὐγνώμονα, ὃς καταφυτεύειν μὲν τὴν φυταλιὰν ἀρ-
χόμενος κλήματα ᾔτει παρὰ τῶν γειτόνων, εἶτα ἐκ-
τρέφων τὰς ἀμπέλους δίκελλαν καὶ αὖθις σμινύην,

1 καὶ τὰς] F. ἢ καὶ τὰς   3 et 4 τὴν ἐμπειρίαν — σοφώτερον] Eurip. Phoen. 532   10 ἀφομοιῶν, ut videtur, V   11 τυγχάνοι V] τυγχάνει   13 παιδιάν Wytt.] παιδείαν. cf. 53 B   15 F. τἀναγκαῖα   21 τὸν Horkelius] τῶν   25 εὐδαίμονα V   27 σμιννύην V

καὶ τέλος ἤδη κάλαμον, ᾧ χρὴ προσδεδέσθαι καὶ B
ἐπικεῖσθαι τὴν ἄμπελον, ἵνα αὐτή τε ἀνέχηται καὶ
οἱ βότρυες ἐξηρτημένοι μηδαμοῦ ψαύωσι τῆς βώλου,
τυχόντα δὲ ὧν ἐδεῖτο μόνον ἐμπίπλασθαι τοῦ Διο-
νύσου τῆς χάριτος οὔτε τῶν βοτρύων οὔτε τοῦ
γλεύκους μεταδιδόντα τούτοις, ὧν πρὸς τὴν γεωρ-
γίαν ἔτυχε προθύμων. οὔκουν οὐδὲ νομέα ποιμνίων
οὐδὲ βουκολίων οὐδὲ μὴν αἰπολίων ἐπιεικῆ καὶ ἀγα-
θὸν καὶ εὐγνώμονα φήσει τις, ὃς τοῦ μὲν χειμῶνος,
ὅτε αὐτῷ στέγης καὶ πόας ἐδεῖτο τὰ βοσκήματα,
σφόδρα ἐτύγχανε προθύμων τῶν φίλων, πολλὰ μὲν C
αὐτῷ ξυμποριζόντων καὶ μεταδιδόντων τροφῆς ἀφθό-
νου καὶ καταγωγίων, ἦρος δὲ οἶμαι καὶ θέρους
φανέντος μάλα γενναίως ἐπιλαθόμενον ὧν εὖ πάθοι,
οὔτε τοῦ γάλακτος οὔτε τῶν τυρῶν οὔτε ἄλλου του
μεταδιδόντα τούτοις, ὑφ᾽ ὧν αὐτῷ διεσώθη ἀπολό-
μενα ἂν ἄλλως τὰ θρέμματα. ὅστις οὖν λόγους
ὁποιουσοῦν τρέφων νέος μὲν αὐτὸς καὶ ἡγεμόνων
πολλῶν δεόμενος, τροφῆς δὲ πολλῆς καὶ καθαρᾶς τῆς
ἐκ τῶν παλαιῶν γραμμάτων, εἶτα ἀθρόως πάντων D
δεηθείη, ἆρα ὑμῖν μικρᾶς δεῖσθαι βοηθείας δοκεῖ ἢ
μικρῶν αὐτῷ γεγονέναι ἄξιος ὁ πρὸς ταῦτα συλλαμ-
βανόμενος; καὶ τυχὸν οὐ χρὴ πειρᾶσθαι χάριν ἀπο-
τίνειν αὐτῷ τῆς προθυμίας καὶ τῶν ἔργων; ἀλλὰ

1 χρῆν VM 3 ἐξηρτημένοι VM] ἐπηρτημένοι 4 ἐμ-
πιμπλάμενον H, idem aut βουλόμενον ἐμπίμπλασθαι Rsk. 5
οὔτε bis H] οὐδὲ 7 οὔκουν M] οὐκοῦν 13 ἦρους VM
15 ἄλλού του VM] ἄλλου τοῦ 16 ἀπολόμενα Cob.] ἀπολλύ-
μενα 18 ἡγεμόνων Pet.] ἡγεμὼν 19 δὲ] τε H 20 πάν-
τως V 21 δεηθείη] στερηθείη Cob., ἐνδεηθείη vel ἐνδεὴς
εἴη H 22 γεγονέναι Cob.] γέγονεν. cf. 5 D | συλλαμβανό-
μενος V] συμβαλλόμενος 23 τυχὼν V, τυχόντα Rsk. | οὖ
χρὴ V

μή ποτε τὸν Θαλῆν ἐκεῖνον, τῶν σοφῶν τὸ κεφάλαιον, οὗ τὰ ἐπαινούμενα ἀκηκόαμεν; ἐρομένου γάρ 126 τινος, ὑπὲρ ὧν ἔμαθεν ὁπόσον τινὰ χρὴ καταβαλεῖν μισθόν· ὁμολογῶν, ἔφη, τὸ παρ' ἡμῶν μαθεῖν τὴν ἀξίαν ἡμῖν ἐκτίσεις. οὐκοῦν καὶ ὅστις διδάσκαλος μὲν αὐτὸς οὐ γέγονε, πρὸς τὸ μαθεῖν δὲ καὶ ὁτιοῦν συνηνέγκατο, ἀδικοῖτ' ἄν, εἰ μὴ τυγχάνοι τῆς χάριτος καὶ τῆς ἐπὶ τοῖς δοθεῖσιν ὁμολογίας, ἣν δὴ καὶ ὁ σοφὸς ἀπαιτῶν φαίνεται. εἶεν. ἀλλὰ τοῦτο μὲν χαρίεν καὶ σεμνὸν τὸ δῶρον· χρυσίον δὲ καὶ ἀργύριον οὔτε ἐδεόμην ἐγὼ λαβεῖν οὔτε ὑμᾶς δὴ ὑπὲρ B τούτων ἡδέως ἂν ἐνοχλήσαιμι. λόγον δὲ ὑμῖν εἰπεῖν ἐθέλω μάλα δή τινος ὑμῖν ἀκοῆς ἄξιον, εἰ μὴ τυγχάνομεν ἀπειρηκότες πρὸς τὸ μῆκος τῆς ἀδολεσχίας· τυχὸν γὰρ οὐδὲ τῶν ῥηθέντων ἠκρόασθε ξὺν ἡδονῇ ἅτε ἀνδρὸς ἰδιώτου καὶ σφόδρα ἀμαθοῦς λόγων, πλάττειν μὲν οὐδὲν οὐδὲ τεχνάζειν εἰδότος, φράζοντος δὲ ὅπως ἂν ἐπίῃ τἀληθές· ὁ δὲ δὴ λόγος σχεδόν τι περὶ τῶν παρόντων ἐστί. φήσουσι γὰρ οἶμαι C πολλοὶ παρὰ τῶν μακαρίων σοφιστῶν ἀναπειθόμενοι, ὅτι ἄρα μικρὰ καὶ φαῦλα πράγματα ἀναλεξάμενος ὡς δή τι σεμνὸν ὑμῖν ἀπαγγέλλω. τοῦτο δὲ οὐ φιλονεικοῦντες πρὸς τοὺς ἐμοὺς λόγους οὐδὲ ἐμὲ τῆς ἐπ' αὐτοῖς ἀφαιρεῖσθαι δόξης ἐθέλοντες ἴσως ἂν εἴποιεν· ἴσασι γὰρ σαφῶς, ὅτι μήτε ἀντίτεχνος εἶναι βούλομαι

1 θαλλῆν V | κεφάλαιον] „Deest verbum μιμητέον aut quid simile.“ Pet. 4 τὸ] τι Horkelius 7 τυγχάνοι H] τυγχάνει. cf. 124 D 10 χάριεν, ut solent, VM 11 οὔτε bis H] οὐδὲ 12 ἐνοχλήσαιμι Pet. in ed. fl. et Cob.] ὀχλήσαιμι 13 τινος] τι Cob. | τυγχάνετε Rsk. et H 15 γὰρ VM] δὲ | οὐδὲ M] οὐδὲν | ἠκρόασθε Cob.] ἀκροᾶσθε | ξὺν VM] σὺν 17 πλάττειν Rsk.] πλάζειν 19 τι add. V 21 ἀναλεξάμενος Cob.] ἀναδεξάμενος. cf. ἐπιλεξάμενοι 55 B

τοῖς ἐκείνων λόγοις τοὺς ἐμαυτοῦ παρατιθείς, μήτε
ἄλλως ἀπεχθάνεσθαι ἐκείνοις ἐθέλω· ἀλλ' οὐκ οἶδα
ὅντινα τρόπον τοῦ μεγάλα λέγειν ἐκ παντὸς ὀρεγό- D
μενοι χαλεπῶς ἔχουσι πρὸς τοὺς μὴ τἀκείνων ζηλοῦν-
τας καὶ δι' αἰτίας ἄγουσιν ὡς καθαιροῦντας τὴν τῶν
λόγων ἰσχύν. μόνα γὰρ εἶναι τῶν ἔργων ζηλωτά
φασι καὶ σπουδῆς ἄξια καὶ πολλῶν ἐπαίνων ὁπόσα
διὰ μέγεθος ἤδη τισὶν ἄπιστα ἐφάνη, ὁποῖα δή τινα
τὰ περὶ τῆς Ἀσσυρίας ἐκείνης γυναικός, ἣ μεταβα-
λοῦσα καθάπερ ῥεῖθρον εὐτελὲς τὸν διὰ τῆς Βαβυ-
λῶνος ποταμὸν ῥέοντα βασίλειά τε ᾠκοδόμησεν ὑπὸ
γῆς πάγκαλα καὶ μεθῆκεν ὑπὲρ τῶν χωμάτων αὖθις. 127
ὑπὲρ γὰρ δὴ ταύτης πολὺς μὲν λόγος, ὡς ἐναυμάχει
ναυσὶ τρισχιλίαις, καὶ πεζῇ παρετάττετο μυριάδας
ὁπλιτῶν τριακοσίας ἄγουσα, τό τε ἐν Βαβυλῶνι τεῖχος
ᾠκοδόμει πεντακοσίων σταδίων μικρὸν ἀποδέον, καὶ
τὰ περὶ τὴν πόλιν ὀρύγματα καὶ ἄλλα πολυτελῆ καὶ
δαπανηρὰ κατασκευάσματα ἐκείνης ἔργα γενέσθαι λέ-
γουσι. Νίτωκρις δὲ ταύτης νεωτέρα καὶ Ῥοδογούνη B
καὶ Τώμυρις καὶ μυρίος δή τις ἐπιρρεῖ γυναικῶν
ὄχλος ἀνδριζομένων οὐ λίαν εὐπρεπῶς. τινὰς δὲ ἤδη
διὰ τὸ κάλλος περιβλέπτους καὶ ὀνομαστὰς γενομένας
οὐ σφόδρα εὐτυχῶς, ἐπειδὴ ταραχῆς αἴτιαι καὶ πο-
λέμων μακρῶν ἔθνεσι μυρίοις καὶ ἀνδράσιν, ὅσους
ἦν εἰκὸς ἐκ τοσαύτης χώρας ἀθροίζεσθαι, γενέσθαι
δοκοῦσιν, ὡς μεγάλων αἰτίας ὑμνοῦσι πράξεων. ὅστις
δὲ τοιοῦτον οὐδὲν εἰπεῖν ἔχει, καταγέλαστος εἶναι C
δοκεῖ, ἅτε οὐκ ἐκπλήττειν οὐδὲ θαυματοποιεῖν ἐν τοῖς

2 ἀλλὰ VM 11 et 12 ὑπὸ γῆς V] ἐπὶ γῆς 19 νίτωκρις V] Νίτοκρις | ῥοδογόνη V 21 ὄχλος V] ὅμιλος. cf. Plat. Phaedr. 229 D 25 ἦν εἰκὸς V] εἰκὸς ἦν 27 et 28 εἶναι δοκεῖ V] δοκεῖ εἶναι

λόγοις σφόδρα ἐπιχειρῶν. βούλεσθε οὖν ἐπανερω-
τῶμεν αὐτούς, εἴ τις αὐτῶν γαμετὴν ἢ θυγατέρα οἱ
τοιαύτην εὔχεται γενέσθαι μᾶλλον ἢ τὴν Πηνελόπην;
καίτοι ἐπὶ ταύτης οὐδὲν Ὅμηρος εἰπεῖν ἔσχε πλέον
τῆς σωφροσύνης καὶ τῆς φιλανδρίας καὶ τῆς ἐς τὸν
ἑκυρὸν ἐπιμελείας καὶ τὸν παῖδα· ἔμελε δὲ ἄρα οὔτε
τῶν ἀγρῶν ἐκείνῃ οὔτε τῶν ποιμνίων· στρατηγίαν
δὲ ἢ δημηγορίαν οὐδὲ ὄναρ (εἰκὸς) ἐκείνῃ παραστῆ-
D ναί ποτε· ἀλλὰ καὶ ὁπότε λέγειν ἐχρῆν εἰς τὰ μει-
ράκια,

Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα

πρᾴως ἐφθέγγετο. καὶ οὐκ ἀπορῶν Ὅμηρος οἶμαι
τηλικούτων ἔργων οὐδὲ ὀνομαστῶν ἐπ' αὐτοῖς γυναι-
κῶν ταύτην ὕμνησε διαφερόντως· ἐξῆν γοῦν αὐτῷ
τὴν τῆς Ἀμαζόνος φιλοτίμως πάνυ στρατείαν διηγη-
σαμένῳ τὴν ποίησιν ἅπασαν ἐμπλῆσαι τοιούτων διη-
γημάτων τέρπειν εὖ μάλα καὶ ψυχαγωγεῖν δυναμένων.
128 οὐ γὰρ δὴ τείχους μὲν αἵρεσιν, καὶ πολιορκίαν καὶ
τρόπον τινὰ ναυμαχίαν εἶναι δοκοῦσαν, τὸν πρὸς
τοῖς νεωρίοις πόλεμον, ἀνδρός τε ἐπ' αὐτῇ καὶ πο-
ταμοῦ μάχην ἐπεισάγειν οἴκοθεν διενοεῖτο τῇ ποιήσει
καινόν τι λέγειν ἐπιθυμῶν· τοῦτο δὲ εἴπερ ἦν, ὥσπερ
οὖν φασι, σεμνότατον, ὀλιγώρως οὕτω παρέλιπε. τί
ποτε οὖν ἄν τις αἴτιον λέγοι τοῦ 'κείνην μὲν ἐπ-
αινεῖν προθύμως, τούτων δὲ ἐπὶ σμικρὸν μνημο-
B νεύειν; ὅτι διὰ μὲν τὴν ἐκείνης ἀρετὴν καὶ σωφρο-

4 ἔσχε V] ἔχει 5 ἐς V] εἰς 6 οὔτε H] οὐδὲ 8 εἰκὸς add. Rsk. 11 Odyss. α, 334 15 στρατιὰν V 20 ἀνδρός τε V] ἀνδρὸς δὲ 24 'κείνην M] ἐκείνην 25 σμικρὸν VM] σμικρῶν. Scribendum autem τούτων (τῶν ὀνομαστῶν γυναικῶν p. 127 D) δ' οὐδ' ἐπὶ σμικρὸν μνημονεύειν

σύνην πολλά τε ἰδίᾳ τοῖς ἀνθρώποις καὶ εἰς τὸ κοινὸν ἀγαθὰ συμβαίνει, ἐκ δὲ δὴ τῆς τούτων φιλοτιμίας ὄφελος μὲν οὐδὲ ἕν, συμφοραὶ δὲ ἀνήκεστοι. ἅτε δὴ ὧν οἶμαι σοφὸς καὶ θεῖος ποιητὴς ταύτην ἔκρινεν ἀμείνω καὶ δικαιοτέραν τὴν εὐφημίαν. ἆρ' οὖν ἔτι προσῆκεν εὐλαβηθῆναι τοσοῦτον ἡγεμόνα ποιουμένοις, μή τις ἄρα μικροὺς ὑπολάβῃ καὶ φαύλους; ἐγὼ δὲ ὑμῖν καὶ τὸν γενναῖον ἐκεῖνον ῥήτορα Περικλέα τὸν πάνυ, τὸν Ὀλύμπιον, μάρτυρα ἀγαθὸν C *ἤδη παρέξομαι. κολάκων γὰρ δή, φασί, ποτὲ τὸν ἄνδρα περιεστὼς δῆμος διελάγχανον τοὺς ἐπαίνους, ὁ μὲν ὅτι τὴν Σάμον ἐξεῖλεν, ἄλλος δὲ ὅτι τὴν Εὔβοιαν, τινὲς δὲ ἤδη τὸ περιπλεῦσαι τὴν Πελοπόννησον, ἦσαν δὲ οἱ τῶν ψηφισμάτων μεμνημένοι, τινὲς δὲ τῆς πρὸς τὸν Κίμωνα φιλοτιμίας, σφόδρα ἀγαθὸν πολίτην καὶ στρατηγὸν εἶναι δόξαντα γενναῖον. ὁ δὲ τούτοις μὲν οὔτε ἀχθόμενος οὔτε γανύμενος δῆλος ἦν, ἐκεῖνο δὲ ἠξίου τῶν αὑτῷ πεπο-* D *λιτευμένων ἐπαινεῖν, ὅτι τοσοῦτον ἐπιτροπεύσας τὸν Ἀθηναίων δῆμον οὐδενὶ θανάτου γέγονεν αἴτιος, οὐδὲ ἱμάτιον μέλαν τῶν πολιτῶν τις περιβαλόμενος Περικλέα γενέσθαι ταύτης αἴτιον αὑτῷ τῆς συμφορᾶς ἔφη. ἄλλου του, πρὸς φιλίου Διός, δοκοῦμεν ὑμῖν μάρτυρος δεῖσθαι, ὅτι μέγιστον ἀρετῆς σημεῖον*

1 *τε ἰδίᾳ*] *ἰδίᾳ τε* H. Vid. tamen ad 70 C 4 *δὴ ὧν* Cob.] *δὴ οὖν* V, *δὲ* v 6 *προσῆκεν*] *προσῆκον* H. cf. 56 B, Plat. de Rep. IV 442 B, Schoemann. ad Isaeum p. 346 et 443. Vid. etiam ad 215 B | *τοσοῦτον* V] *τοιοῦτον* 7 *ποιουμένοις* VM] *ποιουμένους* 13 *δὲ ἤδη* V] *ἤδη* 17 *τούτοις* V] *τοιούτοις* | *οὔτε* Cob.] *οὐδὲ* | *γανύμενος* Cob.] *γαννύμενος* 18 *αὑτῷ* H] *αὐτῷ* 19 *τοσοῦτον*] *χρόνον* add. Cob. 20 *γέγονεν αἴτιος* M] *αἴτιος γέγονεν* 21 *περιβαλλόμενος* V. In hoc verbo explicit M et fl. 22 *Περικλέα γενέσθαι* Pet.] *περιγενέσθαι* 23 *ἄλλου του* V] *ἄλλου τοῦ*

129 καὶ πάντων μάλιστα ἐπαίνων ἄξιον τὸ μηδένα κτεῖναι τῶν πολιτῶν μηδὲ ἀφελέσθαι τὰ χρήματα μηδὲ ἀδίκῳ φυγῇ περιβαλεῖν; ὅστις δὲ πρὸς τὰς τοιαύτας συμφορὰς αὑτὸν ἀντιτάξας καθάπερ ἰατρὸς γενναῖος οὐδαμῶς ἀποχρῆν ὑπέλαβεν αὑτῷ τὸ μηδενὶ νοσήματος αἰτίῳ γενέσθαι, ἀλλ' εἰ μὴ πάντα εἰς δύναμιν ἰῷτο καὶ θεραπεύοι, οὐδὲν ἄξιον τῆς αὑτοῦ τέχνης ἔργον ὑπέλαβεν, ἆρα ὑμῖν δοκεῖ τῶν ἴσων ἐπαίνων B ἐν δίκῃ τυγχάνειν; καὶ οὐδὲν προτιμήσομεν οὔτε τὸν τρόπον οὔτε τὴν δύναμιν, ὑφ' ἧς ἔξεστι μὲν αὐτῇ δρᾶν ὅ,τι ἂν ἐθέλῃ, θέλει δὲ ἅπασι τἀγαθά; τοῦτο ἐγὼ κεφάλαιον τοῦ παντὸς ἐπαίνου ποιοῦμαι, οὐκ ἀπορῶν ἄλλων θαυμασίων εἶναι δοκούντων καὶ λαμπρῶν διηγημάτων. εἰ γάρ δή τις τὴν περὶ τῶν ἄλλων σιωπὴν ὑποπτεύσειεν ὡς ματαίαν οὖσαν προσποίησιν καὶ ἀλαζονείαν κενὴν καὶ αὐθάδη, οὔτι που καὶ τὴν ἔναγχος ἐπιδημίαν γενομένην αὐτῇ τὴν εἰς τὴν Ῥώμην, ὁπότε ἐστρατεύετο βασιλεὺς ζεύγμασι C καὶ ναυσὶ τὸν Ῥῆνον διαβὰς ἄγχου τῶν Γαλατίας ὁρίων, ψευδῆ καὶ πεπλασμένην ἄλλως ὑποπτεύσει. ἐξῆν δὴ οὖν, ὡς εἰκός, διηγουμένῳ ταῦτα τοῦ δήμου μεμνῆσθαι καὶ τῆς γερουσίας, ὅπως αὐτὴν ὑπεδέχετο σὺν χαρμονῇ, προθύμως ὑπαντῶντες καὶ δεξιούμενοι καθάπερ νόμος βασιλίδα, καὶ τῶν ἀναλωμάτων τὸ μέγεθος, ὡς ἐλευθέριον καὶ μεγαλοπρεπές, καὶ τῆς παρασκευῆς τὴν πολυτέλειαν, ὁπόσα τε ἔνειμε τῶν φυλῶν τοῖς ἐπιστάταις καὶ ἑκατον- D τάρχαις τοῦ πλήθους ἀπαριθμήσασθαι. ἀλλ' ἔμοιγε τῶν τοιούτων οὔτε ἔδοξέ ποτε ζηλωτὸν οὐδέν, οὔτε

1 ἐπαίνων V] ἐπαίνου 5 αὑτῷ H] αὐτῷ 6 ἀλλὰ V 7 αὑτοῦ H] αὐτοῦ 19 ἄγχου Pet.] εἶχον 28 ἀλλὰ V

ἐπαινεῖν ἐθέλω πρὸ τῆς ἀρετῆς τὸν πλοῦτον· καίτοι
(με) οὐ λέληθεν ἡ τῶν χρημάτων ἐλευθέριος δαπάνη
μετέχουσά τινος ἀρετῆς· ἀλλ' οἶμαι κρεῖττον ἐπιεί-
κειαν καὶ σωφροσύνην καὶ φρόνησιν καὶ ὅσα δὴ
ἄλλα περὶ αὐτῆς λέγων πολλοὺς μὲν καὶ ἄλλους,
ἀτὰρ δὴ καὶ ἐμαυτὸν ὑμῖν καὶ τὰ ἐπ' ἐμοὶ πρα- 130
χθέντα παρεῖχον μάρτυρα. εἰ δὴ οὖν καὶ ἄλλοι τὴν
ἐμὴν εὐγνωμοσύνην ζηλοῦν ἐπιχειρήσειαν, πολλοὺς
ἔχει τε ἤδη καὶ ἕξει τοὺς ἐπαινέτας.

2 με add. Cob. 3 ἀλλὰ V

ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

ΕΙΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΗΛΙΟΝ ΠΡΟΣ ΣΑΛΟΥΣΤΙΟΝ.

B *Προσήκειν ὑπολαμβάνω τοῦ λόγου τοῦδε μάλιστα μὲν ἅπασιν,*

ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει,

καὶ τοῦ εἶναι καὶ λογικῆς ψυχῆς καὶ νοῦ μετείληφεν, οὐχ ἥκιστα δὲ τῶν ἄλλων ἁπάντων ἐμαυτῷ· καὶ γάρ
C *εἰμι τοῦ βασιλέως ὀπαδὸς Ἡλίου. τούτου δὲ ἔχω μὲν οἴκοι παρ᾽ ἐμαυτῷ τὰς πίστεις ἀκριβεστέρας· ὃ δέ μοι θέμις εἰπεῖν καὶ ἀνεμέσητον, ἐντέτηκέ μοι δεινὸς ἐκ παίδων τῶν αὐγῶν τοῦ θεοῦ πόθος, καὶ πρὸς τὸ φῶς οὕτω δὴ τὸ αἰθέριον ἐκ παιδαρίου κομιδῇ τὴν διάνοιαν ἐξιστάμην, ὥστε οὐκ εἰς αὐτὸν μόνον ἀτενὲς ὁρᾶν ἐπεθύμουν, ἀλλὰ καί, εἴ ποτε νύκτωρ ἀνεφέλου καὶ καθαρᾶς αἰθρίας οὔσης προέλ-*
D *θοιμι, πάντα ἀθρόως ἀφεὶς τοῖς οὐρανίοις προσεῖχον κάλλεσιν, οὐκέτι ξυνιεὶς οὐδὲν εἴ τις λέγοι τι πρός*

1 *αὐτοκράτορος* V] *καίσαρος* 2 *σαλουστῖνον* MbEF 4 *ἅπασιν* libri] *ἅπασι* 5 Iliad. ρ, 447 Odyss. σ, 130 | *ὅσα* libri | *ἐπιπνείει* v 6 *καὶ νοῦ* om. EFG | *μετείληφεν* H] *μετειληφέναι* V, *μετειληφότα* v 8 *ὀπαδὸς* V 17 *κάλλεσιν* libri] *κάλλεσι* | *ξυνιεὶς* libri] *ξυνεὶς* | *οὐδὲν*] *οὐδὲ* MbEFG | *εἴ τι λέγοι τις* V (*τι* ex *τις* altera manu correctum)

με οὐδὲ αὐτὸς [ἐμαυτῷ] ὅ τι πράττοιμι προσέχων·
ἐδόκουν τε περιεργότερον ἔχειν πρὸς αὐτὰ καὶ πολυ-
πράγμων τις εἶναι, καί μέ τις ἤδη ἀστρόμαντιν
ὑπέλαβεν ἄρτι γενειήτην. καίτοι μὰ τοὺς θεοὺς οὔ- 131
ποτε τοιαύτη βίβλος εἰς ἐμὰς ἀφῖκτο χεῖρας, οὐδὲ
ἠπιστάμην ὅ τί ποτέ ἐστι τὸ χρῆμα πώποτε. ἀλλὰ
τί ταῦτα ἐγώ φημι, μείζω ἔχων εἰπεῖν, εἰ φράσαιμι,
ὅπως ἐφρόνουν τὸ τηνικαῦτα περὶ θεῶν; λήθη δὲ
ἔστω τοῦ σκότους ἐκείνου. τὸ δὲ ὅτι με τὸ οὐ-
ράνιον πάντη περιήστραπτε φῶς ἤγειρέ τε καὶ παρώ-
ξυνεν ἐπὶ τὴν θέαν, ὥστε ἤδη καὶ τῆς σελήνης τὴν
ἐναντίαν πρὸς τὸ πᾶν αὐτὸς ἀπ' ἐμαυτοῦ κίνησιν
ξυνεῖδον, οὐδενί πω ξυντυχων τῶν τὰ τοιαῦτα φιλο- B
σοφούντων, ἔστω μοι τὰ ῥηθέντα σημεῖα. ζηλῶ
μὲν οὖν ἔγωγε τῆς εὐποτμίας καὶ εἴ τῳ τὸ σῶμα
παρέσχε θεὸς ἐξ ἱεροῦ καὶ προφητικοῦ συμπαγὲν
σπέρματος ἀναλαβόντι σοφίας ἀνοῖξαι θησαυρούς·
οὐκ ἀτιμάζω δὲ ταύτην, ἧς ἠξιώθην αὐτὸς παρὰ τοῦ
θεοῦ τοῦδε μερίδος, ἐν τῷ κρατοῦντι καὶ βασιλεύοντι
τῆς γῆς γένει τοῖς κατ' ἐμαυτὸν χρόνοις γενόμενος,
ἀλλ' ἡγοῦμαι κοινότερον μέν, εἴπερ χρὴ πείθεσθαι C
τοῖς σοφοῖς, ἁπάντων ἀνθρώπων εἶναι τοῦτον κοι-
νὸν πατέρα. λέγεται γὰρ ὀρθῶς ἄνθρωπος ἄνθρω-
πον γεννᾶν καὶ ἥλιος, ψυχὰς [δὲ] οὐκ ἀφ' ἑαυτοῦ

1 οὐδὲ H] οὔτε | αὐτὸς om. MbEFG | ἐμαυτῷ om. V, ἐμαυτὸν MbEFG 4 ὑπελάμβανεν MbEFG | γενειῶντα MbEFG | μὰ Mb] νὴ. Vid. ad 212 B | οὔπω MbEFG 5 οὐδὲ H] οὔτε 6 πώποτε, ut solet, V 9 τὸ δὲ] τοῦ δὲ Rsk. 10 περιήστραπτε MbG, περιήστραπται EF, περιήστραψε v 13 ξυνεῖδον VMbEF] συνεῖδον | ξυντυχὼν V] συντυχὼν | τὰ τοιαῦτα VG] τοιαῦτα 21 κοινότερον μὲν delet Pet., Rsk. vero post λέγεται γὰρ collocat et δὲ post ὀρθῶς addit 23 λέγεται] Aristot. Physic. II, 2 p. 194b 13 24 γεννᾶν libri] γεννᾷ | δὲ om. libri. Quod si recte factum

μόνον, ἀλλὰ καὶ παρὰ τῶν ἄλλων θεῶν σπείρειν εἰς γῆν, ἐφ' ὅ τι δὲ χρῆμα δηλοῦσιν αὗται τοῖς βίοις, οὓς προαιροῦνται. κάλλιστον μὲν οὖν, εἴ τῳ ξυνηνέχθη καὶ πρὸ τριγονίας ἀπὸ πολλῶν πάνυ προπατόρων ἐφεξῆς τῷ θεῷ δουλεῦσαι, μεμπτὸν δὲ οὐδὲ
D ὅστις, ἐπεγνωκὼς ἑαυτὸν τοῦ θεοῦ τοῦδε θεράποντα φύσει, μόνος ἐξ ἁπάντων ἢ ξὺν ὀλίγοις αὐτὸν ἐπιδίδωσι τῇ θεραπείᾳ τοῦ δεσπότου.

Φέρε οὖν, ὅπως (ἂν) οἷοί τε ὦμεν, ὑμνήσωμεν αὐτοῦ τὴν ἑορτήν, ἣν ἡ βασιλεύουσα πόλις ἐπετησίοις ἀγάλλει θυσίαις. ἔστι μὲν οὖν, εὖ οἶδα, χαλεπὸν καὶ τὸ ξυνεῖναι περὶ αὐτοῦ μόνον, ὁπόσος τίς
132 ἐστιν ὁ ἀφανὴς ἐκ τοῦ φανεροῦ λογισαμένῳ, φράσαι δὲ ἴσως ἀδύνατον, εἰ καὶ τῆς ἀξίας ἔλαττον ἐθελήσειέ τις. ἐφικέσθαι μὲν γὰρ τοῦ πρὸς ἀξίαν εὖ οἶδα ὅτι τῶν ἁπάντων οὐδεὶς ἂν δύναιτο, τοῦ μετρίου δὲ μὴ διαμαρτεῖν ἐν τοῖς ἐπαίνοις τὸ κεφάλαιόν ἐστι τῆς ἀνθρωπίνης ἐν τῷ δύνασθαι φράζειν δυνάμεως. ἀλλ' ἔμοιγε τούτου παρασταίη βοηθὸς ὅ τε λόγιος Ἑρμῆς ξὺν ταῖς Μούσαις ὅ τε Μουσηγέτης Ἀπόλ-
B λων, ἐπεὶ καὶ αὐτῷ προσήκει τῶν λόγων, καὶ δοῖεν δὲ εἰπεῖν ὁπόσα τοῖς θεοῖς φίλα λέγεσθαί τε καὶ πιστεύεσθαι περὶ αὐτῶν. τίς οὖν ὁ τρόπος ἔσται τῶν ἐπαίνων; ἢ δῆλον ὅτι περὶ τῆς οὐσίας αὐτοῦ καὶ ὅθεν προῆλθε καὶ τῶν δυνάμεων καὶ τῶν ἐνεργειῶν διελθόντες, ὁπόσαι φανεραὶ ὅσαι τ' ἀφανεῖς, καὶ περὶ τῆς τῶν ἀγαθῶν δόσεως, ἣν κατὰ πάντας

est, paulo post σπείρων scribendum 2 αὗται libri] αὐταὶ 3 ξυνηνέχθη V] συνηνέχθη 7 φύσει] ad marg. Mb: ἴσως φῦναι | μόνος VMbF] μόνον | ξὺν V] σὺν 9 ὅπως ἂν H] ὅπως 12 ξυνεῖναι V] συνεῖναι 16 οὐθεὶς VMbEF 20 ξὺν V] σὺν 22 δὲ H] τε 26 τε libri

ποιεῖται τοὺς κόσμους, οὐ παντάπασιν ἀπᾴδοντα ποιησόμεθα τῷ θεῷ τὰ ἐγκώμια; ἀρκτέον δὲ ἐνθένδε.

Ὁ θεῖος οὗτος καὶ πάγκαλος κόσμος ἀπ᾽ ἄκρας C ἀψῖδος οὐρανοῦ μέχρι γῆς ἐσχάτης ὑπὸ τῆς ἀλύτου συνεχόμενος τοῦ θεοῦ προνοίας ἐξ ἀιδίου γέγονεν ἀγεννήτως ἔς τε τὸν ἐπίλοιπον χρόνον ἀίδιος, οὐχ ὑπ᾽ ἄλλου του φρουρούμενος ἢ προσεχῶς μὲν ὑπὸ τοῦ πέμπτου σώματος, οὗ τὸ κεφάλαιόν ἐστιν ἀκτὶς ἀελίου, βαθμῷ δὲ ὥσπερ δευτέρῳ τοῦ νοητοῦ κόσμου, πρεσβυτέρως δὲ ἔτι διὰ τὸν πάντων βασιλέα, περὶ ὃν πάντα ἐστίν. οὗτος τοίνυν, εἴτε τὸ ἐπέκεινα τοῦ νοῦ καλεῖν αὐτὸν θέμις εἴτε ἰδέαν τῶν ὄντων, ὃ D δή φημι τὸ νοητὸν ξύμπαν, εἴτε ἕν, ἐπειδὴ πάντων τὸ ἓν δοκεῖ πως πρεσβύτατον, εἴτε ὃ Πλάτων εἴωθεν ὀνομάζειν τἀγαθόν, αὕτη δὴ οὖν ἡ μονοειδὴς τῶν ὅλων αἰτία, πᾶσι τοῖς οὖσιν ἐξηγουμένη κάλλους τε καὶ τελειότητος ἑνώσεώς τε καὶ δυνάμεως ἀμηχάνου, κατὰ τὴν ἐν αὐτῇ μένουσαν πρωτουργὸν οὐσίαν μέσον ἐκ μέσων τῶν νοερῶν καὶ δημιουργικῶν αἰτιῶν Ἥλιον θεὸν μέγιστον ἀνέφηνεν ἐξ ἑαυ- 133 τοῦ πάντα ὅμοιον ἑαυτῷ· καθάπερ καὶ ὁ δαιμόνιος οἴεται Πλάτων, „Τοῦτον τοίνυν, λέγων, ἦν δ᾽ ἐγώ, φάναι με λέγειν τὸν τοῦ ἀγαθοῦ ἔκγονον, ὃν τἀγα-

2 ἀρκτέον Cob.] ῥητέον | ἐνθένδε Cob.] ἔνθεν. Idem vel ἐντεῦθεν restituendum 122 B 136 B 152 B 156 A 264 D 340 D 359 D 443 B 4 ἀψῖδος v, ἁψίδος Mb | ἐσχάτων EFG 6 Fort. ἀγέννητος 7 ἄλλού του V 9 ἀελίου libri] ἡλίου. vid. Horkelius p. 26 | τοῦ νοητοῦ κόσμου H] τῷ νοητῷ κόσμῳ 10 τὸν libri] τῶν 13 ξύμπαν V] σύμπαν 14 δοκεῖ πως V] δοκεῖ ὡς 15 τἀγαθόν, αὕτη libri] τὸ ἀγαθόν. αὐτὴ 17 τελειώσεως V m. pr., m. s. vulgatum supra scripsit 18 μένουσαν libri] μένουσα 20 θεῶν V 21 ἐν ἑαυτῷ V (in quo ἐν altera manu deletum) MbEF 22 Πλάτων] de Rep. VI 508 B | ἦν δ᾽ ἐγὼ Mb] ἦν δὲ ἐγὼ 23 φαίνομαι libri | ὃν ἀγαθὸν ἐγέννησε λόγον libri

θὸν ἐγέννησεν ἀνάλογον ἑαυτῷ, ὅτιπερ αὐτὸ ἐν τῷ νοητῷ τόπῳ πρός τε νοῦν καὶ τὰ νοούμενα, τοῦτο τοῦτον ἐν τῷ ὁρατῷ πρός τε ὄψιν καὶ τὰ ὁρώμενα.“ ἔχει μὲν δὴ τὸ φῶς αὐτοῦ ταύτην οἶμαι τὴν ἀναλογίαν πρὸς τὸ ὁρατόν, ἥνπερ πρὸς τὸ νοητὸν ἀλήθεια. αὐτὸς δὲ ὁ ξύμπας, ἅτε δὴ τοῦ πρώτου
B καὶ μεγίστου τῆς ἰδέας τἀγαθοῦ γεγονὼς ἔκγονος, ὑποστὰς αὐτοῦ περὶ τὴν μόνιμον οὐσίαν ἐξ ἀιδίου καὶ τὴν ἐν τοῖς νοεροῖς θεοῖς παρεδέξατο δυναστείαν, ὧν τἀγαθόν ἐστι τοῖς νοητοῖς [θεοῖς] αἴτιον, ταῦτα αὐτὸς τοῖς νοεροῖς νέμων. ἔστι δ' αἴτιον οἶμαι τἀγαθὸν τοῖς νοητοῖς θεοῖς κάλλους, οὐσίας, τελειότητος, ἑνώσεως, συνέχον αὐτὰ καὶ περιλάμπον ἀγαθοειδεῖ δυνάμει. ταῦτα δὴ καὶ τοῖς νοεροῖς Ἥλιος
C δίδωσιν, ἄρχειν καὶ βασιλεύειν αὐτῶν ὑπὸ τἀγαθοῦ τεταγμένος, εἰ καὶ συμπροῆλθον αὐτῷ καὶ συνυπέστησαν, ὅπως οἶμαι καὶ τοῖς νοεροῖς θεοῖς ἀγαθοειδὴς αἰτία προκαθηγουμένη τῶν ἀγαθῶν πᾶσιν ἅπαντα κατὰ νοῦν εὐθύνῃ. ἀλλὰ καὶ τρίτος ὁ φαινόμενος οὑτοσὶ δίσκος ἐναργῶς αἴτιός ἐστι τοῖς αἰσθητοῖς τῆς σωτηρίας, καὶ ὅσων ἔφαμεν τοῖς νοεροῖς θεοῖς τὸν μέγαν Ἥλιον, τοσούτων καὶ ὁ φαινόμενος ὅδε τοῖς φανεροῖς. τούτων δ' ἐναργεῖς αἱ πίστεις ἐκ τῶν
D φαινομένων τὰ ἀφανῆ σκοποῦντι. φέρε δὴ πρῶτον αὐτὸ τὸ φῶς οὐκ εἶδός ἐστιν ἀσώματόν τι [καὶ]

1 αὐτὸ Plato] ἑαυτῷ libri, ἑαυτὸ v 2 πρός τε Plato] πρός γε | τοῦτο om. libri 6 Fort. ἀλήθεια | ξύμπας V] σύμπας 7 τἀγαθοῦ libri] τοῦ ἀγαθοῦ. Scribendum autem fortasse ἀγαθοῦ 10 θεοῖς om. libri 11 αὐτὸς VMbEF] αὐτοῖς | δὲ VMb 12 τἀγαθὸν libri] τὸ ἀγαθὸν | θεοῖς add. libri 22 Aut post Ἥλιον excidit αἴτιον aut pro καὶ post τοσούτων scribendum est αἴτιος 23 τούτων V] τούτου | δὲ VMb 25 ἀσώματόν τι θεῖον libri] ἀσώματον καὶ θεῖον

θεῖον τοῦ κατ' ἐνέργειαν διαφανοῦς; αὐτὸ δὲ ὅ, τί ποτέ ἐστι τὸ διαφανές, πᾶσι μὲν ὡς ἔπος εἰπεῖν συνυποκείμενον τοῖς στοιχείοις καὶ ὂν αὐτῶν προσεχὲς εἶδος, οὐ σωματοειδὲς οὐδὲ συμμιγνύμενον οὐδὲ τὰς οἰκείας σώματι προσιέμενον ποιότητας. οὔκουν ἰδίαν αὐτοῦ θέρμην ἐρεῖς, οὐ τὴν ἐναντίαν αὐτῇ ψυχρότητα, οὐ τὸ σκληρόν, οὐ τὸ μαλακὸν ἀποδώσεις, οὐδ' ἄλλην τινὰ τῶν κατὰ τὴν ἁφὴν διαφορῶν, 134 οὔκουν οὐδὲ γεῦσιν οὐδὲ ὀδμήν, ὄψει δὲ μόνον ὑποπίπτει πρὸς ἐνέργειαν ὑπὸ τοῦ φωτὸς ἡ τοιαύτη φύσις ἀγομένη. τὸ δὲ φῶς εἶδός ἐστι ταύτης οἷον ὕλης ὑπεστρωμένης καὶ παρεκτεινομένης τοῖς σώμασιν. αὐτοῦ δὲ τοῦ φωτὸς ὄντος ἀσωμάτου ἀκρότης ἂν εἴη τις καὶ ὥσπερ ἄνθος ἀκτῖνες. ἡ μὲν οὖν τῶν Φοινίκων δόξα, σοφῶν τὰ θεῖα καὶ ἐπιστημόνων, ἄχραντον εἶναι ἐνέργειαν αὐτοῦ τοῦ καθαροῦ νοῦ τὴν ἁπανταχῇ προϊοῦσαν αὐγὴν ἔφη· οὐκ ἀπᾴδει δὲ B οὐδὲ ὁ λόγος, εἴπερ αὐτὸ τὸ φῶς ἀσώματον, εἴ τις αὐτοῦ μηδὲ τὴν πηγὴν ὑπολάβοι σῶμα, νοῦ δὲ ἐνέργειαν ἄχραντον εἰς τὴν οἰκείαν ἕδραν ἐλλαμπομένην, ᾗ τοῦ παντὸς οὐρανοῦ τὸ μέσον εἴληχεν, ὅθεν ἐπιλάμπουσα πάσης μὲν εὐτονίας πληροῖ τοὺς οὐρανίους κύκλους, πάντα δὲ περιλάμπει θείῳ καὶ ἀχράντῳ φωτί. τὰ μέντοι ἐν τοῖς θεοῖς ἔργα προϊόντα παρ' αὐτοῦ μετρίως τε ἡμῖν ὀλίγῳ πρότερον εἴρηται καὶ ῥηθήσεται μετ' ὀλίγον. ὅσα δὲ ὁρῶμεν C αὐτῇ πρῶτον ὄψει ὄνομα μόνον ἐστὶν ἔργου τητώ-

5 προσιέμενον Pet.] προϊέμενον 9 οὔκουν H] οὐκοῦν | ὀδμήν libri] ὀσμήν 17 ἁπανταχῇ V] ἁπανταχοῦ 19 ὑπολάβοι V] ὑπολάβει MbEF, ὑπολάβῃ v 25 Fort. μετρίως γε 27 ὄνομα — τιμώμενον cit. Suidas v. τιμώμενος | τητώμενον H] τιμώμενον. cf. 120 B

μενον, εἰ μὴ προσλάβοι τὴν τοῦ φωτὸς ἡγεμονικὴν
βοήθειαν. ὁρατὸν δὲ ὅλως εἴη ἄν τί μὴ φωτὶ πρῶ-
τον ὥσπερ ὕλη τεχνίτῃ προσαχθέν, ἵν' οἶμαι τὸ εἶ-
δος δέξηται; καὶ γὰρ τὸ χρυσίον ἁπλῶς οὑτωσὶ
κεχυμένον ἔστι μὲν χρυσίον, οὐ μὴν ἄγαλμα οὐδὲ
εἰκών, πρὶν ἂν ὁ τεχνίτης αὐτῷ περιθῇ τὴν μορφήν.
οὐκοῦν καὶ ὅσα πέφυκεν ὁρᾶσθαι μὴ ξὺν φωτὶ τοῖς
D ὁρῶσι προσαγόμενα τοῦ ὁρατὰ εἶναι παντάπασιν
ἐστέρηται. διδοὺς οὖν τοῖς τε ὁρῶσι τὸ ὁρᾶν τοῖς
τε ὁρωμένοις τὸ ὁρᾶσθαι δύο φύσεις ἐνεργείᾳ μιᾷ
τελειοῖ, ὄψιν καὶ ὁρατόν· αἱ δὲ τελειότητες εἴδη τέ
εἰσι καὶ οὐσία. ἀλλὰ τοῦτο μὲν ἴσως λεπτότερον·
ᾧ δὲ παρακολουθοῦμεν ξύμπαντες, ἀμαθεῖς καὶ ἰδιῶ-
ται, φιλόσοφοι καὶ λόγιοι, τίνα ἐν τῷ παντὶ δύναμιν
ἀνίσχων ἔχει καὶ καταδυόμενος ὁ θεός; νύκτα καὶ
ἡμέραν ἐργάζεται καὶ μεθίστησι φανερῶς καὶ τρέπει
135 τὸ πᾶν. καίτοι τίνι τοῦτο τῶν ἄλλων ἀστέρων
ὑπάρχει; πῶς οὖν οὐκ ἐκ τούτων ἤδη καὶ περὶ τῶν
θειοτέρων πιστεύομεν, ὡς ἄρα καὶ τὰ ὑπὲρ τὸν οὐ-
ρανὸν ἀφανῆ καὶ θεῖα νοερῶν θεῶν γένη τῆς ἀγαθο-
ειδοῦς ἀποπληροῦται παρ' αὐτοῦ δυνάμεως, ᾧ πᾶς
μὲν ὑπείκει χορὸς ἀστέρων, ἕπεται δὲ ἡ γένεσις ὑπὸ
τῆς τούτου κυβερνωμένη προμηθείας; οἱ μὲν γὰρ
B πλάνητες ὅτι περὶ αὐτὸν ὥσπερ βασιλέα χορεύοντες
ἔν τισιν ὡρισμένοις πρὸς αὐτὸν διαστήμασιν ἁρμο-
διώτατα φέρονται κύκλῳ, στηριγμούς τινας ποιούμενοι
καὶ πρόσω καὶ ὀπίσω πορείαν, ὡς οἱ τῆς σφαιρικῆς
ἐπιστήμονες θεωρίας ὀνομάζουσι τὰ περὶ αὐτοὺς φαι-

1 προσλάβοι VMb] προσλάβει EF, προσλάβῃ v Iulianus Platonem sequitur de Rep. VI 507 D 3 ὕλῃ v 6 περιθῇ H] περιθείη 7 ξὺν V] σὺν 10 μιᾷ deest in marcil. et *pet.* 13 ξύμπαντες V] ἅπαντες

νόμενα, καὶ ὡς τὸ τῆς σελήνης αὔξεται καὶ λήγει φῶς, πρὸς τὴν ἀπόστασιν ἡλίου πάσχον, πᾶσί που δῆλον. πῶς οὖν οὐκ εἰκότως καὶ τὴν πρεσβυτέραν τῶν σωμάτων ἐν τοῖς νοεροῖς θεοῖς διακόσμησιν ὑπολαμβάνομεν ἀνάλογον ἔχειν τῇ τοιαύτῃ τάξει; C λάβωμεν οὖν ἐξ ἁπάντων τὸ μὲν τελεσιουργὸν ἐκ τοῦ παντὸς ἀποφαίνειν ὁρᾶν τὰ ὁρατικά· τελειοῖ γὰρ αὐτὰ διὰ τοῦ φωτός· τὸ δὲ δημιουργικὸν καὶ γόνιμον ἀπὸ τῆς περὶ τὸ ξύμπαν μεταβολῆς, τὸ δὲ ἐν ἑνὶ πάντων συνεκτικὸν ἀπὸ τῆς περὶ τὰς κινήσεις πρὸς ἓν καὶ τὸ αὐτὸ συμφωνίας, τὸ δὲ μέσον ἐξ ἑαυτοῦ μέσου, τὸ δὲ τοῖς νοεροῖς αὐτὸν ἐνιδρῦσθαι βασιλέα ἐκ τῆς ἐν τοῖς πλανωμένοις μέσης τάξεως. εἰ μὲν οὖν ταῦτα περί τινα τῶν ἄλλων ἐμφανῶν ὁρῶμεν D θεῶν ἢ τοσαῦτα ἕτερα, μή τοι τούτῳ τὴν περὶ τοὺς θεοὺς ἡγεμονίαν προσνείμωμεν· εἰ δὲ οὐκ ἔστιν οὐδὲν αὐτῷ κοινὸν πρὸς τοὺς ἄλλους ἔξω τῆς ἀγαθοεργίας, ἧς καὶ αὐτῆς μεταδίδωσι τοῖς πᾶσι, μαρτυράμενοι τούς τε Κυπρίων ἱερέας, οἳ κοινοὺς ἀποφαίνουσι βωμοὺς Ἡλίῳ καὶ Διί, πρὸ τούτων δὲ ἔτι τὸν Ἀπόλλω συνεδρεύοντα τῷ θεῷ τῷδε παρακαλέσαντες μάρτυρα· φησὶ γὰρ ὁ θεὸς οὗτος

Εἷς Ζεύς, εἷς Ἀίδης, εἷς Ἥλιός ἐστι Σάραπις· 136

κοινὴν ὑπολάβωμεν, μᾶλλον δὲ μίαν Ἡλίου καὶ Διὸς ἐν τοῖς νοεροῖς θεοῖς δυναστείαν· ὅθεν μοι δοκεῖ καὶ Πλάτων οὐκ ἀπεικότως φρόνιμον θεὸν Ἅιδην

5 ἀναλογίαν Marcil. 7 παντὸς] πάντως Marcil. 9 ξύμπαν V] σύμπαν 12 ἑαυτοῦ] αὐτοῦ H | τοῖς νοεροῖς libri] καὶ τοῖς νοεροῖς | ἐνιδρύσθαι VMbEF, ἐνιδρύεσθαι v 18 αὐτῆς libri] αὐτοῖς | μαρτυράμενοι libri] μαρτυρούμενοι 19 Κυπρίους marcil. et pet. 21 ἔτι] ἐπὶ V 22 φησὶ VMb] φησὶν 23 Cf. Macrob. Sat. I, 18, 18 26 Πλάτων] Phaedon. 80 D

ὀνομάσαι. καλοῦμεν δὲ τὸν αὐτὸν τοῦτον καὶ Σάραπιν, τὸν ἀιδῆ δηλονότι καὶ νοερόν, πρὸς ὅν φησιν ἄνω πορεύεσθαι τὰς ψυχὰς τῶν ἄριστα βιωσάντων καὶ δικαιότατα. μὴ γὰρ δή τις ὑπολάβῃ τοῦτον, ὃν
B οἱ μῦθοι πείθουσι φρίττειν, ἀλλὰ τὸν πρᾷον καὶ μείλιχον, ὃς ἀπολύει παντελῶς τῆς γενέσεως τὰς ψυχάς, οὐχὶ δὲ λυθείσας αὐτὰς σώμασιν ἑτέροις προσηλοῖ κολάζων καὶ πραττόμενος δίκας, ἀλλὰ πορεύων ἄνω καὶ ἀνατείνων τὰς ψυχὰς ἐπὶ τὸν νοητὸν κόσμον. ὅτι δὲ οὐδὲ νεαρὰ παντελῶς ἐστιν ἡ δόξα, προύλαβον δὲ αὐτὴν οἱ πρεσβύτατοι τῶν ποιητῶν, Ὅμηρός τε καὶ Ἡσίοδος, εἴτε καὶ νοοῦντες οὕτως εἴτε καὶ ἐπιπνοίᾳ θείᾳ καθάπερ οἱ μάντεις ἐνθου-
C σιῶντες πρὸς τὴν ἀλήθειαν, ἐνθένδ' ἂν γίγνοιτο γνώριμον. ὁ μὲν γενεαλογῶν αὐτὸν Ὑπερίονος ἔφη καὶ Θείας, μόνον οὐχὶ διὰ τούτων αἰνιττόμενος τοῦ πάντων ὑπερέχοντος αὐτὸν ἔγγονον γνήσιον φῦναι· ὁ γὰρ Ὑπερίων τίς ἂν ἕτερος εἴη παρὰ τοῦτον; ἡ Θεία δὲ αὐτὴ τρόπον ἕτερον οὐ τὸ θειότατον τῶν ὄντων λέγεται; μὴ δὲ συνδυασμὸν μηδὲ γάμους ὑπολαμβάνωμεν, ἄπιστα καὶ παράδοξα ποιητικῆς μούσης
D ἀθύρματα· πατέρα δὲ αὐτοῦ καὶ γεννήτορα νομίζωμεν τὸν θειότατον καὶ ὑπέρτατον· τοιοῦτος δέ τις ἂν εἴη τοῦ πάντων ἐπέκεινα καὶ περὶ ὃν πάντα καὶ

1 ὀνομάσαι H] νομίσαι 2 ἀιδῆ] Fort. ἀειδῆ 3 ἄριστα βιωσάντων VMbG] βιωσάντων ἄριστα v, ἄριστα καὶ δικαιότατα βεβιωκότων marcil. 4 ὑπολάβῃ H] ὑπολάβοι 5 μύθοι V 6 ἀπολύσει MbEFG | γενέσεως VMbEF] γεννήσεως 8 πορεύων libri] καὶ πορεύων 13 καὶ ante ἐπιπνοίᾳ om. V | ἐπιπνοίᾳ V spanh.] ἐπινοίᾳ 14 ἐνθένδ' H] ἔνθεν. vid. ad 132 B | γίγνοιτο, ut videtur, V] γένοιτο 17 ἔγγονον V] ἔκγονον 18 ἕτερος om. MbEFG 19 αὐτὴ] αὕτη MbEFG 20 συνδυασμὸν MbEFG marcil.] συνδοιασμὸν 23 et 24 Fort. τίς ἂν ἄλλος εἴη

οὗ ἕνεκα πάντα ἐστίν. Ὅμηρος δὲ αὐτὸν ἀπὸ τοῦ
πατρὸς Ὑπερίονα καλεῖ, καὶ δείκνυσί γε αὐτοῦ τὸ
αὐτεξούσιον καὶ πάσης ἀνάγκης κρεῖττον. ὁ γάρ τοι
Ζεύς, ὥς ἐκεῖνός φησιν, ἁπάντων ὢν κύριος τοὺς
ἄλλους προσαναγκάζει· ἐν δὲ τῷ μύθῳ τοῦ θεοῦ
τοῦδε λέγοντος, ὅτι ἄρα διὰ τὴν ἀσέβειαν τῶν
Ὀδυσσέως ἑταίρων ἀπολείψει τὸν Ὄλυμπον, οὐκέτι 137
φησὶν

Αὐτῇ κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ,

οὐδὲ ἀπειλεῖ δεσμὸν οὐδὲ βίαν, ἀλλὰ τὴν δίκην
φησὶν ἐπιθήσειν τοῖς ἡμαρτηκόσιν, αὐτὸν δὲ ἄξιοῖ
φαίνειν ἐν τοῖς θεοῖς. ἆρ' οὐχὶ διὰ τούτων πρὸς
τῷ αὐτεξουσίῳ καὶ τελεσιουργὸν εἶναί φησι τὸν
Ἥλιον; ἐπὶ τί γὰρ αὐτοῦ οἱ θεοὶ δέονται, πλὴν εἰ
μὴ πρὸς τὴν οὐσίαν καὶ τὸ εἶναι ἀφανῶς ἐναστράπ- B
των ὧν ἔφαμεν ἀγαθῶν ἀποπληρωτικὸς τυγχάνοι;
τὸ γὰρ

Ἠέλιόν τ' ἀκάμαντα βοῶπις πότνια Ἥρη
Πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι

πρὸ τοῦ καιροῦ φησι νομισθῆναι τὴν νύκτα διά
τινα χαλεπὴν ὁμίχλην. αὕτη γὰρ ἡ θεός που, καὶ
ἄλλοθι τῆς ποιήσεώς φησιν,

ἠέρα δ' Ἥρη
Πίτνα πρόσθε βαθεῖαν. C

ἀλλὰ τὰ μὲν τῶν ποιητῶν χαίρειν ἐάσωμεν· ἔχει γὰρ

3 πάσης ἀνάγκης κρεῖττον V] πάσης ..... κρεῖττον MbEF, πάσης κρεῖττον ἀνάγκης v 6 ἄρα VMb] ἄρα | ἀσέβειαν libri] δυσσέβειαν 8 φησὶν libri] φησὶ 9 Iliad. θ, 24 | αὐτῇ κεν] αὐτίκ' ἐν V 12 ἆρ' VMb] ἄρ' 12 et 13 τοῦ ἡλίου VMbEF 13 ἐπὶ] ἐπεὶ VMbG, fortasse recte 16 ἀποπληστικὸς MbEFG | τυγχάνει MbEF 18 Iliad. σ, 239 20 νομισθῆναι] κομισθῆναι Marcil. 23 Iliad φ, 6

μετὰ τοῦ θείου πολὺ καὶ τὸ ἀνθρώπινον· ἃ δὲ ἡμᾶς ἔοικεν αὐτὸς ὁ θεὸς διδάσκειν ὑπέρ τε αὐτοῦ καὶ τῶν ἄλλων, ἐκεῖνα ἤδη διέλθωμεν.

Ὁ περὶ γῆν τόπος ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. τίς οὖν ἐστιν ὁ τὴν ἀιδιότητα δωρούμενος αὐτῷ; ἆρ' οὐχ ὁ ταῦτα μέτροις ὡρισμένοις συνέχων; ἄπει-
D *ρον μὲν γὰρ εἶναι φύσιν σώματος οὐχ οἷόν τ' ἦν, ἐπεὶ μηδὲ ἀγέννητός ἐστι μηδὲ αὐθυπόστατος· ἐκ δὲ τῆς οὐσίας εἰ πάντως ἐγίνετό τι συνεχῶς, ἀνελύετο δὲ εἰς αὐτὴν μηδέν, ἐπέλειπεν ἂν τῶν γιγνομένων ἡ οὐσία. τὴν δὴ τοιαύτην φύσιν ὁ θεὸς ὅδε μέτρῳ κινούμενος προσιὼν μὲν ὀρθοῖ καὶ ἐγείρει, πόρρω δὲ ἀπιὼν ἐλαττοῖ καὶ φθείρει, μᾶλλον δὲ αὐτὸς ἀεὶ ζωοποιεῖ κινῶν καὶ ἐποχετεύων αὐτῇ τὴν ζωήν· ἡ δὲ ἀπόλειψις αὐτοῦ καὶ ἡ πρὸς θάτερα μετάστασις αἰτία*
138 *γίνεται φθορᾶς τοῖς φθίνουσιν. ἀεὶ μὲν οὖν ἡ παρ' αὐτοῦ τῶν ἀγαθῶν δόσις ἴση κάτεισιν ἐπὶ τὴν γῆν· ἄλλοτε γὰρ ἄλλη δέχεται τὰ τοιαῦτα χώρα πρὸς τὸ μήτε τὴν γένεσιν ἐπιλείπειν μήτε τοῦ συνήθους ποτὲ τὸν θεὸν ἔλαττον ἢ πλέον εὖ ποιῆσαι τὸν παθητὸν κόσμον. ἡ γὰρ ταυτότης ὥσπερ τῆς οὐσίας, οὕτω δὲ καὶ τῆς ἐνεργείας ἐν τοῖς θεοῖς καὶ πρό γε τῶν ἄλλων παρὰ τῷ βασιλεῖ τῶν ὅλων Ἡλίῳ, ὃς καὶ τὴν κίνησιν ἁπλουστάτην ὑπὲρ ἅπαντας ποιεῖται τοὺς τῷ*

1 *μετὰ* V] *τι μετὰ* | *τὸ ἀνθρώπινον* V] *ἀνθρώπινον*. Malim *τἀνθρώπινον* 2 *θ' ἑαυτοῦ* marcil. 7 *οἷόν τε* VMb 8 *ἐπεὶ* libri] *ἐπειδὴ* | *ἀγέννητος* VMbG] *ἀγένητος* 9 *οὐσίας* Marcil.] *οὔσης* | *ἐγίνετο* V] *ἐγένετο* 10 *ἐπέλειπεν* VEFG, *ἐξέλειπεν* Mb, *ἐπέλιπε* v 11 *δὴ* VMb] *δὲ* 12 *ἐγείρει* VG] *διεγείρει* 13 *ἀεὶ* add. VMbFG 15 *μετάστασις* V spanh.] *μετάθεσις* 16 *γίγνεται* Mb | *φθίνουσιν* MbEFG] *φθίνουσι* pet., *φθείρουσιν* V, *φθείρουσι* spanh. 17 *τὴν γῆν* V] *τῇ γῇ* 19 *ἀπολείπειν* V 21 et 22 *οὕτω δὲ* H) *οὕτω δὴ*

παντὶ τὴν ἐναντίαν φερομένους· ὃ δὴ καὶ αὐτὸ τῆς B
πρὸς τοὺς ἄλλους ὑπεροχῆς αὐτοῦ σημεῖον ποιεῖται ὁ κλεινὸς Ἀριστοτέλης· ἀλλὰ καὶ παρὰ τῶν ἄλλων νοερῶν θεῶν οὐκ ἀμυδραὶ καθήκουσιν εἰς τὸν κόσμον τόνδε δυνάμεις. εἶτα τί τοῦτο; μὴ γὰρ ἀποκλείομεν τοὺς ἄλλους τούτῳ τὴν ἡγεμονίαν ὁμολογοῦντες δεδόσθαι; πολὺ δὲ πλέον ἐκ τῶν ἐμφανῶν ἀξιοῦμεν ὑπὲρ τῶν ἀφανῶν πιστεύειν. ὥσπερ γὰρ τὰς ἐνδιδομένας ἅπασιν ἐκεῖθεν δυνάμεις εἰς τὴν γῆν οὗτος φαίνεται C
τελεσιουργῶν καὶ συναρμόζων πρός τε ἑαυτὸν καὶ τὸ πᾶν, οὕτω δὴ νομιστέον καὶ ἐν τοῖς ἀφανέσιν αὐτῶν τὰς συνουσίας ἔχειν πρὸς ἀλλήλας, ἡγεμόνα μὲν ἐκείνην, συμφωνούσας δὲ πρὸς αὐτὴν τὰς ἄλλας ἅμα. ἐπεὶ καί, εἰ μέσον ἔφαμεν ἐν μέσοις ἱδρῦσθαι τὸν θεὸν τοῖς νοεροῖς θεοῖς, ποταπή τις ἡ μεσότης ἐστὶν ὧν αὖ χρὴ μέσον αὐτὸν ὑπολαβεῖν, αὐτὸς ἡμῖν ὁ βασιλεὺς εἰπεῖν Ἥλιος δοίη. μεσότητα μὲν δή φαμεν οὐ τὴν ἐν τοῖς ἐναντίοις θεωρουμένην ἴσον ἀφε- D
στῶσαν τῶν ἄκρων, οἷον ἐπὶ χρωμάτων τὸ ξανθὸν ἢ φαιόν, ἐπὶ δὲ θερμοῦ καὶ ψυχροῦ τὸ χλιαρόν, καὶ ὅσα τοιαῦτα, ἀλλὰ τὴν ἑνωτικὴν καὶ συνάγουσαν τὰ διεστῶτα, ὁποίαν τινά φησιν Ἐμπεδοκλῆς τὴν ἁρμονίαν ἐξορίζων αὐτῆς παντελῶς τὸ νεῖκος. τίνα οὖν ἐστιν, ἃ συνάγει, καὶ τίνων ἐστὶ μέσος; φημὶ δὴ οὖν ὅτι τῶν τε ἐμφανῶν καὶ περικοσμίων θεῶν καὶ τῶν ἀύλων καὶ νοητῶν, οἳ περὶ τἀγαθόν εἰσιν, ὥσπερ 139
πολυπλασιαζομένης ἀπαθῶς καὶ ἄνευ προσθήκης τῆς νοητῆς καὶ θείας οὐσίας. ὡς μὲν οὖν ἐστι μέση τις,

5 ἀποκλέωμεν V 14 εἰ μέσον MbEFG, εἰς μέσον V, μέσον v 16 et 17 ὁ βασιλεὺς εἰπεῖν V] εἰπεῖν ὁ βασιλεύς. Idem est verborum ordo 140 A 19 ἐπὶ χρωμάτων libri] ἐστι χρωμάτων 28 ὡς μὲν VMbEG] ὥσπερ | μέση τις V] μεσότης

οὐκ ἀπὸ τῶν ἄκρων κραθεῖσα, τελεία δὲ καὶ ἀμιγὴς ἀφ' ὅλων τῶν θεῶν ἐμφανῶν τε καὶ ἀφανῶν καὶ αἰσθητῶν καὶ νοητῶν ἡ τοῦ βασιλέως Ἡλίου νοερὰ καὶ πάγκαλος οὐσία, καὶ ὁποίαν τινὰ χρὴ τὴν μεσότητα νομίζειν, εἴρηται. εἰ δὲ δεῖ καὶ τοῖς καθ' ἕκαστον ἐπεξελθεῖν, ἵν' αὐτοῦ καὶ κατ' εἴδη τὸ μέσον τῆς οὐσίας, ὅπως ἔχει πρός τε τὰ πρῶτα καὶ τελευ- B ταῖα, τῷ νῷ κατίδωμεν, εἰ καὶ μὴ πάντα διελθεῖν ῥᾴδιον, ἀλλ' οὖν τὰ δυνατὰ φράσαι πειραθῶμεν.

Ἓν παντελῶς τὸ νοητὸν ἀεὶ προϋπάρχον, ταῦτα δὲ πάντα ὁμοῦ συνειληφὸς ἐν τῷ ἑνί. τί δέ; οὐχὶ καὶ ὁ σύμπας κόσμος ἕν ἐστι ζῷον ὅλον δι' ὅλου ψυχῆς καὶ νοῦ πλῆρες, τέλειον ἐκ μερῶν τελείων; ταύτης οὖν τῆς διπλῆς ἑνοειδοῦς τελειότητος· φημὶ δὲ τῆς ἐν τῷ νοητῷ πάντα ἐν ἑνὶ συνεχούσης, καὶ C τῆς περὶ τὸν κόσμον εἰς μίαν καὶ τὴν αὐτὴν φύσιν τελείαν συναγομένης ἑνώσεως· ἡ τοῦ βασιλέως Ἡλίου μέση τελειότης ἑνοειδής ἐστιν, ἐν τοῖς νοεροῖς ἱδρυμένη θεοῖς. ἀλλὰ δὴ τὸ μετὰ τοῦτο συνοχή τίς ἐστιν ἐν τῷ νοητῷ τῶν θεῶν κόσμῳ πάντα πρὸς τὸ ἓν συντάττουσα. τί δέ; οὐχὶ καὶ περὶ τὸν οὐρανὸν φαίνεται κύκλῳ πορευομένη τοῦ πέμπτου σώματος οὐσία, ἣ πάντα συνέχει τὰ μέρη καὶ σφίγγει πρὸς αὐτὰ συνέχουσα τὸ φύσει σκεδαστὸν αὐτῶν καὶ D ἀπορρέον ἀπ' ἀλλήλων; δύο δὴ ταύτας οὐσίας συνοχῆς αἰτίας, τὴν μὲν ἐν τοῖς νοητοῖς, τὴν δὲ ἐν τοῖς

1 καθεῖσα marcil. pet. 3 αἰσθητῶν libri] αἰσθητῶν τε 7 τελευταῖα] Fort. τὰ τελευταῖα 10 et 11 ταῦτα δὴ VMbEF. Malim τὰ δὲ 12 δι' ὅλης V spanh. 14 et 15 φημὶ δὲ H] φημὶ δὴ 23 et 24 πρὸς αὐτὰ H] πρὸς αὐτά. Vid. Matthiae gr. Gr. § 489 III, Krüger. gr. § 51, 2 ann. 6 et cf. infra 323 A. „Πρὸς αὐτὴν videbatur scriptum esse." Rsk. 25 τὰς ante *οὐσίας* videtur excidisse. Vid. tamen ad 305 A

αἰσθητοῖς φαινομένην ὁ βασιλεὺς Ἥλιος εἰς ταὐτὸ
συνάπτει, τῆς μὲν μιμούμενος τὴν συνεκτικὴν δύ-
ναμιν ἐν τοῖς νοεροῖς, ἅτε ἐξ αὐτῆς προελθών, τῆς
δὲ τελευταίας προκατάρχων, ἣ περὶ τὸν ἐμφανῆ
θεωρεῖται κόσμον. μή ποτε οὖν καὶ τὸ αὐθυπό-
στατον πρῶτον μὲν ἐν τοῖς νοητοῖς ὑπάρχον, τελευ-
ταῖον δ' (ἐν) τοῖς κατ' οὐρανὸν φαινομένοις μέσην
ἔχει τὴν τοῦ βασιλέως οὐσίαν αὐθυπόστατον Ἡλίου, 140
ἀφ' ἧς κάτεισιν οὐσίας πρωτουργοῦ εἰς τὸν ἐμφανῆ
κόσμον ἡ περιλάμπουσα τὰ σύμπαντα αὐγή; πάλιν
δὲ κατ' ἄλλο σκοποῦντι εἷς μὲν ὁ τῶν ὅλων δη-
μιουργός, πολλοὶ δὲ οἱ κατ' οὐρανὸν περιπολοῦντες
δημιουργικοὶ θεοί. μέσην ἄρα καὶ τούτων τὴν ἀφ'
Ἡλίου καθήκουσαν εἰς τὸν κόσμον δημιουργίαν θε-
τέον. ἀλλὰ καὶ τὸ γόνιμον τῆς ζωῆς πολὺ μὲν καὶ
ὑπέρπληρες ἐν τῷ νοητῷ, φαίνεται δὲ ζωῆς γονίμου B
καὶ ὁ κόσμος ὢν πλήρης. πρόδηλον οὖν ὅτι καὶ τὸ
γόνιμον τοῦ βασιλέως Ἡλίου τῆς ζωῆς μέσον ἐστὶν
ἀμφοῖν, ἐπεὶ τούτῳ μαρτυρεῖ καὶ τὰ φαινόμενα· τὰ
μὲν γὰρ τελειοῖ τῶν εἰδῶν, τὰ δὲ ἐργάζεται, τὰ δὲ
κοσμεῖ, τὰ δὲ ἀνεγείρει, καὶ ἓν οὐδέν ἐστιν, ὃ δίχα
τῆς ἀφ' Ἡλίου δημιουργικῆς δυνάμεως εἰς φῶς πρό-
εισι καὶ γένεσιν. ἔτι πρὸς τούτοις εἰ τὴν ἐν τοῖς
νοητοῖς ἄχραντον καὶ καθαρὰν [καὶ] ἄυλον οὐσίαν C
νοήσαιμεν, οὐδενὸς ἔξωθεν αὐτῇ προσιόντος οὐδὲ
ἐνυπάρχοντος ἀλλοτρίου, πλήρη δὲ τῆς οἰκείας ἀχράν-

1 ταὐτὸ H] αὐτὰ V, αὐτὸν G, ταὐτὰ v 2 συνάπτει V] συνάγει 4 προκατάρχων] προϋπαρχων? „Τῇ δὲ τῆς τελειότητος προκατάρχων.“ B. Friederich 6 νοεροῖς V 7 δ' ἐν H] δὲ. cf. ad 169 A | τὸν οὐρανὸν V. At vid. 140 A et 146 D 13 ἄρα VMb] ἀρα 19 τούτω V] τοῦτο 21 ἓν add. VMbEF. cf. 109 C 163 A 24 καὶ ante ἄυλον om. V 26 ἀχράντου οἰκείας V

του καθαρότητος, τήν τε ἐν τῷ κόσμῳ περὶ τὸ κύκλῳ φερόμενον σῶμα πρὸς πάντα ἀμιγῆ τὰ στοιχεῖα λίαν εἰλικρινῆ καὶ καθαρὰν φύσιν ἀχράντου καὶ δαιμονίου σώματος, εὑρήσομεν καὶ τὴν τοῦ βασιλέως Ἡλίου λαμπρὰν καὶ ἀκήρατον οὐσίαν ἀμφοῖν μέσην,
D τῆς τε ἐν τοῖς νοητοῖς ἀύλου καθαρότητος καὶ τῆς ἐν τοῖς αἰσθητοῖς ἀχράντου καὶ ἀμιγοῦς πρὸς γένεσιν καὶ φθορὰν καθαρᾶς εἰλικρινείας. μέγιστον δὲ τούτου τεκμήριον, ὅτι μηδὲ τὸ φῶς, ὃ μάλιστα ἐκεῖθεν ἐπὶ γῆν φέρεται, συμμίγνυταί τινι μηδὲ ἀναδέχεται ῥύπον καὶ μίασμα, μένει δὲ πάντως ἐν πᾶσι τοῖς οὖσιν ἄχραντον καὶ ἀμόλυντον καὶ ἀπαθές. ἔτι δὲ προσεκτέον τοῖς ἀύλοις εἴδεσι καὶ νοητοῖς, ἀλλὰ καὶ τοῖς αἰσθητοῖς, ὅσα περὶ τὴν ὕλην ἐστὶν ἢ περὶ τὸ ὑποκείμενον. ἀναφανήσεται πάλιν ἐνταῦθα μέσον τὸ
141 νοερὸν τῶν περὶ τὸν μέγαν Ἥλιον εἰδῶν, ὑφ' ὧν καὶ τὰ περὶ τὴν ὕλην εἴδη βοηθεῖται μήποτε ἂν δυνηθέντα μήτε εἶναι μήτε σώζεσθαι μὴ παρ' ἐκείνου πρὸς τὴν οὐσίαν συνεργούμενα. τί γάρ; οὐχ οὗτός ἐστι τῆς διακρίσεως τῶν εἰδῶν καὶ συγκρίσεως τῆς ὕλης αἴτιος, οὐ νοεῖν ἡμῖν αὐτὸν μόνον παρέχων, ἀλλὰ καὶ ὁρᾶν ὄμμασιν; ἡ γάρ τοι τῶν ἀκτίνων εἰς πάντα τὸν κόσμον διανομὴ καὶ ἡ τοῦ φωτὸς ἕνω-
B σις τὴν δημιουργικὴν ἐνδείκνυται διάκρισιν τῆς ποιήσεως.

Πολλῶν δὲ ὄντων ἔτι περὶ τὴν οὐσίαν τοῦ θεοῦ τῶν φαινομένων ἀγαθῶν, ἃ δὴ ὅτι μέσος ἐστὶ τῶν

8 καθαρᾶς libri] καὶ καθαρᾶς | τούτου VMbEF] τοῦτο 10 γῆν] γῆς MbEFG 15 ὑποκείμενον. ἀναφανήσεται πάλιν interpungit Marcil., ὑποκείμενον ἀναφανήσεται. πάλιν v 21 αὐτὸν] αὐτὰ scil. τὰ εἴδη Marcil. 23 πάντα V] ἅπαντα 24 διάκρισιν τῆς ποιήσεως V] τῆς ποιήσεως διάκρισιν 27 ὅτι

τε νοητῶν καὶ τῶν ἐγκοσμίων θεῶν παρίστησιν, ἐπὶ
τὴν τελευταίαν αὐτοῦ μετίωμεν ἐμφανῆ λῆξιν. πρώτη
μὲν οὖν ἐστιν αὐτοῦ τῶν περὶ τὸν τελευταῖον κό-
σμον ἡ τῶν ἡλιακῶν ἀγγέλων οἷον ἐν παραδείγματι
τὴν ἰδέαν καὶ τὴν ὑπόστασιν ἔχουσα· μετὰ ταύτην
δὲ ἡ τῶν αἰσθητῶν γεννητική, ἧς τὸ μὲν τιμιώτερον C
οὐρανοῦ καὶ ἀστέρων ἔχει τὴν αἰτίαν, τὸ δὲ ὑπο-
δεέστερον ἐπιτροπεύει τὴν γένεσιν, ἐξ ἀιδίου περι-
έχον αὐτῆς ἐν ἑαυτῷ τὴν ἀγέννητον αἰτίαν. ἅπαντα
μὲν οὖν τὰ περὶ τὴν οὐσίαν τοῦ θεοῦ τοῦδε διελ-
θεῖν οὐδὲ εἴ τῳ δοίη νοῆσαι αὐτὸς ὁ θεὸς οὗτος
δυνατόν, ὅπου καὶ τὰ πάντα περιλαβεῖν τῷ νῷ ἔμοιγε
φαίνεται ἀδύνατον.

Ἐπεὶ δὲ πολλὰ διεληλύθαμεν, ἐπιθετέον ὥσπερ
σφραγῖδα τῷ λόγῳ τῷδε μέλλοντας ἐφ' ἕτερα μετα-
βαίνειν οὐκ ἐλάττονος τῆς θεωρίας δεόμενα. τίς D
οὖν ἡ σφραγὶς καὶ οἷον ἐν κεφαλαίῳ τὰ πάντα περι-
λαμβάνουσα ἡ περὶ τῆς οὐσίας τοῖ θεοῦ νόησις,
αὐτὸς ἡμῖν ἐπὶ νοῦν θείη βουλομένοις ἐν βραχεῖ
συνελεῖν τήν τε αἰτίαν, ἀφ' ἧς προῆλθε, καὶ αὐτὸς
ὅστις ἐστί, τίνων τε ἀποπληροῖ τὸν ἐμφανῆ κόσμον.
ῥητέον οὖν ὡς ἐξ ἑνὸς μὲν προῆλθε τοῖ θεοῦ εἷς
ἀφ' ἑνὸς τοῦ νοητοῦ κόσμου βασιλεὺς Ἥλιος, τῶν
νοερῶν θεῶν μέσος ἐν μέσοις τεταγμένος κατὰ παν- 142
τοίαν μεσότητα, τὴν ὁμόφρονα καὶ φίλην καὶ τὰ
διεστῶτα συνάγουσαν, εἰς ἕνωσιν ἄγων τὰ τελευταῖα

μέσος H] τὸ μέσον. Marcil. ἐπὶ pro ἐστὶ conjecit, Pet. ἐστὶ seclusit 5 τὴν ὑπόστασιν V] ὑπόστασιν 9 αἰτίαν V] οὐσίαν. cf. 142 A 143 C 11 οὐδὲ H] οὔτε | δοίη libri] δοίη ἂν τὸ | αὐτὸς] αὐτὰ V | ὁ θεὸς οὗτος V] οὗτος ὁ θεὸς 12 τὰ πάντα libri] πάντα 18 Post νόησις add. ἣν MbEFG 21 ἀποπληροῖ libri] καὶ ἀποπληροῖ 24 μέσος ἐν om. pet. | ἐντεταγμένος pet. 26 καὶ post συνάγουσαν add. MbEFG

τοῖς πρώτοις, τελειότητος καὶ συνοχῆς καὶ γονίμου ζωῆς καὶ τῆς ἑνοειδοῦς οὐσίας τὰ μέσα ἔχων ἐν ἑαυτῷ, τῷ τε αἰσθητῷ κόσμῳ παντοίων ἀγαθῶν προκαθηγούμενος, οὐ μόνον δι' ἧς αὐτὸς αὐγῆς περιλάμπει κοσμῶν καὶ φαιδρύνων, ἀλλὰ καὶ τὴν οὐσίαν τῶν ἡλιακῶν ἀγγέλων ἑαυτῷ συνυποστήσας B καὶ τὴν ἀγέννητον αἰτίαν τῶν γινομένων περιέχων, ἔτι τε πρὸ ταύτης τῶν ἀιδίων σωμάτων τὴν ἀγήρω καὶ μόνιμον τῆς ζωῆς αἰτίαν.

Ἃ μὲν οὖν περὶ τῆς οὐσίας ἐχρῆν εἰπεῖν τοῦ θεοῦ τοῦδε, καίτοι τῶν πλείστων παραλειφθέντων, εἴρηται ὅμως οὐκ ὀλίγα· ἐπεὶ δὲ τὸ τῶν δυνάμεων αὐτοῦ πλῆθος καὶ τὸ τῶν ἐνεργειῶν κάλλος τοσοῦτόν ἐστιν, ὥστε εἶναι τῶν περὶ τὴν οὐσίαν αὐτοῦ θεωρουμένων ὑπερβολήν, ἐπεὶ καὶ πέφυκε τὰ θεῖα προϊόντα εἰς τὸ ἐμφανὲς πληθύνεσθαι διὰ τὸ περιὸν C καὶ γόνιμον τῆς ζωῆς, ὅρα τί δράσομεν, οἳ πρὸς ἀχανὲς πέλαγος ἀποδυόμεθα, μόγις καὶ ἀγαπητῶς ἐκ πολλοῦ τοῦ πρόσθεν ἀναπαυόμενοι λόγου. τολμητέον δ' ὅμως τῷ θεῷ θαρροῦντα καὶ πειρατέον ἅψασθαι τοῦ λόγου.

Κοινῶς μὲν δὴ τὰ πρόσθεν ῥηθέντα περὶ τῆς οὐσίας αὐτοῦ ταῖς δυνάμεσι προσήκειν ὑποληπτέον. οὐ γὰρ ἄλλο μέν ἐστιν οὐσία θεοῦ, δύναμις δὲ ἄλλο, D καὶ μὰ Δία τρίτον παρὰ ταῦτα ἐνέργεια. πάντα γὰρ ἅπερ βούλεται, ταῦτα ἔστι καὶ δύναται καὶ ἐνεργεῖ·

4 προκαθηγούμενος MbEF marcil.] προηγούμενος V pet. spanh. 5 κοσμῶν libri] κοσμῶν τε 7 τῶν γινομένων libri] γινομένων 10 ἐχρῆν εἰπεῖν VG] εἰπεῖν ἐχρῆν 17 ὥρα V] δράσωμεν marcil. 20 θαρσοῦντα V 23 δυνάμεσι VMb] δυνάμεσιν 25 μὰ H] νή. vid. ad 212 B 26 ὅπερ V] ἔστι H] ἐστι

οὔτε γὰρ ὃ μὴ ἔστι βούλεται, οὔτε ὃ βούλεται δρᾶν οὐ σθένει, οὔθ' ὃ μὴ δύναται ἐνεργεῖν ἐθέλει. ταῦτα μὲν οὖν περὶ τὸν ἄνθρωπον οὐχ ὧδε ἔχει· διττὴ γάρ ἐστι μαχομένη φύσις εἰς ἓν κεκραμένη ψυχῆς καὶ σώματος, τῆς μὲν θείας, τοῦ δὲ σκοτεινοῦ τε καὶ ζοφώδους· ἔοικέ τε εἶναι μάχη τις καὶ στάσις. ἐπεὶ καὶ Ἀριστοτέλης φησὶ διὰ τὸ τοιοῦτο μήτε τὰς ἡδονὰς ὁμολογεῖν μήτε τὰς λύπας ἀλλήλαις ἐν ἡμῖν· 143
τὸ γὰρ θατέρᾳ, φησί, τῶν ἐν ἡμῖν φύσεων ἡδὺ τῇ πρὸς ταύτην ἀντικειμένῃ πέφυκεν ἀλγεινόν· ἐν δὲ τοῖς θεοῖς οὐδέν ἐστι τούτων· οὐσίᾳ γὰρ αὐτοῖς ὑπάρχει τἀγαθὰ καὶ διηνεκῶς, οὐ ποτὲ μέν, ποτὲ δ' οὔ. πρῶτον οὖν ὅσαπερ ἔφαμεν, τὴν οὐσίαν αὐτοῦ παραστῆσαι βουλόμενοι, ταῦθ' ἡμῖν εἰρῆσθαι καὶ περὶ τῶν δυνάμεων καὶ ἐνεργειῶν νομιστέον. ἐπεὶ δὲ ἐν τοῖς τοιούτοις ὁ λόγος ἔοικεν ἀντιστρέφειν, ὅσα καὶ περὶ τῶν δυνάμεων αὐτοῦ καὶ ἐνεργειῶν ἐφεξῆς σκοποῦμεν, ταῦτα οὐκ ἔργα μόνον, ἀλλὰ καὶ B
οὐσίαν νομιστέον. εἰσὶ γάρ τοι θεοὶ συγγενεῖς Ἡλίῳ καὶ συμφυεῖς, τὴν ἄχραντον οὐσίαν τοῦ θεοῦ κορυφούμενοι, πληθυνόμενοι μὲν ἐν τῷ κόσμῳ, περὶ αὐτὸν δὲ ἑνοειδῶς ὄντες. ἄκουε δὴ πρῶτον ὅσα φασὶν οἱ τὸν οὐρανὸν οὐχ ὥσπερ ἵπποι καὶ βόες ὁρῶντες ἤ τι τῶν ἀλόγων καὶ ἀμαθῶν ζῴων, ἀλλ' ἐξ αὐτοῦ

1 οὔτε H] οὐδὲ | μὴ ἔστι V] μή ἐστι | οὔτε H] οὐδὲ 5 σκοτεινοῦ τε V] σκοτεινοῦ 7 Aristot. Eth. Nic. VII, 15 p. 1154 b 20 | τοιοῦτο V] τοιοῦτον | μήτε bis H] μηδὲ 9 τὸ γὰρ MbEFG marcil. pet.] ἡ γὰρ V spanh. 9 et 10 θατέρᾳ, φησί, τῶν ἐν ἡμῖν φύσεων ἡδὺ τῇ πρὸς ταύτην ἀντικειμένῃ Pet., praeeunte in plerisque Marcilio, θάτερον MbEF, φύσεων αὕτη πρὸς ταύτην ἀντικειμένη libri et v 11 τούτων] Malim τοιοῦτον 12 τἀγαθὰ MbEFG] τὰ ἀγαθὰ 12 et 13 δὲ οὐ VMb 22 ἄκουε Marcil.] ἀκούετε 24 ἤ τί V | αὐτοῦ libri] αὐτοῦ τοῦ φανεροῦ

τὴν ἀφανῆ πολυπραγμονοῦντες φύσιν· ἔτι δὲ πρὸ τούτων, εἴ σοι φίλον, περὶ τῶν ὑπερκοσμίων δυνά-
C *μεων αὐτοῦ καὶ ἐνεργειῶν καὶ ἐκ μυρίων τὸ πλῆθος ὀλίγα θέασαι. πρώτη δὴ τῶν δυνάμεών ἐστιν αὐτοῦ, δι' ἧς ὅλην δι' ὅλης τὴν νοερὰν οὐσίαν, τας ἀκρότητας αὐτῆς εἰς ἓν καὶ ταὐτὸ συνάγων, ἀποφαίνει μίαν. ὅσπερ γὰρ περὶ τὸν αἰσθητόν ἐστι κόσμον ἐναργῶς κατανοῆσαι, πυρὸς καὶ γῆς εἰλημμένον ἀέρα καὶ ὕδωρ ἐν μέσῳ, τῶν ἄκρων σύνδεσμον, τοῦτο οὐκ ἄν τις εἰκότως ἐπὶ τῆς πρὸ τῶν*
D *σωμάτων αἰτίας κεχωρισμένης, ἣ τῆς γενέσεως ἔχουσα τὴν ἀρχὴν οὐκ ἔστι γένεσις, οὕτω διατετάχθαι νομίσειεν, ὥστε καὶ ἐν ἐκείνοις τὰς ἄκρας αἰτίας κεχωρισμένας πάντη τῶν σωμάτων ὑπό τινων μεσοτήτων εἰς ταὐτὸ παρὰ τοῦ βασιλέως Ἡλίου συναγομένας ἑνοῦσθαι περὶ αὐτόν. συντρέχει δὲ αὐτῷ καὶ ἡ τοῦ Διὸς δημιουργικὴ δύναμις, (δι') ἣν ἔφαμεν καὶ πρότερον ἱδρῦσθαί τε αὐτοῖς ἐν Κύπρῳ καὶ ἀποδεδεῖ-*
144 *χθαι κοινῇ τὰ τεμένη· καὶ τὸν Ἀπόλλω δὲ αὐτὸν ἐμαρτυρόμεθα τῶν λόγων, ὃν εἰκὸς δήπουθεν ὑπὲρ τῆς ἑαυτοῦ φύσεως ἄμεινον εἰδέναι· σύνεστι γὰρ καὶ οὗτος Ἡλίῳ καὶ ἐπικοινωνεῖ καὶ τὴν ἁπλότητα τῶν νοήσεων καὶ τὸ μόνιμον τῆς οὐσίας καὶ κατὰ ταὐτὰ ὂν τῆς ἐνεργείας. ἀλλὰ καὶ τὴν Διονύσου μεριστὴν δημιουργίαν οὐδαμοῦ φαίνεται χωρίζων ὁ*

4 *θέασαι* H] *θεάσῃ* | *δὴ* MbEFG] *δὲ* | *ἐστιν αὐτοῦ* V] *αὐτοῦ ἐστι* 6 *αὐτῆς*] *αὐτὴν* V 7 *περὶ τὸν αἰσθητόν ἐστι* V] *ἐστι περὶ τὸν αἰσθητὸν* 8 *εἰλημμένον* VMbEF] *εἰλημένον* 11 *αἰτίας* V] *οὐσίας* | *ἣ* Pet.] *ἢ* | *γενέσεως* Mb] *γεννήσεως* 15 *ταὐτὸ* H] *ταῦτα* 17 *δι' ἣν* H] *ἣν* 18 *ἱδρῦσθαι* V 19 *ἀπόλλω* libri] *Ἀπόλλωνα* 20 *τῶν λόγων* V] *τῷ λόγῳ* 22 *καὶ οὗτος ἡλίω* V] *ἡλίῳ καὶ οὗτος* | *καὶ τὴν*] *διὰ τὴν* H. cf. 149 C

θεὸς Ἡλίου· τούτῳ δὲ αὐτὴν ὑποτάττων ἀεὶ καὶ ἀποφαίνων σύνθρονον ἐξηγητὴς ἡμῖν ἐστι τῶν ἐπὶ τοῦ θεοῦ καλλίστων διανοημάτων. πάσας δὲ ἐν αὑτῷ περιέχων ὁ θεὸς ὅδε τὰς ἀρχὰς τῆς καλλίστης νο- B ερᾶς συγκράσεως Ἥλιος Ἀπόλλων ἐστὶ Μουσηγέτης. ἐπεὶ δὲ καὶ ὅλην ἡμῖν τὴν τῆς εὐταξίας ζωὴν συμπληροῖ, γεννᾷ μὲν ἐν κόσμῳ τὸν Ἀσκληπιόν, ἔχει δὲ αὐτὸν καὶ πρὸ τοῦ κόσμου παρ' ἑαυτῷ.

Ἀλλὰ πολλὰς μὲν ἄν τις καὶ ἄλλας περὶ τὸν θεὸν τόνδε δυνάμεις θεωρῶν οὔποτ' ἂν ἐφίκοιτο πασῶν· ἀπόχρη δὲ τῆς μὲν χωριστῆς καὶ πρὸ τῶν σωμάτων ἐπ' αὐτῶν οἶμαι τῶν αἰτιῶν, αἳ κεχωρισμέναι τῆς φανερᾶς προϋπάρχουσι δημιουργίας, ἴσην C Ἡλίῳ καὶ Διὶ τὴν δυναστείαν καὶ μίαν ὑπάρχουσαν τεθεωρηκέναι, τὴν δὲ ἁπλότητα τῶν νοήσεων μετὰ τοῦ διαιωνίου καὶ κατὰ ταὐτὰ μονίμου ξὺν Ἀπόλλωνι τεθεαμένοις, τὸ δὲ μεριστὸν τῆς δημιουργίας μετὰ τοῦ τὴν μεριστὴν ἐπιτροπεύοντος οὐσίαν Διονύσου, τὸ δὲ τῆς καλλίστης συμμετρίας καὶ νοερᾶς κράσεως περὶ τὴν τοῦ Μουσηγέτου δύναμιν τεθεωρηκόσι, τὸ συμπληροῦν δὲ τὴν εὐταξίαν τῆς ὅλης ζωῆς ξὺν Ἀσκληπιῷ νοοῦσι. τοσαῦτα μὲν ὑπὲρ τῶν προκοσμίων αὐτοῦ δυνάμεων, ἔργα δὲ ὁμοταγῆ ταύ- D ταις ὑπὲρ τὸν ἐμφανῆ κόσμον ἡ τῶν ἀγαθῶν ἀποπλήρωσις. ἐπειδὴ γάρ ἐστι γνήσιος ἔγγονος τἀγαθοῦ, παραδεξάμενος παρ' αὐτοῦ τελείαν τὴν ἀγαθὴν μοῖ-

2 ἐπὶ Pet.] ὑπὸ 3 πάσας VMbG] ὁπόσας 5 ἥλιος] „Expunxerim hanc vocem." Pet. 11 ἀπόχρη δὲ H] ἀποχρῆν δὲ Marcil., ἀποχρῆν libri et v 16 ταὐτὸν MbEFG | ξὺν V] σὺν 22 ξὺν V] σὺν 25 ἔγγονος V] ἔκγονος | τἀγαθοῦ libri] τοῦ ἀγαθοῦ 26 τελείαν VG, τελείων MbEF, τέλειον v

ραν, αὐτὸς ἅπασι τοῖς νοεροῖς διανέμει θεοῖς, ἀγαθοεργὸν καὶ τελείαν αὐτοῖς διδοὺς τὴν οὐσίαν. ἓν μὲν δὴ τουτί. δεύτερον δὲ ἔργον ἐστὶ τοῦ θεοῦ ἡ
145 τοῦ νοητοῦ κάλλους ἐν τοῖς νοεροῖς καὶ ἀσωμάτοις εἴδεσι τελειοτάτη διανομή. τῆς γὰρ ἐν τῇ φύσει φαινομένης οὐσίας γονίμου γεννᾶν ἐφιεμένης ἐν τῷ καλῷ καὶ ὑπεκτίθεσθαι τὸν τόκον, ἔτι ἀνάγκη προηγεῖσθαι τὴν ἐν τῷ νοητῷ κάλλει τοῦτο αὐτὸ διαιωνίως καὶ ἀεὶ ποιοῦσαν, ἀλλ' οὐχὶ νῦν μέν, εἰσαῦθις δὲ οὔ, καὶ ποτὲ μὲν γεννῶσαν, αὖθις δὲ ἄγονον. ὅσα γὰρ ἐνταῦθα ποτὲ καλά, ταῦτα ἐν τοῖς νοητοῖς ἀεί. ῥητέον τοίνυν αὐτοῦ τῆς ἐν τοῖς φαινομένοις
B αἰτίας γονίμου προκαθηγεῖσθαι τὸν ἐν τῷ νοερῷ καὶ διαιωνίῳ κάλλει τόκον ἀγέννητον, ὃν ὁ θεὸς οὗτος ἔχει [καὶ] περὶ ἑαυτὸν ὑποστήσας, ᾧ καὶ τὸν τέλειον νοῦν διανέμει, καθάπερ ὄμμασιν ἐνδιδοὺς διὰ τοῦ φωτὸς τὴν ὄψιν, οὕτω δὲ καὶ ἐν τοῖς (νοητοῖς) διὰ τοῦ νοεροῦ παραδείγματος, ὃ προτείνει πολὺ φανότερον τῆς αἰθερίας αὐγῆς, πᾶσιν οἶμαι τοῖς νοεροῖς τὸ νοεῖν καὶ τὸ νοεῖσθαι παρέχει. ἑτέρα πρὸς ταύ-
C ταις ἐνέργεια θαυμαστὴ φαίνεται περὶ τὸν βασιλέα τῶν ὅλων Ἥλιον ἡ τοῖς κρείττοσι γένεσιν ἐνδιδομένη μοῖρα βελτίων, ἀγγέλοις, δαίμοσιν, ἥρωσι ψυχαῖς τε μερισταῖς, ὁπόσαι μένουσιν ἐν παραδείγματος καὶ ἰδέας λόγῳ, μήποτε ἑαυτὰς διδοῦσαι σώματι. τὴν μὲν οὖν προκόσμιον οὐσίαν τοῦ θεοῦ δυνάμεις τε αὐτοῦ καὶ ἔργα τὸν βασιλέα τῶν ὅλων ὑμνοῦντες

4 τοῦ νοεροῦ MbEFG 11 ποτὲ V] ποτε 15 καὶ inclusit H 17 νοητοῖς add. Pet. 18 φανότερον marg. pet., φανοτέρου v, φανερωτέρου MbEFG, φανερώτερον marcil. 20 τὸ νοεῖσθαι V] νοεῖσθαι 25 αὐτὰς V

Ἥλιον, ἐφ' ὅσον ἡμῖν οἷόν τε ἦν ἐφικέσθαι τῆς περὶ αὐτὸν εὐφημίας σπεύδοντες, διεληλύθαμεν. ἐπεὶ D δὲ ὄμματα, φησίν, ἀκοῆς ἐστι πιστότερα, καίτοι τῆς νοήσεως ὄντα γε ἀπιστότερα καὶ ἀσθενέστερα, φέρε καὶ περὶ τῆς ἐμφανοῦς αὐτοῦ δημιουργίας αἰτησάμενοι παρ' αὐτοῦ τὸ μετρίως εἰπεῖν πειραθῶμεν.

Ὑπέστη μὲν οὖν περὶ αὐτὸν ὁ φαινόμενος ἐξ αἰῶνος κόσμος, ἕδραν δὲ ἔχει τὸ περικόσμιον φῶς ἐξ αἰῶνος, οὐχὶ νῦν μέν, τότε δὲ οὔ, οὐδὲ ἄλλοτε ἄλλως, ἀεὶ δὲ ὡσαύτως. ἀλλ' εἴ τις ταύτην τὴν διαιώνιον φύσιν ἄχρις ἐπινοίας ἐθελήσειε χρονικῶς κατανοῆσαι, τὸν βασιλέα τῶν ὅλων Ἥλιον ἀθρόως 146 καταλάμποντα, ῥᾷστα ἂν γνοίη, πόσων αἴτιός ἐστι δι' αἰῶνος ἀγαθῶν τῷ κόσμῳ. οἶδα μὲν οὖν καὶ Πλάτωνα τὸν μέγαν καὶ μετὰ τοῦτον ἄνδρα τοῖς χρόνοις, οὔτι μὴν τῇ φύσει καταδεέστερον· τὸν Χαλκιδέα φημί, τὸν Ἰάμβλιχον· ὃς ἡμᾶς τά τε ἄλλα περὶ τὴν φιλοσοφίαν καὶ δὴ καὶ ταῦτα διὰ τῶν λόγων ἐμύησεν, ἄχρις ὑποθέσεως τῷ γεννητῷ προσχρωμένους καὶ οἱονεὶ χρονικήν τινα τὴν ποίησιν ὑποτιθεμένους, ἵνα τὸ μέγεθος τῶν παρ' αὐτοῦ γινομένων ἔργων B ἐπινοηθείη. πλὴν ἀλλ' ἔμοιγε τῆς ἐκείνων ἀπολειπομένῳ παντάπασι δυνάμεως οὐδαμῶς ἐστι παρακινδυνευτέον, ἐπείπερ ἀκίνδυνον οὐδὲ αὐτὸ τὸ μέχρι ψιλῆς ὑποθέσεως χρονικήν τινα περὶ τὸν κόσμον ὑποθέσθαι ποίησιν ὁ κλεινὸς ἥρως ἐνόμισεν Ἰάμβλιχος. πλὴν ἀλλ' ἐπείπερ ὁ θεὸς ἐξ αἰωνίου προῆλθεν αἰτίας, μᾶλλον δὲ προήγαγε πάντα ἐξ αἰῶνος,

3 φησὶν libri] φασὶν 7 et 8 ἐξ αἰῶνος κόσμος V] κόσμος ἐξ αἰῶνος 12 βασιλέα] μὲν MbEFG 16 χρόνοις libri] χρόνοις μὲν | τῇ φύσει libri] φύσει 24 ἐπείπερ H] εἴπερ | αὐτὸ] αὐτῷ V 27 παρῆλθεν libri

C ἀπὸ τῶν ἀφανῶν τὰ φανερὰ βουλήσει θείᾳ καὶ ἀρ-
ρήτῳ τάχει καὶ ἀνυπερβλήτῳ δυνάμει πάντα ἀθρόως
ἐν τῷ νῦν ἀπογεννήσας χρόνῳ, ἀπεκληρώσατο μὲν
οἷον οἰκειοτέραν ἕδραν τὸ μέσον οὐρανοῦ, ἵνα παν-
ταχόθεν ἴσα διανέμῃ τἀγαθὰ τοῖς ὑπ᾽ αὐτοῦ καὶ
| σὺν αὐτῷ προελθοῦσι θεοῖς, ἐπιτροπεύῃ δὲ τὰς ἑπτὰ
καὶ τὴν ὀγδόην οὐρανοῦ κυκλοφορίαν, ἐνάτην τε
οἶμαι δημιουργίαν τὴν ἐν γενέσει καὶ φθορᾷ συνεχεῖ
διαιωνίως ἀνακυκλουμένην γένεσιν. οἵ τε γὰρ πλά-
D νητες εὔδηλον ὅτι περὶ αὐτὸν χορεύοντες μέτρον
ἔχουσι τῆς κινήσεως τὴν πρὸς τὸν θεὸν τόνδε τοι-
άνδε περὶ τὰ σχήματα συμφωνίαν, ὅ τε ὅλος οὐρα-
νὸς αὐτῷ κατὰ πάντα συναρμοζόμενος ἑαυτοῦ τὰ
μέρη θεῶν ἐστιν ἐξ Ἡλίου πλήρης. ἔστι γὰρ ὁ θεὸς
ὅδε πέντε μὲν κύκλων ἄρχων κατ᾽ οὐρανόν, τρεῖς
δὲ ἐκ τούτων ἐπιὼν ἐν τρισὶ τρεῖς γεννᾷ τὰς χάρι-
τας· οἱ λειπόμενοι δὲ μεγάλης ἀνάγκης εἰσὶ πλάστιγ-
147 γες. ἀξύνετον ἴσως λέγω τοῖς Ἕλλησιν, ὥσπερ δέον
μόνον τὰ συνήθη καὶ γνώριμα λέγειν· οὐ μὴν οὐδὲ
τοῦτό ἐστιν, ὡς ἂν τις ὑπολάβοι, παντελῶς ξένον.
οἱ Διόσκουροι τίνες ὑμῖν εἰσιν, ὦ σοφώτατοι καὶ
ἀβασανίστως τὰ πολλὰ παραδεχόμενοι; οὐχ ἑτερήμεροι
λέγονται, διότι μὴ θέμις ὁρᾶσθαι τῆς αὐτῆς ἡμέρας;
ὑμεῖς ὅπως ἀκούετε εὔδηλον ὅτι τῆς χθὲς καὶ τή-
μερον. εἶτα τί νοεῖ τοῦτο, πρὸς αὐτῶν τῶν Διοσ-
κούρων; ἐφαρμόσωμεν αὐτὸ φύσει τινὶ καὶ πρά-
B γματι, καινὸν ἵνα μηδὲν μηδὲ ἀνόητον λέγωμεν. ἀλλ᾽

5 ἴσα V | τἀγαθὰ libri] τὰ ἀγαθὰ 7 ἐννάτην Mb 8 συνέχει V 13 αὐτῷ Pet.] αὐτοῦ 14 ἐστιν] ἐς τὸ V | πλῆρες V 17 ἀνάγκης εἰσὶ V] εἰσὶν ἀνάγκης 18 ἀξύνετον V] ἀσύνετον 21 ὑμῖν marg. pet.] ἡμῖν 24 ὑμεῖς Heylerus] ἡμεῖς 25 τί libri] καὶ 27 καινὸν Mb] κοινὸν. *Malim* κενὸν coll. 116 A | μηδὲν H] μηθὲν

οὐκ ἂν εὕροιμεν ἀκριβῶς ἐξετάζοντες· οὐδὲ γὰρ ὡς ὑπέλαβον εἰρῆσθαί τινες πρὸς τῶν θεολόγων ἡμισφαίρια τοῦ παντὸς τὰ δύο λόγον ἔχει τινά· πῶς γάρ ἐστιν ἑτερήμερον αὐτῶν ἕκαστον οὐδὲ ἐπινοῆσαι ῥᾴδιον, ἡμέρας ἑκάστης ἀνεπαισθήτου τῆς κατὰ τὸν φωτισμὸν αὐτῶν παραυξήσεως γινομένης. σκεψώμεθα δὲ νῦν ὑπὲρ ὧν αὐτοὶ καινοτομεῖν ἴσως τῳ δοκοῦμεν. τῆς αὐτῆς ἡμέρας ἐκεῖνοι μετέχειν ὀρθῶς ἂν C ῥηθεῖεν, ὁπόσοις ἴσος ἐστὶν ὁ τῆς ὑπὲρ γῆν ἡλίου πορείας χρόνος ἐν ἑνὶ καὶ τῷ αὐτῷ μηνί. ὁράτω τις οὖν, εἰ μὴ τὸ ἑτερήμερον τοῖς κύκλοις ἐφαρμόζει τοῖς τε ἄλλοις καὶ τοῖς τροπικοῖς. ὑπολήψεταί τις· οὐκ ἴσον ἐστίν. οἱ μὲν γὰρ ἀεὶ φαίνονται, καὶ τοῖς τὴν ἀντίσκιον οἰκοῦσι γῆν ἀμφοτέροις ἀμφότεροι, τῶν δὲ οἱ θάτερον ὁρῶντες οὐδαμῶς ὁρῶσι θάτερον. ἀλλ' ἵνα μὴ πλείω περὶ τῶν αὐτῶν λέγων διατρίβω, D τὰς τροπὰς ἐργαζόμενος, ὥσπερ ἴσμεν, πατὴρ ὡρῶν ἐστιν, οὐκ ἀπολείπων δὲ οὐδαμῶς τοὺς πόλους Ὠκεανὸς ἂν εἴη, διπλῆς ἡγεμὼν οὐσίας. μῶν ἀσαφές τι καὶ τοῦτο λέγομεν, ἐπείπερ πρὸ ἡμῶν αὐτὸ καὶ Ὅμηρος ἔφη·

Ὠκεανοῦ, ὅσπερ γένεσις πάντεσσι τέτυκται,

θνητῶν τε θεῶν θ', ὡς ἂν αὐτὸς φαίη, μακάρων; ἀληθῶς. ἓν γὰρ τῶν πάντων οὐδέν ἐστιν, ὃ μὴ 148 τῆς Ὠκεανοῦ πέφυκεν οὐσίας ἔκγονον. ἀλλὰ τί τοῦτο πρὸς τοὺς πόλους; βούλει σοι φράσω; καίτοι σιωπᾶσθαι κρεῖσσον ἦν· εἰρήσεται δὲ ὅμως.

4 ἕκαστον] Vid. ad 91 B 5 ἑκάστης om. libri 11 οὖν H] νῦν 17 ὁρῶν marcil. pet. 22 Iliad. ξ, 246 | ὠκεανὸς libri | πᾶσι libri 24 ἓν libri] καὶ 26 πόλους libri] πολλοὺς

Λέγεται γοῦν, εἰ καὶ μὴ πάντες ἑτοίμως ἀποδέχονται, ὁ δίσκος ἐπὶ τῆς ἀνάστρου φέρεσθαι πολὺ τῆς ἀπλανοῦς ὑψηλότερος· καὶ οὕτω δὲ τῶν μὲν πλανωμένων οὐχ ἕξει τὸ μέσον, τριῶν δὲ τῶν κό-
B *σμων κατὰ τὰς τελεστικὰς ὑποθέσεις, εἰ χρὴ τὰ τοιαῦτα καλεῖν ὑποθέσεις, ἀλλὰ μὴ ταῦτα μὲν δόγματα, τὰ δὲ τῶν σφαιρικῶν ὑποθέσεις. οἱ μὲν γὰρ θεῶν ἢ δαιμόνων μεγάλων δή τινων ἀκούσαντές φασιν, οἱ δὲ ὑποτίθενται τὸ πιθανὸν ἐκ τῆς πρὸς τὰ φαινόμενα συμφωνίας. αἰνεῖν μὲν οὖν ἄξιον καὶ τούσδε, πιστεύειν δὲ ἐκείνοις ὅτῳ βέλτιον εἶναι δοκεῖ, τοῦτον ἐγὼ παίζων καὶ σπουδάζων ἄγαμαί τε καὶ τεθαύμακα. καὶ ταῦτα μὲν δὴ ταύτῃ, φασί.*

C *Πολὺ δὲ πρὸς οἷς ἔφην πλῆθός ἐστι περὶ τὸν οὐρανὸν θεῶν, οὓς κατενόησαν οἱ τὸν οὐρανὸν μὴ παρέργως μηδὲ ὥσπερ τὰ βοσκήματα θεωροῦντες. τοὺς τρεῖς γὰρ τετραχῇ τέμνων διὰ τῆς τοῦ ζῳοφόρου κύκλου πρὸς ἕκαστον αὐτῶν κοινωνίας τοῦτον αὖθις τὸν ζῳοφόρον εἰς δώδεκα θεῶν δυνάμεις διαιρεῖ, καὶ μέντοι τούτων ἕκαστον εἰς τρεῖς, ὥστε ποιεῖν ἓξ ἐπὶ τοῖς τριάκοντα. ἔνθεν οἶμαι καθήκει*
D *ἄνωθεν ἡμῖν ἐξ οὐρανῶν τριπλῆ χαρίτων δόσις, ἐκ τῶν κύκλων, οὓς ὁ θεὸς ὅδε τετραχῇ τέμνων τὴν τετραπλῆν ἐπιπέμπει τῶν ὡρῶν ἀγλαΐαν, αἳ δὴ τὰς τροπὰς ἔχουσι τῶν καιρῶν. κύκλον τοι καὶ αἱ Χά-*

1 *λέγεται* libri] *λέγω* | *ἀποδέχονται* libri] *ἀποδέξονται* 2 *φέρεσθαι* libri] *φέρεται* 3 *οὕτω δὲ*] *οὕτω δή*? 7 *οἱ μὲν*] *οἶμαι* libri 13 *ταύτῃ* libri] *ταῦτα* | *φησί* Mb. Ego *φασί* deleverim 14 et 15 *ἐστι περὶ τὸν οὐρανὸν θεῶν* libri] *ἐστι τῶν περὶ τὸν οὐρανὸν θεῶν* marg. pet., *ἐστι τῶν προσουρανίων θεῶν* v 17 *τῆς* libri] *τὴν* 18 *κοινωνίας* MbEF] *κοινωνίαν* 22 *οὐρανῶν* libri] *οὐρανοῦ* 25 *τοι* MbEF] *γε τοι* G, *τε* v

ριτες ἐπὶ γῆς διὰ τῶν ἀγαλμάτων μιμοῦνται. χαριδότης δέ ἐστιν ὁ Διόνυσος ἐς ταὐτὸ λεγόμενος Ἡλίῳ συμβασιλεύειν. τί οὖν ἔτι σοι τὸν Ὧρον λέγω καὶ τἆλλα θεῶν ὀνόματα, τὰ πάντα Ἡλίῳ προσήκοντα; συνῆκαν γὰρ ἄνθρωποι τὸν θεὸν ἐξ ὧν ὁ θεὸς ὅδε ἐργάζεται, τὸν σύμπαντα οὐρανὸν τοῖς νοεροῖς ἀγα- 149 θοῖς τελειωσάμενος καὶ μεταδοὺς αὐτῷ τοῦ νοητοῦ κάλλους, ἀρξάμενοί τε ἐκεῖθεν ὅλον τε αὐτὸν καὶ τὰ μέρη τῇ τῶν ἀγαθῶν ἀνδρῶν δόσει. . . . . πᾶσαν γὰρ ἐπιτροπεύουσι κίνησιν ἄχρι τῆς τελευταίας τοῦ κόσμου λήξεως· φύσιν τε καὶ ψυχὴν καὶ πᾶν ὅ,τι ποτέ ἐστι, πάντα πανταχοῦ τελειοῦται. τὴν δὲ τοσαύτην στρατιὰν τῶν θεῶν εἰς μίαν ἡγεμονικὴν ἕνωσιν συντάξας Ἀθηνᾷ Προνοίᾳ παρέδωκεν, ἣν ὁ μὲν μῦ- B θός φησιν ἐκ τῆς τοῦ Διὸς γενέσθαι κορυφῆς, ἡμεῖς δὲ ὅλην ἐξ ὅλου τοῦ βασιλέως Ἡλίου προβληθῆναι συνεχομένην ἐν αὐτῷ, ταύτῃ διαφέροντες τοῦ μύθου, ὅτι μὴ ἐκ τοῦ ἀκροτάτου μέρους, ὅλην δὲ ἐξ ὅλου· ἐπεὶ τἆλλά γε οὐδὲν διαφέρειν Ἡλίου Δία νομίζοντες ὁμολογοῦμεν τῇ παλαιᾷ φήμῃ. καὶ τοῦτο δὲ αὐτὸ Πρόνοιαν Ἀθηνᾶν λέγοντες οὐ καινοτομοῦμεν, εἴπερ ὀρθῶς ἀκούομεν·

Ἵκετο δ' ἐς Πυθῶνα καὶ ἐς Γλαυκῶπα Προνοίην.

οὕτως ἄρα καὶ τοῖς παλαιοῖς ἐφαίνετο Ἀθηνᾶ Πρό- C

2 ἐς ταὐτὸ Mb] εἰς ταὐτὸν 3 Ὧρον spanh. de Petavii conjectura] ὅρον 4 τἆλλα libri] τὰ ἄλλα 5 ἄνθρωποι H] ἄνθρωποι 6 τὸν σύμπαντα libri] σύμπαντα 9 τὰ μέρη libri] κατὰ μέρη | ἀνδρῶν] ἀδρῶν Marcil.; ego malim ἁδρᾷ | Lacunam a Petavio indicatam non habent libri 12 τελειοῦσι Marcil. 14 Ἀθηνᾶν spanh. | προνοίᾳ H] πρόνοιαν 15 τῆς τοῦ G, τε τοῦ MbEF, τοῦ v 23 Cf. Eustath. ad Iliad. α p. 83 | δ' ἐς libri et Eustath.] δ' εἰς | Πυθὼ spanh. | γλαύκωνα libri, Ἀθηνᾶν pet., γλαυκῶπα spanh. ex Eustathio

*νοια σύνθρονος Ἀπόλλωνι τῷ νομιζομένῳ μηδὲν
Ἡλίου διαφέρειν. μή ποτε οὖν καὶ θείᾳ μοίρᾳ τοῦτο
Ὅμηρος· ἦν γάρ, ὡς εἰκός, θεόληπτος· ἀπεμαντεύσατο
πολλαχοῦ τῆς ποιήσεως·*

Τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,

*ὑπὸ Διὸς δήπουθεν, ὅσπερ ἐστὶν ὁ αὐτὸς Ἡλίῳ;
καθάπερ (δ') ὁ βασιλεὺς Ἀπόλλων ἐπικοινωνεῖ διὰ
τῆς ἁπλότητος τῶν νοήσεων Ἡλίῳ, οὕτω δὲ καὶ τὴν*
D *Ἀθηνᾶν νομιστέον [ἂν] ἀπ' αὐτοῦ παραδεξαμένην
τὴν οὐσίαν, οὖσαν τε αὐτοῦ τελείαν νόησιν συνάπτειν
μὲν τοὺς περὶ τὸν Ἥλιον θεοὺς αἷ τῷ βασιλεῖ τῶν
ὅλων Ἡλίῳ δίχα συγχύσεως εἰς ἕνωσιν, αὐτὴν δὲ
τὴν ἄχραντον καὶ καθαρὰν ζωὴν ἀπ' ἄκρας ἁψῖδος
οὐρανοῦ διὰ τῶν ἑπτὰ κύκλων ἄχρι τῆς Σελήνης*
150 *νέμουσαν ἐποχετεύειν, ἣν ἡ θεὸς ἥδε τῶν κυκλικῶν
οὖσαν σωμάτων ἐσχάτην ἐπλήρωσε [διὰ] τῆς φρονή-
σεως, ὑφ' ἧς ἡ Σελήνη τά τε ὑπὲρ τὸν οὐρανὸν
θεωρεῖ νοητὰ καὶ τὰ ὑφ' ἑαυτὴν κοσμοῦσα τὴν ὕλην
τοῖς εἴδεσιν ἀναιρεῖ τὸ θηριῶδες αὐτῆς καὶ ταρα-
χῶδες καὶ ἄτακτον. ἀνθρώποις δὲ ἀγαθὰ δίδωσιν
Ἀθηνᾶ σοφίαν (τό) τε νοεῖν καὶ τὰς δημιουργικὰς
τέχνας. κατοικεῖ δὲ τὰς ἀκροπόλεις αὕτη δήπουθεν
καταστησαμένη τὴν πολιτικὴν διὰ σοφίας κοινωνιάν.*
B *ὀλίγα ἔτι περὶ Ἀφροδίτης, ἣν συνεφάπτεσθαι τῆς
δημιουργίας τῷ θεῷ Φοινίκων ὁμολογοῦσιν οἱ λόγιοι,
καὶ ἐγὼ πείθομαι. ἔστι δὴ οὖν αὕτη σύγκρασις τῶν*

5 Iliad. *θ*, 538 *ν*, 827 6 *Ἡλίῳ* H] *ἥλιος* 7 *δ'* add. H 8 *δὲ* H] *δὴ* 9 *ἂν* inclusit H 13 *τὴν ἄχραντον* libri] *ἄχραντον* 16 *ἐσχάτη* libri | *διὰ* inclusit H 18 *ἑαυτὴν* libri] *αὐτὴν* 21 *τό τε* H] *τε* libri, *καὶ* v, *τε καὶ* marcil. 22 *αὕτη* libri] *αὐτὴ* Pet., *αὐτὰς* v 25 *τῷ θεῷ* libri] *τῇ θεῷ*

οὐρανίων θεῶν, καὶ τῆς ἁρμονίας αὐτῶν ἔτι φιλία
καὶ ἕνωσις. Ἡλίου γὰρ ἐγγὺς οὖσα καὶ συμπερι-
θέουσα καὶ πλησιάζουσα πληροῖ μὲν τὸν οὐρανὸν
εὐκρασίας, ἐνδίδωσι δὲ τὸ γόνιμον τῇ γῇ, προμη-
θουμένη καὶ αὐτὴ τῆς ἀειγενεσίας τῶν ζῴων, ἧς ὁ
μὲν βασιλεὺς Ἥλιος ἔχει τὴν πρωτουργὸν αἰτίαν,
Ἀφροδίτη δὲ αὐτῷ συναίτιος, ἡ θέλγουσα μὲν τὰς C
ψυχὰς ἡμῶν σὺν εὐφροσύνῃ, καταπέμπουσα δὲ εἰς
γῆν ἐξ αἰθέρος αὐγὰς ἡδίστας καὶ ἀκηράτους αὐτοῦ
τοῦ χρυσίου στιλπνοτέρας. ἔτι μετριάσαι βούλομαι
τῆς Φοινίκων θεολογίας· εἰ δὲ μὴ μάτην, ὁ λόγος
προϊὼν δείξει. οἱ τὴν Ἔδεσσαν οἰκοῦντες, ἱερὸν ἐξ
αἰῶνος Ἡλίου χωρίον, Μόνιμον αὐτῷ καὶ Ἄζιζον
συγκαθιδρύουσιν. αἰνίττεσθαί φησιν Ἰάμβλιχος, παρ' D
οὗ καὶ τἄλλα πάντα ἐκ πολλῶν μικρὰ ἐλάβομεν, ὡς
ὁ Μόνιμος μὲν Ἑρμῆς εἴη, Ἄζιζος δὲ Ἄρης, Ἡλίου
πάρεδροι, πολλὰ καὶ ἀγαθὰ τῷ περὶ γῆν ἐποχετεύον-
τες τόπῳ.

Τὰ μὲν οὖν περὶ τὸν οὐρανὸν ἔργα τοῦ θεοῦ
τοιαῦτά ἐστι, καὶ διὰ τούτων ἐπιτελούμενα μέχρι τῶν
τῆς γῆς προήκει τελευταίων ὅρων· ὅσα δὲ ὑπὸ τὴν
Σελήνην ἐργάζεται, μακρὸν ἂν εἴη τὰ πάντα ἀπα-
ριθμεῖσθαι. πλὴν ὡς ἐν κεφαλαίῳ καὶ ταῦτα ῥητέον.
οἶδα μὲν οὖν ἔγωγε καὶ πρότερον μνημονεύσας, ὁπη- 151
νίκα ἠξίουν ἐκ τῶν φαινομένων τὰ ἀφανῆ περὶ τῆς
τοῦ θεοῦ σκοπεῖν οὐσίας, ὁ λόγος δὲ ἀπαιτεῖ με καὶ
νῦν ἐν τάξει περὶ αὐτῶν δηλῶσαι.

1 ἔτι] ἔστι libri 8 et 9 εἰς γῆν libri] εἰς τὴν γῆν 10 τοῦ om. libri | ἔτι μετριάσαι] ἔτι ἐπιμετρῆσαι H 12 Ἔμεσαν conjecit Spanhemius et h. l. et p. 154 B, ἔδεσαν MbEF 20 τούτων MbEF] τοιούτων

Καθάπερ οὖν ἐν τοῖς νοεροῖς ἔχειν ἔφαμεν τὴν ἡγεμονίαν Ἥλιον, πολὺ περὶ τὴν ἀμέριστον οὐσίαν ἑαυτοῦ πλῆθος ἑνοειδῶς ἔχοντα τῶν θεῶν, ἔτι δὲ ἐν B τοῖς αἰσθητοῖς, ἃ δὴ τὴν κύκλῳ διαιωνίαν πορεύεται μάλα εὐδαίμονα πορείαν, ἀπεδείκνυμεν ἀρχηγὸν καὶ κύριον, ἐνδιδόντα μὲν . . . . ., πληροῦντα δὲ τὸν ὅλον οὐρανὸν ὥσπερ τῆς φαινομένης αὐγῆς οὕτω δὲ καὶ μυρίων ἀγαθῶν ἀφανῶν ἄλλων, τελειούμενα δὲ ἐξ αὐτοῦ καὶ τὰ παρὰ τῶν ἄλλων ἐμφανῶν θεῶν ἀγαθὰ χορηγούμενα, καὶ πρό γε τούτων αὐτοὺς ἐκείνους ὑπὸ τῆς ἀπορρήτου καὶ θείας αὐτοῦ τελειουμένους ἐνεργείας· οὕτω δὲ καὶ περὶ τὸν ἐν γενέσει τόπον θεούς τινας ἐπιβεβηκέναι νομιστέον ὑπὸ τοῦ βασι- C λέως Ἡλίου συνεχομένους, οἳ τὴν τετραπλῆν τῶν στοιχείων κυβερνῶντες φύσιν, περὶ ἃς ἐστήρικται ταῦτα ψυχὰς μετὰ τῶν τριῶν κρειττόνων ἐνοικοῦσι γενῶν. αὐταῖς δὲ ταῖς μερισταῖς ψυχαῖς ὅσων ἀγαθῶν ἐστιν αἴτιος, κρίσιν τε αὐταῖς προτείνων καὶ δίκῃ κατευθύνων καὶ ἀποκαθαίρων λαμπρότητι; τὴν ὅλην δὲ οὐχ οὗτος φύσιν, ἐνδιδοὺς ἄνωθεν αὐτῇ τὸ γόνιμον, κινεῖ καὶ ἀναζωπυρεῖ; ἀλλὰ καὶ ταῖς μερι- D σταῖς φύσεσιν οὐ τῆς εἰς τέλος πορείας οὗτός ἐστιν ἀληθῶς αἴτιος; ἄνθρωπον γὰρ ὑπὸ ἀνθρώπου γεννᾶσθαί φησιν Ἀριστοτέλης καὶ ἡλίου. ταὐτὸν δὴ οὖν καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, ὅσα τῶν μεριστῶν

3 τῶν θεῶν de Marcilii conjectura pet. spanh.] τὸν θεὸν libri | ἔτι Pet.] εἰ 5 ἀπεδείκνυμεν Pet.] ἀποδείκνυμεν 6 Lacunam, quam significavimus, explevit Marcilius τὸ γόνιμον τῇ φύσει addens. cf. 150 B 151 C 12 δὲ H] δὴ 16 ταῦτα MbEF, ταύτῃ G, τὰ τοιαῦτα v 17 ὅσων H] ὁπόσων. Vid. Krüger. gr. Gr. 51, 8 ann. 1 22 οὐ Marcil.] ὁ 24 ἀριστοτέλης libri] ὁ Ἀριστοτέλης. Cf. ad 131 C | ταὐτὸν libri] ταὐτὸ

ἐστι φύσεων ἔργα, περὶ τοῦ βασιλέως Ἡλίου προσήκει διανοεῖσθαι. τί δέ; οὐχ ἡμῖν ὄμβρους καὶ ἀνέμους καὶ τὰ ἐν τοῖς μεταρσίοις γινόμενα τῷ διττῷ τῆς ἀναθυμιάσεως οἷον ὕλῃ χρώμενος ὁ θεὸς οὗτος ἐργάζεται; θερμαίνων γὰρ τὴν γῆν ἀτμίδα καὶ 152 καπνὸν ἕλκει, γίνεται δὲ ἐκ τούτων οὐ τὰ μετάρσια μόνον, ἀλλὰ καὶ ὅσα ἐπὶ γῆς πάθη, σμικρὰ καὶ μεγάλα.

Τί οὖν ἐπὶ τῶν αὐτῶν ἐπέξειμι μακρότερα, ἐξὸν ἐπὶ τὸ πέρας ἤδη βαδίζειν ὑμνήσαντα πρότερον ὅσα ἔδωκεν ἀνθρώποις Ἥλιος ἀγαθά; γινόμενοι γὰρ ἐξ αὐτοῦ τρεφόμεθα παρ᾽ ἐκείνου. τὰ μὲν οὖν θειότερα καὶ ὅσα ταῖς ψυχαῖς δίδωσιν ἀπολύων αὐτὰς τοῦ σώματος, εἶτα ἐπανάγων ἐπὶ τὰς τοῦ θεοῦ συγγενεῖς B οὐσίας, καὶ τὸ λεπτὸν καὶ εὔτονον τῆς θείας αὐγῆς οἷον ὄχημα τῆς εἰς τὴν γένεσιν ἀσφαλοῦς διδόμενον καθόδου ταῖς ψυχαῖς ὑμνείσθω τε ἄλλοις ἀξίως καὶ ὑφ᾽ ἡμῶν πιστευέσθω μᾶλλον ἢ δεικνύσθω· τὰ δὲ ὅσα γνώριμα πέφυκε τοῖς πᾶσιν οὐκ ὀκνητέον ἐπεξελθεῖν. οὐρανόν φησι Πλάτων ἡμῖν γενέσθαι σοφίας διδάσκαλον. ἐνθένδε γὰρ ἀριθμοῦ κατενοήσαμεν φύσιν, ἧς τὸ διαφέρον οὐκ ἄλλως ἢ διὰ τῆς ἡλίου περιόδου κατενοήσαμεν. φησί τοι καὶ αὐτὸς Πλάτων C ἡμέραν καὶ νύκτα πρότερον. εἶτα ἐκ τοῦ φωτὸς τῆς σελήνης, ὃ δὴ δίδοται τῇ θεῷ ταύτῃ παρ᾽ ἡλίου, μετὰ τοῦτο προήλθομεν ἐπὶ πλέον τῆς τοιαύτης συνέσεως, ἁπανταχοῦ τῆς πρὸς τὸν θεὸν τοῦτον στοχαζό-

1 παρὰ libri 7 ἐπὶ γῆς H] ὑπὸ γῆν. cf. ad 120 C 9 ἐπὶ] πρὸς G; malim περὶ | μακρότερα H] μακρότερον 10 κέρας libri 11 ἐξ] δὲ G („voluit δι᾽" Rsk.) 19 πέφυκε libri] πέφυκεν 20 Πλάτων] Epinom. 977 A | σοφίας libri] τῆς σοφίας 21 ἐνθένδε H] ἔνθεν. Vid. ad 132 B

μενοι συμφωνίας. ὅπερ αὐτός πού φησιν, ὡς ἄρα τὸ γένος ἡμῶν ἐπίπονον ὂν φύσει θεοὶ ἐλεήσαντες ἔδωκαν ἡμῖν τὸν Διόνυσον καὶ τὰς Μούσας συγχορευτάς. ἐφάνη δὲ ἡμῖν Ἥλιος τούτων κοινὸς ἡγε-
D μών, Διονύσου μὲν πατὴρ ὑμνούμενος, ἡγεμὼν δὲ Μουσῶν. ὁ δὲ αὐτῷ συμβασιλεύων Ἀπόλλων οὐ πανταχοῦ μὲν ἀνῆκε τῆς γῆς χρηστήρια, σοφίαν δὲ ἔδωκεν ἀνθρώποις ἔνθεον, ἐκόσμησε δὲ ἱεροῖς καὶ πολιτικοῖς τὰς πόλεις θεσμοῖς; οὗτος ἡμέρωσε μὲν διὰ τῶν Ἑλληνικῶν ἀποικιῶν τὰ πλεῖστα τῆς οἰκουμένης, παρεσκεύασε δὲ ῥᾷον ὑπακοῦσαι Ῥωμαίοις ἔχουσι καὶ αὐτοῖς οὐ γένος μόνον Ἑλληνικόν, ἀλλὰ
153 καὶ θεσμοὺς ἱεροὺς καὶ τὴν περὶ τοὺς θεοὺς εὐπιστίαν ἐξ ἀρχῆς εἰς τέλος Ἑλληνικὴν καταστησαμένοις τε καὶ φυλάξασι, πρὸς δὲ τούτοις καὶ τὸν περὶ τὴν πόλιν κόσμον οὐδεμιᾶς τῶν ἄριστα πολιτευσαμένων πόλεων καταστησαμένοις φαυλότερον, εἰ μὴ καὶ τῶν ἄλλων ἁπασῶν, ὅσαι γε ἐν χρήσει γεγόνασι πολιτεῖαι, κρείσσονα· ἀνθ' ὧν οἶμαι καὶ αὐτὸς ἔγνων τὴν πόλιν Ἑλληνίδα γένος τε καὶ πολιτείαν. τί ἔτι
B σοι λέγω, πῶς τῆς ὑγιείας καὶ σωτηρίας πάντων προυνόησε τὸν σωτῆρα τῶν ὅλων ἀπογεννήσας Ἀσκληπιόν, ὅπως δὲ ἀρετὴν ἔδωκε παντοίαν Ἀφροδίτην Ἀθηνᾷ συγκαταπέμψας ἡμῖν, κηδεμόνα μόνον οὐχὶ νόμον θέμενος, πρὸς μηδὲν ἕτερον χρῆσθαι τῇ μίξει ἢ πρὸς τὴν γένεσιν τοῦ ὁμοίου; διά τοι τοῦτο καὶ

1 φησιν] Legg. II 653 DE et 665 A 7 ἀνῆκε MbEF, ἐνῆκε G, ἀνῆκεν v 13 εὐπιστίαν spanh. de Marcilii conjectura] ἀπιστίαν 16 οὐδεμιᾶς MbEF] οὐδεμίαν 18 γε H] τε 19 ἔγνω libri 20 τί ἔτι Marcil.] ἔτι. Fort. vero praestat ἔτι σοι βούλει λέγω 21 ὑγείας Mb 23 ἔδωκε libri] ἔδωκεν

κατὰ τὰς περιόδους αὐτοῦ πάντα τὰ φυόμενα καὶ τὰ παντοδαπῶν ζῴων φῦλα κινεῖται πρὸς ἀπογέννησιν τοῦ ὁμοίου. τί χρὴ τὰς ἀκτῖνας αὐτοῦ καὶ C τὸ φῶς σεμνῦναι; νὺξ γοῦν ἀσέληνός τε καὶ ἄναστρος ὅπως ἐστὶ φοβερά, ἆρα ἐννοεῖ τις, ἵν' ἐντεῦθεν, ὁπόσον ἔχομεν ἀγαθὸν ἐξ ἡλίου τὸ φῶς, τεκμήρηται; τοῦτο δὲ αὐτὸ συνεχὲς παρέχων καὶ ἀμεσολάβητον νυκτὶ ἐν οἷς χρὴ τόποις ἀπὸ τῆς σελήνης τοῖς ἄνω, ἐκεχειρίαν ἡμῖν διὰ τῆς νυκτὸς τῶν πόνων δίδωσιν. οὐδὲν ἂν γένοιτο πέρας τοῖ λόγου, εἰ πάντα ἐπεξιέναι τις ἐθελήσειε τὰ τοιαῦτα. ἓν γὰρ οὐδέν ἐστιν D ἀγαθὸν κατὰ τὸν βίον, ὃ μὴ παρὰ τοῦ θεοῦ τοῦδε λαβόντες ἔχομεν, ἤτοι παρὰ μόνου τέλειον, ἢ διὰ τῶν ἄλλων θεῶν παρ' αὐτοῦ τελειούμενον.

Ἡμῖν δέ ἐστιν ἀρχηγὸς καὶ τῆς πόλεως. οἰκεῖ γοῦν αὐτῆς οὐ τὴν ἀκρόπολιν μόνον μετὰ τῆς Ἀθηνᾶς καὶ Ἀφροδίτης Ζεὺς ὁ πάντων πατὴρ ὑμνούμενος, ἀλλὰ καὶ Ἀπόλλων ἐπὶ τῷ Παλλαντίῳ λόφῳ καὶ Ἥλιος αὐτὸς τοῦτο κοινὸν ὄνομα πᾶσι καὶ γνώριμον. ὅπως δὲ αὐτῷ πάντη καὶ πάντα προσήκομεν οἱ Ῥωμυ- 154 λίδαι τε καὶ Αἰνεάδαι, πολλὰ ἔχων εἰπεῖν ἐρῶ βραχέα τὰ γνωριμώτατα. γέγονε, φασίν, ἐξ Ἀφροδίτης Αἰνείας, ἥπερ ἐστὶν ὑπουργὸς Ἡλίῳ καὶ συγγενής. αὐτὸν δὲ τὸν κτιστὴν ἡμῶν τῆς πόλεως Ἄρεως ἡ φήμη παρέδωκε παῖδα, πιστουμένη τὸ παράδοξον τῶν λόγων διὰ τῶν ὕστερον ἐπακολουθησάντων σημείων. ὑπέσχε γὰρ αὐτῷ, φασί, μαζὸν θήλεια λύκος. ἐγὼ δὲ

5 φοβερόν MbEF 8 τοῖς ἄνω MbE] τῆς ἄνω 10 ἐπεξιέναι H] ἐπιέναι 11 ἓν libri] καὶ 12 τοῦδε τοῦ θεοῦ λαμβάνειν libri 19 τοῦτο] τοῦτο τὸ H | πᾶσι καὶ] καὶ πᾶσι Rsk. 20 πάντη Marcil.] παντὶ 21 τε MbEF] δὲ 24 τὸν κτιστὴν libri] κτιστὴν 27 φασί H] φησί

ὅτι μὲν Ἄρης Ἄζιζος λεγόμενος ὑπὸ τῶν οἰκούντων
B τὴν Ἔδεσσαν Σύρων Ἡλίου προπομπεύει, καίπερ
εἰδὼς καὶ προειπὼν ἀφήσειν μοι δοκῶ. τοῦ χάριν
δὲ ὁ λύκος Ἄρει μᾶλλον, οὐχὶ δὲ Ἡλίῳ προσήκει;
καίτοι λυκάβαντά φασιν ἀπὸ τοῦ λύκου τὸν ἐνιαύσιον
χρόνον· ὀνομάζει δὲ αὐτὸν οὐχ Ὅμηρος μόνον
οὐδὲ οἱ γνώριμοι τῶν Ἑλλήνων τοῦτο τὸ ὄνομα,
πρὸς δὲ καὶ ὁ θεός· διανύων γάρ φησιν

Ὀρχηθμῷ λυκάβαντα δυωδεκάμηνα κέλευθα.

C βούλει οὖν ἔτι σοι [τοῦτου] φράσω μεῖζον τεκμήριον,
ὅτι ἄρα ὁ τῆς πόλεως ἡμῶν οἰκιστὴς οὐχ ὑπ' Ἄρεως
κατεπέμφθη μόνον, ἀλλ' ἴσως αὐτῷ τῆς μὲν τοῦ
σώματος κατασκευῆς συνεπελάβετο δαίμων ἀρήιος καὶ
γενναῖος, ὁ λεγόμενος ἐπιφοιτῆσαι τῇ Σιλβίᾳ λουτρὰ
τῇ θεῷ φερούσῃ, τὸ δὲ ὅλον ἐξ Ἡλίου κατῆλθεν ἡ
ψυχὴ τοῦ θεοῦ Κυρίνου· πειστέον γὰρ οἶμαι τῇ φήμῃ.
D σύνοδος ἀκριβὴς τῶν τὴν ἐμφανῆ κατανειμαμένων
βασιλείαν Ἡλίου τε καὶ Σελήνης ὥσπερ οὖν εἰς τὴν
γῆν κατήγαγεν, οὕτω καὶ ἀνήγαγεν ἣν ἀπὸ τῆς γῆς
ἐδέξατο, τὸ θνητὸν ἀφανίσασα πυρὶ κεραυνίῳ τοῦ
σώματος. οὕτω προδήλως ἡ τῶν περιγείων δημιουργὸς
ὑπὸ αὐτὸν ἄκρως γενομένη τὸν ἥλιον ἐδέξατο
εἰς γῆν πεμπόμενον διὰ τῆς Ἀθηνᾶς τῆς Προνοίας
τὸν Κυρῖνον, ἀνιπτάμενόν τε αὖθις ἀπὸ γῆς
ἐπὶ τὸν βασιλέα τῶν ὅλων ἐπανήγαγεν αὐτίκα Ἥλιον.
155 ἔτι σοι βούλει περὶ τῶν αὐτῶν φράσω τεκμήριον τοῦ
Νόμα τοῦ βασιλέως ἔργον; ἄσβεστον ἐξ ἡλίου φυ-

2 ἔδεσαν Mb. vid. ad 150 C 5 λύκου Pet.] θεοῦ 7 οἱ] οἵδε libri 10 τούτου om. libri 11 οἰκιστὴς libri] ὁ κτιστὴς 13 ἀρεϊκὸς libri 19 ἣν scil. ψυχὴν ferri potest, sed malim ὃν cum Marcilio 23 πεμπόμενον Pet.] πεμπομένη 26 et 27 τοῦ Νόμα H] τοὔνομα libri, τοῦ Νουμᾶ v

λάττουσι φλόγα παρθένοι παρ᾽ ἡμῖν ἱεραὶ κατὰ τὰς διαφόρους ὥρας, αἳ δὴ τὸ γενόμενον [ὑπὸ τῆς σελήνης] περὶ τὴν γῆν ὑπὸ τοῦ θεοῦ πῦρ φυλάττουσιν. ἔτι τούτων μεῖζον ἔχω σοι φράσαι τοῦ θεοῦ τοῦδε τεκμήριον, αὐτοῦ τοῦ θειοτάτου βασιλέως ἔργον. οἱ μῆνες ἅπασι μὲν τοῖς ἄλλοις ὡς ἔπος εἰπεῖν ἀπὸ τῆς σελήνης ἀριθμοῦνται, μόνοι δὲ ἡμεῖς καὶ Αἰγύ- B πτιοι πρὸς τὰς ἡλίου κινήσεις ἑκάστου μετροῦμεν ἐνιαυτοῦ τὰς ἡμέρας. εἴ σοι μετὰ τοῦτο φαίην, ὡς καὶ τὸν Μίθραν τιμῶμεν καὶ ἄγομεν Ἡλίῳ τετραετηρικοὺς ἀγῶνας, ἐρῶ νεώτερα· βέλτιον δὲ ἴσως ἕν τι τῶν παλαιοτέρων προθεῖναι. τοῦ γὰρ ἐνιαυσιαίου κύκλου τὴν ἀρχὴν ἄλλος ἄλλοθεν ποιούμενος, οἱ μὲν τὴν ἐαρινὴν ἰσημερίαν, οἱ δὲ τὴν ἀκμὴν τοῦ θέρους, οἱ πολλοὶ δὲ φθίνουσαν ἤδη τὴν ὀπώραν, Ἡλίου τὰς ἐμφανεστάτας ὑμνοῦσι δωρεάς, ὁ μέν τις τὴν τῆς C ἐργασίας ἐνδιδομένην εὐκαιρίαν, ὅτε ἡ γῆ θάλλει καὶ γαυριᾷ, φυομένων ἄρτι τῶν καρπῶν ἁπάντων, γίνεται δὲ ἐπιτήδεια πλεῖσθαι τὰ πελάγη καὶ τὸ τοῦ χειμῶνος ἀηδὲς καὶ σκυθρωπὸν ἐπὶ τὸ φαιδρότερον μεθίσταται, οἱ δὲ τὴν τοῦ θέρους ἐτίμησαν ἡμέραν, ὡς ἀσφαλῶς τότε ὑπὲρ τῆς τῶν καρπῶν ἔχοντες θαρρῆσαι γενέσεως, τῶν μὲν σπερμάτων ἤδη συνειλεγμένων, ἀκμαίας δὲ οὔσης τῆς ὀπώρας ἤδη καὶ πεπαινομένων τῶν ἐπικειμένων καρπῶν τοῖς δένδροις. D ἄλλοι δὲ τούτων ἔτι κομψότεροι τέλος ἐνιαυτοῦ ὑπέ-

2 ὑπὸ τῆς σελήνης] Haec turbant sententiam. Scribendum saltem ὑπὸ τὴν σελήνην 3 φυλάττουσιν MbG] φυλάττουσι 9 εἴ σοι MbFG, εἴδοι E, εἰ δὴ v | φαίην libri] φαίη 11 νεώτερον MbEF 12 προθεῖναι marg. pet.] προσθεῖναι 16 τὴν τῆς MbEF, τὰς τῆς G, τῆς v 17 εὐκαιρίαν om. libri 20 ἀμειδὲς MbG 21 ἡμέραν] ὥραν? 22 ἕξοντες libri

λαβον τὴν τελειοτάτην τῶν καρπῶν ἁπάντων ἀκμὴν
καὶ φθίσιν· ταῦτά τοι καὶ φθινούσης ἤδη τῆς ὀπώρας
ἄγουσι τὰς κατ' ἐνιαυτὸν νουμηνίας. οἱ δὲ ἡμέτεροι
προπάτορες ἀπ' αὐτοῦ τοῦ θειοτάτου βασιλέως τοῦ
Νόμα μειζόνως ἔτι τὸν θεὸν τοῦτον σεβόμενοι τὰ
μὲν τῆς χρείας ἀπέλιπον, ἅτε οἶμαι φύσει θεῖοι καὶ
περιττοὶ τὴν διάνοιαν, αὐτὸν δὲ εἶδον τούτων τὸν
156 αἴτιον καὶ ἄγειν ἔταξαν συμφώνως ἐν τῇ παρούσῃ
τῶν ὡρῶν τὴν νουμηνίαν, ὁπότε ὁ βασιλεὺς Ἥλιος
αὖθις ἐπανάγει πρὸς ἡμᾶς ἀφεὶς τῆς μεσημβρίας τὰ
ἔσχατα καὶ ὥσπερ περὶ νύσσαν τὸν αἰγοκέρωτα κάμψας
ἀπὸ τοῦ νότου πρὸς τὸν βορρᾶν ἔρχεται μεταδώσων
ἡμῖν τῶν ἐπετείων ἀγαθῶν. ὅτι δὲ τοῦτο ἀκριβῶς
ἐκεῖνοι διανοηθέντες οὕτως ἐνεστήσαντο τὴν ἐπέτειον
νουμηνίαν, ἐνθένδ' ἄν τις κατανοήσειεν. οὐ γὰρ
οἶμαι καθ' ἣν ἡμέραν ὁ θεὸς τρέπεται, καθ' ἣν δὲ
B τοῖς πᾶσιν ἐμφανὴς γίνεται χωρῶν ἀπὸ τῆς μεσημ-
βρίας ἐς τὰς ἄρκτους ἔταξαν οὗτοι τὴν ἑορτήν. οὔπω
μὲν γὰρ ἦν αὐτοῖς ἡ τῶν κανόνων λεπτότης γνώρι-
μος, οὓς ἐξηῦρον μὲν Χαλδαῖοι καὶ Αἰγύπτιοι, Ἵπ-
παρχος δὲ καὶ Πτολεμαῖος ἐτελειώσαντο, κρίνοντες δὲ
αἰσθήσει τοῖς φαινομένοις ἠκολούθουν. οὕτω δὲ ταῦτα
καὶ παρὰ τῶν μεταγενεστέρων, ὡς ἔφην, ἔχοντα κατ-
ενοήθη. πρὸ τῆς νουμηνίας, εὐθέως μετὰ τὸν τε-
λευταῖον τοῦ Κρόνου μῆνα, ποιοῦμεν Ἡλίῳ τὸν περι-
C φανέστατον ἀγῶνα, τὴν ἑορτὴν Ἡλίῳ καταφημίσαντες
ἀνικήτῳ, μεθ' ὃν οὐδὲν θέμις ὧν ὁ τελευταῖος μὴν
ἔχει σκυθρωπῶν μέν, ἀναγκαίων δ' ὅμως, ἐπιτελε-

4 et 5 τοῦ Νόμα H] libri et edd. ut supra A 7 εἶδον] ἰδόντες libri 11 περὶ om. libri 15 νουμηνίαν G] νεομηνίαν | ἐνθένδ' H] ἔνθεν. vid. ad 132B 18 οὗτοι H] οὕτω 20 ἐξηῦρον H] ἐξεῦρον 23 παρὰ] περὶ libri 24 νουμηνίας G] νεομηνίας

σθῆναι θεαμάτων, ἀλλὰ τοῖς Κρονίοις οὖσι τελευταίοις εὐθὺς συνάπτει κατὰ τὸν κύκλον τὰ Ἡλίεια, ἃ δὴ πολλάκις μοι δοῖεν οἱ βασιλεῖς ὑμνῆσαι καὶ ἐπιτελέσαι θεοί, καὶ πρό γε τῶν ἄλλων αὐτὸς ὁ βασιλεὺς τῶν ὅλων Ἥλιος, ὁ περὶ τὴν τἀγαθοῦ γόνιμον οὐσίαν ἐξ ἀιδίου προελθὼν μέσος ἐν μέσοις τοῖς νοεροῖς θεοῖς, συνοχῆς τε αὐτοὺς πληρώσας καὶ κάλλους D μυρίου καὶ περιουσίας γονίμου καὶ τελείου νοῦ καὶ πάντων ἀθρόως τῶν ἀγαθῶν ἀχρόνως, καὶ ἐν τῷ νῦν ἐλλάμπων εἰς τὴν ἐμφανῆ μέσην τοῦ παντὸς οὐρανοῦ φερομένην ἕδραν οἰκείαν ἐξ ἀιδίου, καὶ μεταδιδοὺς τῷ φαινομένῳ παντὶ τοῦ νοητοῦ κάλλους, τὸν δὲ οὐρανὸν σύμπαντα πληρώσας τοσούτων θεῶν ὁπόσων αὐτὸς ἐν ἑαυτῷ νοερῶς ἔχει, περὶ αὐτὸν 157 ἀμερίστως πληθυνομένων καὶ ἑνοειδῶς αὐτῷ συνημμένων, οὐ μὴν ἀλλὰ καὶ τὸν ὑπὸ τὴν σελήνην τόπον διὰ τῆς ἀειγενεσίας συνέχων καὶ τῶν ἐνδιδομένων ἐκ τοῦ κυκλικοῦ σώματος ἀγαθῶν, ἐπιμελόμενός τε τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους· ἰδίᾳ τε τῆς ἡμετέρας πόλεως, ὥσπερ οὖν καὶ τὴν ἡμετέραν ἐξ ἀιδίου ψυχὴν ὑπέστησεν, ὀπαδὸν ἀποφήνας αὐτοῦ. ταῦτά τε οὖν, ὅσα μικρῷ πρόσθεν ηὐξάμην, δοίη, B καὶ ἔτι κοινῇ μὲν τῇ πόλει τὴν ἐνδεχομένην ἀιδιότητα μετ' εὐνοίας χορηγῶν φυλάττοι, ἡμῖν δὲ ἐπὶ τοσοῦτον εὖ πρᾶξαι τά τε ἀνθρώπινα καὶ τὰ θεῖα δοίη, ἐφ' ὅσον βιῶναι συγχωρεῖ, ζῆν δὲ καὶ ἐμπο-

2 τὸν κύκλον MbFG] κύκλον | Ἡλίεια Cobetus] ἥλεια libri, ἥλια v 12 νοητοῦ libri] αὐτοῦ 14 ὁπόσων libri] ὁπόσους 15 συνημμένων Mb] συνηνωμένων 18 ἐπιμελόμενος Mb] ἐπιμελούμενος 19 τε τοῦ] τοῦ τε H | τῶν libri] τοῦ 23 ἀιδιότητα] ἀιδιότητα τὰ libri, ἀιδιότητα [καὶ] v 26 βιῶσαι MbEF

λιτεύεσθαι τῷ βίῳ δοίη ἐφ' ὅσον αὐτῷ τε ἐκείνῳ φίλον ἡμῖν τε λῷον καὶ τοῖς κοινοῖς συμφέρον Ῥωμαίων πράγμασιν.

Ταῦτά σοι, ὦ φίλε Σαλούστιε, κατὰ τὴν τριπλῆν
C τοῦ θεοῦ δημιουργίαν ἐν τρισὶ μάλιστα νυξὶν ὡς οἷόν τε ἦν ἐπελθόντα μοι τῇ μνήμῃ καὶ γράψαι πρὸς σὲ ἐτόλμησα, ἐπεί σοι καὶ τὸ πρότερον εἰς τὰ Κρόνια γεγραμμένον ἡμῖν οὐ παντάπασιν ἀπόβλητον ἐφάνη. τελειοτέροις δ' εἰ βούλει περὶ τῶν αὐτῶν καὶ μυστικωτέροις λόγοις ἐπιστῆσαι, ἐντυχὼν τοῖς παρα τοῦ θείου γενομένοις Ἰαμβλίχου περὶ τῶν αὐτῶν τούτων συγγράμμασι τὸ τέλος ἐκεῖσε τῆς ἀνθρωπίνης εὑρή-
D σεις σοφίας. δοίη δ' ὁ μέγας Ἥλιος μηδὲν ἔλαττόν με τὰ περὶ αὐτοῦ γνῶναι, καὶ διδάξαι κοινῇ τε ἅπαντας, ἰδίᾳ δὲ τοὺς μανθάνειν ἀξίους. ἕως δέ μοι τοῦτο δίδωσιν ὁ θεός, κοινῇ θεραπεύωμεν τὸν τῷ θεῷ φίλον Ἰάμβλιχον, ὅθεν [δὴ] καὶ νῦν ὀλίγα ἐκ πολλῶν ἐπὶ νοῦν ἐλθόντα διεληλύθαμεν. ἐκείνου δὲ εὖ οἶδα· ὡς οὐδεὶς ἐρεῖ τι τελειότερον, οὐδὲ εἰ πολλὰ πάνυ προσταλαιπωρήσας [τῷ λόγῳ] καινοτομήσειεν· ἐκβήσεται γάρ, ὡς εἰκός, τῆς ἀληθεστάτης τοῦ θεοῦ
158 νοήσεως. ἦν μὲν οὖν ἴσως μάταιον, εἰ διδασκαλίας χάριν ἐποιούμην τοὺς λόγους, αὐτοῦ μετ' ἐκεῖνόν τι συγγράφειν, ἐπεὶ δὲ ὕμνον ἐθέλων διελθεῖν τοῦ θεοῖ χαριστήριον ἐν τούτῳ τόπον ὑπελάμβανον τῷ περὶ

2 συμφέρον Ῥωμαίων MbEF] Ῥωμαίων συμφέρον 6 ἐπελθόντα MbEF] ἐπελθόντι 6 et 7 πρὸς σὲ Mb] πρός σε 10 λόγοις ἐπιστῆσαι MbEF] ἐπιστῆσαι λόγοις | ἐντυχὼν τοῖς om. libri 12 τὸ σθένος libri, in Mb autem antea est lacuna duodeviginti fere literarum 13 μηδὲν H] μηθὲν 14 κοινῇ τε] vid. ad 50 C 17 δὴ om. libri 19 τι om. MbEF 20 τῷ λόγῳ om. libri 23 αὐτοῦ del. Pet., αὐτῷ MbEF. Fort. αὐτὸν scribendum. cf. 250 B 25 τόπον H] τὸ πάνυ | τῷ] τὸ MbEF. Fort. τοῦ

τῆς οὐσίας αὐτοῦ φράσαι κατὰ δύναμιν τὴν ἐμήν, οὐ μάτην οἶμαι πεποιῆσθαι τοὺς λόγους τούσδε, τὸ

Κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν

οὐκ ἐπὶ τῶν θυσιῶν μόνον, ἀλλὰ καὶ τῶν εὐφημιῶν B τῶν εἰς τοὺς θεοὺς ἀποδεχόμενος. εὔχομαι οὖν τρίτον ἀντὶ τῆς προθυμίας μοι ταύτης εὐμενῆ γενέσθαι τὸν βασιλέα τῶν ὅλων Ἥλιον, καὶ δοῦναι βίον ἀγαθὸν καὶ τελειοτέραν φρόνησιν καὶ θεῖον νοῦν ἀπαλλαγήν τε τὴν εἱμαρμένην ἐκ τοῦ βίου πρᾳοτάτην ἐν καιρῷ τῷ προσήκοντι, ἄνοδόν τε ἐπ' αὐτὸν τὸ μετὰ τοῦτο καὶ μονὴν παρ' αὐτῷ, μάλιστα μὲν ἀίδιον, εἰ δὲ C τοῦτο μεῖζον εἴη τῶν ἐμοὶ βεβιωμένων, πολλὰς πάνυ καὶ πολυετεῖς περιόδους.

3 Hesiod. O. et D. 336 | κατὰ libri 5 οὖν libri] τὸ 9 τὴν εἱμαρμένην MbEF marcil.] τῆς εἱμαρμένης 10 τὸ μετὰ MbEF] μετὰ

ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

ΕΙΣ ΤΗΝ ΜΗΤΕΡΑ ΤΩΝ ΘΕΩΝ.

Ἆρά γε χρὴ φάναι καὶ ὑπὲρ τούτων; καὶ ὑπὲρ
τῶν ἀρρήτων γράψομεν καὶ τὰ ἀνέξοιστα καὶ τὰ
159 ἀνεκλάλητα ἐκλαλήσομεν; τίς μὲν ὁ Ἄττις ἤτοι Γάλ-
λος, τίς δὲ ἡ τῶν θεῶν Μήτηρ, καὶ ὁ τῆς ἁγνείας
ταυτησὶ τρόπος ὁποῖος, καὶ προσέτι τοῦ χάριν οὑτωσὶ
τοιοῦτος ἡμῖν ἐξ ἀρχῆς κατεδείχθη, παραδοθεὶς μὲν
ὑπὸ τῶν ἀρχαιοτάτων Φρυγῶν, παραδεχθεὶς δὲ πρῶ-
τον ὑφ' Ἑλλήνων, καὶ τούτων οὐ (τῶν) τυχόντων,
ἀλλ' Ἀθηναίων, ἔργοις διδαχθέντων, ὅτι μὴ καλῶς
ἐτώθασαν ἐπὶ τῷ τελοῦντι τὰ ὄργια τῆς Μητρός;
λέγονται γὰρ οὗτοι περιυβρίσαι καὶ ἀπελάσαι τὸν
B Γάλλον ὡς τὰ θεῖα καινοτομοῦντα, οὐ ξυνέντες ὁποῖόν
τι τῆς θεοῦ τὸ χρῆμα καὶ ὡς ἡ παρ' αὐτοῖς τιμω-
μένη Δηὼ καὶ Ῥέα καὶ Δημήτηρ. εἶτα μῆνις τὸ ἐν-
τεῦθεν τῆς θεοῦ καὶ θεραπεία τῆς μήνιδος. ἡ γὰρ
ἐν πᾶσι τοῖς καλοῖς ἡγεμὼν γενομένη τοῖς Ἕλλησιν,
ἡ τοῦ Πυθίου πρόμαντις θεοῦ, (τὴν) τῆς Μητρὸς
τῶν θεῶν μῆνιν ἐκέλευσεν ἱλάσκεσθαι· καὶ ἀνέστη,
φασίν, ἐπὶ τούτῳ τὸ μητρῷον, οὗ τοῖς Ἀθηναίοις

7 οὑτωσὶ] οὗτοσί? 10 τῶν add. H 17 τῆς θεοῦ H] τοῦ θεοῦ 18 Ἕλλησιν H] Ἕλλησι 19 τὴν add. H 21 φασίν H] φασί

δημοσίᾳ πάντα ἐφυλάττετο τὰ γραμματεῖα. μετὰ δὴ C
τοὺς Ἕλληνας αὐτὰ Ῥωμαῖοι παρεδέξαντο, συμβου-
λεύσαντος καὶ αὐτοῖς τοῦ Πυθίου ἐπὶ τὸν πρὸς Καρχη-
δονίους πόλεμον ἄγειν ἐκ Φρυγίας τὴν θεὸν σύμ-
μαχον. καὶ οὐδὲν ἴσως κωλύει προσθεῖναι μικρὰν
ἱστορίαν ἐνταῦθα. μαθόντες γὰρ τὸν χρησμὸν στέλ-
λουσιν οἱ τῆς θεοφιλοῦς οἰκήτορες Ῥώμης πρεσβείαν
αἰτήσουσαν παρὰ τῶν Περγάμου βασιλέων, οἳ τότε
ἐκράτουν τῆς Φρυγίας, καὶ παρ' αὐτῶν δὲ τῶν Φρυ-
γῶν τῆς θεοῦ τὸ ἁγιώτατον ἄγαλμα. λαβόντες δὲ D
ἦγον τὸν ἱερὸν φόρτον ἐνθέντες εὐρείᾳ φορτίδι πλεῖν
εὐπετῶς δυναμένῃ τὰ τοσαῦτα πελάγη. περαιωθεῖσα
δὲ Αἰγαιόν τε καὶ Ἰόνιον, εἶτα περιπλεύσασα Σικε-
λίαν τε καὶ τὸ Τυρρηνὸν πέλαγος ἐπὶ τὰς ἐκβολὰς
τοῦ Τύβριδος κατήγετο· καὶ δῆμος ἐξεχεῖτο τῆς πό-
λεως σὺν τῇ γερουσίᾳ, ὑπήντων γε μὴν πρὸ τῶν
ἄλλων ἱερεῖς τε καὶ ἱέρειαι πᾶσαι καὶ πάντες ἐν
κόσμῳ τῷ πρέποντι κατὰ τὰ πάτρια, μετέωροι πρὸς
τὴν ναῦν οὐριοδρομοῦσαν ἀποβλέποντες, καὶ περὶ τὴν 160
τρόπιν ἀπεσκόπουν τὸ ῥόθιον σχιζομένων τῶν κυ-
μάτων· εἶτα εἰσπλέουσαν ἐδεξιοῦντο τὴν ναῦν προσ-
κυνοῦντες ἕκαστος ὡς ἔτυχε προσεστὼς πόρρωθεν.
ἡ δὲ ὥσπερ ἐνδείξασθαι τῷ Ῥωμαίων ἐθέλουσα δήμῳ,
ὅτι μὴ ξόανον ἄγουσιν ἀπὸ τῆς Φρυγίας ἄψυχον,
ἔχει δὲ ἄρα δύναμίν τινα μείζω καὶ θειοτέραν ὃ δὴ
παρὰ τῶν Φρυγῶν λαβόντες ἔφερον, ἐπειδὴ τοῦ Τύ-
βριδος ἥψατο, τὴν ναῦν ἵστησιν ὥσπερ ῥιζωθεῖσαν B
ἐξαίφνης κατὰ τοῦ Τύβριδος. εἷλκον δὴ οὖν πρὸς

5 μικρὰν H] μικρὸν v; μικρὸν ἱστορίας Rsk. 13 Ἰόνιον H] Ἰώνιον 14 Τυρρηνὸν H] Τυρσηνὸν | ἐκβολὰς H] ἐμβολὰς 22 ὡς Pet.] ὢν 27 ἵστησιν H] ἵστησι

ἀντίον τὸν ῥοῦν, ἡ δὲ οὐχ εἵπετο. (ὡς) βραχέσι δὲ ἐντετυχηκότες ὠθεῖν ἐπειρῶντο τὴν ναῦν, ἡ δὲ οὐκ εἶκεν ὠθούντων. πᾶσα δὲ μηχανὴ προσήγετο τὸ ἐντεῦθεν, ἡ δὲ οὐχ ἧττον ἀμετακίνητος ἦν· ὥστε ἐμπίπτει κατὰ τῆς ἱερωμένης τὴν παναγεστάτην ἱερωσύνην παρθένου δεινὴ καὶ ἄδικος ὑποψία, καὶ τὴν Κλωδίαν ᾐτιῶντο· τοῦτο γὰρ ὄνομα ἦν τῇ σεμνῇ C *παρθένῳ· μὴ παντάπασιν ἄχραντον μηδὲ καθαρὰν φυλάττειν ἑαυτὴν τῇ θεῷ· ὀργίζεσθαι οὖν αὐτὴν καὶ μηνίειν ἐμφανῶς· ἐδόκει γὰρ ἤδη τοῖς πᾶσιν εἶναι τὸ χρῆμα δαιμονιώτερον. ἡ δὲ τὸ μὲν πρῶτον αἰδοῦς ὑπεπίμπλατο πρός τε τὸ ὄνομα καὶ τὴν ὑποψίαν· οὕτω πάνυ πόρρω ἐτύγχανε τῆς αἰσχρᾶς καὶ παρανόμου πράξεως. ἐπεὶ δὲ ἑώρα τὴν αἰτίαν ἤδη καθ' ἑαυτῆς ἐξισχύουσαν, περιελοῦσα τὴν ζώνην καὶ περιθεῖσα τῆς νεὼς τοῖς ἄκροις, ὥσπερ ἐξ ἐπιπνοίας* D *τινὸς ἀποχωρεῖν ἐκέλευεν ἅπαντας, εἶτα ἐδεῖτο τῆς θεοῦ μὴ περιιδεῖν αὐτὴν ἀδίκοις ἐνεχομένην βλασφημίαις. βοῶσα δὲ ὥσπερ τι κέλευσμα, φασί, ναυτικόν, Δέσποινα Μῆτερ, εἴπερ εἰμὶ σώφρων, ἕπου μοι, ἔφη. καὶ δὴ τὴν ναῦν οὐκ ἐκίνησε μόνον, ἀλλὰ καὶ εἵλκυσεν ἐπὶ πολὺ πρὸς τὸν ῥοῦν· καὶ δύο ταῦτα Ῥωμαίοις ἔδειξεν ἡ θεὸς οἶμαι κατ' ἐκείνην τὴν ἡμέραν, ὡς οὔτε μικροῦ τινος τίμιον ἀπὸ τῆς Φρυγίας ἐπῆ-* 161 *γον τὸν φόρτον, ἀλλὰ τοῦ παντὸς ἄξιον, οὔτε ὡς ἀνθρώπινον τοῦτον, ἀλλὰ ὄντως θεῖον, οὔτε ἄψυχον γῆν, ἀλλὰ ἔμπνουν τι χρῆμα καὶ δαιμόνιον. ἓν μὲν δὴ τοιοῦτον ἔδειξεν αὐτοῖς ἡ θεός· ἕτερον δέ, ὡς*

1 *ὡς* add. Pet. 16 *τῆς ἄκρας* marg. pet. 18 *αὐτὴν* H] *αὑτὴν* 24 *οὔτε* H] *οὐδὲ* 24 et 25 *ἐπῆγον τὸν*] Fort. *ἐπήγοντο* 25 *οὔτε* H] *οὐδὲ* 26 *οὔτε* H] *οὐδὲ*

τῶν πολιτῶν οὐδὲ εἷς λάθοι ἂν αὐτὴν χρηστὸς ἢ φαῦλος ὤν. κατωρθώθη μέντοι καὶ ὁ πόλεμος αὐτίκα Ῥωμαίοις πρὸς Καρχηδονίους, ὥστε τὸν τρίτον ὑπὲρ τῶν τειχῶν αὐτῆς μόνον Καρχηδόνος γενέσθαι. τὰ μὲν οὖν τῆς ἱστορίας, εἰ καί τισιν ἀπίθανα δόξει καὶ φιλοσόφῳ προσήκειν οὐδὲν οὐδὲ θεολόγῳ, λεγέσθω B μὴ μεῖον, κοινῇ μὲν ὑπὸ πλείστων ἱστοριογράφων ἀναγραφόμενα, σωζόμενα δὲ καὶ ἐπὶ χαλκῶν εἰκόνων ἐν τῇ κρατίστῃ καὶ θεοφιλεῖ Ῥώμῃ. καίτοι με οὐ λέληθεν ὅτι φήσουσιν αὐτά τινες τῶν λίαν σοφῶν ὕθλους εἶναι γραδίων οὐκ ἀνεκτούς. ἐμοὶ δὲ δοκεῖ ταῖς πόλεσι πιστεύειν μᾶλλον τὰ τοιαῦτα ἢ τουτοισὶ τοῖς κομψοῖς, ὧν τὸ ψυχάριον δριμὺ μέν, ὑγιὲς δὲ οὐδὲ ἓν βλέπει.

Ὑπὲρ δὲ ὧν εἰπεῖν ἐπῆλθέ μοι παρ' αὐτὸν ἄρτι C τὸν τῆς ἁγιστείας καιρόν, ἀκούω μὲν ἔγωγε καὶ Πορφυρίῳ τινὰ πεφιλοσοφῆσθαι περὶ αὐτῶν, οὐ μὴν οἶδά γε, οὐ γὰρ ἐνέτυχον, εἰ καὶ συνενεχθῆναί που συμβαίη τῷ λόγῳ. τὸν Γάλλον δὲ ἐγὼ τουτονὶ καὶ τὸν Ἄττιν αὐτὸς οἴκοθεν ἐπινοῶ τοῦ γονίμου καὶ δημιουργικοῦ νοῦ τὴν ἄχρι τῆς ἐσχάτης ὕλης ἅπαντα γεννῶσαν οὐσίαν εἶναι, ἔχουσάν τε ἐν ἑαυτῇ πάντας τοὺς λόγους καὶ τὰς αἰτίας τῶν ἐνύλων εἰδῶν· οὐ D γὰρ δὴ πάντων ἐν πᾶσι τὰ εἴδη, οὐδὲ ἐν τοῖς ἀνωτάτω καὶ πρώτοις αἰτίοις τὰ τῶν ἐσχάτων καὶ τελευταίων, μεθ' ἃ οὐδέν ἐστιν ἢ τὸ τῆς στερήσεως ὄνομα μετὰ ἀμυδρᾶς ἐπινοίας. οὐσῶν δὴ πολλῶν οὐσιῶν καὶ πολλῶν πάνυ δημιουργῶν τοῖ τρίτου

5 τισιν ἀπίθανα Rsk., τισιν οὐ πιθανὰ Pet., τισι πιθανὰ v 11 γραδίων scripsi pro γραϊδίων 18 οὐ γὰρ H] οὐδὲ v, οὐδὲ γὰρ Rsk. 24 οὐδὲ H] οὔτε

δημιουργοῦ, ὃς τῶν ἐνύλων εἰδῶν τοὺς λόγους ἐξηρημένους ἔχει καὶ συνεχεῖς τὰς αἰτίας, ἡ τελευταία 162 καὶ μέχρι γῆς ὑπὸ περιουσίας τοῦ γονίμου διὰ τῆς ἄνωθεν παρὰ τῶν ἄστρων καθήκουσα φύσις ὁ ζητούμενός ἐστιν Ἄττις. ἴσως δὲ ὑπὲρ οὗ λέγω χρὴ διαλαβεῖν σαφέστερον. εἶναί τι λέγομεν ὕλην, ἀλλὰ καὶ ἔνυλον εἶδος. ἀλλὰ τούτων εἰ μή τις αἰτία προτέτακται, λανθάνοιμεν ἂν ἑαυτοὺς εἰσάγοντες τὴν Ἐπικούρειον δόξαν. ἀρχαῖν γὰρ δυοῖν εἰ μηδέν ἐστι πρεσβύτερον, αὐτόματός τις αὐτὰς φορὰ καὶ τύχη B συνεκλήρωσεν. ἀλλ' ὁρῶμεν, φησὶ Περιπατητικός τις ἀγχίνους ὥσπερ ὁ Ξέναρχος, τούτων αἴτιον ὂν τὸ πέμπτον καὶ κυκλικὸν σῶμα. γελοῖος δὲ καὶ Ἀριστοτέλης ὑπὲρ τούτων ζητῶν τε καὶ πολυπραγμονῶν, ὁμοίως δὲ καὶ Θεόφραστος· ἠγνόησε γοῦν τὴν ἑαυτοῦ φωνήν. ὥσπερ γὰρ εἰς τὴν ἀσώματον οὐσίαν ἐλθὼν καὶ νοητὴν ἔστη μὴ πολυπραγμονῶν τὴν αἰτίαν, ἀλλὰ φὰς οὕτω ταῦτα πεφυκέναι· χρῆν δὲ δήπουθεν καὶ ἐπὶ τοῦ πέμπτου σώματος τὸ πεφυκέναι C ταύτῃ λαμβάνοντα μηκέτι ζητεῖν τὰς αἰτίας, ἵστασθαι δὲ ἐπὶ αὐτῶν καὶ μὴ πρὸς τὸ νοητὸν ἐκπίπτειν ὂν μὲν οὐδὲν φύσει καθ' ἑαυτό, ἔχον δὲ ἄλλως κενὴν ὑπόνοιαν. τοιαῦτα γὰρ ἐγὼ μέμνημαι τοῦ Ξενάρχου λέγοντος ἀκηκοώς. εἰ μὲν οὖν ὀρθῶς ἢ μὴ ταῦτα ἐκεῖνος ἔφη, τοῖς ἄγαν ἐφείσθω Περιπατητικοῖς ὀνυχίζειν, ὅτι δὲ οὐ προσηνῶς ἐμοὶ παντί που δῆλον, ὅπου γε καὶ τὰς Ἀριστοτελικὰς ὑποθέσεις ἐνδε-

10 αὐτὰς H] αὐτὰ 13 γελοῖος H] γελοῖον 14 ζητῶν τε H] ζητῶν τι 18 χρῆν H] χρὴ 22 οὐδὲν H] οὐθὲν 25 et 26 τοῖς ἄγαν — ὀνυχίζειν] Suidas v. ἐφείσθω: Ἐφείσθω τούτοις ἐξονυχίζειν

εστέρως ἔχειν ὑπολαμβάνω, εἰ μή τις αὐτας ἐς ταὐτο τοῖς Πλάτωνος ἄγοι, μᾶλλον δὲ καὶ ταῦτα ταῖς ἐκ D θεῶν δεδομέναις προφητείαις. ἐκεῖνο δὲ ἴσως ἄξιον πυθέσθαι, πῶς τὸ κυκλικὸν σῶμα δύναται τὰς ἀσωμάτους ἔχειν αἰτίας τῶν ἐνύλων εἰδῶν. ὅτι μὲν γὰρ δίχα τούτων ὑποστῆναι τὴν γένεσιν οὐκ ἐνδέχεται, πρόδηλόν ἐστί που καὶ σαφές. τοῦ χάριν γάρ ἐστι τοσαῦτα τὰ γιγνόμενα; πόθεν δὲ ἄρρεν καὶ θῆλυ; πόθεν δὲ ἡ κατὰ γένος τῶν ὄντων ἐν ὡρισμένοις 163 εἴδεσι διαφορά, εἰ μή τινες εἶεν προϋπάρχοντες καὶ προεστῶτες λόγοι αἰτίαι τε ἐν παραδείγματος λόγῳ προϋφεστῶσαι; πρὸς ἃς εἴπερ ἀμβλυώττομεν, ἔτι καθαιρώμεθα τὰ ὄμματα τῆς ψυχῆς. κάθαρσις δὲ ὀρθὴ στραφῆναι πρὸς ἑαυτὸν καὶ κατανοῆσαι, πῶς μὲν ἡ ψυχὴ καὶ ὁ ἔνυλος νοῦς ὥσπερ ἐκμαγεῖόν τι τῶν ἐνύλων εἰδῶν καὶ εἰκών ἐστιν. ἓν γὰρ οὐδέν ἐστι τῶν σωμάτων ἢ τῶν περὶ τὰ σώματα γινομένων τε καὶ θεωρουμένων ἀσωμάτων, οὗ τὴν φαντασίαν B ὁ νοῦς οὐ δύναται λαβεῖν ἀσωμάτως, ὅπερ οὔ ποτ' ἂν ἐποίησεν, εἰ μή τι ξυγγενὲς εἶχεν αὐτοῖς φύσει. ταῦτά τοι καὶ Ἀριστοτέλης τὴν ψυχὴν τόπον εἰδῶν ἔφη, πλὴν οὐκ ἐνεργείᾳ, ἀλλὰ δυνάμει. τὴν μὲν οὖν τοιαύτην ψυχὴν καὶ τὴν ἐπεστραμμένην πρὸς τὸ σῶμα δυνάμει ταῦτα ἔχειν ἀναγκαῖον· εἰ δέ τις ἄσχετος εἴη καὶ ἀμιγὴς ταύτῃ, τοὺς λόγους οὐκέτι δυνάμει, πάντας δὲ ὑπάρχειν ἐνεργείᾳ νομιστέον. C λάβωμεν δὲ αὐτὰ σαφέστερον διὰ τοῦ παραδείγματος, ᾧ καὶ Πλάτων ἐν τῷ Σοφιστῇ πρὸς ἕτερον μὲν

11 προεστῶτες] προϋφεστῶτες H. cf. ad 165 D 12 ἀμβλυώττομεν H] ἀμβλώττομεν 16 ἔστιν H] ἔστι | ἓν H] ἓν τοῦτο 18 οὗ] ἃ marg. pet. 28 Σοφιστῇ] p. 233 ss.

λόγον, ἐχρήσατο δ' οὖν ὅμως. τὸ παράδειγμα δὲ οὐκ εἰς ἀπόδειξιν φέρω τοῦ λόγου· καὶ γὰρ οὐδὲ ἀποδείξει χρὴ λαβεῖν αὐτό, ἀλλ' ἐπιβολῇ μόνῃ, περὶ γὰρ τῶν πρώτων αἰτιῶν ἐστιν ἢ τῶν γε ὁμοστοίχων τοῖς πρώτοις, εἴπερ ἡμῖν ἐστιν, ὥσπερ οὖν ἄξιον D *νομίζειν, καὶ ὁ Ἄττις θεός. τί δὲ καὶ ποῖόν ἐστι τὸ παράδειγμα; φησί που Πλάτων, τῶν περὶ τὴν μίμησιν διατριβόντων εἰ μὲν ἐθέλοι τις μιμεῖσθαι, ὥστε καθυφεστάναι τὰ μιμητά, ἐργώδη τε εἶναι καὶ χαλεπὴν καὶ νὴ Δία γε τοῦ ἀδυνάτου πλησίον μᾶλλον, εὔκολον δὲ καὶ ῥᾳδίαν καὶ σφόδρα δυνατὴν τὴν διὰ τοῦ δοκεῖν τὰ ὄντα μιμουμένην. ὅταν οὖν τὸ κάτοπτρον λαβόντες περιφέρωμεν ἐκ πάντων τῶν ὄντων ῥᾳδίως ἀπομαξάμενοι, δείκνυμεν ἑκάστου τοὺς* 164 *τύπους. ἐκ τούτου τοῦ παραδείγματος ἐπὶ τὸ εἰρημένον μεταβιβάσωμεν τὸ ὁμοίωμα, ἵν' ᾖ τὸ μὲν κάτοπτρον ὁ λεγόμενος ὑπὸ Ἀριστοτέλους δυνάμει τόπος εἰδῶν. αὐτὰ δὲ χρὴ τὰ εἴδη πρότερον ὑφεστάναι πάντως ἐνεργείᾳ τοῦ δυνάμει. τῆς τοίνυν ἐν ἡμῖν ψυχῆς, ὡς καὶ Ἀριστοτέλει δοκεῖ, δυνάμει τῶν ὄντων ἐχούσης τὰ εἴδη, ποῦ πρῶτον ἐνεργείᾳ θησόμεθα ταῦτα; πότερον ἐν τοῖς ἐνύλοις; ἀλλ' ἔστι γε* B *ταῦτα φανερῶς τὰ τελευταῖα. λείπεται δὴ λοιπὸν ἀύλους αἰτίας ζητεῖν ἐνεργείᾳ προτεταγμένας τῶν ἐνύλων, αἷς παρυποστᾶσαν καὶ συμπροελθοῦσαν ἡμῶν τὴν ψυχὴν δέχεσθαι μὲν ἐκεῖθεν, ὥσπερ ἐξ ὄντων τινῶν τὰ ἔσοπτρα, τοὺς τῶν εἰδῶν ἀναγκαῖον λόγους,*

3 *αὐτό*] Malim *αὐτόν* (sc. *τὸν λόγον*) 4 *ἐστιν* H] *ἐστι* 10 *μᾶλλον* H] *βάλλειν*. cf. 112 C 12 et 13 *τὸ κάτοπτρον*] Plat. de Rep. X 596 D 16 *μεταβιβάσωμεν* H] *διαβιβάσωμεν* 21 *ἐχούσης* Pet.] *ἐχούσῃ* 25 *προϋποστᾶσαν* marg. pet.

ἐνδιδόναι δὲ διὰ τῆς φύσεως τῇ τε ὕλῃ καὶ τοῖς ἐνύλοις τουτοισὶ σώμασιν. ὅτι μὲν γὰρ ἡ φύσις ἐστὶ δημιουργὸς τῶν σωμάτων ἴσμεν, ὡς ὅλη τις οὖσα τοῦ παντός, ἡ δὲ καθ' ἕκαστον ἑνὸς ἑκάστου τῶν ἐν μέρει, πρόδηλόν ἐστί που καὶ σαφές. ἀλλ' C ἡ φύσις ἐνεργείᾳ δίχα φαντασίας ἐν ἡμῖν, ἡ δὲ ὑπὲρ ταύτης ψυχὴ καὶ τὴν φαντασίαν προσείληφεν. εἰ τοίνυν ἡ φύσις καὶ ὧν οὐκ ἔχει τὴν φαντασίαν ἔχειν ὅμως ὁμολογεῖται τὴν αἰτίαν, ἀνθ' ὅτου πρὸς θεῶν οὐχὶ τοῦτο αὐτὸ μᾶλλον ἔτι καὶ πρεσβύτερον τῇ ψυχῇ δώσομεν, ὅπου καὶ φανταστικῶς αὐτὸ γιγνώσκομεν ἤδη καὶ λόγῳ καταλαμβάνομεν; εἶτα τίς οὕτως ἐστὶ φιλόνεικος, ὡς τῇ φύσει μὲν ὑπάρχειν D ὁμολογεῖν τοὺς ἐνύλους λόγους, εἰ καὶ μὴ πάντας καὶ κατὰ τὸ αὐτὸ ἐνεργείᾳ, ἀλλὰ δυνάμει γε πάντας, τῇ ψυχῇ δὲ μὴ δοῦναι τοῦτο αὐτό; οὐκοῦν εἰ δυνάμει μὲν ἐν τῇ φύσει καὶ οὐκ ἐνεργείᾳ τὰ εἴδη, δυνάμει δὲ ἔτι καὶ ἐν τῇ ψυχῇ καθαρώτερον καὶ διακεκριμένως μᾶλλον, ὥστε δη καὶ καταλαμβάνεσθαι καὶ γινώσκεσθαι, ἐνεργείᾳ δὲ οὐδαμοῦ· πόθεν ἀναρτήσομεν τῆς ἀειγενεσίας τὰ πείσματα; ποῦ δὲ ἑδράσομεν τοὺς ὑπὲρ τῆς ἀιδιότητος κόσμου λόγους; τὸ 165 γάρ τοι κυκλικὸν σῶμα ἐξ ὑποκειμένου καὶ εἴδους ἐστίν. ἀνάγκη δὴ οὖν, εἰ καὶ μήποτε ἐνεργείᾳ ταῦτα δίχα ἀλλήλων, ἀλλὰ ταῖς γε ἐπινοίαις ἐκεῖνα πρῶτα ὑπάρχοντα εἶναί τε καὶ νομίζεσθαι πρεσβύτερα. οὐκοῦν ἐπειδὴ δέδοταί τις καὶ τῶν ἐνύλων εἰδῶν αἰτία προηγουμένη παντελῶς ἄυλος ὑπὸ τὸν τρίτον δημι-

9 ἀνθ' ὅτου in interrogatione recta legitur etiam Epist. 59 p. 112 et 119 Heyl. et apud Cyrillum non semel, ut 135 B 238 A 276 E 314 C   22 τοὺς H] νοὸς   24 ἐστίν H] ἐστί

*ουργόν, ὃς ἡμῖν οὐ τούτων μόνον ἐστίν, ἀλλὰ καὶ
τοῦ φαινομένου καὶ πέμπτου σώματος πατὴρ καὶ
B δεσπότης· ἀποδιελόντες ἐκείνου τὸν Ἄττιν, τὴν ἄχρι
τῆς ὕλης καταβαίνουσαν αἰτίαν, καὶ θεὸν γόνιμον
Ἄττιν εἶναι καὶ Γάλλον πεπιστεύκαμεν, ὅν δή φησιν
ὁ μῦθος ἀνθῆσαι μὲν ἐκτεθέντα παρὰ Γάλλου ποτα-
μοῦ ταῖς δίναις, εἶτα καλὸν φανέντα καὶ μέγαν
ἀγαπηθῆναι παρὰ τῆς Μητρὸς τῶν θεῶν. τὴν δὲ
τά τε ἄλλα πάντα ἐπιτρέψαι αὐτῷ καὶ τὸν ἀστερω-
τὸν ἐπιθεῖναι πῖλον. ἀλλ' εἰ τὴν κορυφὴν σκέπει
C τοῦ Ἄττιδος ὁ φαινόμενος οὐρανὸς οὑτοσί, τὸν Γάλλον
ποταμὸν ἄρα μή ποτε χρὴ τὸν γαλαξίαν μαντεύεσθαι
κύκλον; ἐνταῦθα γάρ φασι μίγνυσθαι τὸ παθητὸν
σῶμα πρὸς τὴν ἀπαθῆ τοῦ πέμπτου κυκλοφορίαν.
ἄχρι τοι τούτων ἐπέτρεψεν ἡ Μήτηρ τῶν θεῶν
σκιρτᾶν τε καὶ χορεύειν τῷ καλῷ τούτῳ καὶ ταῖς
ἡλιακαῖς ἀκτῖσιν ἐμφερεῖ [τῷ] νοερῷ θεῷ, τῷ Ἄττιδι.
ὁ δὲ ἐπειδὴ προϊὼν ἦλθεν ἄχρι τῶν ἐσχάτων, ὁ
μῦθος αὐτὸν εἰς τὸ ἄντρον κατελθεῖν ἔφη καὶ συγ-
γενέσθαι τῇ νύμφῃ, τὸ δίυγρον αἰνιττόμενος τῆς
D ὕλης· καὶ οὐδὲ τὴν ὕλην αὐτὴν νῦν ἔφη, τὴν τε-
λευταίαν δὲ αἰτίαν ἀσώματον, ἣ τῆς ὕλης προέστηκε.
λέγεταί τοι καὶ πρὸς Ἡρακλείτου*

ψυχῇσιν θάνατος ὑγρῇσι γενέσθαι.

1 *ἐστίν* H] *ἐστί* 5 *ὃν δὴ* H] *ὃν δὲ* v, *τὸν δὲ* Pet. 10 *ἐπιθεῖναι*] *περιθεῖναι* H. cf. *περικεῖται* 168 C et Sallust. de D. et M. p. 249 *τὸν ἀστερωτὸν αὐτῷ περιθεῖναι πῖλον.* Vid. tamen Cobeti V. L. p. 190 12 *ἄρα* H] *ἆρα* | *μαντεύεσθαι*] *αἰνίττεσθαι* H. Cf. Sallust. p. 250 *ὁ γὰρ Γάλλος τὸν γαλαξίαν αἰνίττεται κύκλον* 17 *τῷ* uncinis inclusit H 20 *δίυγρον* B. Friederich] *δίυλον* 22 *προέστηκε*] Et hoc loco *προϋφέστηκε* et 163 A *προϋφεστῶτες* scribendum, eodemque modo *167 B* et 174 C corrigendum

τοῦτον οὖν τὸν Γάλλον, τὸν νοερὸν θεόν, τὸν τῶν ἐνύλων καὶ ὑπὸ σελήνην εἰδῶν συνοχέα, τῇ προτεταγμένῃ τῆς ὕλης αἰτίᾳ συνιόντα, συνιόντα δὲ οὐχ ὡς ἄλλον ἄλλῃ, ἀλλ' οἷον αὐτὸ εἰς τοῦτο .... ὑποφερόμενον. 166 τίς οὖν ἡ Μήτηρ τῶν θεῶν; ἡ τῶν κυβερνώντων τοὺς ἐμφανεῖς νοερῶν καὶ δημιουργικῶν θεῶν πηγή, ἡ καὶ τεκοῦσα καὶ συνοικοῦσα τῷ μεγάλῳ Διὶ θεὸς ὑποστᾶσα μεγάλη μετὰ τὸν μέγαν καὶ σὺν τῷ μεγάλῳ δημιουργῷ, ἡ πάσης μὲν κυρία ζωῆς, πάσης δὲ γενέσεως αἰτία, ἡ ῥᾷστα μὲν ἐπιτελοῦσα τὰ ποιούμενα, γεννῶσα δὲ δίχα πάθους καὶ δημιουργοῦσα τὰ ὄντα μετὰ τοῦ πατρός· αὕτη καὶ B παρθένος ἀμήτωρ καὶ Διὸς σύνθωκος καὶ μήτηρ θεῶν ὄντως οὖσα πάντων. τῶν γὰρ νοητῶν ὑπερκοσμίων θεῶν δεξαμένη πάντων αἰτίας ἐν ἑαυτῇ πηγὴ τοῖς νοεροῖς ἐγένετο. ταύτην δὴ τὴν θεὸν οὖσαν καὶ πρόνοιαν ἔρως μὲν ὑπῆλθεν ἀπαθὴς Ἄττιδος· ἐθελούσια γὰρ αὐτῇ καὶ κατὰ γνώμην ἐστὶν οὐ τὰ ἔνυλα μόνον εἴδη, πολὺ δὲ πλέον τὰ τούτων αἴτια. τὴν δὴ τὰ γινόμενα καὶ φθειρόμενα σώζουσαν προμήθειαν ἐρᾶν ὁ μῦθος ἔφη τῆς δημιουργικῆς C τούτων αἰτίας καὶ γονίμου, καὶ κελεύειν μὲν αὐτὴν ἐν τῷ νοητῷ τίκτειν μᾶλλον καὶ βούλεσθαί γε πρὸς ἑαυτὴν ἐπεστράφθαι καὶ συνοικεῖν, ἐπίταγμα δὲ ποιεῖσθαι, μηδενὶ τῶν ἄλλων, ἅμα μὲν τὸ ἑνοειδὲς σωτήριον διώκουσαν, ἅμα δὲ φεύγουσαν τὸ πρὸς τὴν ὕλην νεῦσαν· πρὸς ἑαυτήν τε βλέπειν ἐκέλευσεν,

4 ὑποφερόμενον] „Deest verbum, puta λέγομεν." Pet. 14 ὑπερκοσμίων delet B. Friederich, ego τε addam 15 αἰτίας] τὰς αἰτίας H 18 ἐστὶν H] ἐστὶ 19 εἴδη Pet.] ἤδη 23 γε] μὲν?

οὖσάν [τε] πηγὴν μὲν τῶν δημιουργικῶν θεῶν, οὐ καθελκομένην δὲ εἰς τὴν γένεσιν οὐδὲ θελγομένην·
D οὕτω γὰρ ἔμελλεν ὁ μέγας Ἄττις καὶ κρεῖττον εἶναι δημιουργός, ἐπείπερ ἐν πᾶσιν ἡ πρὸς τὸ κρεῖττον ἐπιστροφὴ μᾶλλόν ἐστι δραστήριος τῆς πρὸς τὸ χεῖρον νεύσεως. ἐπεὶ καὶ τὸ πέμπτον σῶμα τούτῳ δημιουργικώτερόν ἐστι τῶν τῇδε καὶ θειότερον, τῷ μᾶλλον ἐστράφθαι πρὸς τοὺς θεούς, ἐπεί τοι τὸ σῶμα, κἂν αἰθέρος ᾖ τοῦ καθαρωτάτου, [καὶ] ψυχῆς ἀχράντου καὶ καθαρᾶς, ὁποίαν τὴν Ἡρακλέους ὁ δημιουργὸς ἐξέπεμψεν, οὐδεὶς ἂν εἰπεῖν κρεῖττον τολμήσειε. τότε
167 μέντοι ἦν τε καὶ ἐδόκει μᾶλλον δραστήριος, ὅτε αὑτὴν ἔδωκεν ἐκείνῃ σώματι. ἐπεὶ καὶ αὐτῷ νῦν Ἡρακλεῖ ὅλῳ πρὸς ὅλον κεχωρηκότι τὸν πατέρα ῥᾴων ἡ τούτων ἐπιμέλεια καθέστηκεν ἢ πρότερον ἦν, ὅτε ἐν τοῖς ἀνθρώποις σαρκία φορῶν ἐστρέφετο. οὕτως ἐν πᾶσι δραστήριος μᾶλλον ἡ πρὸς τὸ κρεῖττον ἀπόστασις τῆς ἐπὶ τὸ χεῖρον στροφῆς. ὃ δὴ βουλόμενος ὁ μῦθος διδάξαι παραινέσαι φησὶ τὴν Μητέρα τῶν θεῶν τῷ Ἄττιδι θεραπεύειν αὑτὴν καὶ μήτε ἀποχω-
B ρεῖν μήτε ἐρᾶν ἄλλης. ὁ δὲ προῆλθεν ἄχρι τῶν ἐσχάτων τῆς ὕλης κατελθών. ἐπεὶ δὲ ἐχρῆν παύσασθαί ποτε καὶ στῆναι τὴν ἀπειρίαν, Κορύβας μὲν ὁ μέγας Ἥλιος, ὁ σύνθρονος τῇ Μητρὶ καὶ συνδημιουργῶν αὐτῇ τὰ πάντα καὶ συμπρομηθούμενος καὶ οὐδὲν πράττων αὐτῆς δίχα, πείθει τὸν λέοντα μηνυτὴν γενέσθαι. τίς δὲ ὁ λέων; αἴθωνα δήπουθεν

1 τε inclusit H 3 κρεῖττον] κρείττων H 8 ἐπεί τοι H] ἐπεὶ τῷ Regius Petavii, ἐπεί τε v 9 καὶ inclusit H 10 Ἡρακλέους H] Ἡρακλέος 11 οὐδεὶς H] οὐθεὶς 12 αὑτὴν H] αὐτὴν 16 ἐστρέφετο H] ἐτρέφετο 17 ἐν πᾶσι H] ἦν πᾶσι 20 αὑτὴν H] αὐτὴν

ἀκούομεν αὐτόν, αἰτίαν τοίνυν τὴν προεστῶσαν τοῦ θερμοῦ καὶ πυρώδους, ἣ πολεμήσειν ἔμελλε τῇ νύμφῃ C *καὶ ζηλοτυπήσειν αὐτὴν τῆς πρὸς τὸν Ἄττιν κοινωνίας· εἴρηται δὲ ἡμῖν τίς ἡ νύμφη· τῇ δημιουργικῇ προμηθείᾳ τῶν ὄντων ὑπουργῆσαί φησι, δηλαδὴ τῇ Μητρὶ τῶν θεῶν· εἶτα φωράσαντα καὶ μηνυτὴν γενόμενον αἴτιον γενέσθαι τῷ νεανίσκῳ τῆς ἐκτομῆς. ἡ δὲ ἐκτομὴ τίς; ἐποχὴ τῆς ἀπειρίας· ἔστη γὰρ δὴ τὰ τῆς γενέσεως ἐν ὡρισμένοις τοῖς εἴδεσιν ὑπὸ τῆς δημιουργικῆς ἐπισχεθέντα προμηθείας, οὐκ ἄνευ* D *τῆς τοῦ Ἄττιδος λεγομένης παραφροσύνης, ἣ τὸ μέτριον ἐξισταμένη καὶ ὑπερβαίνουσα καὶ διὰ τοῦτο ὥσπερ ἐξασθενοῦσα καὶ οὐκέθ᾽ αὑτῆς εἶναι δυναμένη· ὃ δὴ περὶ τὴν τελευταίαν ὑποστῆναι τῶν θεῶν αἰτίαν οὐκ ἄλογον. σκόπει οὖν ἀναλλοίωτον κατὰ πᾶσαν ἀλλοίωσιν τὸ πέμπτον θεώμενος σῶμα περὶ τοὺς φωτισμοὺς τῆς σελήνης, ἵνα λοιπὸν ὁ συνεχῶς γιγνόμενός τε καὶ ἀπολλύμενος κόσμος γειτνιᾷ τῷ πέμπτῳ σώματι. περὶ τοὺς φωτισμοὺς αὐτῆς ἀλ-* 168 *λοίωσίν τινα καὶ πάθη συμπίπτοντα θεωροῦμεν. οὐκ ἄτοπον οὖν [εἰ] καὶ τὸν Ἄττιν τοῦτον ἡμίθεόν τινα εἶναι· βούλεται γὰρ δὴ καὶ ὁ μῦθος τοῦτο· μᾶλλον δὲ θεὸν μὲν τῷ παντί· πρόεισί τε γὰρ ἐκ τοῦ τρίτου δημιουργοῦ καὶ ἐπανάγεται πάλιν ἐπὶ τὴν Μητέρα τῶν θεῶν μετὰ τὴν ἐκτομήν· ἐπεὶ δὲ ὅλως ῥέπειν πέπεικε νεύειν εἰς τὴν ὕλην δοκεῖ, θεῶν μὲν ἔσχατον, ἔξαρχον δὲ τῶν θείων γενῶν ἁπάντων οὐκ*

1 *προεστῶσαν*] Vid. ad 165 D 4 *τῇ*] *τῇ δὲ* ? 5 *φησι*] *φησιν ὁ μῦθος* ? 9 *εἴδεσιν* H] *εἴδεσι* 11 et 12 *ἣ τὸ μέτρ. ἐξιστ.*] Deest alicubi verbum finitum 21 [*εἰ*] *καὶ*] *εἰκάσαι* B. Friederich 26 *ῥέπειν πέπεικε*] *ῥέπειν καὶ* idem

B ἂν ἁμάρτοι τις αὐτὸν ὑπολαβών. ἡμίθεον δὲ διὰ
τοῦτο ὁ μῦθός φησι, τὴν πρὸς τοὺς ἀτρέπτους αὐ-
τοῦ θεοὺς ἐνδεικνύμενος διαφοράν. δορυφοροῦσι
γὰρ αὐτὸν παρὰ τῆς Μητρὸς δοθέντες οἱ Κορύβαν-
τες, αἱ τρεῖς ἀρχικαὶ τῶν μετὰ θεοὺς κρεισσόνων
γενῶν ὑποστάσεις. ἄρχει δὲ καὶ τῶν λεόντων, οἳ
τὴν ἔνθερμον οὐσίαν καὶ πυρώδη κατανειμάμενοι
μετὰ τοῦ σφῶν ἐξάρχου λέοντος αἴτιοι τῷ πυρὶ μὲν
πρώτως, διὰ δὲ τῆς ἐνθένδε θερμότητος ἐνεργείας
C τε κινητικῆς αἴτιοι καὶ τοῖς ἄλλοις εἰσὶ σωτηρίας·
περίκειται δὲ τὸν οὐρανὸν ἀντὶ τιάρας, ἐκεῖθεν ὥσπερ
ἐπὶ γῆν ὁρμώμενος. οὗτος ὁ μέγας ἡμῖν θεὸς Ἄττις
ἐστίν· αὗται τοῦ βασιλέως Ἄττιδος αἱ θρηνούμεναι
τέως φυγαὶ καὶ κρύψεις καὶ ἀφανισμοὶ καὶ αἱ δύσεις
αἱ κατὰ τὸ ἄντρον. τεκμήρια δὲ ἔστω μοι τούτου
ὁ χρόνος, ἐν ᾧ γίνεται. τέμνεσθαι γάρ φασι τὸ
ἱερὸν δένδρον καθ' ἣν ἡμέραν ὁ ἥλιος ἐπὶ τὸ ἄκρον
τῆς ἰσημερινῆς ἁψῖδος ἔρχεται· εἶθ' ἑξῆς περισαλπι-
D σμὸς παραλαμβάνεται· τῇ τρίτῃ δὲ τέμνεται τὸ ἱερὸν
καὶ ἀπόρρητον θέρος τοῦ θεοῦ Γάλλου· ἐπὶ τούτοις
Ἱλάρια, φασί, καὶ ἑορταί. ὅτι μὲν οὖν στάσις ἐστὶ
τῆς ἀπειρίας ἡ θρυλουμένη παρὰ τοῖς πολλοῖς ἐκ-
τομή, πρόδηλον ἐξ ὧν ἡνίκα ὁ μέγας Ἥλιος τοῦ
ἰσημερινοῦ ψαύσας κύκλου, ἵνα τὸ μάλιστα ὡρισμένον
ἐστί· τὸ μὲν γὰρ ἴσον ὡρισμένον ἐστί, τὸ δὲ ἄνισον
ἄπειρόν τε καὶ ἀδιεξίτητον· κατὰ τὸν λόγον αὐτίκα
169 τὸ δένδρον τέμνεται· εἶθ' ἑξῆς γίνεται τὰ λοιπά, τὰ

13 ἐστίν H] ἐστί 20 ἐπὶ Pet. in lemmate annotationis et Pc teste Heylero] ἐπεὶ 22 θρυλουμένη H] θρυλλουμένη 23 ἡνίκα[β] ἐξ[α] ὧν V. „Manca est oratio.“ Pet. 25 ἴσον H] ἶσον

μὲν διὰ τοὺς μυστικοὺς καὶ κρυφίους θεσμούς, τὰ δὲ καὶ ῥηθῆναι πᾶσι δυναμένους. ἡ δὲ ἐκτομὴ τοῦ δένδρου, τοῦτο δὲ τῇ μὲν ἱστορίᾳ προσήκει τῇ περὶ τὸν Γάλλον, οὐδὲν δὲ τοῖς μυστηρίοις, οἷς παραλαμβάνεται, διδασκόντων ἡμᾶς οἶμαι τῶν θεῶν συμβολικῶς, ὅτι χρὴ τὸ κάλλιστον ἐκ γῆς δρεψαμένους, ἀρετὴν μετὰ εὐσεβείας, ἀπενεγκεῖν τῇ θεῷ, σύμβολον τῆς ἐνταῦθα χρηστῆς πολιτείας ἐσόμενον. τὸ γάρ τοι δένδρον ἐκ γῆς μὲν φύεται, σπεύδει δὲ ὥσπερ εἰς B τὸν αἰθέρα καὶ ἰδεῖν τέ ἐστι [καὶ ὀφθῆναι] καλὸν καὶ σκιὰν παρασχεῖν ἐν πνίγει, ἤδη δὲ καὶ καρπὸν ἐξ ἑαυτοῦ προβαλεῖν καὶ χαρίσασθαι· οὕτως αὐτῷ πολύ τί γε τοῦ γονίμου περίεστιν. ἡμῖν οὖν ὁ θεσμὸς παρακελεύεται, τοῖς φύσει μὲν οὐρανίοις, εἰς γῆν δὲ ἐνεχθεῖσιν, ἀρετὴν μετὰ εὐσεβείας ἀπὸ τῆς ἐν τῇ γῇ πολιτείας ἀμησαμένους παρὰ τὴν προγονικὴν καὶ ζωογόνον σπεύδειν θεόν. εὐθὺς οὖν ἡ C σάλπιγξ μετὰ τὴν ἐκτομὴν ἐνδίδωσι τὸ ἀνακλητικὸν τῷ Ἄττιδι καὶ τοῖς ὅσοι ποτὲ οὐρανόθεν ἔπτημεν εἰς τὴν γῆν καὶ ἐπέσομεν. μετὰ δὴ τὸ σύμβολον τοῦτο, ὅτε ὁ βασιλεὺς Ἄττις ἵστησι τὴν ἀπειρίαν διὰ τῆς ἐκτομῆς, ἡμῖν [τε] οἱ θεοὶ κελεύουσιν ἐκτέμνειν καὶ αὐτοῖς τὴν ἐν ἡμῖν αὐτοῖς ἀπειρίαν καὶ μιμεῖσθαι τοὺς ἡμῶν, ἐπὶ δὲ τὸ ὡρισμένον καὶ ἑνοειδὲς καί, εἴπερ οἷόν τέ ἐστιν, αὐτὸ τὸ ἓν ἀνατρέχειν· οὗπερ γενομένου πάντως ἕπεσθαι χρὴ τὰ Ἱλά- D

2 καὶ] καὶ διὰ H. Similem librariorum errorem δὲ pro δ' ἐν scribentium 139 D correxi. Vid. tamen Nov. Annal. philol. et paed. Vol. 75 p. 709 et add. Thucyd. 1, 75 Strabon. I p. 29 Diodor. 21, 12, 5 4 οἷς om. V 10 καὶ ὀφθῆναι delendum esse vidit B. Friederich 11 σκιὰ pet. 12 προβαλεῖν B. Friederich] προβάλλειν 18 ἐνδίδωσι Pet.] ἐκδίδωσι 22 τε inclusit H 24 τοὺς ἡμῶν] τὶ ἡμῶν Regius Petavii

ρια. τί γὰρ εὐθυμότερον, τί δὲ ἱλαρώτερον γένοιτο ἂν ψυχῆς ἀπειρίαν μὲν καὶ γένεσιν καὶ τὸν ἐν αὐτῇ κλύδωνα διαφυγούσης, ἐπὶ δὲ τοὺς θεοὺς αὐτοὺς ἀναχθείσης; ὧν ἕνα καὶ τὸν Ἄττιν ὄντα περιεῖδεν οὐδαμῶς ἡ τῶν θεῶν Μήτηρ βαδίζοντα πρόσω πλέον ἢ χρῆν, πρὸς ἑαυτὴν δὲ ἐπέστρεψε, στῆσαι τὴν ἀπειρίαν προστάξασα.

Καὶ μή τις ὑπολάβῃ με λέγειν, ὡς ταῦτα ἐπράχθη
170 ποτὲ καὶ γέγονεν, ὥσπερ οὐκ εἰδότων τῶν θεῶν αὐτῶν, ὅ,τι ποιήσουσιν, ἢ τὰ σφῶν αὐτῶν ἁμαρτήματα διορθουμένων. ἀλλὰ οἱ παλαιοὶ τῶν ὄντων ἀεὶ τὰς αἰτίας, ἤτοι τῶν θεῶν ὑφηγουμένων (ἢ) κατὰ σφᾶς αὐτοὺς διερευνώμενοι, βέλτιον δὲ ἴσως εἰπεῖν ζητοῦντες ὑφ' ἡγεμόσι τοῖς θεοῖς, ἔπειτα εὑρόντες ἐσκέπασαν αὐτὰ μύθοις παραδόξοις, ἵνα διὰ τοῦ παραδόξου καὶ ἀπεμφαίνοντος τὸ πλάσμα φωραθὲν ἐπὶ τὴν ζήτησιν ἡμᾶς τῆς ἀληθείας προτρέψῃ,
B τοῖς μὲν ἰδιώταις ἀρκούσης οἶμαι τῆς ἀλόγου καὶ διὰ τῶν συμβόλων μόνων ὠφελείας, τοῖς δὲ περιττοῖς κατὰ τὴν φρόνησιν οὕτως ἂν μόνως ἐσομένης ὠφελίμου τῆς περὶ θεῶν ἀληθείας, εἴ τις ἐξετάζων αὐτὴν ὑφ' ἡγεμόσι τοῖς θεοῖς εὕροι καὶ λάβοι, διὰ μὲν τῶν αἰνιγμάτων ὑπομνησθείς, ὅτι χρή τι περὶ αὐτῶν ζητεῖν, ἐς τέλος δὲ καὶ ὥσπερ κορυφὴν τοῦ
C πράγματος διὰ τῆς σκέψεως εὑρὼν πορευθείη, οὐκ αἰδοῖ καὶ πίστει μᾶλλον ἀλλοτρίας δόξης ἢ τῇ σφετέρᾳ κατὰ νοῦν ἐνεργείᾳ. τί οὖν εἶναί φαμεν, ὡς

8 ὑπολάβῃ H] ὑπολάβοι   12 ἢ adjecit H   15 αὐτὰ] αὐτὰς H   19 μόνων V] μόνον   20 ἐσομένης] Aut γενομένης scribendum aut ἂν delendum   26 τῇ σφετέρᾳ H] τῆς ἐφ' ἑτέρᾳ

ἐν κεφαλαίῳ; κατανοήσαντες ἄχρι τοῦ πέμπτου σώ-
ματος οὐ τὸ νοητὸν μόνον, ἀλλὰ καὶ τὰ φαινόμενα
ταῦτα σώματα τῆς ἀπαθοῦς ὄντα καὶ θείας μερίδος,
ἄχρι τούτου θεοὺς ἐνόμισαν ἀκραιφνεῖς εἶναι· τῇ
γονίμῳ δὲ τῶν θεῶν οὐσίᾳ τῶν τῇδε παρυποστάν-
των, ἐξ ἀιδίου συμπροελθούσης τῆς ὕλης τοῖς θεοῖς,
παρ' αὐτῶν δὲ καὶ δι' αὐτῶν διὰ τὸ ὑπέρπληρες D
αὐτῶν τῆς γονίμου καὶ δημιουργικῆς αἰτίας ἡ τῶν
ὄντων προμήθεια συνουσιωμένη τοῖς θεοῖς ἐξ ἀιδίου,
καὶ σύνθωκος μὲν οὖσα τῷ βασιλεῖ Διί, πηγὴ δὲ
τῶν νοερῶν θεῶν, καὶ τὸ δοκοῦν ἄζωον καὶ ἄγονον
καὶ σκύβαλον καὶ τῶν ὄντων, οἷον ἂν εἴποι τις,
ἀποκάθαρμα καὶ τρύγα καὶ ὑποσταθμὴν διὰ τῆς τε-
λευταίας τῶν θεῶν, εἰς ἣν αἱ πάντων οὐσίαι τῶν
θεῶν ἀποτελευτῶσιν, ἐκόσμησέ τε καὶ διωρθώσατο
καὶ πρὸς τὸ κρεῖττον μετέστησεν. ὁ γὰρ Ἄττις οὗ-
τος ἔχων τὴν κατάστικτον τοῖς ἄστροις τιάραν εὔ- 171
δηλον ὅτι τὰς πάντων τῶν θεῶν εἰς τὸν ἐμφανῆ
κόσμον ὁρωμένας λήξεις ἀρχὰς ἐποιήσατο τῆς ἑαυ-
τοῦ βασιλείας· ἐπ' αὐτῷ τὸ μὲν ἀκραιφνὲς καὶ
καθαρὸν ἦν ἄχρι γαλαξίου· περὶ τοῦτον δὲ ἤδη τὸν
τόπον μιγνυμένου πρὸς τὸ ἀπαθὲς τοῦ παθητοῦ καὶ
τῆς ὕλης παρυφισταμένης ἐκεῖθεν, ἡ πρὸς ταύτην
κοινωνία κατάβασίς ἐστιν εἰς τὸ ἄντρον, οὐκ ἀκου-
σίως μὲν γενομένη τοῖς θεοῖς καὶ τῇ τούτων Μητρί, B
λεγομένη δὲ ἀκουσίως γενέσθαι. φύσει γὰρ ἐν κρείτ-
τονι τοὺς θεοὺς ὄντας οὐκ ἐκεῖθεν ἐπὶ τάδε καθ-
έλκειν ἐθέλει τὰ βελτίω, ἀλλὰ διὰ τῆς τῶν κρειτ-
τόνων συγκαταβάσεως καὶ ταῦτα ἀνάγειν ἐπὶ τὴν

4 τούτου H] τούτους 12 εἴπη V 13 τελευταίας] τε-
λευταίας αἰτίας H 19 ὁρμωμένας B. Friederich

ἀμείνονα καὶ θεοφιλεστέραν λῆξιν. οὕτω τοι καὶ
τὸν Ἄττιν οὐ κατεχθραίνουσα μετὰ τὴν ἐκτομὴν ἡ
Μήτηρ λέγεται, ἀλλὰ ἀγανακτεῖ μὲν οὐκέτι, ἀγανα-
κτοῦσα δὲ λέγεται διὰ τὴν συγκατάβασιν, ὅτι κρείτ-
C των ὢν καὶ θεὸς ἔδωκεν ἑαυτὸν τῷ καταδεεστέρῳ·
στήσαντα δὲ αὐτὸν τῆς ἀπειρίας τὴν πρόοδον καὶ
τὸ ἀκόσμητον τοῦτο κοσμήσαντα διὰ τῆς πρὸς τὸν
ἰσημερινὸν κύκλον συμπαθείας, ἵνα ὁ μέγας Ἥλιος
τῆς ὡρισμένης κινήσεως τὸ τελειότατον κυβερνᾷ μέ-
τρον, ἐπανάγει πρὸς ἑαυτὴν ἡ θεὸς ἀσμένως, μᾶλλον
δὲ ἔχει παρ' ἑαυτῇ. καὶ οὐδέποτε γέγονεν, ὅτε μὴ
ταῦτα τοῦτον εἶχε τὸν τρόπον, ὅνπερ νῦν ἔχει, ἀλλ'
ἀεὶ μὲν Ἄττις ἐστὶν ὑπουργὸς τῇ Μητρὶ καὶ ἡνίοχος,
D ἀεὶ δὲ ὀργᾷ εἰς τὴν γένεσιν, ἀεὶ δὲ ἀποτέμνεται
τὴν ἀπειρίαν διὰ τῆς ὡρισμένης τῶν εἰδῶν αἰτίας.
ἐπαναγόμενος δὲ ὥσπερ ἐκ γῆς τῶν ἀρχαίων αὖθις
λέγεται δυναστεύειν σκήπτρων, ἐκπεσὼν μὲν αὐτῶν
οὐδαμῶς οὐδὲ ἐκπίπτων, ἐκπεσεῖν δὲ αὐτῶν λεγό-
μενος διὰ τὴν πρὸς τὸ παθητὸν σύμμιξιν.

Ἀλλ' ἐκεῖνο ἴσως ἄξιον προσαπορῆσαι· διττῆς
172 γὰρ οὔσης τῆς ἰσημερίας, οὐ τὴν ἐν ταῖς χηλαῖς,
τὴν δὲ ἐν τῷ κριῷ προτιμῶσι. τίς οὖν αἰτία τού-
του, φανερὸν δήπουθεν. ἐπειδὴ γὰρ ἡμῖν ὁ ἥλιος
ἄρχεται τότε πλησιάζειν ἀπὸ τῆς ἰσημερίας, αὐξομέ-
νης οἶμαι τῆς ἡμέρας, ἔδοξεν οὗτος ὁ καιρὸς ἁρμο-
διώτερος. ἔξω γὰρ τῆς αἰτίας, ᾗ φησι τοῖς θεοῖς
εἶναι τὸ φῶς σύνδρομον, ἔχειν οἰκείως πιστευτέον
τοῖς ἀφεθῆναι τῆς γενέσεως σπεύδουσι τὰς ἀναγω-

12 εἶχε H] ἔχει 14 ὀργᾷ εἰς Pet. et Ruhnken. ad Timaeum p. 194] ὀργίζει V, ὀργάζει v 22 προτιμῶσιν Pet.] προστόμωσιν 27 πιστευτέον H] πιστεῦον

γοὺς ἀκτῖνας ἡλίου. σκόπει δὲ ἐναργῶς· ἕλκει μὲν B
ἀπὸ τῆς γῆς πάντα καὶ προσκαλεῖται καὶ βλαστάνειν
ποιεῖ τῇ ζωπυρίδι καὶ θαυμαστῇ θέρμῃ, διακρίνων
οἶμαι πρὸς ἄκραν λεπτότητα τὰ σώματα, καὶ τὰ
φύσει φερόμενα κάτω κουφίζει. τὰ δὴ τοιαῦτα τῶν
ἀφανῶν αὐτοῦ δυνάμεων ποιητέον τεκμήρια. ὁ γὰρ
ἐν τοῖς σώμασι διὰ τῆς σωματοειδοῦς θέρμης οὕτω
τοῦτο ἀπεργαζόμενος πῶς οὐ διὰ τῆς ἀφανοῦς καὶ
ἀσωμάτου πάντῃ καὶ θείας καὶ καθαρᾶς ἐν ταῖς
ἀκτῖσιν ἱδρυμένης οὐσίας ἕλξει καὶ ἀνάξει τὰς εὐτυ-
χεῖς ψυχάς; οὐκοῦν ἐπειδὴ πέφηνεν οἰκεῖον μὲν τοῖς C
θεοῖς τὸ φῶς τοῦτο καὶ τοῖς ἀναχθῆναι σπεύδουσιν,
αὔξεται δὲ ἐν τῷ παρ' ἡμῖν κόσμῳ τὸ τοιοῦτον,
ὥστε εἶναι τὴν ἡμέραν μείζω τῆς νυκτός, Ἡλίου τοῦ
βασιλέως ἐπιπορεύεσθαι τὸν κριὸν ἀρξαμένου· δέ-
δεικται καὶ ἀναγωγὸν φύσει τὸ τῶν ἀκτίνων τοῦ
θεοῦ διά τε τῆς φανερᾶς ἐνεργείας καὶ τῆς ἀφανοῦς,
ὑφ' ἧς παμπληθεῖς ἀνήχθησαν ψυχαὶ τῶν αἰσθήσεων
ἀκολουθήσασαι τῇ φανοτάτῃ καὶ μάλιστα ἡλιοειδεῖ. D
τὴν γὰρ τοιαύτην τῶν ὀμμάτων αἴσθησιν οὐκ ἀγα-
πητὴν μόνον οὐδὲ χρήσιμον εἰς τὸν βίον, ἀλλὰ καὶ
πρὸς σοφίαν ὁδηγὸν ὁ δαιμόνιος ἀνύμνησε Πλάτων.
εἰ δὲ καὶ τῆς ἀρρήτου μυσταγωγίας ἁψαίμην, ἣν
ὁ Χαλδαῖος περὶ τὸν ἑπτάκτινα θεὸν ἐβάκχευσεν,
ἀνάγων δι' αὐτοῦ τὰς ψυχάς, ἄγνωστα ἐρῶ, καὶ
μάλα γε ἄγνωστα τῷ συρφετῷ, θεουργοῖς δὲ τοῖς 173
μακαρίοις γνώριμα· διόπερ αὐτὰ σιωπήσω τανῦν.

Ὅπερ δὲ ἔλεγον, ὅτι καὶ τὸν καιρὸν οὐκ ἀλόγως

2 πάντα V] ἅπαντα | προσκαλεῖται] προκαλεῖται H 13 τὸ τοιοῦτο V 16 καὶ] δὲ καὶ V, quod nescio an δὴ καὶ scribendum sit 24 ἑπάκτινα marg. pet.

ὑποληπτέον, ἀλλ' ὡς ἔνι μάλιστα μετὰ εἰκότος καὶ
ἀληθοῦς λόγου παρὰ τῶν παλαιῶν τῷ θεσμῷ προσ-
τεθεῖσθαι, σημεῖον δὲ τούτου, ὅτι τὸν ἰσημερινὸν
κύκλον ἡ θεὸς αὕτη κατενείματο. τελεῖται γὰρ περὶ
τὸν ζυγὸν Δηοῖ καὶ Κόρῃ τὰ σεμνὰ καὶ ἀπόρρητα
B μυστήρια. καὶ τοῦτο εἰκότως γίνεται. χρὴ γὰρ καὶ
ἀπιόντι τῷ θεῷ τελεσθῆναι πάλιν, ἵνα μηδὲν ὑπὸ
τῆς ἀθέου καὶ σκοτεινῆς δυσχερὲς πάθωμεν ἐπι-
κρατούσης δυνάμεως. δὶς γοῦν Ἀθηναῖοι τῇ Δηοῖ
τελοῦσι τὰ μυστήρια, ἐν αὐτῷ μὲν τῷ κριῷ τὰ μικρά,
φασί, μυστήρια, τὰ μεγάλα δὲ περὶ τὰς χηλὰς ὄντος
ἡλίου, δι' ἃς ἔναγχος ἔφην αἰτίας. μεγάλα δὲ ὠνο-
μάσθαι καὶ μικρὰ νομίζω καὶ ἄλλων ἕνεκα, μάλιστα
δέ, ὡς εἰκός, τούτου ἀποχωροῦντος τοῦ θεοῦ μᾶλλον
ἤπερ προσιόντος· διόπερ ἐν τούτοις ὅσον εἰς ὑπό-
C μνησιν μόνον. ἅτε δὴ καὶ παρόντος τοῦ σωτῆρος
καὶ ἀναγωγοῦ θεοῦ, τὰ προτέλεια κατεβάλλοντο τῆς
τελετῆς· εἶτα μικρὸν ὕστερον ἁγνεῖαι συνεχεῖς καὶ
τῶν ἱερῶν ἁγιστεῖαι. ἀπιόντος δὲ λοιπὸν τοῦ θεοῦ
πρὸς τὴν ἀντίχθονα ζώνην, καὶ φυλακῆς ἕνεκα καὶ
σωτηρίας αὐτὸ τὸ κεφάλαιον ἐπιτελεῖται τῶν μυστη-
ρίων. ὅρα δέ· ὥσπερ ἐνταῦθα τὸ τῆς γενέσεως αἴ-
τιον ἀποτέμνεται, οὕτω δὲ καὶ παρὰ Ἀθηναίοις οἱ
τῶν ἀρρήτων ἁπτόμενοι παναγεῖς εἰσι, καὶ ὁ τού-
D των ἐξάρχων ἱεροφάντης ἀπέστραπται πᾶσαν τὴν γέ-
νεσιν, ὡς οὐ μετὸν αὐτῷ τῆς ἐπ' ἄπειρον προόδου,
τῆς ὡρισμένης δὲ καὶ ἀεὶ μενούσης καὶ ἐν τῷ ἑνὶ
συνεχομένης οὐσίας ἀκηράτου τε καὶ καθαρᾶς. ὑπὲρ
μὲν δὴ τούτων ἀπόχρη τοσαῦτα.

10 ἐν αὐτῷ V] αὐτῷ. cf. 172 A 19 ἱερῶν] ἱερέων H
28 ὑπὲρ V] ἐπὶ



Λείπεται δὴ λοιπόν, ὡς εἰκός, ὑπέρ τε τῆς ἁγιστείας αὐτῆς καὶ τῆς ἁγνείας διεξελθεῖν, ἵνα καὶ ἐντεῦθεν λάβωμεν εἰς τὴν ὑπόθεσιν εἴ τι συμβάλ- 174
λεται. γελοῖον δὲ αὐτίκα τοῖς πᾶσιν ἐκεῖνο φαίνεται· κρεῶν μὲν ἅπτεσθαι δίδωσιν ὁ ἱερὸς νόμος, ἀπαγορεύει δὲ τῶν σπερμάτων. οὐκ ἄψυχα μὲν ἐκεῖνα, ταῦτα δὲ ἔμψυχα; οὐ καθαρὰ μὲν ἐκεῖνα, ταῦτα δὲ αἵματος καὶ πολλῶν ἄλλων οὐκ εὐχερῶν ὄψει τε καὶ ἀκοῇ πεπληρωμένα; οὐ, τὸ μέγιστον, ἐκείνοις μὲν πρόσεστι τὸ μηδένα ἐκ τῆς ἐδωδῆς ἀδικεῖσθαι, τούτοις δὲ τὸ καταθύεσθαι καὶ κατασφάττεσθαι τὰ ζῷα ἀλγοῦντά γε, ὡς εἰκός, καὶ τρυχόμενα; ταῦτα B
πολλοὶ καὶ τῶν περιττῶν εἴποιεν ἄν· ἐκεῖνα δὲ ἤδη κωμῳδοῦσι καὶ τῶν ἀνθρώπων οἱ δυσσεβέστατοι. τὰ μὲν ὅρμενά φασιν ἐσθίεσθαι τῶν λαχάνων, παραιτεῖσθαι δὲ τὰς ῥίζας, ὥσπερ γογγυλίδας, καὶ σῦκα μὲν ἐσθίεσθαί φασι, ῥοιὰς δὲ οὐκέτι καὶ μῆλα πρὸς τούτοις. ταῦτα ἀκηκοὼς μινυριζόντων πολλῶν πολλάκις, ἀλλὰ καὶ εἰρηκὼς πρότερον, ἔοικα ἐγὼ μόνος ἐκ πάντων πολλὴν εἴσεσθαι τοῖς δεσπόταις θεοῖς C
μάλιστα μὲν ἅπασι, πρὸ τῶν ἄλλων δὲ τῇ Μητρὶ τῶν θεῶν, ὥσπερ ἐν τοῖς ἄλλοις ἅπασιν, οὕτω δὲ καὶ ἐν τούτῳ χάριν, ὅτι με μὴ περιεῖδεν ὥσπερ ἐν σκότῳ πλανώμενον, ἀλλά μοι πρῶτον μὲν ἐκέλευσεν ἀποκόψασθαι οὔτι κατὰ τὸ σῶμα, κατὰ δὲ τὰς ψυχικὰς ἀλόγους ὁρμὰς καὶ κινήσεις τῇ νοερᾷ καὶ προεστώσῃ τῶν ψυχῶν ἡμῶν αἰτίᾳ τὰ περιττὰ καὶ

15 φασιν et paulo post φασι H] φησιν et φησι 19 Ante εἰρηκὼς videtur αὐτὸς excidisse 20 εἴσεσθαι H] εἴδεσθαι. cf. ad 224 A 22 et 23 οὕτω δὲ καὶ V] οὕτω καὶ 24 πρῶτον μὲν H] πρῶτόν γε 27 προεστώσῃ] Vid. ad 165 D

μάταια· ἐπὶ νοῦν δὲ ἔδωκεν αὕτη λόγους τινὰς ἴσως
D οὐκ ἀπᾴδοντας πάντη τῆς ὑπὲρ θεῶν ἀληθοῦς ἅμα
καὶ εὐαγοῦς ἐπιστήμης. ἀλλ' ἔοικα γάρ, ὥσπερ οὐκ
ἔχων ὅ τι φῶ, κύκλῳ περιτρέχειν. ἐμοὶ δὲ πάρεστι
μὲν καὶ καθ' ἕκαστον ἐπιόντι σαφεῖς καὶ τηλαυγεῖς
αἰτίας ἀποδοῦναι, τοῦ χάριν ἡμῖν οὐ θέμις ἐστὶ
προσφέρεσθαι ταῦτα, ὧν ὁ θεῖος εἴργει θεσμός· καὶ
ποιήσω γε αὐτὸ μικρὸν ὕστερον· ἄμεινον δὲ νῦν
ὥσπερ τύπους τινὰς προθεῖναι καὶ κανόνας, οἷς ἑπό-
μενοι, κἄν τι πολλάκις ὑπὸ τῆς σπουδῆς παρέλθῃ
175 τὸν λόγον, ἕξομεν ὑπὲρ τούτων κρῖναι. προσήκει δὲ
πρῶτον ὑπομνῆσαι διὰ βραχέων, τίνα τε ἔφαμεν
εἶναι τὸν Ἄττιν καὶ τί τὴν ἐκτομήν, τίνος τε εἶναι
σύμβολα τὰ μετὰ τὴν ἐκτομὴν ἄχρι τῶν Ἱλαρίων
γινόμενα καὶ τί βούλεσθαι τὴν ἁγνείαν. ὁ μὲν οὖν
Ἄττις ἐλέγετο αἰτία τις οὖσα καὶ θεός, ὁ προσεχῶς
δημιουργῶν τὸν ἔνυλόν κόσμον, ὃς μέχρι τῶν ἐσχά-
των κατιὼν ἵσταται ὑπὸ τῆς ἡλίου δημιουργικῆς
κινήσεως, ὅταν ἐπὶ τῆς ἄκρως ὡρισμένης τοῦ παν-
B τὸς ὁ θεὸς γένηται περιφερείας, οὗ τῆς ἰσημερίας
τοὔνομά ἐστι κατὰ τὸ ἔργον. ἐκτομὴν δὲ ἐλέγομεν
εἶναι τῆς ἀπειρίας τὴν ἐποχήν, ἣν οὐκ ἄλλως ἢ διὰ
τῆς ἐπὶ τὰς πρεσβυτέρας καὶ ἀρχηγικωτέρας αἰτίας
ἀνακλήσεώς τε καὶ ἀναδύσεως συμβαίνειν. αὐτῆς δὲ
τῆς ἁγνείας φαμὲν τὸν σκοπὸν ἄνοδον τῶν ψυχῶν.
οὐκοῦν οὐκ ἐᾷ πρῶτον σιτεῖσθαι τὰ κατὰ γῆς δυό-
μενα σπέρματα· ἔσχατον μὲν γὰρ τῶν ὄντων ἡ γῆ.
ἐνταῦθα δέ φησιν ἀπελαθέντα καὶ Πλάτων τὰ κακὰ
στρέφεσθαι, καὶ διὰ τῶν λογίων οἱ θεοὶ σκύβαλον

2 ὑπὲρ V] ἐπὶ | ἅμα H] ἀλλὰ: cf. 7 A et 94 B 8 γε] δὲ ? 20 οὗ] ἢ H 28 φησὶν V] φησιν καὶ

αὐτὸ πολλαχοῦ καλοῦσι, καὶ φεύγειν ἐντεῦθεν πολ- C λαχοῦ παρακελεύονται. πρῶτον οὖν ἡ ζωογόνος καὶ προμηθὴς θεὸς οὐδὲ ἄχρι τῆς τῶν σωμάτων τροφῆς ἐπιτρέπει τοῖς κατὰ γῆς δυομένοις χρῆσθαι, παραινοῦσά γε πρὸς τὸν οὐρανόν, μᾶλλον δὲ καὶ ὑπὲρ τὸν οὐρανὸν βλέπειν. ἑνί τινες κέχρηνται σπέρματι, τοῖς λοβοῖς, οὐ σπέρμα μᾶλλον ἢ λάχανον αὐτὸ νομίζοντες εἶναι τῷ πεφυκέναι πως ἀνωφερὲς καὶ D ὀρθὸν καὶ οὐδὲ ἐρριζῶσθαι κατὰ τῆς γῆς· ἐρρίζωται δὲ ὥσπερ [οὐκ] ἐκ δένδρου κιττοῦ τινος ἢ καὶ ἀμπέλου καρπὸς ἤρτηται καὶ καλάμης. ἀπηγόρευται μὲν οὖν ἡμῖν σπέρματι χρῆσθαι διὰ τοῦτο φυτῶν, ἐπιτέτραπται δὲ χρῆσθαι καρποῖς καὶ λαχάνοις, οὐ τοῖς χαμαιζήλοις, ἀλλὰ τοῖς ἐκ γῆς αἰρομένοις ἄνω μετεώροις. ταύτῃ τοι καὶ τῆς γογγυλίδος τὸ μὲν γεωχαρὲς ὡς χθόνιον ἐπιτάττει παραιτεῖσθαι, τὸ δὲ ἀναδυόμενον ἄνω καὶ εἰς ὕψος αἰρόμενον ὡς αὐτῷ 176 τούτῳ καθαρὸν τυγχάνον δίδωσι προσενέγκασθαι. τῶν γοῦν λαχάνων ὁρμένοις μὲν συγχωρεῖ χρῆσθαι, ῥίζαις δὲ ἀπαγορεύει καὶ μάλιστα ταῖς ἐντρεφομέναις καὶ συμπαθούσαις τῇ γῇ. καὶ μὴν καὶ τῶν δένδρων μῆλα μὲν ὡς ἱερὰ καὶ χρυσᾶ καὶ ἀρρήτων ἄθλων καὶ τελεστικῶν εἰκόνας καταφθείρειν οὐκ ἐπέτρεψε καὶ καταναλίσκειν, ἄξιά γε ὄντα τῶν ἀρχετύπων χάριν τοῦ σέβεσθαί τε καὶ θεραπεύεσθαι· ῥοιὰς δὲ B ὡς φυτὸν χθόνιον παρῃτήσατο, καὶ τοῦ φοίνικος δὲ

1 πολλαχοῦ alterum delet Wyttenbachius ad Plat. Phaedon. p. 286 10 οὐκ inclusit Pet., delevit Spanh. 11 καὶ καλάμης] Aut mendosa esse haec aut excidisse quaedam putat Pet. 15 μεταιώροις V] μετεώρως 17 et 18 αὐτῷ τούτῳ H] αὐτὸ τοῦτο 23 καταφθείρειν Pet.] μεταφθείρειν 25 τε H] γε

τὸν καρπὸν ἴσως μὲν ἄν τις εἴποι διὰ τὸ μὴ γίνεσθαι περὶ τὴν Φρυγίαν, ἔνθα πρῶτον ὁ θεσμὸς κατέστη· ἐμοὶ δὲ δοκεῖ μᾶλλον ὡς ἱερὸν ἡλίου τὸ φυτὸν ἀγήρων τε ὂν οὐ συγχωρῆσαι καταναλίσκειν ἐν ταῖς ἁγιστείαις εἰς τροφὴν σώματος. ἐπὶ τούτοις ἀπηγόρευται ἰχθύσιν ἅπασι χρῆσθαι. κοινὸν δέ ἐστι
C τοῦτο καὶ πρὸς Αἰγυπτίους τὸ πρόβλημα. δοκεῖ δὲ ἔμοιγε δυοῖν ἕνεκεν ἄν τις ἰχθύων μάλιστα μὲν ἀεί, πάντως δὲ ἐν ταῖς ἁγιστείαις ἀποσχέσθαι, ἑνὸς μέν, ὅτι τούτων, ἃ μὴ θύομεν τοῖς θεοῖς, οὐδὲ σιτεῖσθαι προσήκει. δέος δὲ ἴσως οὐδέν, μή πού τις ἐνταῦθα λίχνος καὶ γάστρις ἐπιλάβηταί μου, ὥς που καὶ πρότερον ἤδη παθὼν αὐτὸ διαμνημονεύω, „Διὰ τί δέ; οὐχὶ καὶ θύομεν αὐτῶν πολλάκις τοῖς θεοῖς"; εἰπόντος ἀκούσας. ἀλλ' εἴχομέν τι καὶ πρὸς τοῦτο
D εἰπεῖν. καὶ θύομέν γε, ἔφην, ὦ μακάριε, ἔν τισι τελεστικαῖς θυσίαις, ὡς ἵππον Ῥωμαῖοι, ὡς πολλὰ καὶ ἄλλα θηρία καὶ ζῷα, κύνας ἴσως Ἕλληνες Ἑκάτῃ καὶ Ῥωμαῖοι δέ· καὶ πολλὰ παρ' ἄλλοις ἐστὶ τῶν τελεστικῶν, καὶ δημοσίᾳ ταῖς πόλεσιν ἅπαξ τοῦ ἔτους ἢ δὶς τοιαῦτα θύματα, ἀλλ' οὐκ ἐν ταῖς τιμητηρίοις, ὧν μόνων κοινωνεῖν ἄξιον καὶ τραπεζοῦν θεοῖς. τοὺς δὲ ἰχθύας ἐν ταῖς τιμητηρίοις οὐ θύομεν, ὅτι μήτε νέμομεν, μήτε τῆς γενέσεως αὐτῶν ἐπιμελού-
177 μεθα, μήτε ἡμῖν εἰσιν ἀγέλαι καθάπερ προβάτων καὶ βοῶν οὕτω δὲ καὶ τῶν ἰχθύων. ταῦτα μὲν γὰρ ὑφ' ἡμῶν βοηθούμενα τὰ ζῷα καὶ πληθύνοντα διὰ τοῦτο

4 ἀγήρω τὲ ὂν V 8 δυοῖν H] δοιοῖν 11 προσήκει H] προσῆκε 13 διὰ τί V] διά τι 15 εἴχομεν H] ἔχομεν 19 ἀλλήλοις V 21 et 23 τιμητηρίοις V] τιμητηρίαις 22 ὧν V] ἐφ' ὧν | μόνων H] μόνον | τραπεζῶν pet. 23 ἰχθύας] Vid. ad 57 A 24 μήτε — μήτε H] μηδὲ — μηδὲ

δικαίως ἂν ἡμῖν εἴς τε τὰς ἄλλας χρείας ἐπικουροίη καὶ πρό γε τῶν ἄλλων ἐς τιμητηρίους θυσίας. εἷς μὲν δὴ λόγος οὗτος, δι' ὃν οὐκ οἶμαι δεῖν ἰχθὺν ἐν ἁγνείας καιρῷ προσφέρεσθαι τροφήν. ἕτερος δέ, ὃν καὶ μᾶλλον ἡγοῦμαι τοῖς προειρημένοις ἁρμόζειν, ὅτι τρόπον τινὰ καὶ αὐτοὶ κατὰ τοῦ βυθοῦ δεδυκότες εἶεν ἂν χθονιώτεροι τῶν σπερμάτων, ὁ δὲ ἐπι- B θυμῶν ἀναπτῆναι καὶ μετέωρος ὑπὲρ τὸν ἀέρα πρὸς αὐτὰς οὐρανοῦ πτῆναι κορυφὰς δικαίως ἂν ἀποστρέφοιτο πάντα τὰ τοιαῦτα, μεταθέοι δὲ καὶ μετατρέχοι τὰ τεινόμενα πρὸς τὸν ἀέρα καὶ σπεύδοντα πρὸς τὸ ἄναντες καί, ἵνα τι καὶ ποιητικὸν εἴπω, πρὸς τὸν οὐρανὸν ὁρῶντα. ὄρνισιν οὖν ἐπιτρέπει χρῆσθαι πλὴν ὀλίγων, οὓς ἱεροὺς εἶναι πάντῃ συμβέβηκε, καὶ τῶν τετραπόδων τοῖς συνήθεσιν ἔξω τοῦ χοίρου. τοῦτον δὲ ὡς χθόνιον πάντῃ μορφῇ τε καὶ τῷ βίῳ C καὶ αὐτῷ τῷ τῆς οὐσίας λόγῳ· περιττωματικός τε γὰρ καὶ παχὺς τὴν σάρκα· τῆς ἱερᾶς ἀποκηρύττει τροφῆς. φίλον γὰρ εἶναι πεπίστευται θῦμα τοῖς χθονίοις θεοῖς οὐκ ἀπεικότως. ἀθέατον γάρ ἐστιν οὐρανοῦ τουτὶ τὸ ζῷον, οὐ μόνον οὐ βουλόμενον, ἀλλ' οὐδὲ πεφυκὸς ἀναβλέψαι ποτέ. τοιαύτας μὲν δὴ αἰτίας ὑπὲρ τῆς ἀποχῆς ὧν ἀπέχεσθαι δεῖ εἴρηκεν ὁ θεῖος θεσμός· οἱ ξυνιέντες δὲ κοινούμεθα τοῖς D ἐπισταμένοις θεούς. ὑπὲρ δὲ ὧν ἐπιτρέπει χρῆσθαι λέγομεν τοσοῦτον, ὡς οὐ πᾶσιν ἅπαντας, τὸ δυνατὸν δὲ ὁ θεῖος νόμος τῇ ἀνθρωπίνῃ φύσει σκοπῶν ἐπέτρεψε χρῆσθαι τουτοισὶ τοῖς πολλοῖς, οὐχ ἵνα

3 ἰχθῦν V   18 ὄρνισιν] θυήνησιν V et pet., τοῖς ὄρνισιν Pet., πτηνοῖς spanh.   14 συμβέβηκε V] συμβέβηκεν   25 et 28 χρῆσθαι abesse malim   26 ἅπαντας] ἅπαντα H

πᾶσι πάντες ἐξ ἀνάγκης χρησώμεθα· τοῦτο μὲν γὰρ
ἴσως οὐκ εὔκολον· ἀλλ' ὅπως ἐκείνῳ, ὅτῳ ἄρα πρῶ-
τον μὲν ἡ τοῦ σώματος συγχωροίη δύναμις, εἶτά τις
178 περιουσία συντρέχει καὶ τρίτον ἡ προαίρεσις, ἣν ἐν
τοῖς ἱεροῖς οὕτως ἄξιον ἐπιτείνειν, ὥστε καὶ ὑπὲρ
τὴν τοῦ σώματος δύναμιν ὁρμᾶν καὶ προθυμεῖσθαι
τοῖς θείοις ἀκολουθεῖν θεσμοῖς. ἔστι γὰρ δὴ τοῦτο
μάλιστα μὲν ἀνυσιμώτερον αὐτῇ τῇ ψυχῇ πρὸς σω-
τηρίαν, εἰ μείζονα λόγον αὐτῆς, ἀλλὰ μὴ τοῦ σώ-
ματος τῆς ἀσφαλείας ποιήσαιτο, πρὸς δὲ καὶ αὐτὸ
τὸ σῶμα μείζονος καὶ θαυμασιωτέρας φαίνεται λελη-
B θότως τῆς ὠφελείας μεταλαγχάνον. ὅταν γὰρ ἡ ψυχὴ
πᾶσαν ἑαυτὴν δῷ τοῖς θεοῖς, ὅλα τὰ καθ' ἑαυτὴν
ἐπιτρέψασα τοῖς κρείττοσιν, ἑπομένης οἶμαι τῆς ἁγι-
στείας καὶ πρό γε ταύτης τῶν θείων θεσμῶν ἡγου-
μένων, ὄντος οὐδενὸς λοιπὸν τοῦ ἀπείργοντος καὶ
ἐμποδίζοντος· πάντα γάρ ἐστιν ἐν τοῖς θεοῖς καὶ
πάντα περὶ αὐτοὺς ὑφέστηκε καὶ πάντα τῶν θεῶν
ἐστι πλήρη· αὐτίκα μὲν αὐταῖς ἐλλάμπει τὸ θεῖον
φῶς, θεωθεῖσαι δὲ αὗται τόνον τινὰ καὶ ῥώμην
C ἐπιτιθέασι τῷ συμφύτῳ πνεύματι, τοῦτο δὲ ὑπ' αὐ-
τῶν στομούμενον ὥσπερ καὶ κρατυνόμενον σωτηρίας
ἐστὶν αἴτιον ὅλῳ τῷ σώματι. τὸ δὲ ὅτι μάλιστα μὲν
πάσας τὰς νόσους, εἰ δὲ μή, ὅτι τὰς πλείστας καὶ
μεγίστας ἐκ τῆς τοῦ πνεύματος εἶναι τροπῆς καὶ
παραφορᾶς συμβέβηκεν, οὐδεὶς ὅστις οἶμαι τῶν Ἀσκλη-
πιαδῶν οὐ φήσειεν. οἱ μὲν γὰρ καὶ πάσας φασίν,
οἱ δὲ τὰς πλείστας καὶ μεγίστας καὶ ἰαθῆναι χαλε-

3 συγχωροίη] συγχωρεῖ H 9 αὐτῆς H] αὑτῆς 22 κρατυνόμενον H] κρατούμενον 23 ἐστὶν V] δὲ 27 φήσειεν] Aut φήσει scribendum aut ἂν addendum

πωτάτας· μαρτυρεῖ δὲ τούτοις καὶ τὰ τῶν θεῶν λόγια, φημὶ δέ, ὅτι διὰ τῆς ἁγιστείας οὐχ ἡ ψυχὴ μόνον, D ἀλλὰ καὶ τὰ σώματα βοηθείας πολλῆς καὶ σωτηρίας ἀξιοῦται· σώζεσθαι γάρ σφισι καὶ τὸ „πικρᾶς ὕλης περίβλημα βρότειον“ οἱ θεοὶ τοῖς ὑπεράγνοις παρακελευόμενοι τῶν θεουργῶν κατεπαγγέλλονται.

Τίς οὖν ἡμῖν ὑπολείπεται λόγος, ἄλλως τε καὶ ἐν βραχεῖ νυκτὸς μέρει ταῦτα ἀπνευστὶ ξυνεῖραι συγχωρηθεῖσιν, οὐδὲν οὔτε προανεγνωκόσιν οὔτε σκεψαμένοις περὶ αὐτῶν, ἀλλ' οὐδὲ προελομένοις 179 ὑπὲρ τούτων εἰπεῖν πρὶν ἢ τὰς δέλτους ταύτας αἰτῆσαι; μάρτυς δὲ ἡ θεός μοι τοῦ λόγου. ἀλλ', ὅπερ ἔφην, τί τὸ λειπόμενον ἡμῖν ὑμνῆσαι τὴν θεὸν μετὰ τῆς Ἀθηνᾶς καὶ τοῦ Διονύσου, ὧν δὴ καὶ τὰς ἑορτὰς ἐν ταύταις ἔθετο ταῖς ἁγιστείαις ὁ νόμος; ὁρῶ μὲν τῆς Ἀθηνᾶς πρὸς τὴν Μητέρα τῶν θεῶν διὰ τῆς προνοητικῆς ἐν ἑκατέραις ταῖς οὐσίαις ὁμοιότητος τὴν συγγένειαν, ἐπισκοπῶ δὲ καὶ τὸν Διονύσου μεριστὴν B δημιουργίαν, ἣν ἐκ τῆς ἑνοειδοῦς καὶ μονίμου ζωῆς τοῦ μεγάλου Διὸς ὁ μέγας Διόνυσος παραδεξάμενος, ἅτε καὶ προελθὼν ἐξ ἐκείνου, τοῖς φαινομένοις ἅπασιν ἐγκατένειμεν, ἐπιτροπεύων καὶ βασιλεύων τῆς μεριστῆς συμπάσης δημιουργίας. προσήκει δὲ σὺν τούτοις ὑμνῆσαι καὶ τὸν Ἐπαφρόδιτον Ἑρμῆν· καλεῖται γὰρ οὕτως ὑπὸ τῶν μυστῶν ὁ θεὸς οὗτος, ὅσοι λαμ- C πάδας φασὶν ἀνάπτειν Ἄττιδι τῷ σοφῷ. τίς οὖν

4 σώζεσθαι γάρ σφισι H] σώζεται γάρ, φησι 4 et 5 πικρᾶς — βρότειον] Ex poeta aliquo haec sumta esse videntur 5 τοῖς om. pet. 9 οὐδὲν H] οὐθὲν 12 ἀλλὰ V 13 ὑμνῆσαι H] ὑπομνῆσαι 15 ὁρῶν spanh. e Petavii conjectura 18 ἐπισκοπῶ H] ἐπισκοπῶν 24 ὑμνῆσαι H] ὑπομνῆσαι 25 ὅσοι spanh. e Petavii conjectura] ὃς οἱ V, ὃς οἱ pet. 26 φασὶν] φησὶν pet.

οὕτω παχὺς τὴν ψυχήν, ὃς οὐ συνίησιν, ὅτι δι' Ἑρμοῦ μὲν καὶ Ἀφροδίτης ἀνακαλεῖται πάντα πανταχοῦ τὰ τῆς γενέσεως ἔχοντα τὸ ἕνεκα τοῦ πάντη καὶ πάντως, ὃ τοῦ λόγου μάλιστα ἴδιόν ἐστιν; Ἄττις δὲ οὐχ οὗτός ἐστιν ὁ μικρῷ πρόσθεν ἄφρων, νῦν δὲ ἀκούων διὰ τὴν ἐκτομὴν σοφός; ἄφρων μὲν ὅτι τὴν ὕλην εἵλετο καὶ τὴν γένεσιν ἐπιτροπεύει, σοφὸς δὲ D *ὅτι τὸ σκύβαλον τοῦτο εἰς κάλλος ἐκόσμησε τοσοῦτον καὶ μετέστησεν, ὅσον οὐδεμί' ἂν μιμήσαιτο ἀνθρώπων τέχνη καὶ σύνεσις. ἀλλὰ τί πέρας ἔσται μοι τῶν λόγων; ἢ δῆλον ὡς ὁ τῆς μεγάλης ὕμνος θεοῦ;*

Ὦ θεῶν καὶ ἀνθρώπων μῆτερ, ὦ τοῦ μεγάλου σύνθωκε καὶ σύνθρονε Διός, ὦ πηγὴ τῶν νοερῶν θεῶν, ὦ τῶν νοητῶν ταῖς ἀχράντοις οὐσίαις συνδραμοῦσα καὶ τὴν κοινὴν ἐκ πάντων αἰτίαν παρα- 180 *δεξαμένη καὶ τοῖς νοεροῖς ἐνδιδοῦσα ζωογόνε θεὰ καὶ μῆτις καὶ πρόνοια καὶ τῶν ἡμετέρων ψυχῶν δημιουργέ, ὦ τὸν μέγαν Διόνυσον ἀγαπῶσα καὶ τὸν Ἄττιν ἐκτεθέντα περισωσαμένη καὶ πάλιν αὐτὸν εἰς τὸ γῆς ἄντρον καταδυόμενον ἐπανάγουσα, ὦ πάντων μὲν ἀγαθῶν τοῖς νοεροῖς ἡγουμένη θεοῖς, πάντων δὲ ἀποπληροῦσα τὸν αἰσθητὸν κόσμον, πάντα δὲ ἡμῖν ἐν πᾶσιν ἀγαθὰ χαρισαμένη, δίδου πᾶσι μὲν* B *ἀνθρώποις εὐδαιμονίαν, ἧς τὸ κεφάλαιον ἡ τῶν θεῶν γνῶσίς ἐστι, κοινῇ δὲ τῷ Ῥωμαίων δήμῳ, μάλιστα μὲν ἀποτρίψασθαι τῆς ἀθεότητος τὴν κηλῖδα, πρὸς δὲ καὶ τὴν τύχην εὐμενῆ συνδιακυβερνῶσαν*

1 οὕτως V 3 τὸ ἕνεκα κτλ. corrupta sunt 7 εἵλετο Pet. et spanh.] εἵλατο 8 et 9 τοσοῦτον καὶ H] καὶ τοσοῦτον 9 οὐδεμί' ἂν H] οὐδεμία 27 κηλῖδα H] κηλίδα

αὐτῷ τὰ τῆς ἀρχῆς πολλὰς χιλιάδας ἐτῶν, ἐμοὶ δὲ καρπὸν γενέσθαι τῆς περὶ σὲ θεραπείας ἀλήθειαν ἐν τοῖς περὶ θεῶν δόγμασιν, ἐν θεουργίᾳ τελειότητα, πάντων ἔργων, οἷς προσερχόμεθα περὶ τὰς πολιτικὰς καὶ στρατιωτικὰς τάξεις, ἀρετὴν μετὰ τῆς ἀγαθῆς C τύχης καὶ τὸ τοῦ βίου πέρας ἄλυπόν τε καὶ εὐδόκιμον μετὰ τῆς ἀγαθῆς ἐλπίδος τῆς ἐπὶ τῇ παρ' ὑμᾶς πορείᾳ.

2 περὶ σὲ V] περί σε 5 τάξεις] πράξεις H

ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

ΕΙΣ ΤΟΥΣ ΑΠΑΙΔΕΥΤΟΥΣ ΚΥΝΑΣ.

*Ἄνω ποταμῶν, τοῦτο δὴ τὸ τῆς παροιμίας. ἀνὴρ
Κυνικὸς Διογένη φησὶ κενόδοξον, καὶ ψυχρολουτεῖν
οὐ βούλεται, σφόδρα ἐρρωμένος τὸ σῶμα καὶ σφρι-
181 γῶν καὶ τὴν ἡλικίαν ἀκμάζων, ὡς ἂν μή τι κακὸν
λάβῃ, καὶ ταῦτα τοῦ θεοῦ ταῖς θεριναῖς τροπαῖς
ἤδη προσιόντος. ἀλλὰ καὶ τὴν ἐδωδὴν τοῦ πολύ-
ποδος κωμῳδεῖ καί φησι τὸν Διογένη τῆς ἀνοίας
καὶ κενοδοξίας ἐκτετικέναι δίκας ὥσπερ ὑπὸ κωνείου
τῆς τροφῆς διαφθαρέντα. οὕτω πόρρω που σοφίας
ἐλαύνει, ὥστε ἐπίσταται σαφῶς ὅτι κακὸν ὁ θάνατος.
τοῦτο δὲ ἀγνοεῖν ὑπελάμβανεν ὁ σοφὸς Σωκράτης,
B ἀλλὰ καὶ μετ' ἐκεῖνον Διογένης. ἀρρωστοῦντι γοῦν,
φασίν, Ἀντισθένει μακρὰν καὶ δυσανάληπτον ἀρρω-
στίαν ξιφίδιον ἐπέδωκεν ὁ Διογένης εἰπών· εἰ φίλου
χρῄζεις ὑπουργίας. οὕτως οὐδὲν ᾤετο δεινὸν ἐκεῖνος
οὐδὲ ἀλγεινὸν τὸν θάνατον. ἀλλ' ἡμεῖς οἱ τὸ σκῆπ-
τρον ἐκεῖθεν παραλαβόντες ὑπὸ μείζονος σοφίας*

14 *Διογένης*] [*Ἀντισθένης*] *Διογένης* pet. 15 *φασίν* H] *φησὶν* | Suidas v. *Ἀντισθένης*: *Ὅτι ἀρρωστοῦντι Ἀντισθένει μακρὰν καὶ δυσανάκλητον ἀρρωστίαν ὁ Διογένης ξιφίδιον ἐπέδωκεν εἰπών· εἰ φίλου χρῄζεις ὑπουργίας. οὕτως ᾤετο ἐκεῖνος οὐδὲν ἀλγεινὸν τὸν θάνατον.* Eadem contractiora repetuntur v. *Εἰ φίλου χρῄζ. ὑπ.* 17 *οὐδὲν* Suid.] *οὐθὲν*

ἴσμεν ὅτι χαλεπὸν ὁ θάνατος, καὶ τὸ νοσεῖν δεινότερον αὐτοῦ φασι τοῦ θανάτου, τὸ ῥιγοῦν δὲ χαλεπώτερον τοῦ νοσεῖν. ὁ μὲν γὰρ νοσῶν μαλακῶς ἔσθ' ὅτε θεραπεύεται, ὥστε [ἑαυτοῦ] γίνεσθαι τρυφὴν αὐτόχρημα τὴν ἀρρωστίαν, ἄλλως τε κἂν ᾖ C πλούσιος. ἐθεασάμην τοι καὶ αὐτὸς νὴ Δία τρυφῶντάς τινας ἐν ταῖς νόσοις μᾶλλον ἢ τούτους αὐτοὺς ὑγιαίνοντας· καίτοι γε καὶ τότε λαμπρῶς ἐτρύφων. ὅθεν μοι καὶ παρέστη πρός τινας τῶν ἑταίρων εἰπεῖν, ὡς τούτοις ἄμεινον ἦν οἰκέταις γενέσθαι μᾶλλον ἢ δεσπόταις, καὶ πένεσθαι τοῦ κρίνου γυμνοτέροις οὖσιν ἢ πλουτεῖν ὥσπερ νῦν. ἦ γὰρ ἂν ἐπαύσαντο νοσοῦντες ἅμα καὶ τρυφῶντες. τὸ μὲν δὴ D νοσοτυφεῖν καὶ νοσηλεύεσθαι τρυφηλῶς οὑτωσί τινες ἐν καλῷ ποιοῦνται· ἀνὴρ δὲ τοῦ κρύους ἀνεχόμενος καὶ θάλπος καρτερῶν οὐχὶ καὶ τῶν νοσούντων ἀθλιώτερον πράττει; ἀλγεῖ γοῦν ἀπαραμύθητα.

Δεῦρο οὖν ἡμεῖς ὑπὲρ τῶν Κυνικῶν ὁπόσα διδασκάλων ἠκούσαμεν ἐν κοινῷ καταθῶμεν σκοπεῖν τοῖς ἐπὶ τὸν βίον ἰοῦσι τοῦτον· οἷς εἰ μὲν πεισθεῖεν, εὖ οἶδα, οὐδὲν οἵ γε νῦν ἐπιχειροῦντες κυνίζειν 182 ἔσονται χείρους· ἀπειθοῦντες δὲ εἰ μέν τι λαμπρὸν καὶ σεμνὸν ἐπιτηδεύσειαν, ὑπερφωνοῦντες τὸν λόγον τὸν ἡμέτερον, οὔτι τοῖς ῥήμασιν, ἀλλὰ τοῖς ἔργοις, οὐδὲν ἐμπόδιον ὅ γε ἡμέτερος οἴσει λόγος· εἰ δὲ ὑπὸ λιχνείας ἢ μαλακίας ᾖ, τὸ κεφάλαιον ἵν' εἴπω ξυνελὼν ἐν βραχεῖ, τῆς σωματικῆς ἡδονῆς δεδουλω-

2 φασι] φαμεν malim; vid. ad 189 A 4 et 5 Suidas v. Ἀντισθένης: ὥστε γίνεσθαι τὴν ἀρρωστίαν τρυφὴν αὐτόχρημα 4 ἑαυτοῦ aut delendum aut αὐτοῦ vel αὐτῷ scribendum 6 τοι] γέ τοι Rsk. 20 πεισθεῖεν H] πείθειν 21 οὐδὲν H] οὐθὲν 25 οὐδὲν H] οὐθὲν

μένοι τῶν λόγων ὀλιγωρήσειαν προσκαταγελάσαντες, B ὥσπερ ἐνίοτε τῶν παιδευτηρίων καὶ τῶν δικαστηρίων οἱ κύνες τοῖς προπυλαίοις προσουροῦσιν, οὐ φροντὶς Ἱπποκλείδῃ· καὶ γὰρ οὐδὲ τῶν κυνιδίων ἡμῖν μέλει τὰ τοιαῦτα πλημμελούντων. δεῦρο οὖν ἄνωθεν ἐν κεφαλαίοις διεξέλθωμεν ἐφεξῆς τὸν λόγον, ἵνα ὑπὲρ ἑκάστου τὸ προσῆκον ἀποδιδόντες αὐτοί τε εὐκολώτερον ἀπεργασώμεθα τοῦθ' ὅπερ διενοήθημεν καὶ σοὶ ποιήσωμεν εὐπαρακολούθητον. οὐκοῦν ἐπειδὴ τὸν C κυνισμὸν εἶδός τι φιλοσοφίας εἶναι συμβέβηκεν, οὔτι φαυλότατον οὐδὲ ἀτιμότατον, ἀλλὰ τοῖς κρατίστοις ἐνάμιλλον· ὀλίγα πρότερον ὑπὲρ αὐτῆς ῥητέον ἡμῖν ἐστι τῆς φιλοσοφίας.

Ἡ τῶν θεῶν εἰς ἀνθρώπους δόσις ἅμα φανοτάτῳ πυρὶ διὰ Προμηθέως ἐξ ἡλίου μετὰ τῆς Ἑρμοῦ μερίδος οὐχ ἕτερόν ἐστι παρὰ τὴν τοῦ λόγου καὶ νοῦ διανομήν. ὁ γάρ τοι Προμηθεύς, ἡ πάντα ἐπιτροπεύουσα τὰ θνητὰ πρόνοια, πνεῦμα ἔνθερμον D ὥσπερ ὄργανον ὑποβάλλουσα τῇ φύσει, ἅπασι μετέδωκεν ἀσωμάτου λόγου· μετέσχε δὲ ἕκαστον οὗπερ ἠδύνατο, τὰ μὲν ἄψυχα σώματα τῆς ἕξεως μόνον, τὰ φυτὰ δὲ ἤδη καὶ σώματος, τὰ ζῷα δὲ ψυχῆς, ὁ δὲ ἄνθρωπος καὶ λογικῆς ψυχῆς. εἰσὶ μὲν οὖν οἳ μίαν οἴονται διὰ τούτων πάντων ἥκειν φύσιν, εἰσὶ δὲ οἳ καὶ κατ' εἶδος ταύτας διαφέρειν. ἀλλὰ μήπω τοῦτο, μᾶλλον δὲ μηδὲ ἐν τῷ νῦν λόγῳ τοῦτο ἐξε-

1 προσκαταγελάσαντες H] προκαταγελάσαντες 8 καὶ σοὶ H] καί σοι 14 Plat. Phileb. 16 C | φανοτάτῳ H] φανωτάτῳ 15 Προμηθέως] „Post Προμ. videtur καταχθεῖσα vel καταπεμφθεῖσα deesse.“ Rsk. Vid. Suidas v. Δῶρος. (Wyttenb. ad Plut. mor. 99 C) 22 σώματος] „Videtur mendosa lectio.“ *Pet.* 25 ταύτας] ταῦτα?

ταξέσθω, πλὴν ἐκείνου χάριν, ὅτι, τὴν φιλοσοφίαν 183
εἴθ', ὥσπερ τινὲς ὑπολαμβάνουσι, τέχνην τεχνῶν καὶ
ἐπιστήμην ἐπιστημῶν, εἴτε ὁμοίωσιν θεῶν κατὰ το
δυνατόν, εἴθ', ὅπερ ὁ Πύθιος ἔφη, τὸ Γνῶθι σαυ-
τὸν ὑπολάβοι τις, οὐδὲν διοίσει πρὸς τὸν λόγον·
ἅπαντα γὰρ ταῦτα φαίνεται πρὸς ἄλληλα καὶ μάλα
οἰκείως ἔχοντα. ἀρξώμεθα δὲ πρῶτον ἀπὸ τοῖ Γνῶθι
σαυτόν, ἐπειδὴ καὶ θεῖόν ἐστι τοῦτο τὸ παρακέλευ-
σμα. οὐκοῦν ὁ γιγνώσκων αὑτὸν εἴσεται μὲν περὶ B
ψυχῆς, εἴσεται δὲ καὶ περὶ σώματος. καὶ τοῦτο οὐκ
ἀρκέσει μόνον, ὡς ἔστιν ἄνθρωπος ψυχὴ χρωμένη
σώματι, μαθεῖν, ἀλλὰ καὶ αὐτῆς τῆς ψυχῆς ἐπελεύ-
σεται τὴν οὐσίαν, ἔπειτα ἀνιχνεύσει τὰς δυνάμεις.
καὶ οὐδὲ τοῦτο μόνον ἀρκέσει αὐτῷ, ἀλλὰ καί, εἴ τι
τῆς ψυχῆς ἐν ἡμῖν ἐστι κρεῖττον καὶ θειότερον, ὅπερ
δὴ πάντες ἀδιδάκτως πειθόμενοι θεῖόν τι εἶναι νομί-
ζομεν, καὶ τοῦτο ἐνιδρῦσθαι πάντες οὐρανῷ κοινῶς C
ὑπολαμβάνομεν. ἐπιὼν δὲ αὖθις τὰς ἀρχὰς τοῦ σώ-
ματος σκέψεται, εἴτε σύνθετον εἴτε ἁπλοῦν ἐστιν·
εἶτα ὁδῷ προβαίνων ὑπέρ τε ἁρμονίας αὐτοῦ καὶ
πάθους καὶ δυνάμεως καὶ πάντων ἁπλῶς ὧν δεῖται
πρὸς διαμονήν. ἐπιβλέψει δὲ τὰ μετὰ τοῦτο καὶ ἀρ-
χαῖς τεχνῶν ἐνίων, ὑφ' ὧν βοηθεῖται πρὸς διαμονὴν
τὸ σῶμα, οἷον ἰατρικῆς, γεωργίας, ἑτέρων τοιούτων.
οὐ μὴν οὐδὲ τῶν ἀχρήστων καὶ περιττῶν τι παντά- D
πασιν ἀγνοήσει, ἐπεὶ καὶ τὰ πρὸς κολακείαν τοῦ πα-
θητικοῦ τῆς ψυχῆς ἡμῶν ἐπινενόηται. προσλιπαρῆσαι
μὲν γὰρ τούτοις ἀποκνήσει αἰσχρὸν οἰόμενος τὸ τοι-

4 τὸ γνῶθι Pc] γνῶθι 5 οὐδὲν H] οὐθὲν 19 σκέ-
ψεται Horkelius] σκέψαιτο 26 τὰ] τινα vel ταῦτα scri-
bendum

οὗτον, τὸ δοκοῦν ἐργῶδες ἐν αὐτοῖς φεύγων. τὸ δ'
ὅλον ὁποῖα ἄττα δοκεῖ καὶ οἷστισιν ἁρμόττει τῆς
ψυχῆς μέρεσιν, οὐκ ἀγνοήσει. σκόπει δή, εἰ μὴ τὸ
ἑαυτὸν γνῶναι πάσης μὲν ἐπιστήμης, πάσης δὲ τέχνης
ἡγεῖταί τε ἅμα καὶ τοὺς καθόλου λόγους συνείληφε.
184 τά τε γὰρ θεῖα διὰ τῆς ἐνούσης ἡμῖν θείας μερίδος
τά τε θνητὰ διὰ τῆς θνητοειδοῦς μοίρας πρὸς τούτοις
ἔφη τὰ μεταξὺ τοῦ ζῷον εἶναι τὸν ἄνθρωπον, τῷ
μὲν καθ' ἕκαστον θνητόν, τῷ παντὶ δὲ ἀθάνατον,
καὶ μέντοι καὶ τὸν ἕνα καὶ τὸν καθ' ἕκαστον συγκεῖ-
σθαι ἐκ θνητῆς καὶ ἀθανάτου μερίδος.

Ὅτι μέντοι καὶ τὸ τῷ θεῷ κατὰ δύναμιν ὁμοιοῦ-
σθαι οὐκ ἄλλο τί ἐστιν ἢ τὸ τὴν ἐφικτὴν ἀνθρώποις
B γνῶσιν τῶν ὄντων περιποιήσασθαι, πρόδηλον ἐντεῦ-
θεν. οὐ γὰρ ἐπὶ πλούτῳ χρημάτων τὸ θεῖον μακα-
ρίζομεν οὐδὲ ἐπ' ἄλλῳ τινὶ τῶν νομιζομένων ἀγαθῶν,
ἀλλ' ὅπερ Ὅμηρός φησι

θεοὶ δέ τε πάντα ἴσασι,

καὶ μέντοι καὶ περὶ Διὸς

Ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδει·

ἐπιστήμῃ γὰρ ἡμῶν οἱ θεοὶ διαφέρουσιν. ἡγεῖται
C γὰρ ἴσως καὶ αὐτοῖς τῶν καλῶν τὸ αὐτοὺς γινώσκειν·
ὅσῳ δὴ κρείττονες ἡμῶν εἰσι τὴν οὐσίαν, τοσούτῳ
γνόντες ἑαυτοὺς ἴσχουσι βελτιόνων γνῶσιν. μηδεὶς

7 πρὸς τούτοις κτλ.] „Mendosus locus.“ Pet. Rsk. audacter conjecit: μοίρας τῆς ἐνούσης πρὸς τούτοις [sc. τοῖς θείοις] ἔφη [sc. ὁ θεὸς ἐν τῷ γνῶθι σεαυτὸν] διὰ τὸ μεταξὺ τούτων ζῷον εἶναι τὸν ἄνθρωπον. Ego vero, si mihi quoque licet aliquid audere, scribam potius: προσήκειν ἔφη τὸ μεταξὺ τούτων ζῷον εἰδέναι, τὸν ἄνθρωπον. Cf. Maxim. Tyr. 4, 7 18 Odyss. δ, 379 20 Iliad. ν, 355 21 διαφέρουσιν H] διαφέρουσι 25 βελτιόνων H] τῶν βελτιόνων

οὖν ἡμῖν τὴν φιλοσοφίαν εἰς πολλὰ διαιρείτω μηδὲ εἰς πολλὰ τεμνέτω, μᾶλλον δὲ μὴ πολλὰς ἐκ μιᾶς ποιείτω. ὥσπερ γαρ ἀλήθεια μία, οὕτω δὲ καὶ φιλοσοφία (μία)· θαυμαστὸν δὲ οὐδέν, εἰ κατ' ἄλλας καὶ ἄλλας ὁδοὺς ἐπ' αὐτὴν πορευόμεθα. ἐπεὶ κἄν, εἴ τις θέλοι τῶν ξένων ἢ ναὶ μὰ Δία τῶν πάλαι D πολιτῶν ἐπανελθεῖν εἰς Ἀθήνας, δύναιτο μὲν καὶ πλεῖν καὶ βαδίζειν, ὁδεύων δὲ οἶμαι διὰ γῆς ἢ ταῖς πλατείαις χρῆσθαι λεωφόροις ἢ ταῖς ἀτραποῖς καὶ συντόμοις ὁδοῖς· καὶ πλεῖν μέντοι δυνατὸν παρὰ τοὺς αἰγιαλούς, καὶ δὴ (καὶ) κατὰ τὸν Πύλιον γέροντα τέμνοντα πέλαγος μέσον. μὴ δὲ τοῦτό τις ἡμῖν προφερέτω, εἴ τινες τῶν κατ' αὐτὰς ἰόντων τὰς ὁδοὺς ἀπεπλανήθησαν καὶ ἀλλαχοῦ που γενόμενοι, καθάπερ ὑπὸ τῆς Κίρκης ἢ τῶν Λωτοφάγων ἡδονῆς 185 ἢ δόξης ἤ τινος ἄλλου δελεασθέντες, ἀπελείφθησαν τοῦ πρόσω βαδίζειν καὶ ἐφικνεῖσθαι τοῦ τέλους, (τοὺς) πρωτεύσαντας δὲ ἐν ἑκάστῃ τῶν αἱρέσεων σκοπείτω, καὶ πάντα εὑρήσει σύμφωνα.

Οὐκοῦν ὁ μὲν (ἐν) Δελφοῖς θεὸς τὸ Γνῶθι σαυτὸν προαγορεύει, Ἡράκλειτος δὲ „ἐδιζησάμην ἐμεωυτόν“, ἀλλὰ καὶ Πυθαγόρας οἵ τε ἀπ' ἐκείνου μέχρι Θεοφράστου τὸ κατὰ δύναμιν ὁμοιοῦσθαι θεῷ φασι, B καὶ γὰρ καὶ Ἀριστοτέλης. ὃ γὰρ ἡμεῖς ποτέ, τοῦτο ὁ θεὸς ἀεί. γελοῖον (οὖν ἂν) εἴη τὸν θεὸν ἑαυτὸν μὴ εἰδέναι· κομιδῇ γὰρ οὐδὲν εἴσεται τῶν ἄλλων,

4 μία add. H 5 et 6 κἄν, εἴ τις θέλοι H] καὶ ἄν τις θέλῃ 6 ναὶ] καὶ Pc 9 ἀτραποῖς] ἀτρίπτοις Pc 11 καὶ δὴ καὶ H] καὶ δὴ | Πύλιον] Odyss. γ, 174 17 τοὺς add. Rsk. 20 ἐν add. Pet. 21 ἐμεωυτὸν H] ἐμωῦτόν. cf. Plut. mor. 1118 C Suidas v. Ποστοῦμος 25 οὖν ἂν εἴη Rsk.] εἰ 26 οὐδὲν H] οὐθὲν

εἴπερ ἑαυτὸν ἀγνοοίη· πάντα γάρ αὐτός ἐστιν, εἴπερ καὶ ἐν ἑαυτῷ καὶ παρ' ἑαυτῷ ἔχει τῶν ὁπωσοῦν ὄντων τὰς αἰτίας, εἴτε ἀθανάτων ἀθανάτους, εἴτε ἐπικήρων οὐ θνητὰς οὐδὲ ἐπικήρους, ἀιδίους δὲ καὶ μενούσας ἀεὶ καὶ (αἳ) τούτοις εἰσὶν αἰ-
C τίαι τῆς ἀειγενεσίας. ἀλλ' οὗτος μὲν ὁ λόγος ἐστὶ μείζων.

Ὅτι δὲ μία τέ ἐστιν ἀλήθεια καὶ φιλοσοφία μία καὶ ταύτης εἰσὶν ἐρασταὶ ξύμπαντες ὧν τε ὑπεμνήσθην μικρῷ πρότερον ὧν τε ἐν δίκῃ νῦν εἴποιμι ἂν τοὔνομα, τοὺς τοῦ Κιτιέως ὁμιλητὰς λέγω, οἳ τὰς πόλεις ἰδόντες ἀποδιδρασκούσας τὸ λίαν ἀκραιφνὲς καὶ καθαρὸν τῆς ἐλευθερίας τοῦ κυνὸς ἐσκέ-
D πασαν αὐτὸν ὥσπερ οἶμαι παραπετάσμασιν οἰκονομίᾳ καὶ τῇ χρηματιστικῇ καὶ τῇ πρὸς τὴν γυναῖκα συνόδῳ καὶ παιδοτροφίᾳ, ἵν' οἶμαι ταῖς πόλεσιν αὐτὸν ἐγγύθεν ἐπιστήσωσι φύλακα· ὅτι δὲ τὸ Γνῶθι σαυτὸν κεφάλαιον τίθενται φιλοσοφίας, οὐ μόνον ἐξ ὧν κατεβάλλοντο ξυγγραμμάτων ὑπὲρ αὐτοῦ τούτου πεισθείης ἄν, εἴπερ ἐθέλοις, ἀλλὰ πολὺ πλέον ἀπὸ τοῦ τῆς φιλοσοφίας τέλους· τὸ γὰρ ὁμολογουμένως
186 ζῆν τῇ φύσει τέλος ἐποιήσαντο, οὗπερ οὐχ οἷόν τε τυχεῖν τὸν ἀγνοοῦντα, τίς καὶ ὁποῖος πέφυκεν· ὁ γὰρ ἀγνοῶν, ὅστις ἐστίν, οὐκ εἴσεται δήπουθεν, ὅ,τι πράττειν ἑαυτῷ προσήκει, ὥσπερ οὐδὲ τὸν σίδηρον ἀγνοῶν εἴσεται, εἴτε αὐτῷ τέμνειν εἴτε μὴ προσήκει, καὶ ὅτου δεῖ τῷ σιδήρῳ πρὸς τὸ δύνασθαι τὸ ἑαυτοῦ πράττειν· ἀλλ' ὅτι μὲν ἡ φιλοσοφία μία τέ

2 ἔχει H] ἔχοι 5 καὶ αἳ H] καὶ v, αἳ καὶ Pet. 8 ἐστιν H] ἐστι 20 πλέον Rsk. et H] πλέονα 25 οὐδὲ] οὐδ' ὁ?

ἐστι καὶ πάντες ὡς ἔπος εἰπεῖν ἑνός τινος ἐφιέμενοι ὁδοῖς ἐπὶ τοῦτο διαφόροις ἦλθον, ἀπόχρη τοσαῦτα νῦν εἰπεῖν. ὑπὲρ δὲ τοῦ Κυνισμοῦ σκεπτέον B ἐστίν.

Εἰ μὲν οὖν ἐπεποίητο τοῖς ἀνδράσι μετά τινος σπουδῆς, ἀλλὰ μὴ μετὰ παιδιᾶς τὰ συγγράμματα, τούτοις ἐχρῆν ἑπόμενον ἐπιχειρεῖν ἕκαστα ὧν διανοούμεθα περὶ τοῦ πράγματος ἐξετάζειν τὸν ἐναντίον καί, εἰ μὲν ἐφαίνετο τοῖς παλαιοῖς ὁμολογοῦντα, μήτοι ψευδομαρτυριῶν ἡμῖν ἐπισκήπτειν, εἰ δὲ μή, τότε ἐξορίζειν αὐτὰ τῆς ἀκοῆς ὥσπερ Ἀθηναῖοι τὰ ψευδῆ γράμματα τοῦ Μητρῴου. ἐπεὶ δὲ οὐδέν ἐστιν, C ὡς ἔφην, τοιοῦτον· αἵ τε γὰρ θρυλούμεναι Διογένους τραγῳδίαι Φιλίσκου τινὸς Αἰγινήτου λέγονται εἶναι, καί, εἰ Διογένους δὲ εἶεν, οὐδὲν ἄτοπόν ἐστι τὸν σοφὸν παίζειν, ἐπεὶ καὶ τοῦτο πολλοὶ φαίνονται (τῶν) φιλοσόφων ποιήσαντες· ἐγέλα τοι, φασί, καὶ Δημόκριτος ὁρῶν σπουδάζοντας τοὺς ἀνθρώπους· μὴ δὴ πρὸς τὰς παιδιὰς αὐτῶν ἀποβλέπωμεν, ὥσπερ οἱ μανθάνειν τι σπουδαῖον ἥκιστα ἐρῶντες, πόλει παρα- D βάλλοντες εὐδαίμονι, πολλῶν μὲν ἱερῶν, πολλῶν δὲ ἀπορρήτων τελετῶν πλήρει, καὶ μυρίων ἔνδον ἱερέων ἁγνῶν ἐν ἁγνοῖς μενόντων χωρίοις· αὐτοῦ δὲ ἕνεκα πολλάκις τούτου, λέγω δὲ τοῦ καθαρεύειν τὰ εἴσω πάντα, τὰ περιττὰ καὶ βδελυρὰ καὶ φαῦλα τῆς πό-

4 ἐστίν] ἔτι H, ἤδη Rsk. 8 et 9 τὸν ἐναντίον καὶ H] τὸ ἐναντίον δὲ 10 ἐπισκήπτειν] Vid. ad 239 A 12 οὐδὲν H] οὐθὲν 13 θρυλούμεναι H] θρυλλούμεναι 14 Φιλίσκου spanh. e Petavii conjectura] Φιλίστου. Vid. etiam 210 D 212 A 15 δὲ] δὴ H | οὐδὲν H] οὐθὲν 17 τῶν add. H. cf. 215 B | φασί H] φησι 19 ἀποβλέπωμεν H] ἀποβλέπων 20 παραβαλόντες Rsk. 22 ἱερέων Pet. et spanh.] ἱερῶν 23 δὲ H] τε

λεως ἀπεληλάκασι, λουτρὰ δημόσια καὶ χαμαιτυπεῖα
καὶ καπηλεῖα καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα· εἶτα ἄχρι
τούτου γενόμενοι εἴσω μὴ παριᾶσιν. ὁ μὲν γὰρ τοῖς
187 τοιούτοις ἐντυχών, εἶτα τοῦτο οἰηθεὶς εἶναι τὴν πό-
λιν ἄθλιος μὲν ἀποφυγών, ἀθλιώτερος δὲ κάτω μεί-
νας, ἐξὸν ὑπερβάντα μικρὸν ἰδεῖν τὸν Σωκράτη·
χρήσομαι γὰρ ἐκείνοις ἐγὼ τοῖς ῥήμασιν, οἷς Ἀλκι-
βιάδης ἐπαινῶν Σωκράτη. φημὶ γὰρ δὴ τὴν Κυνι-
κὴν φιλοσοφίαν ὁμοιοτάτην εἶναι τοῖς Σειληνοῖς τού-
τοις τοῖς ἐν τοῖς ἑρμογλυφείοις καθημένοις, οὕστινας
ἐργάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας·
B οἳ δὲ διοιχθέντες ἔνδον φαίνονται ἀγάλματα ἔχοντες
θεῶν. ὡς ἂν οὖν μὴ τοιοῦτόν τι πάθωμεν, ὅσα
ἔπαιξε ταῦτα αὐτὸν ἐσπουδακέναι νομίσαντες· ἔστι
μὲν γάρ τι καὶ ἐν ἐκείνοις οὐκ ἄχρηστον, ὁ Κυνι-
σμὸς δέ ἐστιν ἕτερον, ὡς αὐτίκα μάλα δεῖξαι πειρά-
σομαι· δεῦρο ἴδωμεν ἐφεξῆς ἀπὸ τῶν ἔργων, ὥσπερ
αἱ ἐξιχνεύουσαι κύνες μεταθέουσι τὰ θηρία.

Ἡγεμόνα μὲν (οὖν) οὐ ῥᾴδιον εὑρεῖν, ἐφ' ὃν
C ἀνενέγκαι χρὴ πρῶτον αὐτό, εἰ καί τινες ὑπολαμβά-
νουσιν Ἀντισθένει τοῦτο καὶ Διογένει προσήκειν.
τοῦτο γοῦν ἔοικεν Οἰνόμαος οὐκ ἀτόπως λέγειν· Ὁ
Κυνισμὸς οὔτε Ἀντισθενισμός ἐστιν οὔτε Διογενισμός.
λέγουσι μὲν γὰρ οἱ γενναιότεροι τῶν κυνῶν, ὅτι καὶ
ὁ μέγας Ἡρακλῆς, ὥσπερ οὖν τῶν ἄλλων ἀγαθῶν
ἡμῖν τις αἴτιος κατέστη, οὕτω δὲ καὶ τούτου τοῦ

3 γενόμενοι Rsk.] γενομένοις | εἴσω μὴ παριᾶσιν Rsk.] εἴσω δὲ μὴ παριοῦσιν 7 Ἀλκιβιάδης] Plat. Symp. 215 12 οἳ δὲ] οἳ διχάδε Plat., quod Iuliano quoque reddendum videtur 14 αὐτὸν Pet.] αὐτοῦ 17 ἴδωμεν H] ἴωμεν. cf. ἰδεῖν 236 D et ἐφεξῆς σκοπεῖν 143 B 215 B 19 οὖν add. Rsk. 23 ἐστιν H] ἐστι

βίου παράδειγμα τὸ μέγιστον οὗτος κατέλιπεν ἀνθρώποις. ἐγὼ δὲ ὑπὲρ τῶν θεῶν καὶ τῶν εἰς θείαν λῆξιν πορευθέντων εὐφημεῖν ἐθέλων πείθομαι μὲν D καὶ πρὸ τούτου τινὰς οὐκ ἐν Ἕλλησι μόνον, ἀλλὰ καὶ βαρβάροις .... αὕτη γὰρ ἡ φιλοσοφία κοινή πως ἔοικεν εἶναι καὶ φυσικωτάτη καὶ δεῖσθαι οὐδ' ἡστινοσοῦν πραγματείας· ἀλλὰ ἀπόχρη μόνον ἑλέσθαι τὰ σπουδαῖα ἀρετῆς ἐπιθυμίᾳ καὶ φυγῇ κακίας, καὶ οὔτε βίβλους ἀνελίξαι δεῖ μυρίας· πολυμαθία γάρ, φασί, νόον οὐ διδάσκει· οὔτε ἄλλο τι τῶν τοιούτων παθεῖν, ὅσα καὶ οἷα πάσχουσιν οἱ διὰ τῶν ἄλλων αἱρέσεων ἰόντες, ἀλλὰ ἀπόχρη μόνον δύο ταῦτα τοῦ 188 Πυθίου παραινοῦντος ἀκοῦσαι, τὸ Γνῶθι σαυτὸν καὶ Παραχάραξον τὸ νόμισμα. πέφηνεν οὖν ἡμῖν ἀρχηγὸς τῆς φιλοσοφίας ὅσπερ οἶμαι τοῖς Ἕλλησι κατέστη τῶν καλῶν ἁπάντων αἴτιος, ὁ τῆς Ἑλλάδος κοινὸς ἡγεμὼν καὶ νομοθέτης καὶ βασιλεύς, ὁ ἐν Δελφοῖς θεός, ὃν ἐπειδὴ μὴ θέμις ἦν τι διαλαθεῖν, οὐδὲ ἡ Διογένους ἐπιτηδειότης ἔλαθε. προύτρεψε δὲ αὐτὸν οὐχ ὥσπερ τοὺς ἄλλους ἔπεσιν ἐντείνων τὴν παραίνεσιν, ἀλλ' ἔργῳ διδάσκων ὅ,τι βούλεται συμβο- B λικῶς διὰ δυοῖν ὀνομάτοιν, Παραχάραξον εἰπὼν τὸ νόμισμα. τὸ γὰρ Γνῶθι σαυτὸν οὐκ ἐκείνῳ πρῶτον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἔφη καὶ λέγει, πρόκειται γὰρ οἶμαι τοῦ τεμένους. ηὑρήκαμεν δὴ τὸν ἀρχηγέτην τῆς φιλοσοφίας, ὥς που καὶ ὁ δαιμόνιός φησιν

5 „Post βαρβάροις videtur οὕτω φιλοσοφῆσαι vel tale quid deesse.“ Rsk. 6 et 7 οὐδ' ἡστινοσοῦν H et Cob.] οὔθ' ἧς τινος οὖν 9 et 10 πολυμαθία — διδάσκει] Heraclitus apud Diog. Laert. 9, 1 14 πέφηνεν οὖν H] πέφηνε γοῦν 15 ὅσπερ H] ὥσπερ 20 ἔπεσιν H] ἔπεισεν 23 πρῶτον] μόνον H ηὑρήκαμεν scripsi pro εὑρήκαμεν

Ἰάμβλιχος, ἀλλὰ καὶ τοὺς κορυφαίους ἐν αὐτῇ, Ἀντισθένη καὶ Διογένη καὶ Κράτητα, οἷς τοῦ βίου σκοπὸς ἦν καὶ τέλος αὑτοὺς οἶμαι γνῶναι καὶ τῶν κενῶν ὑπεριδεῖν δοξῶν, ἀληθείας δέ, ἣ πάντων μὲν ἀγαθῶν θεοῖς, πάντων δὲ ἀνθρώποις ἡγεῖται, ὅλῃ, φασίν, C *ἐπιδράξασθαι τῇ διανοίᾳ, ἧς οἶμαι καὶ Πλάτων καὶ Πυθαγόρας καὶ Σωκράτης οἵ τε ἐκ τοῦ Περιπάτου καὶ Ζήνων ἕνεκα πάντα ὑπέμειναν πόνον, αὑτούς τε ἐθέλοντες γνῶναι καὶ μὴ κεναῖς ἕπεσθαι δόξαις, ἀλλὰ τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν ἀνιχνεῦσαι. φέρε οὖν, ἐπειδὴ πέφηνεν οὐκ ἄλλο μὲν ἐπιτηδεύσας Πλάτων, ἕτερον δὲ Διογένης, ἓν δέ τι καὶ ταὐτόν· εἰ γοῦν ἔροιτό τις τὸν σοφὸν Πλάτωνα „τὸ Γνῶθι σαυτὸν πόσου νενόμικας ἄξιον;“ εὖ οἶδα ὅτι τοῦ* D *παντὸς (ἂν) φήσειε, καὶ λέγει δὲ ἐν Ἀλκιβιάδῃ· δεῦρο δὴ τὸ μετὰ τοῦτο φράσον ἡμῖν, ὦ δαιμόνιε Πλάτων καὶ θεῶν ἔκγονε „Τίνα τρόπον χρὴ πρὸς τὰς τῶν πολλῶν διακεῖσθαι δόξας“, ταὐτά τε ἐρεῖ καὶ ἔτι πρὸς τούτοις ὅλον ἡμῖν ἐπιτάξει διαρρήδην ἀναγνῶναι τὸν Κρίτωνα διάλογον, οὗ φαίνεται παραινῶν Σωκράτης μηδὲν φροντίζειν ἡμᾶς τῶν τοιούτων. φησὶ γοῦν· Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω* 189 *τῆς τῶν πολλῶν δόξης μέλει; εἶτα ἡμεῖς τούτων ὑπεριδόντες ἀποτειχίζειν ἁπλῶς οὑτωσὶ καὶ ἀποσπᾶν ἄνδρας ἀλλήλων ἐθέλομεν, οὓς ὁ τῆς ἀληθείας συνήγαγεν ἔρως ἥ τε τῆς δόξης ὑπεροψία καὶ ἡ πρὸς*

4 et 5 *ἀληθείας — ἡγεῖται*] Plat. Legg. V 730 B 4 *ἀληθείας δὲ* G. Helferich (Krates Gebet p. 26)] *ἀληθείας μὲν* | *πάντων μὲν* Wytt.] *πάντων* 5 *ἀνθρώποις* Pet.] *ἀνθρώπων* 6 *ἐπιδράξασθαι* Pet.] *ἐπιπράξασθαι* 14 *πόσου* H] *ὁπόσου* 15 *ἂν* add. H | *Ἀλκιβιάδῃ*] p. 129 18 *ταὐτὰ* Rsk.] *ταῦτα* 22 et 23 *ἀλλὰ τί — μέλει*] Criton. 44 C

τὸν ζῆλον τῆς ἀρετῆς ξύμπνοια; εἰ δὲ Πλάτωνι μὲν ἔδοξε καὶ διὰ τῶν λόγων αὐτὰ ἐργάζεσθαι, Διογένει δὲ ἀπέχρη τὰ ἔργα, διὰ τοῦτο ἄξιός ἐστιν ὑφ' ὑμῶν ἀκούειν κακῶς; ὅρα δὲ μὴ καὶ τοῦτο αὐτὸ (τῷ) παντὶ κρεῖττόν ἐστιν, ἐπεὶ καὶ Πλάτων ἐξομνύμενος φαίνεται τὰ ξυγγράμματα. „Οὐ γάρ ἐστι Πλάτωνος, B *φησί, ξύγγραμμα οὐδὲν οὐδ' ἔσται, τὰ δὲ νῦν φερόμενά ἐστι Σωκράτους, ἀνδρὸς καλοῦ καὶ νέου.“ τί οὖν ἡμεῖς οὐκ ἐκ τῶν ἔργων τοῦ Διογένους σκοποῦμεν αὐτὸν τὸν Κυνισμόν, ὅστις ἐστίν; οὐκοῦν ἐπειδὴ σώματος μέρη μέν ἐστιν, οἷον ὀφθαλμοί, πόδες, χεῖρες, ἄλλα δὲ ἐπισυμβαίνει, τρίχες, ὄνυχες, ῥύπος, τοιούτων περιττωμάτων γένος, ὧν ἄνευ σῶμα ἀνθρώπινον ἀμήχανον εἶναι, πότερον οὐ γελοῖός ἐστιν (ὁ) μέρη νομίσας ὄνυχας ἢ τρίχας ἢ ῥύπον* C *καὶ τὰ δυσώδη τῶν περιττωμάτων, ἀλλ' οὐ τὰ τιμιώτατα καὶ σπουδαῖα, πρῶτον μὲν τὰ αἰσθητήρια καὶ τούτων αὐτῶν ἅττα συνέσεως ἡμῖν ἐστι μᾶλλον αἴτια, οἷον ὀφθαλμούς, ἀκοάς; ὑπουργεῖ γὰρ ταῦτα πρὸς φρόνησιν εἴτε ἐγκατορωρυγμένῃ τῇ ψυχῇ, ὡς ἂν θᾶττον καθαρθεῖσα δύναιτο τῇ γε ὡς ἀρχῇ καὶ ἀκινήτῳ τοῦ φρονεῖν δυνάμει, εἴτε, ὥσπερ τινὲς οἴονται, καθάπερ δι' ὀχετῶν τοιούτων εἰσφερούσης τῆς ψυχῆς.* D *συλλέγουσα γάρ, φασί, τὰ κατὰ μέρος αἰσθήματα*

3 *ἀπέχρη* H] *ἀπόχρη* | *ἄξιος* Rsk. et H] *ἄξιον* | *ὑφ'* Rsk.] *ἐφ'* | *ὑμῶν*] Malim *ἡμῶν* cum Reiskio. Prima enim persona Iulianus urbane solet uti in similibus locis, ut supra A, 181 B et 190 B 4 *τῷ* add. H 7 *φησί* add. Pc. Locus Platonis est Epist. II 314 C | *οὐδὲν οὐδ'* Plat.] *οὐθὲν οὔτ'* 12 *δὲ* Pet.] *γε* 15 *ἐστιν ὁ* H] *ἐστι* 20 *ἐγκατορωρυγμένῃ* Pet.] *ἐν κατορωρυγμένῃ* 21 *τῇ γε ὡς ἀρχῇ*] Locus corruptus. Tale quid scripserit Iulianus: *τῇ καθαρᾷ χρῆσθαι* 23 Fort. *εἰσφερούσῃ τῇ ψυχῇ* 24 *φασί* H] *φησί*

καὶ συνέχουσα τῇ μνήμῃ γεννᾷ τὰς ἐπιστήμας. ἐγὼ δέ, εἰ μή τι τοιοῦτον ἦν ἐνδέον ἢ τέλειον ἐμποδιζόμενον ὑπ' ἄλλων πολλῶν καὶ ποικίλων, ὃ τῶν ἐκτὸς ποιεῖται τὴν ἀντίληψιν, οὐδ' ἂν δυνατὸν οἶμαι γενέσθαι τῶν αἰσθητῶν ἀντίληψιν. ἀλλ' οὗτος μὲν ὁ λόγος οὐ τοῖς νῦν προσήκει.

190 Διόπερ ἐπαναχτέον ἐπὶ τὰ μέρη τῆς φιλοσοφίας τῆς κυνικῆς. φαίνονται μὲν δὴ καὶ οὗτοι διμερῆ τὴν φιλοσοφίαν νομίσαντες ὥσπερ ὁ Ἀριστοτέλης καὶ Πλάτων, θεωρηματικήν τε καὶ πρακτικήν, αὐτοῦ συνέντες δηλονότι καὶ νοήσαντες, ὡς οἰκεῖόν ἐστιν ἄνθρωπος φύσει πράξει καὶ ἐπιστήμῃ. εἰ δὲ τῆς φυσικῆς πρὸς τὴν θεωρίαν ἐξέκλιναν, οὐδὲν τοῦτο πρὸς τὸν λόγον. ἐπεὶ καὶ Σωκράτης καὶ πλείονες ἄλλοι θεωρίᾳ μὲν φαίνονται χρησάμενοι πολλῇ, ταύτῃ δὲ οὐκ ἄλλου χάριν, ἀλλὰ τῆς πράξεως· ἐπεὶ καὶ τὸ
B ἑαυτὸν γνῶναι τοῦτο ἐνόμισαν, τὸ μαθεῖν ἀκριβῶς, τί μὲν ἀποδοτέον ψυχῇ, τί δὲ σώματι· ἀπέδοσάν τε εἰκότως ἡγεμονίαν μὲν τῇ ψυχῇ, ὑπηρεσίαν δὲ τῷ σώματι. φαίνονται δὴ οὖν ἀρετὴν ἐπιτηδεύσαντες, ἐγκράτειαν, ἀτυφίαν, ἐλευθερίαν, ἔξω γενόμενοι παντὸς φθόνου, δειλίας, δεισιδαιμονίας. ἀλλ' οὐχ ἡμεῖς ταῦτα ὑπὲρ αὐτῶν διανοούμεθα, παίζειν δὲ αὐτοὺς καὶ κυβεύειν περὶ τοῖς φιλτάτοις ὑπολαμβάνομεν,
C οὕτως ὑπεριδόντας τοῦ σώματος, ὡς ὁ Σωκράτης ἔφη λέγων ὀρθῶς μελέτην εἶναι θανάτου τὴν φιλο-

1 μνήμῃ Pet.] φήμῃ 2 ἦν H] ἢ | ἐμποδιζόμενον] δὲ addiderim 4 οὐδ' ἂν H] οὐδὲν 10 αὐτοῦ] αὐτοὶ Rsk., αὐτὸ τοῦτο H 11 Rsk. malit οἰκεῖος aut ὡς οἰκεῖον ἀνθρώποις φύσει πρᾶξις καὶ ἐπιστήμη 13 πρὸς τὴν θεωρίαν] θεωρίας Pet., ego malim solum πρὸς delere 16 ἀλλὰ] ἄλλ' ἢ verum videtur. Vid. tamen Krüger. ad Xen. Anab. VI, 2 (4), 2 18 τε] δὲ H 23 αὐτῶν Pet.] ἑαυτῶν

σοφίαν. τοῦτο ἐκεῖνοι καθ' ἑκάστην ἡμέραν ἐπιτηδεύοντες οὐ ζηλωτοὶ μᾶλλον ἡμῖν, ἄθλιοι δέ τινες καὶ παντελῶς ἀνόητοι δοκοῦσιν, ἀνθ' ὅτου δὴ τοὺς πόνους ὑπέμειναν τούτους, ὡς αὐτὸς εἶπας, κενοδοξίας ἕνεκα. καίτοι πῶς ὑπὸ τῶν ἄλλων ἐπῃνοῦντο ὠμὰ προσφερόμενοι σαρκία; καίτοι οὐδὲ αὐτὸς ἐπαινέτης εἶ. τοῦ γοῦν τοιούτου τρίβωνα καὶ τὴν κόμην, D *ὥσπερ αἱ γραφαὶ τῶν ἀνδρῶν, ἀπομιμούμενος εἶθ' ὃ μηδὲ αὐτὸς ἀξιάγαστον ὑπολαμβάνεις, τοῦτο εὐδοκιμεῖν οἴει παρὰ τῷ πλήθει; καὶ εἷς μὲν ἢ δεύτερος ἐπῄνει τότε, πλεῖν δ' οὖν ἢ δέκα μυριάδες ὑπὸ τῆς ναυτίας καὶ βδελυρίας διεστράφησαν τὸν στόμαχον καὶ ἀπόσιτοι γεγόνασιν, ἄχρις αὐτοὺς οἱ θεράποντες ἀνέλαβον ὀσμαῖς καὶ μύροις καὶ πέμμασιν. οὕτως ὁ κλεινὸς ἥρως ἔργῳ κατεπλήξατο γελοίῳ μὲν ἀν-* 191 *θρώποις τοιούτοις,*

Οἷοι νῦν βροτοί εἰσιν,

οὐκ ἀγεννεῖ δέ, μὰ τοὺς θεούς, εἴ τις αὐτὸ κατὰ τὴν Διογένους ἐξηγήσαιτο σύνεσιν. ὅπερ γὰρ ὁ Σωκράτης ὑπὲρ αὐτοῦ φησιν, ὅτι τῷ θεῷ νομίζων λατρείαν ἐκτελεῖν ἐν τῷ τὸν δοθέντα χρησμὸν ὑπὲρ αὐτοῦ κατὰ πάντα σκοπῶν ἐξετάζειν τὸν ἐλεγκτικὸν ἠσπάσατο βίον, τοῦτο καὶ Διογένης οἶμαι συνειδὼς ἑαυτῷ, πυθόχρηστον οὖσαν τὴν φιλοσοφίαν, ἔργοις B *ᾤετο δεῖν ἐξελέγχειν πάντα καὶ μὴ δόξαις ἄλλων,*

3 et 4 „Fort. *ἀνθ' ὅτου δὲ τοὺς π. ὑπ. τούτους;* Respondet *οὐχ ὡς αὐτὸς εἶπας, κενοδοξίας ἕνεκα. καὶ γὰρ πῶς.*" Rsk. 6 *ὠμὰ* Pet.] *ὡς μὴ* 7 *τὸν γ. τοιοῦτον* Rsk. 10 *δεύτερος* Cob.] *δύο.* Cf. Bastii Comment. palaeogr. p. 851 11 *πλεῖν* Wytt.] *πλὴν* | *δ' οὖν* H] *γοῦν* 17 Iliad. ε, 304 18 *μὰ* H] *νή.* vid. ad 212 B 19 *ἐξηγήσαιτο* H] *ἐξηγήσατο* 22 *σκοπῶν* H] *σκοπόν.* cf. 221 C

τυχὸν μὲν ἀληθέσι, τυχὸν δὲ ψευδέσι προσπεπονθέναι. οὔκουν οὐδὲ εἴ τί Πυθαγόρας ἔφη, οὐδὲ εἴ τις ἄλλος τῷ Πυθαγόρᾳ παραπλήσιος, ἀξιόπιστος ἐδόκει τῷ Διογένει. τὸν γὰρ θεόν, ἀνθρώπων οὐδένα C τῆς φιλοσοφίας ἀρχηγὸν ἐπεποίητο. τί δῆτα τοῦτο, ἐρεῖς, πρὸς τὴν τοῦ πολύποδος ἐδωδήν; ἐγώ σοι φράσω.

Τὴν σαρκοφαγίαν οἱ μὲν ἀνθρώποις ὑπολαμβάνουσι κατὰ φύσιν, οἱ δὲ ἥκιστα τοῦτο ἐργάζεσθαι προσήκειν ἀνθρώπῳ διανοοῦνται, καὶ πολὺς ὁ περὶ τούτου δείκνυται λόγος. ἐθέλοντι οὖν σοι μὴ ῥαθυμεῖν ἑσμοὶ περὶ τοῦ τοιούτου βίβλων φανήσονται. τούτους Διογένης ἐξελέγχειν ᾤετο δεῖν. διενοήθη γοῦν οὕτως· εἰ μὲν ἀπραγματεύτως ἐσθίων τις σάρκας, ὥσπερ οἶμαι τῶν ἄλλων ἕκαστον θηρίων, οἷς D τοῦτο ἔνειμεν ἡ φύσις, ἀβλαβῶς αὐτὸ καὶ ἀνεπαχθῶς, μᾶλλον δὲ καὶ μετὰ τῆς τοῦ σώματος ὠφελείας ἐργάζοιτο, κατὰ φύσιν εἶναι πάντως τὴν σαρκοφαγίαν ὑπέλαβεν· εἰ δέ τις ἐντεῦθεν γένοιτο βλάβη, οὐχὶ τοῦτο ἀνθρώπου τὸ ἔργον ἴσως ἐνόμισεν, ἀλλ' ἀφεκτέον εἶναι κατὰ κράτος αὐτοῦ. εἷς μὲν οὖν ἂν εἴη τοιοῦτος ὑπὲρ τοῦ πράγματος ἴσως βιαιότερος λόγος, ἕτερος δὲ οἰκειότερος τῷ Κυνισμῷ, εἰ περὶ τοῦ 192 τέλους αὐτοῦ πρότερον ἔτι σαφέστερον διέλθοιμι. ἀπάθειαν γὰρ ποιοῦνται τὸ τέλος· τοῦτο δὲ ἴσον ἐστὶ τῷ θεὸν γενέσθαι. αἰσθανόμενος οὖν ἴσως αὐτοῦ Διογένης ἐν μὲν τοῖς ἄλλοις ἅπασιν ἀπαθοῦς, ὑπὸ

2 οὔκουν H] οὐκοῦν Horkelius, οὐκ v 4 ἀνθρώπων] ἀνθρώπων δὲ? 11 δείκνυται] „Num διήνυσται?" Rsk. Malim ἀνάλωται, ut 292 D aut διήντληται (cf. Athenae. V p. 185 A) 12 ἑσμοὶ H] ἐσμοὶ 14 γοῦν οὕτως Rsk.] γοῦν ὡς 25 ἴσον ἐστὶ H] ἴσόν ἐστι

δὲ τῆς τοιαύτης ἐδωδῆς μόνον θραττομένου καὶ ναυτιῶντος καὶ δόξῃ κενῇ μόνον ἢ λόγῳ δεδουλωμένου· σάρκες γάρ εἰσιν οὐδὲν ἧττον, κἂν μυριάκις αὐτὰς ἑψήσῃ, κἂν ὑποτρίμμασι μυρίοις τις αὐτὰς καρυκεύσῃ· καὶ ταύτης αὐτὸν ἀφελέσθαι καὶ καταστῆσαι παντάπασιν ἐξάντη τῆς δειλίας ᾠήθη χρῆναι. B δειλία γάρ ἐστιν, εὖ ἴσθι, τὸ γοῦν τοιοῦτον. ἐπεὶ πρὸς τῆς Θεσμοφόρου [Δήμητρος] εἰ σαρκῶν ἡψημένων ἁπτόμεθα, τοῦ χάριν οὐχὶ καὶ ἁπλῶς αὐτὰς προσφερόμεθα, φράσον ἡμῖν. οὐ γὰρ ἔχεις ἕτερον εἰπεῖν ἢ ὅτι οὕτω νενόμισται καὶ οὕτω συνειθίσμεθα. οὐ γὰρ δὴ πρὶν μὲν ἑψηθῆναι βδελυρὰ πέφυκεν, ἑψηθέντα δὲ γέγονεν αὐτῶν ἁγνότερα. τί δῆτα ἐχρῆν C πράττειν τόν γε παρὰ θεοῦ ταχθέντα καθάπερ στρατηγοῦ πᾶν μὲν ἐξελεῖν τὸ νόμισμα, λόγῳ δὲ καὶ ἀληθείᾳ κρῖναι τὰ πράγματα; περιιδεῖν αὐτὸν ὑπὸ ταύτης τῆς δόξης ἐνοχλούμενον, ὡς νομίζειν ὅτι κρέας μέν ἐστιν ἑψηθὲν ἁγνὸν καὶ ἐδώδιμον, μὴ κατεργασθὲν δὲ ὑπὸ τοῦ πυρὸς μυσαρὸν ἴσως καὶ βδελυρόν; οὕτως εἶ μνήμων; οὕτως εἶ σπουδαῖος; ὃς τοσοῦτον ὀνειδίζων τῷ κενοδόξῳ, κατὰ σὲ φάναι, Διογένει, κατ' ἐμὲ δὲ τῷ σπουδαιοτάτῳ θεράποντι D καὶ ὑπηρέτῃ τοῦ Πυθίου, τὴν τοῦ πολύποδος ἐδωδὴν κατεδήδοκας μυρίους ταρίχους,

Ἰχθῦς ὄρνιθάς τε φίλας θ' ὅτι χεῖρας ἵκοιτο,

Αἰγύπτιός γε ὤν, οὐ τῶν ἱερέων, ἀλλὰ τῶν παμφά-

2 μόνον ἢ] Aut μᾶλλον ἢ aut μόνον, οὐ scribendum est. Idem vidit Rsk. 5 αὐτὸν H] αὐτὸν 7 τοιοῦτον H] τοιοῦτο 8 πρὸς Rsk. et B. Friederich] πρὸ | Δήμητρος suspectat Rsk. | ἡψημένων H] ἑψημένων 14 τόν γε Wytt.] τὸν [γὰρ] 19 ἴσως] πως H 21 ὃς τοσοῦτον H] ὡς ὁ τοῦτο | κατὰ σὲ H] κατά σε 25 Odyss. μ, 331 | ἰχθὺς pet. 26 γε Rsk.] τε

γων, οἷς πάντα ἐσθίειν νόμος ὡς λάχανα χόρτου· γνωρίζεις οἶμαι τῶν Γαλιλαίων τὰ ῥήματα. μικροῦ με παρῆλθεν εἰπεῖν, ὅτι καὶ πάντες ἄνθρωποι πλη- 193 σίον οἰκοῦντες θαλάττης, ἤδη δέ τινες καὶ τῶν πόρρω, οὐδὲ θερμήναντες καταρροφοῦσιν ἐχίνους, ὄστρεα καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα· εἶτα ἐκείνους μὲν ὑπολαμβάνεις ζηλωτούς, ἄθλιον δὲ καὶ βδελυρὸν ἡγῇ Διογένη, καὶ οὐκ ἐννοεῖς, ὡς οὐδὲν μᾶλλον ταῦτα ἐκείνων ἐστὶ σαρκία· πλὴν ἴσως ταῦτα ἐκείνων διαφέρει τῷ τὰ μὲν εἶναι μαλθακά, τὰ δὲ σκληρότερα. ἄναιμος γοῦν ἐστι καὶ πολύπους ὥσπερ ἐκεῖνα, B ἔμψυχα δέ ἐστι καὶ τὰ ὀστρακόδερμα καθάπερ καὶ οὗτος· ἥδεται γοῦν καὶ λυπεῖται, ὃ τῶν ἐμψύχων μάλιστά ἐστιν ἴδιον. ἐνοχλείτω δὲ μηδὲν ἡμᾶς ἡ Πλατωνικὴ τανῦν δόξα ἔμψυχα ὑπολαμβάνουσα καὶ τὰ φυτά. ἀλλ' ὅτι μὲν οὐ χαλεπὸν οὐδὲ παράνομον οὐδὲ ἀσύνηθες ὑμῖν ὁ γενναῖος εἰργάσατο Διογένης, εἰ μὴ τῷ σκληροτέρῳ καὶ μαλακωτέρῳ, ἡδονῇ τε λαιμοῦ καὶ ἀηδίᾳ τὰ τοιαῦτά τις ἐξετάζοι, πρόδηλον C οἶμαι τοῖς ὁπωσοῦν ἕπεσθαι λόγῳ δυναμένοις. οὐκ ἄρα τὴν ὠμοφαγίαν βδελύττεσθε οἱ τὰ παραπλήσια δρῶντες, οὐκ ἐπὶ τῶν ἀναίμων μόνον ζῴων, ἀλλὰ καὶ ἐπὶ τῶν αἷμα ἐχόντων. καὶ τούτῳ δὲ ἴσως διαφέρεσθε πρὸς ἐκεῖνον, ὅτι ὁ μὲν ἁπλῶς ταῦτα καὶ κατὰ φύσιν ᾠήθη χρῆναι προσφέρεσθαι, ἁλσὶ δὲ ὑμεῖς καὶ πολλοῖς ἄλλοις ἀρτύσαντες ἡδονῆς ἕνεκα,

1 λάχανα χόρτου] Cf. Iulianus ap. Cyrill. p. 238 D 314 C 2 Γαλιλαίων] Cf. Genes. 9, 3 | μικροῦ H] μικρὸν 8 οὐδὲν H] οὐθὲν 10 διαφέρει H] διαφέρειν 13 οὗτος H] τοῦτο | γοῦν H] οὖν 14 μηδὲν H] μηθὲν 16 οὐ] οὔτι H; malim etiam ἄλογον vel ἄτοπον pro χαλεπὸν 18 ἡδονῇ] καὶ ἡδονῇ *Rsk.*

τὴν φύσιν ὅπως βιάσησθε. καὶ δὴ τοῦτο μὲν ἐπὶ τοσοῦτον ἀπόχρη.

Τῆς Κυνικῆς δὲ φιλοσοφίας σκοπὸς μέν ἐστι καὶ D
τέλος, ὥσπερ δὴ καὶ πάσης φιλοσοφίας, τὸ εὐδαιμονεῖν, τὸ δὲ εὐδαιμονεῖν ἐν τῷ ζῆν κατὰ φύσιν, ἀλλὰ μὴ πρὸς τὰς τῶν πολλῶν δόξας. ἐπεὶ καὶ τοῖς φυτοῖς εὖ πράττειν συμβαίνει καὶ μέντοι καὶ ζῴοις πᾶσιν, ὅταν τοῦ κατὰ φύσιν ἕκαστον ἀνεμποδίστως τυγχάνῃ τέλους· ἀλλὰ καὶ ἐν τοῖς θεοῖς τοῦτό ἐστιν εὐδαιμονίας ὅρος, τὸ ἔχειν αὐτοὺς ὥσπερ πεφύκασι καὶ ἑαυτῶν εἶναι. οὐκοῦν καὶ τοῖς ἀνθρώποις οὐχ 194
ἑτέρωθί που τὴν εὐδαιμονίαν ἀποκεκρυμμένην προσήκει πολυπραγμονεῖν· οὐδὲ ἀετὸς οὐδὲ πλάτανος οὐδὲ ἄλλο τι τῶν ὄντων ζῴων ἢ φυτῶν χρυσᾶ περιεργάζεται πτερὰ καὶ φύλλα, οὐδὲ ὅπως ἀργυροῦς ἕξει τοὺς βλαστοὺς ἢ τὰ πλῆκτρα καὶ κέντρα σιδηρᾶ, μᾶλλον δὲ ἀδαμάντινα, ἀλλ' οἷς αὐτὰ ἐξ ἀρχῆς ἡ φύσις ἐκόσμησε, ταῦτα εἰ ῥωμαλέα καὶ πρὸς τάχος αὐτοῖς ἢ πρὸς ἀλκὴν ὑπουργοῦντα προσγένοιτο, μά- B
λιστα ἂν εὖ πράττειν νομίζοι καὶ εὐθηνεῖσθαι. πῶς οὖν οὐ γελοῖον, εἴ τις ἄνθρωπος γεγονὼς ἔξω που τὴν εὐδαιμονίαν περιεργάσαιτο, πλοῦτον καὶ γένος καὶ φίλων δύναμιν καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα τοῦ παντὸς ἄξια νομίζων; εἰ μὲν οὖν ἡμῖν ἡ φύσις ὥσπερ τοῖς ζῴοις αὐτὸ τοῦτο ἀπέδωκε μόνον, τὸ σώματα καὶ ψυχὰς (ἔχειν) ἐκείνοις παραπλησίας, ὥστε μηδὲν πλέον πολυπραγμονεῖν, ἤρκει λοιπόν, ὥσπερ C
τὰ λοιπὰ ζῷα, τοῖς σωματικοῖς ἀρκεῖσθαι πλεονεκτή-

9 ἐστιν H] ἐστι 22 περιεργάσαιτο H] περιεργάσοιτο 25 τὸ Horkelius] τὰ 26 ἔχειν add. idem 27 μηδὲν H] μηθὲν 28 πλεονεκτήμασιν Rsk. et Horkelius] πλέον κτήμασιν

μασιν, ἐνταῦθά που τὸ εὐδαιμονεῖν πολυπραγμονοῦσιν. ἐπεὶ δὲ ἡμῖν οὐδέν τι παραπλησία ψυχὴ τοῖς ἄλλοις ἐνέσπαρται ζῴοις, ἀλλ' εἴτε κατ' οὐσίαν διαφέρουσα εἴτε οὐσίᾳ μὲν ἀδιάφορος, ἐνεργείᾳ δὲ μόνῃ κρείττων, ὥσπερ οἶμαι τὸ καθαρὸν ἤδη χρυσίον τοῦ συμπεφυρμένου τῇ ψάμμῳ· λέγεται γὰρ καὶ οὗτος ὁ λόγος περὶ τῆς ψυχῆς ὡς ἀληθὴς ὑπό τινων·
D ἡμεῖς δὴ οὖν ἐπειδὴ σύνισμεν αὐτοῖς οὖσι τῶν ζῴων ξυνετωτέροις· κατὰ γὰρ τὸν Πρωταγόρου μῦθον ἐκείνοις μὲν ἡ φύσις ὥσπερ μήτηρ ἄγαν φιλοτίμως καὶ μεγαλοδώρως προσηνέχθη, ἡμῖν δὲ ἀντὶ πάντων ἐκ Διὸς ὁ νοῦς ἐδόθη· τὴν εὐδαιμονίαν ἐνταῦθα θετέον, ἐν τῷ κρατίστῳ καὶ σπουδαιοτάτῳ τῶν ἐν ἡμῖν. σκόπει δή, ταύτης εἰ μὴ μάλιστα τῆς προαιρέσεως ἦν Διογένης, ὃς τὸ μὲν σῶμα τοῖς πόνοις ἀνέδην παρεῖχεν, ἵνα αὐτὸ τῆς φύσεως ῥωμαλεώτερον κατα-
195 στήσῃ, πράττειν δὲ ἠξίου μόνον ὁπόσα ἂν φανῇ τῷ λόγῳ πρακτέα, τοὺς δὲ ἐκ τοῦ σώματος ἐμπίπτοντας τῇ ψυχῇ θορύβους, οἷα πολλάκις ἡμᾶς ἀναγκάζει τουτὶ τὸ περικείμενον αὐτοῦ χάριν πολυπραγμονεῖν, οὐδὲ ἐν μέρει προσίετο. ὑπὸ δὲ ταύτης τῆς ἀσκήσεως ὁ ἀνὴρ οὕτω μὲν ἔσχεν ἀνδρεῖον τὸ σῶμα ὡς οὐδεὶς οἶμαι τῶν τοὺς στεφανίτας ἀγωνισαμένων,
B οὕτω δὲ διετέθη τὴν ψυχήν, ὥστε εὐδαιμονεῖν, ὥστε βασιλεύειν οὐδὲν ἔλαττον, εἰ μὴ καὶ πλέον, ὡς οἱ τότε εἰώθεσαν λέγειν Ἕλληνες, τοῦ μεγάλου βασιλέως, τὸν Πέρσην λέγοντες. ἆρά σοι μικρὰ φαίνεται ἀνὴρ

Ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος,

9 Plat. Protag. 320 D 16 αὐτὸ B. Friederich] αὐτὸ τὸ. *Cf.* Xen. Comm. II. 1, 22 25 οὐδὲν H] οὐθὲν 29 Cf. 256

οὐκ ὀβολόν, οὐ δραχμήν, οὐκ οἰκέτην ἔχων, ἀλλ' οὐδὲ μᾶζαν, ἧς Ἐπίκουρος εὐπορῶν οὐδὲ τῶν θεῶν φησιν εἰς εὐδαιμονίας λόγον ἐλαττοῦσθαι, πρὸς μὲν C
τοὺς θεοὺς οὐκ ἐρίζων, τοῦ δοκοῦντος δὲ τοῖς ἀνθρώποις εὐδαιμονεστάτου (εὐδαιμονέστερον) ζῶν καὶ ἔλεγε ζῆν εὐδαιμονέστερον. εἰ δὲ ἀπιστεῖς, ἔργῳ πειραθεὶς ἐκείνου τοῦ βίου καὶ οὐ τῷ λόγῳ αἰσθήσῃ. φέρε δὴ πρῶτον αὐτὸν διὰ τῶν λόγων ἐλέγξωμεν. ἆρά σοι δοκεῖ τῶν πάντων ἀγαθῶν ἀνθρώποις ἡγεῖσθαι, τούτων δὴ τῶν πολυθρυλήτων, ἐλευθερίαν; πῶς γὰρ οὐ φήσεις; ἐπεὶ καὶ τὰ χρήματα καὶ πλοῦ- D
τος καὶ γένος καὶ σώματος ἰσχὺς καὶ κάλλος καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα δίχα τῆς ἐλευθερίας οὐ τοῦ δοκοῦντος ηὐτυχηκέναι, τοῦ κτησαμένου δὲ αὐτόν ἐστιν ἀγαθά; τίνα οὖν ὑπολαμβάνομεν τὸν δοῦλον; ἆρα μή ποτε ἐκεῖνον, ὃν (ἂν) πριώμεθα δραχμῶν ἀργυρίου τόσων ἢ μναῖν δυοῖν ἢ χρυσίου στατήρων δέκα; ἐρεῖς δήπουθεν τοῦτον εἶναι ἀληθῶς δοῦλον. ἆρα δι' αὐτὸ τοῦτο, ὅτι τὸ ἀργύριον ὑπὲρ αὐτοῦ τῷ πωλοῦντι καταβεβλήκαμεν; οὕτω μεντἂν εἶεν οἰκέται καὶ ὁπόσους τῶν αἰχμαλώτων λυτρού- 196
μεθα. καίτοι καὶ οἱ νόμοι τούτοις ἀποδεδώκασι τὴν ἐλευθερίαν σωθεῖσιν οἴκαδε, καὶ ἡμεῖς αὐτοὺς ἀπολυτρούμεθα, οὐχ ἵνα δουλεύσωσιν, ἀλλ' ἵνα ὦσιν ἐλεύθεροι. ὁρᾷς ὡς οὐχ ἱκανόν ἐστιν ἀργύριον κατα-

et vid. Valckenar. ad Eurip. Hippol. v. 1029   1 ἔχων οὐδ' οἰκέτην Georg. Kaibelius (vid. Philolog. Anzeiger IV p. 59)   2 μᾶζαν H] μάζαν   3 Post ἐλαττοῦσθαι in pet. est lacunae signum   4 τοῦ Rsk. et H] τοῦτο   5 εὐδαιμονέστερον add. Rsk. et H   10 πολυθρυλήτων H] πολυθρυλλήτων | ἐλευθερίαν] Fort. ἐλευθερία. Vid. tamen Epist. 19 p. 386 D et Ep. 24 p. 390 C   14 ηὐτυχηκέναι H] εὐτυχηκέναι   16 ἂν adjecit H   23 σωθεῖσιν Rsk. et H] σωθεῖσι καὶ   25 οὐχ ἱκανόν Pet.] οὐχὶ κενόν

βαλεῖν ἐς τὸ ἀποφῆναι τὸν λυτρωθέντα δοῦλον, ἀλλ' ἐκεῖνός ἐστιν ὡς ἀληθῶς δοῦλος, οὗ κύριός ἐστιν ἕτερος προσαναγκάσαι πράττειν ὅ,τι ἂν κελεύῃ, καὶ μὴ βουλόμενον κολάσαι καί, τὸ λεγόμενον ὑπὸ τοῦ ποιητοῦ,

κακαῖς ὀδύνῃσι πελάζειν;

B ὅρα δὴ τὸ μετὰ τοῦτο, εἰ μὴ κύριοι πάντες ἡμῶν εἰσιν, οὓς ἀναγκαῖον ἡμῖν θεραπεύειν, ἵνα μηδὲν ἀλγῶμεν μηδὲ λυπώμεθα κολαζόμενοι παρ' αὐτῶν. ἢ τοῦτο οἴει κόλασιν μόνον, εἴ τις ἐπανατεινόμενος τὴν βακτηρίαν καθίκοιτο τοῦ οἰκέτου; καίτοι γε τοιοῦτον οὐδὲ οἱ τραχύτατοι τῶν δεσποτῶν ἐπὶ πάντων ποιοῦσι τῶν οἰκετῶν, ἀλλὰ καὶ λόγος ἀρκεῖ πολλάκις

C καὶ ἀπειλή. μήποτε οὖν, ὦ φίλε, νομίσῃς εἶναι ἐλεύθερος, ἄχρις οὗ γαστὴρ ἄρχει σου καὶ τὰ ἔνερθεν γαστρὸς οἵ τε τοῦ παρασχεῖν τὰ πρὸς ἡδονὴν καὶ ταῦτα ἀποκωλῦσαι κύριοι, καὶ εἰ τούτων δὲ γένοιο κρείττων, ἕως ἂν δουλεύῃς ταῖς τῶν πολλῶν δόξαις, οὔπω τῆς ἐλευθερίας ἔθιγες οὐδὲ ἐγεύσω τοῦ νέκταρος,

Οὐ μὰ τὸν ἐν στέρνοισιν ἐμοῖς παραδόντα τετρακτύν.

D καὶ οὐ τοῦτό φημι, ὡς ἀπερυθριᾶσαι χρὴ πρὸς πάντας καὶ πράττειν τὰ (μὴ) πρακτέα· ἀλλ' ὧν ἀπεχόμεθα καὶ ὅσα πράττομεν, μὴ διὰ τὸ τοῖς πολλοῖς δοκεῖν σπουδαῖα πάντως ἢ φαῦλα, διὰ τοῦτο πράτ-

6 Iliad. ε, 766 | κακῇς Hom. 8 μηδὲν H] μηθὲν 12 οὐδὲ οἱ Horkelius] οὐδὲ οὐ v, οὐδὲν οὐδ' οἱ Rsk. 17 ταῦτα] „Fort. πάλιν." Rsk., ταὐτὰ H | ἀποκωλῦσαι H] ἀποκωλύσαι 21 Vid. Porson. ad Eur. Med. 629 et Mullach. ad Pythag. aur. carm. p. 11 s. 23 ἀπερυθριᾶσαι H] ἀπερυθριάσαι | πάντας] πάντα? 24 μὴ add. Pet. 26 πάντως] πως?

τωμεν καὶ ἀπεχώμεθα, ἀλλ' ὅτι τῷ λόγῳ καὶ τῷ ἐν
ἡμῖν θεῷ, τοῦτ' ἐστὶ τῷ νῷ, ταῦτά ἐστιν ἀπόρρητα.
τοὺς μὲν οὖν πολλοὺς οὐδὲν κωλύει ταῖς κοιναῖς
ἕπεσθαι δόξαις· ἄμεινον γὰρ τοῦτο τοῦ παντάπασιν
ἀπερυθριᾶν· ἔχουσι γὰρ ἄνθρωποι φύσει πρὸς ἀλή- 197
θειαν οἰκείως· ἀνδρὶ δὲ ἤδη κατὰ νοῦν ζῶντι καὶ
τοὺς ὀρθοὺς εὑρεῖν τε δυναμένῳ καὶ κρῖναι λόγους
προσήκει τὸ παράπαν οὐδὲν ἕπεσθαι τοῖς νομιζομέ-
νοις ὑπὸ τῶν πολλῶν εὖ τε καὶ χεῖρον πράττεσθαι.
οὐκοῦν ἐπειδὴ τὸ μέν ἐστι τῆς ψυχῆς ἡμῶν θειότε-
ρον, ὃ δὴ νοῦν καὶ φρόνησίν φαμεν καὶ λόγον τὸν
σιγώμενον, οὗ κῆρυξ ἐστὶν ὁ διὰ τῆς φωνῆς οὑτοσὶ
λόγος προϊὼν ἐξ ὀνομάτων καὶ ῥημάτων, ἕτερον δέ
τι τούτῳ συνέζευκται ποικίλον καὶ παντοδαπόν, ὀργῇ B
καὶ ἐπιθυμίᾳ ξυμμιγές τι καὶ πολυκέφαλον θηρίον,
(οὐ) πρότερον χρὴ πρὸς τὰς δόξας τῶν πολλῶν
ἀτενῶς ὁρᾶν καὶ ἀδιατρέπτως, πρὶν ἂν τοῦτο δα-
μάσωμεν τὸ θηρίον καὶ πείσωμεν ὑπακοῦσαι τῷ
παρ' ἡμῖν θεῷ, μᾶλλον δὲ θείῳ. τοῦτο γὰρ πολλοὶ
τοῦ Διογένους ζηλώσαντες ἐγένοντο παντορέκται καὶ
μιαροὶ καὶ τῶν θηρίων οὐδὲ ἑνὸς κρείττους. ὅτι
δὲ οὐκ ἐμὸς ὁ λόγος ἐστί, πρῶτον ἔργον ἐρῶ σοι C
Διογένους, ἐφ' ᾧ γελάσονται μὲν οἱ πολλοί, ἐμοὶ
δὲ εἶναι δοκεῖ σεμνότατον. ἐπειδὴ γάρ τις τῶν νέων
ἐν ὄχλῳ, παρόντος καὶ τοῦ Διογένους, ἀπέπαρδεν,

2 ἀπόρρητα] „Fort. ἀπόρρητα ἢ εὐδόκιμα, ut habeat quoque verbum πράττωμεν aliud sibi respondens.“ Rsk. 3 οὐδὲν H] οὐθὲν 5 ἄνθρωποι H] ἄνθρωποι 6 οἰκείως Rsk. H Cob.] οἰκεῖον 8 οὐδὲν H] οὐθὲν 13 προϊὼν H] προσιὼν 16 οὐ πρότερον Pet.] πότερον 20 ζηλώσαντες] ζηλωταὶ ἐάσαντες H praeeunte partim Reiskio, qui conjecit πολλοὶ ἐάσαντες ἐπικρατεῖν τῶν τὰ Διογένους ζηλωσάντων | παντορέκται Wytt.] παντοραῖκται

ἐπάταξεν ἐκεῖνος τῇ βακτηρίᾳ φάς· εἶτα, ὦ κάθαρμα,
μηδὲν ἄξιον τοῦ δημοσίᾳ τὰ τοιαῦτα θαρσεῖν πράξας
ἐντεῦθεν ἡμῖν ἄρχῃ δόξης καταφρονεῖν; οὕτως ᾤετο
χρῆναι πρότερον ἡδονῆς καὶ θυμοῦ κρείττονα γενέ-
σθαι, καὶ τρίτον ἐπὶ τὸ τελειότατον ἐλθεῖν τῶν
D παλαισμάτων, ἀποδυσάμενον πρὸς τὰς τῶν πολλῶν
δόξας, αἳ μυρίων κακῶν αἴτιαι γίνονται τοῖς πολ-
λοῖς. οὐκ οἶσθα ὅπως τοὺς μὲν νέους τῆς φιλοσο-
φίας ἀπάγουσιν, ἄλλα ἐπ' ἄλλοις τῶν φιλοσόφων
θρυλοῦντες; οἱ Πυθαγόρου καὶ Πλάτωνος καὶ Ἀρι-
στοτέλους χορευταὶ γνήσιοι γόητες εἶναι λέγονται
καὶ σοφισταὶ καὶ τετυφωμένοι καὶ φαρμακεῖς. τῶν
198 Κυνικῶν εἴ πού τις γέγονε σπουδαῖος, ἐλεεινὸς δοκεῖ·
μέμνημαι γοῦν ἐγώ ποτε τροφέως εἰπόντος πρός με,
ἐπειδὴ τὸν ἑταῖρον εἶδεν Ἰφικλέα αὐχμηρὰν ἔχοντα
τὴν κόμην καὶ κατερρωγότα τὰ στέρνα ἱμάτιόν τε
παντάπασι φαῦλον ἐν δεινῷ χειμῶνι· Τίς ἄρα δαί-
μων τοῦτον εἰς ταύτην περιέτρεψε τὴν συμφοράν,
ὑφ' ἧς αὐτὸς μὲν ἐλεεινὸς, ἐλεεινότεροι δὲ οἱ πατέ-
ρες αὐτοῦ, θρέψαντες σὺν ἐπιμελείᾳ καὶ παιδεύσαντες
B ὡς ἐνεδέχετο σπουδαίως, ὁ δὲ οὕτω νῦν περιέρχεται,
πάντα ἀφείς, οὐδὲν τῶν προσαιτούντων κρείττων;
ἐκείνου μὲν οὖν ἐγὼ οὐκ οἶδ' ὅπως τότε κατειρω-
νευσάμην· εὖ μέντοι γε ἴσθι καὶ ταῦτα ὑπὲρ τῶν
ἀληθῶς κυνῶν τοὺς πολλοὺς διανοουμένους. καὶ
οὐ τοῦτο δεινόν ἐστιν, ἀλλ' ὁρᾷς ὅτι καὶ πλοῦτον
ἀγαπᾶν πείθουσι καὶ πενίαν μισεῖν καὶ τὴν γαστέρα

2 μηδὲν Cob.] μηθὲν | θαρσεῖν Pet.] θάρσει 3 ἄρχῃ Pet.] ἀρχὴ v, ἄρχει Cob. 5 καὶ τρίτον] πρὶν H 10 θρυλοῦντες H] θρυλλοῦντες 16 κατερρωγότα τὰ στέρνα] Cf. Chariton. III, 5, 6 περιέρρηξε τὸ στῆθος 22 οὐδὲν H] οὐθὲν 24 καὶ ταῦτα] ταῦτα καὶ? 26 ὅτι Pet.] ἔτι

θεραπεύειν καὶ τοῦ σώματος ἕνεκα πάντα ὑπομένειν
πόνον καὶ πιαίνειν τὸν τῆς ψυχῆς δεσμὸν καὶ τρά-
πεζαν παρατίθεσθαι πολυτελῆ καὶ μηδέποτε νύκτωρ C
καθεύδειν μόνον, ἀλλὰ τὰ τοιαῦτα πάντα δρᾶν ἐν
τῷ σκότῳ λανθάνοντα; τοῦτο οὐκ ἔστι τοῦ Ταρ-
τάρου χεῖρον; οὐ βέλτιόν ἐστιν ὑπὸ τὴν Χάρυβδιν
καὶ τὸν Κωκυτὸν καὶ μυρίας ὀργυιὰς κατὰ γῆς
δῦναι, ἢ πεσεῖν εἰς τοιοῦτον βίον αἰδοίοις καὶ γαστρὶ
δουλεύοντα, καὶ οὐδὲ τούτοις ἁπλῶς ὥσπερ τὰ θηρία,
πράγματα δὲ ἔχειν, ὡς ἂν καὶ λάθοιμεν ὑπὸ τῷ
σκότῳ ταῦτα ἐξεργαζόμενοι; καίτοι πόσῳ κρεῖττον D
ἀπέχεσθαι παντάπασιν αὐτῶν; εἰ δὲ μὴ ῥᾴδιον, οἱ
Διογένους νόμοι καὶ Κράτητος ὑπὲρ τούτων οὐκ
ἀτιμαστέοι· ἔρωτα λύει λιμός, ἂν δὲ τούτῳ χρῆσθαι
μὴ δύνασαι, βρόχος. οὐκ οἶσθα, ὅτι ταῦτα ἔπραξαν
ἐκεῖνοι τῷ βίῳ διδόντες ὁδὸν εὐτελείας; οὐ γὰρ ἐκ
τῶν μαζοφάγων, φησὶν ὁ Διογένης, οἱ τύραννοι, 199
ἀλλ' ἐκ τῶν δειπνούντων πολυτελῶς. καὶ ὁ Κράτης
μέντοι πεποίηκεν ὕμνον εἰς τὴν Εὐτέλειαν·

Χαῖρε, θεὰ δέσποινα, σοφῶν ἀνδρῶν ἀγάπημα,
Εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης.

ἔστω δὴ μὴ κατὰ τὸν Οἰνόμαον ὁ κύων ἀναιδὴς
μηδὲ ἀναίσχυντος μηδὲ ὑπερόπτης πάντων ὁμοῦ
θείων τε καὶ ἀνθρωπίνων, ἀλλὰ εὐλαβὴς μὲν τὰ
πρὸς τὸ θεῖον, ὥσπερ Διογένης. ἐπείσθη γοῦν ἐκεῖ- B
νος τῷ Πυθίῳ, καὶ οὐ μετεμέλησεν αὐτῷ πεισθέντι·
εἰ δέ, ὅτι μὴ προσῄει μηδὲ ἐθεράπευε τοὺς νεὼς

4 ἀλλὰ] ἄλλα Rsk. 14 et 15 ἂν — δύνασαι] Aut εἰ — δύνασαι aut ἂν — δύνῃ (quod apud Diogenem Laert. VI, 5, 2, 86 legitur) scribendum. Cf. Bergk. Poet. lyr. p. 527 ed. 2 19 εὐτελείαν pet. 21 Εὐτελίη Anthol. Pal. X 104] Εὐτέλεια spanh., Εὐτέλεια [καὶ] pet. Cf. Bergk. Poet. lyr. Gr. XLVIII. 2

μηδὲ τὰ ἀγάλματα μηδὲ τοὺς βωμούς, οἴεταί τις ἀθεότητος εἶναι σημεῖον, οὐκ ὀρθῶς νομίζει· ἦν γὰρ οὐδὲν αὐτῷ τῶν τοιούτων, οὐ λιβανωτός, οὐ σπονδή, οὐκ ἀργύριον, ὅθεν αὐτὰ πρίαιτο. εἰ δὲ ἐνόει περὶ θεῶν ὀρθῶς, ἤρκει τοῦτο μόνον· αὐτῇ γὰρ αὐτοὺς ἐθεράπευσε τῇ ψυχῇ, διδοὺς οἶμαι τὰ τιμιώτατα τῶν ἑαυτοῦ, τὸ καθοσιῶσαι τὴν ἑαυτοῦ ψυχὴν διὰ τῶν
C ἐννοιῶν. ἀπερυθριάτω δὲ μηδαμῶς, ἀλλ' ἑπόμενος τῷ λόγῳ πρότερον μὲν αὐτῷ χειρόηθες καταστησάτω τὸ παθηματικὸν τῆς ψυχῆς μόριον, ὥστε παντάπασιν ἐξελεῖν αὐτὸ καὶ μηδὲ ὅτι κρατεῖ τῶν ἡδονῶν εἰδέναι. εἰς τοῦτο γὰρ ἄμεινον ἐλθεῖν, εἰς τὸ καί, εἰ πάσχει τις τὰ τοιαῦτα, ὅλως ἀγνοῆσαι· τοῦτο δὲ ἡμῖν οὐκ ἄλλως ἢ διὰ τῶν γυμνασιῶν προσγίνεται. ἵνα δὲ μή τις ὑπολάβῃ με ταῦτα ἄλλως λέγειν, ἐκ
D τῶν παιγνίων Κράτητος ὀλίγα σοι παραγράψω·

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
Χόρτον ἀεὶ συνεχῶς δότε γαστέρι, ἥτε μοι αἰεί
Χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον.

* * *

Ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε.
Χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτά, κανθάρου οἶτον
200 Μύρμηκός τ' ἄφενος χρήματα μαιόμενος,
Ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον ἀγινεῖν

3 οὐδὲν H] οὐθὲν 6 ἐθεράπευε H 7 τῷ καθοσιῶσαι Pet. 16 παιγνίων] Vid. Wyttenb. ad Plut. mor. p. 125 E 17 — p. 259 3 Eadem leguntur p. 213 B 19 ἀεὶ] ἐμῇ altero loco | συνεχῶς] συνεχῆ altero loco | ἥτε μοι — 20 δουλοσύνης] καὶ δότε χωρὶς δουλοσύνης, ἣ δὴ altero loco 24 οἶτον] ὄλβον altero loco 26 ἀγινεῖν spanh. e Petavii emendatione,

Εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.
Τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ' ἀγνάς
Οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις.

εἰ χρή σοι περὶ τούτων γράφειν, ἔχω πλείονα τοῦ B *ἀνδρός. ἐντυχὼν δὲ τῷ Χαιρωνεῖ Πλουτάρχῳ τὸν Κράτητος ἀναγράψαντι βίον οὐδὲν ἐκ παρέργου μανθάνειν δεήσει τὸν ἄνδρα. [οὗτος ἡγεμὼν ἐγένετο Ζήνωνι τῶν καλῶν δογμάτων. ἐπὶ τούτου φασὶ τοὺς Ἕλληνας ἐπιγράφειν τοῖς ἑαυτῶν οἴκοις ἐπὶ τῶν προπυλαίων· εἴσοδος Κράτητι, Ἀγαθῷ Δαίμονι.]*

Ἀλλ' ἐπανίωμεν ἐπ' ἐκεῖνο πάλιν, ὅτι χρὴ τὸν ἀρχόμενον κυνίζειν αὐτῷ πρότερον ἐπιτιμᾶν πικρῶς C *καὶ ἐξελέγχειν καὶ μὴ κολακεύειν, ἀλλὰ ἐξετάζειν ὅ,τι μάλιστα αὐτὸν ἀκριβῶς, εἰ τῇ πολυτελείᾳ τῶν σιτίων χαίρει, εἰ στρωμνῆς δεῖται μαλακῆς, εἰ τιμῆς ἢ δόξης ἐστὶν ἥττων, εἰ τοῦτο ζηλοῖ τὸ περιβλέπεσθαι καί, εἰ (καὶ) κενὸν εἴη, τίμιον ὅμως νομίζει. μηδὲ εἰς συμπεριφορὰν ὄχλων καθείσθω, γενέσθω δὲ τρυφῆς μηδὲ ἄκρῳ, φασί, τῷ δακτύλῳ, ἕως (ἂν)* D *αὐτὴν παντελῶς πατήσῃ. τότε ἤδη καὶ τῶν τοιούτων, ἂν προσπίπτῃ, θιγεῖν οὐδὲν κωλύει. ἐπεὶ καὶ τῶν ταύρων ἀκούω τοὺς ἀσθενεστέρους ἐξίστασθαι τῆς ἀγέλης καὶ καθ' ἑαυτοὺς νεμομένους ἀγείρειν τὴν ἰσχὺν ἐν μέρει καὶ κατ' ὀλίγον, εἶθ' οὕτως*

ἀγιεῖν pet., *ἀσινῆ* altero loco, *ἀγείρειν* Cobetus 5 *ἐντυχὼν*] Nominativus pro accusativo positus est eadem anacoluthia qua p. 19 C | *Χαιρωνεῖ* Cob.] *Χαιρωνείῳ* 6 *οὐδὲν* H] *οὐθὲν* | *παρέργου* Cob.] *παρέργου τοῦ* 7—10 Verba inclusa subditicia esse vidit Horkelius. Cf. Suidas v. *Κράτης* 17 *εἰ καὶ* Rsk. et Cob.] *εἰ* 18 *ὄχλῳ* Cob. | *καθείσθω* Pet.] *καθήσθω*. Scribendum videtur *καθυφείσθω* 19 et 20 *ἕως ἂν — πατήσῃ* H] *ἕως — πατήσει*. cf. 86 B 20 *τότε δ' ἤδη* Rsk. 21 *θιγεῖν* H] *θίγειν*

ἐπιέναι καὶ προκαλεῖσθαι καὶ τῆς ἀγέλης ἀμφισβητεῖν τοῖς προκατέχουσιν, ὡς μᾶλλον ἀξιωτέρους προΐστασθαι. ὅστις οὖν κυνίζειν ἐθέλει μήτε τὸν τρίβωνα
201 μήτε τὴν πήραν μήτε τὴν βακτηρίαν καὶ τὴν κόμην ἀγαπάτω μόνον, ἵν᾽ ὥσπερ ἐν κώμῃ βαδίζῃ κουρείων καὶ διδασκαλείων ἐνδεεῖ ἄκαρτος καὶ ἀγράμματος, ἀλλὰ τὸν λόγον ἀντὶ τοῦ σκήπτρου καὶ τὴν ἔνστασιν ἀντὶ τῆς πήρας τῆς κυνικῆς ὑπολαμβανέτω φιλοσοφίας γνωρίσματα. παρρησίᾳ δὲ χρηστέον αὐτῷ πρῶτον ὁπόσου πέφυκεν ἄξιος ἐπιδειξαμένῳ, ὥσπερ οἶμαι Κράτης καὶ Διογένης, οἳ πᾶσαν μὲν ἀπειλὴν τύχης
B καὶ εἴτε παιδιὰν εἴτε παροινίαν χρὴ φάναι τοσοῦτον ἀπέσχον τοῦ δυσκόλως ἐνεγκεῖν, ὥστε ἁλοὺς μὲν ὑπὸ τῶν καταποντιστῶν ὁ Διογένης ἔπαιζεν, ὁ Κράτης δὲ ἐδημοσίευε τὴν οὐσίαν, εἶτα [εἰς] τὸ σῶμα βλαβεὶς ἔσκωπτεν ἑαυτὸν (εἰς) τὴν χωλότητα τοῦ σκέλους καὶ τὸ κυρτὸν τῶν ὤμων, ἐπορεύετο δὲ ἐπὶ τὰς τῶν φίλων ἑστίας ἄκλητος κεκλημένος, διαλλάσσων τοὺς οἰκειοτάτους ἀλλήλοις, εἴποτε στασιάζοντας
C αἴσθοιτο, ἐπετίμα δὲ οὐ μετὰ πικρίας, ἀλλὰ μετὰ χάριτος, οὐχ ἵνα συκοφαντεῖν δοκῇ τοὺς σωφρονισθέντας, ὠφελεῖν δὲ ἐθέλων αὐτούς τε ἐκείνους καὶ τοὺς ἀκούοντας. καὶ οὐ τοῦτο ἦν τὸ προηγούμενον αὐτοῖς τέλος, ἀλλ᾽, ὅπερ ἔφην, ἐσκόπουν ὅπως αὐτοὶ μὲν εὐδαιμονήσωσιν, ἔμελε δὲ αὐτοῖς τῶν ἄλλων τοσοῦτον ὅσον ξυνίεσαν οἶμαι φύσει κοινωνικὸν καὶ

2 ἀξιωτέρους H] ἀξίους Pet., ἀξιώτερον v 12 παιδιὰν spanh. de Petavii emendatione] παιδείαν pet. 15 ἐδημοσίευσε H | εἰς inclusit H 16 εἰς add. Rsk. et H 23 οὐ spanh. ex emendatione Petavii] [εἰ] pet. 25 εὐδαιμονήσουσιν? | ἔμελε Pet. et spanh.] ἔμελλε pet. 26 οἶμαι Horkelius] οἱ μὲν

πολιτικὸν ζῷον τὸν ἄνθρωπον εἶναι, καὶ τοὺς συμπολιτευομένους ὠφέλησαν οὐ τοῖς παραδείγμασι μόνον, ἀλλὰ καὶ τοῖς λόγοις. ὅστις οὖν ἂν ἐθέλῃ D Κυνικὸς εἶναι καὶ σπουδαῖος ἀνήρ, αὑτοῦ πρότερον ἐπιμεληθείς, ὥσπερ Διογένης καὶ Κράτης, ἐξελαυνέτω μὲν τῆς ψυχῆς ἅπαντα ἐκ πάσης τὰ πάθη, ὀρθῷ δὲ ἐπιτρέψας τὰ καθ' ἑαυτὸν λόγῳ καὶ νῷ κυβερνάσθω. κεφάλαιον γὰρ ἦν, ὡς ἐγὼ οἶμαι, τοῦτο τῆς Διογένους φιλοσοφίας. εἰ δὲ ἑταίρᾳ ποτὲ προσῆλθεν ὁ ἀνήρ· καίτοι καὶ τοῦτο τυχὸν ἅπαξ ἢ οὐδὲ ἅπαξ ἐγένετο· ὅταν ἡμῖν τὰ ἄλλα κατὰ τὸν Διογένη γένηται 202 σπουδαῖος, ἂν οὕτω φανῇ καὶ τοιοῦτόν τι φάναι φανερῶς ἐν ὀφθαλμοῖς πάντων, οὐ μεμψόμεθα οὐδὲ αἰτιασόμεθα. πρότερον μέντοι τὴν Διογένους ἡμῖν ἐπιδειξάμενος εὐμάθειαν καὶ τὴν ἀγχίνοιαν καὶ τὴν ἐν τοῖς ἄλλοις ἅπασιν ἐλευθερίαν, αὐτάρκειαν, δικαιοσύνην, σωφροσύνην, εὐλάβειαν, χάριν, προσοχήν, ὡς μηδὲν εἰκῇ μηδὲ μάτην μηδὲ ἀλόγως ποιεῖν· ἐπεὶ B καὶ ταῦτα τῆς Διογένους ἐστὶ φιλοσοφίας οἰκεῖα· πατείτω τύφον, καταπαιζέτω τῶν τὰ μὲν ἀναγκαῖα τῆς φύσεως ἔργα κρυπτόντων ἐν σκότῳ· φημὶ δὲ τῶν περιττωμάτων τὰς ἐκκρίσεις· ἐν μέσαις δὲ ταῖς ἀγοραῖς καὶ ταῖς πόλεσιν ἐπιτηδευόντων τὰ βιαιότατα καὶ μηδὲν ἡμῶν οἰκεῖα τῇ φύσει, χρημάτων ἁρπαγάς, συκοφαντίας, γραφὰς ἀδίκους, διώξεις ἄλλων τοιούτων συρφετωδῶν πραγμάτων. ἐπεὶ καὶ Διογένης εἴτε ἀπέπαρδεν εἴτε ἀπεπάτησεν εἴτε ἄλλο τι τοιοῦ- C

12 φάναι] „Fort. δρᾶν." Pet. Δρῶν potius me judice vel δράσας. Quanquam ne sic quidem locus corruptus persanatur 18 μηδὲν H] μηθὲν 19 ἐστὶ H] εἰσὶ 26 συρφετωδῶν Rsk.] συρφετῶν. Ego conjeceram διώξεις, ἄλλων τοιούτων συρφετὸν πραγμάτων

τον ἔπραξεν, ὥσπερ οὖν λέγουσιν, ἐν ἀγορᾷ [οἱ πολλοί], τὸν ἐκείνων πατῶν τῦφον ἐποίει, διδάσκων αὐτούς, ὅτι πολλῷ φαυλότερα καὶ χαλεπώτερα τούτων ἐπιτηδεύουσι. τὰ μὲν γάρ ἐστιν ἡμῖν πᾶσι κατὰ φύσιν, τὰ δὲ ὡς ἔπος εἰπεῖν οὐδενί, πάντα δὲ ἐκ διαστροφῆς ἐπιτηδεύεται. ἀλλ' οἱ νῦν τοῦ Διογένους ζηλωταὶ τὸ ῥᾷστον καὶ κουφότατον ἑλόμενοι τὸ κρεῖτ-
D τον οὐκ εἶδον· σύ τε ἐκείνων εἶναι σεμνότερος ἐθέλων ἀπεπλανήθης τοσοῦτον τῆς Διογένους προαιρέσεως, ὥστε αὐτὸν ἐλεεινὸν ἐνόμισας. εἰ δὲ τούτοις μὲν ἠπίστεις ὑπὲρ ἀνδρὸς λεγομένοις, ὃν οἱ πάντες Ἕλληνες τότε ἐθαύμασαν μετὰ Σωκράτη καὶ Πυθαγόραν ἐπὶ Πλάτωνος καὶ Ἀριστοτέλους, οὗ γέγονεν ἀκροατὴς ὁ τοῦ σωφρονεστάτου καὶ συνετωτάτου Ζήνωνος καθηγεμών, οὓς οὐκ εἰκὸς ἦν ἅπαντας ἀπατηθῆναι περὶ ἀνδρὸς οὕτω φαύλου, ὁποῖον σὺ
203 διακωμῳδεῖς, ὦ βέλτιστε, ἴσως ἄν τι πλέον ἐσκόπησας περὶ αὐτοῦ καὶ πορρωτέρω προῆλθες τῆς ἐμπειρίας τἀνδρός. τίνα γὰρ οὐκ ἐξέπληξε τῶν Ἑλλήνων ἡ Διογένους καρτερία, βασιλικῆς οὐκ ἔξω μεγαλοψυχίας οὖσα, καὶ φιλοπονία; ἐκάθευδεν ἀνὴρ ἐπὶ στιβάδος ἐν τῷ πίθῳ βέλτιον ἢ μέγας βασιλεὺς ὑπὸ τοῖς ἐπιχρύσοις ὀρόφοις ἐν τῇ μαλθακῇ κλίνῃ, ἤσθιε τὴν μᾶζαν ἥδιον ἢ σὺ νῦν τὰς Σικελικὰς ἐσθίεις τραπέ-
B ζας, ἐλούετο θερμῷ τὸ σῶμα πρὸς τὸν ἀέρα ξηραίνων ἀντὶ τῶν ὀθονίων, οἷς (σὺ) ἀπομάττῃ, φιλοσοφώτατε. πάνυ σοι προσήκει κωμῳδεῖν ἐκεῖνον, ὅτι κατειργάσω

1 et 2 οἱ πολλοὶ inclusit H; Pet. scripsit λέγουσιν οἱ πολλοὶ ἐν ἀγορᾷ   4 ἡμῖν V] ἡμῶν   5 οὐδενί H] οὐθενί   15 οὓς H] ὡς   21 φιλοπονία Pet.] φιλοπονίας | ἀνὴρ H] ἀνήρ   24 μᾶζαν H] μάζαν | ἡδίων V   26 σὺ add. H | φιλοσοφώτατε V] φιλοσοφώτερον

τὸν Ξέρξην, ὡς ὁ Θεμιστοκλῆς, ἢ τὸν Δαρεῖον, ὡς ὁ Μακεδὼν Ἀλέξανδρος. εἰ σμικρὰ τὰς βίβλους ἀνελίττων ἐμελέτας ὥσπερ ἡμεῖς οἱ πολιτικοὶ καὶ πολυπράγμονες, ἔγνως ἄν, ὅπως Ἀλέξανδρος ἀγασθῆναι λέγεται τὴν Διογένους μεγαλοψυχίαν. ἀλλ' C οὐκ ἔστι σοι τούτων οὐδέν, ὡς ἐμοὶ δοκεῖ, σπουδαῖον· πόθεν; πολλοῦ γε καὶ δεῖ· γυναικῶν ἀθλίων τεθαύμακας φιλῶν νεκρὸν βίον.

Εἰ μὲν οὖν ὁ λόγος τι πλέον ἐποίησεν, οὐκ ἐμὸν μᾶλλον ἢ σόν ἐστι κέρδος· εἰ δὲ οὐδὲν περαίνομεν ἐκ τοῦ παραχρῆμα περὶ τῶν τοιούτων [ἂν] ἀπνευστὶ τὸ δὴ λεγόμενον συνείραντες· ἔστι γὰρ πάρεργον ἡμέραιν δυοῖν, ὡς ἴσασιν αἱ Μοῦσαι, μᾶλλον δὲ καὶ αὐτός· .... ὁπόσα πρόσθεν ἐγνώκεις, ἡμῖν δὲ οὐ μεταμελήσει τῆς εἰς τὸν ἄνδρα εὐφημίας.

6 οὐδέν H] οὐθέν 8 φιλῶν νεκρὸν] φιλονεικῶν? 10 οὐδὲν Pet.] οὐδὲ. Ego requiro μηδὲν 11 τοιούτων] Malim τοσούτων | ἂν cum Reiskio expungendum esse censeo 14 Rsk. suspicatur μᾶλλον δὲ καὶ σὺ αὐτός· παραμενέτω μέν σοι, ὁπόσα —

204 ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΠΡΟΣ ΗΡΑΚΛΕΙΟΝ ΚΥΝΙΚΟΝ

ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΚΥΝΙΣΤΕΟΝ ΚΑΙ ΕΙ ΠΡΕΠΕΙ ΤΩ ΚΥΝΙ ΜΥΘΟΥΣ ΠΛΑΤΤΕΙΝ.

Ἦ πολλὰ γένεται ἐν μακρῷ χρόνῳ· τοῦτο ἐκ τῆς κωμῳδίας ἀκηκοότι μοι πρῴην ἐπῆλθεν ἐκβοῆσαι, ὁπηνίκα παρακληθέντες ἠκροώμεθα κυνὸς οὔτι τορὸν οὐδὲ γενναῖον ὑλακτοῦντος, ἀλλ' ὥσπερ αἱ τίτθαι μύθους ᾄδοντος καὶ οὐδὲ τούτους ὑγιῶς διατιθεμένου. παραχρῆμα μὲν οὖν ἐπῆλθέ μοι διαναστάντι
B *διαλῦσαι τὸν σύλλογον· ἐπεὶ δὲ ἐχρῆν ὥσπερ ἐν θεάτρῳ κωμῳδουμένων Ἡρακλέους καὶ Διονύσου παρὰ τῶν κωμῳδῶν ἀκούειν, οὐ τοῦ λέγοντος, ἀλλὰ τῶν συνειλεγμένων χάριν ὑπέμεινα, μᾶλλον δέ, εἰ χρή τι καὶ νεανικώτερον εἰπεῖν, ἡμῶν αὐτῶν ἕνεκα καὶ τοῦ ⟨μὴ⟩ δοκεῖν ὑπὸ δεισιδαιμονίας μᾶλλον ἢ διανοίας*
C *εὐσεβοῦς καὶ λελογισμένης, ὥσπερ αἱ πελειάδες, ὑπὸ τῶν ῥηματίων σοβηθεὶς ἀναπτῆναι. ἔμενον δὲ ἐκεῖνο πρὸς ἐμαυτὸν εἰπὼν*

1 *αὐτοκράτορος*] *αὐγούστου* V 2 *Ἡράκλειτον* Suidas v. *Ἰουλιανός* 3 et 4 *καὶ εἰ πρέπει τῷ κυνὶ μύθους πλάττειν* e V adjecimus 5 *ἢ* add. V 5 et 6 *ἐκ τῆς κωμῳδίας*] Ex Eupolidis comoedia aliqua; vid. Meinek. Fragm. Com. Gr. II. 1 p. 549 7 *οὔτι τορὸν*] *ὅντι τὸ* pet. 11 *διαλύσαι* V 12 *ἡρακλέος* V 15 *εἵνεκα* V et pet. 15 et 16 *καὶ τοῦ μὴ* Pet.] *καὶ του* v, *τοῦ μὴ* Cob. 18 *ἔμενον* V] *ἔμελλον* 19 *εἰπὼν* V] *εἰπεῖν*

Τέτλαθι δή, κραδίη, καὶ κύντερον ἄλλο πότ' ἔτλης,

ἀνάσχου καὶ κυνὸς ληροῦντος ὀλίγον ἡμέρας μόριον,
οὐ πρῶτον ἀκούεις τῶν θεῶν βλασφημουμένων, οὐχ
οὕτω τὰ κοινὰ πράττομεν καλῶς, οὐχ οὕτω τῶν
ἰδίων ἕνεκα σωφρονοῦμεν, οὐ μὴν οὐδὲ εὐτυχεῖς 205
ἐσμεν, ὥστε τὰς ἀκοὰς καθαρὰς ἔχειν ἢ (τὸ) τελευ-
ταῖον γοῦν τὰ ὄμματα μὴ κεχράνθαι τοῖς παντοδα-
ποῖς τουτουὶ τοῦ σιδηροῦ γένους ἀσεβήμασιν. ἐπεὶ
δὲ ὥσπερ ἐνδεεῖς ἡμᾶς τῶν τοιούτων κακῶν ἀνέ-
πλησεν οὐκ εὐαγῶν ὁ κύων ῥημάτων, τὸν ἄριστον
τῶν θεῶν ὀνομάσας, ὡς μήποτε ὤφελε μήτ' ἐκεῖνος
εἰπεῖν μήτε ἡμεῖς ἀκοῦσαι, δεῦρο πειραθῶμεν αὐτὸν
ἐφ' ὑμῶν διδάξαι, πρῶτον μὲν ὅτι τῷ κυνὶ λόγους B
μᾶλλον ἢ μύθους προσήκει γράφειν, εἶτα ὁποίας καὶ
τίνας χρὴ ποιεῖσθαι τὰς διασκευὰς τῶν μύθων, εἴ
τι ἄρα καὶ φιλοσοφία προσδεῖται τῆς μυθογραφίας,
ἐπὶ πᾶσι δὲ ὑπὲρ τῆς πρὸς τοὺς θεοὺς εὐλαβείας
ὀλίγα διαλέξομαι· τοῦτο γάρ μοι καὶ τῆς εἰς ὑμᾶς
παρόδου γέγονεν αἴτιον καίπερ οὐκ ὄντι συγγρα-
φικῷ καὶ τὸ ἐν τῷ πλήθει λέγειν ὥσπερ ἄλλο τι
τῶν ἐπαχθῶν καὶ σοφιστικῶν τὸν ἔμπροσθεν χρόνον C
παραιτησαμένῳ. μικρὰ δὲ ὑπὲρ τοῦ μύθου καθάπερ
τινὰ γενεαλογίαν ἴσως οὐκ ἀνάρμοστον ἐμοί τε φάναι
ὑμῖν τε ἀκοῦσαι.

1 Odyss. υ, 18 2 ἀνάσχου om. pet. | καὶ om. spanh. 3 οὐ πρῶτον Pet.] οὔ πρῶτον v, οὐ νῦν πρῶτον Rsk. et Cob. 6 οὕτως Petavio post ἐσμεν deesse videtur | τὸ add. Rsk. 8 ἀσεβήμασιν V] ἀσεβήμασι 11 ὀνομάσας] ὀνοτάσας B. Friederich 13 et 14 τῷ κυνὶ .... μύθους V et pet. 15 διασκευὰς in V videtur sub macula latere, ... pet., ὑποθέσεις spanh. 15 et 16 εἴ τι Rsk. H Cob.] εἴ τις 16 μυθο....ίας V, μύθο...νίας pet. 23 φᾶναι, ut solet, V

Τὴν μὲν οὖν ἀρχὴν ὁπόθεν ηὑρέθη καὶ ὅστις ὁ πρῶτος ἐπιχειρήσας τὸ ψεῦδος πιθανῶς συνθεῖναι πρὸς ὠφέλειαν ἢ ψυχαγωγίαν τῶν ἀκροωμένων, οὐ μᾶλλον εὕροι τις ἂν ἢ εἴ τις ἐπιχειρήσειε τὸν πρῶ-
D τον πταρόντα ἢ χρεμψάμενον ἀναζητεῖν. εἰ δέ, ὥσπερ ἱππεῖς ἐν Θρᾴκῃ καὶ Θετταλίᾳ, τοξόται δὲ καὶ τὰ κουφότερα τῶν ὅπλων ἐν Ἰνδίᾳ καὶ Κρήτῃ καὶ Καρίᾳ, τῇ φύσει τῆς χώρας ἀκολουθούντων οἶμαι τῶν ἐπιτηδευμάτων, οὕτω τις ὑπολαμβάνει καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων, ἐν οἷς ἕκαστα τιμᾶται, μάλιστα παρὰ τούτων αὐτὰ καὶ πρῶτον ηὑρῆσθαι· τῶν ἀγελαίων ἔοικεν ἀνθρώπων εἶναι τό γε ἐξ ἀρχῆς ὁ
206 μῦθος εὕρημα, καὶ διαμένει ἐξ ἐκείνου μέχρι καὶ νῦν παρ᾽ αὐτοῖς πολιτευόμενον τὸ πρᾶγμα ὥσπερ ἄλλο τι τῶν ἀκροαμάτων, αὐλὸς καὶ κιθάρα, τέρψεως ἕνεκα καὶ ψυχαγωγίας. ὥσπερ γὰρ ὄρνιθες ἵπτασθαι καὶ νεῖν ἰχθύες αἵ τε ἔλαφοι θεῖν ἐπειδὴ πεφύκασιν οὐδὲν τοῦ διδαχθῆναι προσδέονται, κἂν δήσῃ τις κἂν καθείρξῃ, πειρᾶται ὅμως χρῆσθαι τούτοις τοῖς

1—5 *τὴν ἀρχὴν — ἀναζητεῖν* immutata et contracta cit. Suidas v. *χρεμετίζει* 1 *ηὑρέθη* H] *εὑρέθη* 5 *πταρόντα* Rsk. et Cob.] *σπαρέντα* v, *πταρέντα* cod. A Suidae 6 *ἱππεῖς* Suid. v. *ἱππεῖς λευκοθώρακες: παροιμία· ἱππεῖς μὲν ἐν Θετταλίᾳ καὶ Θρᾴκῃ, τοξόται δὲ καὶ τὰ κουφότερα τῶν ὅπλων ἐν Ἰνδίᾳ καὶ Κρήτῃ καὶ Καρίᾳ.* Cf. Corp. paroemiogr. Gr. I p. 422. Vulgo legitur *ἡμεῖς* 8 „Post *Καρίᾳ* deesse videtur *εὑρέθη* aut *ἀνεφάνη* vel simile quid" Rsk. 11 *ηὑρῆσθαι* H] *εὑρῆσθαι* 11 et 12 *τῶν ἀγελαίων ἔοικεν ἀνθρώπων εἶναι ὁ τοιοῦτος* Suidas v. *ἀγελαῖος* 12 *τό γε* V] *τότε* 13 *εὕρημα* Cob.] *εὕρεμα* 13-16 Verba *καὶ διαμένει — ψυχαγωγίας* cit. Suidas v. *ἀκροάτης*, ex quo *τὸ πρᾶγμα* post *πολιτευόμενον* adjecimus 13 *μέχρι* om. Suid. 15 *καὶ κιθάρα*] *ἢ κιθάρα* Suid. 16—18 *ὥσπερ γὰρ — προσδέονται* cit. Suidas v. *νεῖν* 16 *γὰρ οἱ ὄρνιθες* Suid., *γὰρ* om. pet. 17 *νεῖν . . . αἵ τε* V | *ἰχθῦς* videtur scribendum, vid. ad 59 A | *ἐπεὶ* Suid. | *πεφύκασιν* V et Suid.] *πεφύκασι* 18 *οὐδὲν* Suid.] *οὐθὲν*

μορίοις, πρὸς ἃ σύνοιδεν αὑτοῖς πεφυκόσι, ταυτὶ τὰ ζῷα, οὕτως οἶμαι καὶ τὸ τῶν ἀνθρώπων γένος οὐκ B ἄλλο τι τὴν ψυχὴν ἔχον ἢ λόγον καὶ ἐπιστήμην ὥσπερ ἐγκαθειργμένην, ὃ δὴ καὶ λέγουσιν οἱ σοφοὶ δύναμιν, ἐπὶ τὸ μανθάνειν τι καὶ ζητεῖν καὶ πολυπραγμονεῖν, ὡς πρὸς οἰκειότατον ἑαυτῷ τῶν ἔργων, τρέπεται· καὶ ὅτῳ μὲν εὐμενὴς θεὸς ταχέως ἔλυσε τὰ δεσμὰ καὶ τὴν δύναμιν εἰς ἐνέργειαν ἤγαγε, τούτῳ πάρεστιν εὐθὺς ἐπιστήμη, τοῖς δεδεμένοις δὲ ἔτι, καθάπερ οἶμαι .... ἀντὶ τῆς θεοῦ C λέγεται παραναπαύσασθαι, ... τέτηκε δόξα· γίνεται γὰρ ἐντεῦθεν αὐτῷ τὰ ὑπηνέμια καὶ τερατώδη ταυτὶ τῆς ἀληθοῦς ἐπιστήμης οἷον εἴδωλα ἄττα καὶ σκιαί· πράττουσι γοῦν πρὸ τῆς τῶν ἀληθῶν ἐπιστήμης τὰ ψεύδη καὶ διδάσκουσί γε μάλα προθύμως καὶ μανθάνουσιν ὥσπερ οἶμαι χρηστόν τι καὶ θαυμαστόν. εἰ δ' ὅλως χρή τι καὶ ὑπὲρ τῶν τοὺς μύθους τὸ πρῶτον πλασάντων ἀπολογήσασθαι, D δοκοῦσί μοι ταῖς τῶν παιδίων ψυχαῖς, ὥσπερ αἱ τίτθαι περὶ τὰς ὀδοντοφυΐας κνησιῶσιν αὐτοῖς σκύτινα ἄττα προσαρτᾶν ταῖν χεροῖν, ἵνα αὐτῶν παρα-

1 αὐτοῖς V 4 λέγουσι pet. 5 τι] Malim τε 6 πρὸς] ἐπ' ? 10 Quae in V jam legi nequeunt ita explet Wytt.: καθάπερ οἶμαι Ἰξίων εἰδώλῳ τινὶ ἀντὶ τῆς θεοῦ, pet. et spanh. καθάπερ οἶμαι (οἱ pet.) ... εἴδωλ... ἀντὶ τοῦ (τῆς V) θεοῦ 11 Lacunam explevit Wytt. additis οὐδέν ἐστιν ἄλλ' ἢ προστετηκέναι δόξῃ, tum scripsit γίνεται γὰρ ἐντεῦθεν αὐτοῖς 12 τὰ ὑπην....... ταυτὶ V, τὰ ὑπ.... ταυτὶ v; lacuna expleta est (cf. Wyttenb. ad Plut. mor. p. 38 E) e Suida v. ὑπηνέμια 13 ταυτὶ] ἀντὶ Suid. 14 ἄττα V | καὶ σκιαὶ .. ἀττουσι (ut videtur) ... V, καὶ σκιαὶ ..... v, καὶ σκιαί. πράττουσι γοῦν Suid. 15 et 16 γε .... θύμως pet., in V γε μάλα προ jam legi non possunt 20 κνησιῶσιν H] κνηστιῶσιν 21 ἄττα V | Aut προσαρτῶσι scribendum aut cum Reiskio εἰώθασι addendum | αὐτῶν H] αὐτὸ

μυθήσωνται τὸ πάθος, οὕτω δὲ καὶ οὗτοι τῷ ψυχαρίῳ πτεροφυοῦντι καὶ ποθοῦντι πλέον εἰδέναι τι, διδάσκεσθαι δὲ οὔπω τἀληθῆ δυναμένῳ ταῦτα ἐποχετεύειν, ὥσπερ ἄρδοντες ἄρουραν διψῶσαν, ἵνα δὴ οἶμαι αὐτῶν τὸν γαργαλισμὸν καὶ τὴν ὀδύνην παραμυθήσωνται.

207 Τοῦ δὲ τοιούτου προβαίνοντος καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμοῦντος, εἵλκυσαν ἐντεῦθεν οἱ ποιηταὶ τὸν αἶνον, ὃς τοῦ μύθου διαφέρει τῷ μὴ πρὸς παῖδας, ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι καὶ μὴ ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν τινά. βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τε καὶ διδάσκειν, ὅταν ὁ λέγων τὸ φανερῶς εἰπεῖν εὐλαβῆται, τὴν
B παρὰ τῶν ἀκουόντων ὑφορώμενος ἀπέχθειαν. οὕτω τοι καὶ Ἡσίοδος αὐτὸ φαίνεται πεποιηκώς· ὁ δὲ μετὰ τοῦτον Ἀρχίλοχος ὥσπερ ἥδυσμά τι περιτιθεὶς τῇ ποιήσει, μύθοις (οὐκ) ὀλιγάκις ἐχρήσατο ὁρῶν, ὡς εἰκός, τὴν μὲν ὑπόθεσιν, ἣν μετῄει, τῆς τοιαύτης ψυχαγωγίας ἐνδεῶς ἔχουσαν, σαφῶς δὲ ἐγνωκώς, ὅτι στερομένη μύθου ποίησις ἐποποιία μόνον ἐστίν, ἐστέρηται δέ, ὡς ἂν εἴποι τις, ἑαυτῆς, οὐ γὰρ ἔτι λείπεται ποίησις, ἡδύσματα ταῦτα παρὰ τῆς ποιητι-
C κῆς Μούσης ἐδρέψατο, καὶ παρέθηκέ γε αὐτοῦ τούτου χάριν, ὅπως μὴ σιλλογράφος τις, ἀλλὰ ποιητὴς

4 et 5 *αὐτῶν τὸν γαργαλισμὸν* V] *τὸν γαργαλισμὸν αὐτῶν* 9 Suidas v. *αἶνος*: *αἶνος διαφέρει μύθου τῷ μὴ πρὸς παῖδας — διδάσκειν· ὅπερ καὶ Ἡσίοδος φαίνεται πεποιηκώς.* Eadem repetita sunt v. *μῦθος* 10 *ψυχαγωγίαν* H et Cob.] *πρὸς ψυχαγωγίαν* 12 *τε*] *τι* Suid. 17 *οὐκ* add. H. cf. 227 A et Bergk. Poet. lyr. Gr. p. 555 ed. alt. 20 *ἐστίν* V] *ἐστί.* Platonem imitatur Phaedon. 61 B 22 *ἡδύσμα* pet. 23 *αὐτοῦ* J. Leopardus (Mus. Rhenan. III p. 11), *αὐτὸς* v, *αὐτὰ Rsk.*

νομισθείη. ὁ δὲ δὴ τῶν μύθων Ὅμηρος ἢ Θουκυδίδης ἢ Πλάτων, ἢ ὅ,τι βούλει καλεῖν αὐτόν, Αἴσωπος ἦν ὁ Σάμιος, δοῦλος οὐ τὴν τύχην μᾶλλον ἢ τὴν προαίρεσιν, οὐκ ἄφρων μὲν οὐδὲ κατ' αὐτὸ τοῦτο ἀνήρ. ᾧ γὰρ ὁ νόμος οὐ μετεδίδου παρρησίας, τούτῳ προσῆκον ἦν ἐσκιαγραφημένας τὰς συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ χάριτι παραφέρειν, ὥσπερ οἶμαι τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι τὸ δέον ἐπιτάττουσιν, ἐὰν δὲ ἅμα τις οἰκέτης γένηται D
τὴν τύχην καὶ τὴν τέχνην ἰατρός, πράγματα ἔχει κολακεύειν ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος. εἰ μὲν οὖν καὶ τῷ κυνὶ προσήκει ταύτης τῆς δουλείας, λεγέτω, γραφέτω, παραχωρείτω τῆς μυθολογίας αὐτῷ πᾶς ὁστισοῦν, εἰ δὲ μόνος εἶναί φησιν ἐλεύθερος, ἐπὶ τί χρήσεται τοῖς μύθοις, οὐκ 208
οἶδα. πότερον ἵνα τὸ πικρὸν καὶ δάκνον τῆς συμβουλῆς ἡδονῇ καὶ χάριτι κεράσας ἅμα τε ὀνήσῃ καὶ ἀποφύγῃ τὸ προσλαβεῖν τι παρὰ τοῦ ὀνιναμένου κακόν; ἀλλὰ τοῦτό ἐστι λίαν δουλοπρεπές. ἀλλ' ἄμεινον ἄν τις διδαχθείη μὴ τὰ πράγματα ἀκούων αὐτὰ μηδὲ τὰ ἐπ' αὐτοῖς ὀνόματα κατὰ τὸν κωμικὸν τὴν σκάφην σκάφην λέγοντα; ἀλλ' ἀντὶ τοῦ μὲν δεῖνος τὸν Φαέθοντα δέον ὀνομάσαι, τὸν δὲ χραίνειν B
οὐκ εὐαγῶς τὴν ἐπωνυμίαν τοῦ βασιλέως Ἡλίου.

3—12 Verba *Σάμιος — ἀναγκαζόμενος* affert Suidas v. *Αἴσωπος* 3 *οὐ* delet Cob. 4 *μὲν*] *μέντοι* Rsk., *μὴν* H 4 et 5 *κατ' αὐτὸ τοῦτο* V et Suid.] *κατ' αὐ . . .* pet., *κατ' αὐτὸν . . .* spanh. 6 *ἐσκιαγραφημένας* add. V et Suid. 8 *οἶμαι*] *καὶ* Suid. 9 *ἐπιτάττουσι* Suid. | *ἅμα* om. Suid. 13 *δουλείας* V] *δουλίας* 15 *ἐπί τι* V 18 *ὀνιναμένου* Horkelius] *ὀνηναμένου* V, *ὀνησαμένου* v 21 *κατὰ τὸν κωμικὸν*] Vid. Wyttenb. ad Plut. mor. p. 178 B et Corp. Paroemiogr. Gr. Vol. II p. 654 23 *τὸν Φαέθοντα τί δέον ὀνομάσαι; τί δὲ χραίνειν* Rsk.

τίς δὲ ὁ Πὰν καὶ τίς ὁ Ζεὺς τῶν χαμαὶ ἐρχομένων ἀνθρώπων ἄξιος καλεῖσθαι, ἵν᾽ ἐκεῖθεν ἐπ᾽ αὐτοὺς μεταθῶμεν ἡμῶν τὰς διανοίας; καίτοι, εἰ καὶ τοῦτο οἷόν τε ἦν, ἄμεινον ἦν αὐτοὺς ὀνομάσαι τοὺς ἀνθρώπους. ἢ γὰρ οὐχ οὕτω κρεῖττον ἦν εἰπεῖν ἀνθρωπικὰ θεμένους ὀνόματα; μᾶλλον δὲ οὐδὲ θεμένους, C ἤρκει γὰρ ὅσαπερ ἡμῖν οἱ γονεῖς ἔθεντο. ἀλλ᾽ εἰ μήτε μαθεῖν ἐστι ῥάδιον διὰ τοῦ πλάσματος μήτε τῷ Κυνικῷ πρέπον πλάττειν τὰ τοιαῦτα, τοῦ χάριν οὐκ ἐφεισάμεθα τοῦ πολυτελοῦς ἀναλώματος; πρὸς δὲ δὴ καὶ ἐφθείραμεν τὸν χρόνον πλάττοντες καὶ συντιθέντες μυθάρια, εἶτα λογογραφοῦντες καὶ ἐκμανθάνοντες;

Ἀλλ᾽ ἴσως ὁ μὲν λόγος οὔ φησι δεῖν ἀντὶ τῶν D ἀληθῶν καὶ μὴ πεπλασμένων τὰ ψευδῆ καὶ πεπλασμένα παρὰ τοῦ κυνός, ᾧ μόνῳ τῆς ἐλευθερίας μέτεστιν, ἐν τοῖς κοινοῖς ᾄδεσθαι συλλόγοις, ἡ συνήθεια δὲ αὐτῷ γέγονεν ἀπὸ Διογένους ἀρξαμένη καὶ Κράτητος ἄχρι τῶν ἐφεξῆς. οὐδὲν οὐδαμοῦ παράδειγμα τοιοῦτον εὑρήσεις· ἐκεῖνο γὰρ ἀφίημι τέως, ὅτι τῷ Κυνικῷ τὸ νόμισμα παραχαράττοντι τῇ συνηθείᾳ προσέχειν οὐδαμῶς προσήκει, τῷ λόγῳ δὲ αὐτῷ 209 μόνῳ, καὶ τὸ ποιητέον εὑρίσκειν οἴκοθεν, ἀλλ᾽ οὐ μανθάνειν ἔξωθεν. εἰ δ᾽ Ἀντισθένης ὁ Σωκρατικὸς ὥσπερ ὁ Ξενοφῶν ἔνια διὰ τῶν μύθων ἀπήγγελλε, μήτοι τοῦτό σε ἐξαπατάτω· καὶ γὰρ μικρὸν ὕστερον

1 et 2 τῶν χαμαὶ ἐρχομένων ἀνθρώπων] Hom. Iliad. ε, 442 et Hesiod. Theog. 272 7 ἤργει V 14 οὔ φησι V] οὐ φησὶ 17 et 18 συνήθεια (articulo deleto) δὲ αὐτῶν γέγονεν Cob. (sed ita αὐτῷ sc. τῷ κυνὶ servarim), ἡ συνήθ. δὲ οὕτω γέγ. H 22 προσήκει] προσέχει V, sed eadem manu supra scriptum προσήκει 26 μήτοι V, μήτι Cob., om. v

ὑπὲρ τούτου σοι διηγήσομαι· νῦν δὲ ἐκεῖνό μοι πρὸς τῶν Μουσῶν φράσον ὑπὲρ τοῦ Κυνισμοῦ, πότερον ἀπόνοιά τίς ἐστι καὶ βίος οὐκ ἀνθρώπινος, ἀλλὰ θηριώδης ψυχῆς διάθεσις οὐδὲν καλόν, οὐδὲν σπουδαῖον οὐδὲ ἀγαθὸν νομιζούσης; δοίη γὰρ ἂν ὑπο- B λαβεῖν πολλοῖς περὶ αὐτοῦ ταῦτα Οἰνόμαος. εἴ τί σοι τοῦ ταῦτα γοῦν ἐπελθεῖν ἐμέλησεν, ἐπέγνως ἂν σαφῶς ἐν τῇ τοῦ κυνὸς αὐτοφωνίᾳ καὶ τῷ κατὰ τῶν χρηστηρίων καὶ πᾶσιν ἁπλῶς οἷς ἔγραψεν ὁ ἀνήρ. τοιούτου δὲ ὄντος τοῦ πράγματος, ὥστε ἀνῃρῆσθαι μὲν ἅπασαν τὴν πρὸς τοὺς θεοὺς εὐλάβειαν, ἠτιμάσθαι δὲ πᾶσαν ἀνθρωπίνην φρόνησιν, νόμον δὲ μὴ τὸν ὁμώνυμον τῷ καλῷ καὶ δικαίῳ πεπατῆσθαι μόνον, ἀλλὰ καὶ τοὺς ἐκ τῶν θεῶν ἡμῖν C ὥσπερ ἐγγραφέντας ταῖς ψυχαῖς, ὑφ' ὧν πάντες ἀδιδάκτως εἶναι θεῖόν τι πεπείσμεθα καὶ πρὸς τοῦτο ἀφορᾶν ἐπ' αὐτό τε οἶμαι σπεύδειν οὕτω διατιθέμενοι τὰς ψυχὰς πρὸς αὐτὸ ὥσπερ οἶμαι πρὸς τὸ φῶς τὰ βλέποντα, πρὸς τούτῳ δὲ εἰ καὶ ὁ δεύτερος ἐξελαύνοιτο νόμος ἱερὸς ὢν φύσει καὶ θεῖος, ὁ τῶν ἀλλοτρίων πάντῃ καὶ πάντως ἀπέχεσθαι κελεύων καὶ μήτε ἐν λόγῳ μήτε ἐν ἔργῳ μήτε ἐν αὐταῖς ταῖς λανθανούσαις τῆς ψυχῆς ἐνεργείαις ταῦτα ἐπιτρέπων D συγχεῖν, ὅσπερ ἡμῖν καὶ τῆς τελειοτάτης ἐστὶν ἡγεμὼν δικαιοσύνης· ἆρ' οὐκ ἔστι βαράθρου τὸ πρᾶγμα ἄξιον; ἆρ' οὐ τοὺς ταῦτα ἐπαινοῦντας ὥσπερ τοὺς φαρμακοὺς ἐχρῆν οὐ θύσθλοις πολεμουμένους ἐλαύνε-

1 σοι διηγήσομαι spanh.] . . . . . καὶ pet., in V est macula 2 κυνισμοῦ Pet. spanh.] κυνι . . . . V, κυνίσκου pet. 4 οὐδὲν bis H] οὐθὲν 7 ἐμέλησεν V] ἐμέλησε | ἐπέγνως ἂν Rsk.] ἐπιγνώσῃ 17 „Fort. διατεθειμένοι.“ Rsk. 27 πολεμουμένους] παιομένους Cob.

σθαι· κουφοτέρα γάρ ἐστι τῶν ἀδικημάτων ἡ ζημία· λίθοις δὲ βαλλομένους ἀπολωλέναι; διαφέρουσι γὰρ
210 οὗτοι τί, πρὸς τῶν θεῶν εἰπέ μοι, τῶν ἐπ' ἐρημίας ληστευόντων καὶ κατειληφότων τὰς ἀκτὰς ἐπὶ τῷ λυμαίνεσθαι τοῖς καταπλέουσι; καταφρονοῦντες θανάτου, φασίν· ὥσπερ οὐ κἀκείνοις συνομαρτούσης ταυτησὶ τῆς ἀπονοίας. φησὶ γοῦν ὁ καθ' ὑμᾶς μὲν ποιητὴς καὶ μυθολόγος, ὡς δὲ ὁ Πύθιος λησταῖς χρωμένοις ἀνεῖλεν, ἥρως καὶ δαίμων, ὑπὲρ τῶν ληζομένων τὴν θάλατταν

Οἷά τε ληιστῆρες, ὑπεὶρ ἅλα τοί τ' ἀλόωνται
B Ψυχὰς παρθέμενοι.

τί οὖν ἔτι ἕτερον ζητεῖς ὑπὲρ τῆς ἀπονοίας τῶν ληστῶν μάρτυρα; πλὴν εἰ μὴ καὶ ἀνδρειοτέρους ἂν εἴποι τις τῶν τοιούτων κυνῶν ἐκείνους τοὺς ληστάς, ἰταμωτέρους δὲ τῶν ληστῶν ἐκείνων τοὺς κύνας τουτουσί. οἱ μὲν γὰρ συνειδότες αὑτοῖς οὕτω μοχθηρὸν τὸν βίον οὐ μᾶλλον διὰ τὸ τοῦ θανάτου δέος ἢ τὴν αἰσχύνην τὰς ἐρημίας προβάλλονται, οἱ
C δ' ἀναπατοῦσιν ἐν τῷ μέσῳ τὰ κοινὰ νόμιμα συγχέοντες, οὐχὶ τῷ κρείττονα καὶ καθαρωτέραν, ἀλλὰ τῷ χείρονα καὶ βδελυρωτέραν ἐπεισάγειν πολιτείαν. [αἰδημονέστεροι νῦν οἱ πολλοὶ τούτων γεγόνασιν ἱκανῶς, ἴσως τινὲς αὐτῶν ἰταμευσάμενοι τὰ πρῶτα.]

Τὰς ἀναφερομένας δὲ εἰς τὸν Διογένη τραγῳ-

5 *καταφρονοῦμεν* Rsk. Recte 6 *φασὶν* V] *φασὶ* | *οὐ καὶ ἐκείνοις* Horkelius, *οὐκ ἐκείνοις* v, *οὐ κἀκείνοις* H 9 *ληζομένων* H] *ληιζομένων* 11 Odyss. γ, 73 | *τοί τ'* V] *τοί γ'*. 15 *κυνῶν* om. pet., ...*ῶν* V 17 *αὐτοῖς* V 20 *δ'*] *δὲ* V | *ἀναπατοῦσιν*] *ἀναστρέφονται καὶ περιπατοῦσιν* Cob., *ἄρα περιπατοῦσιν* H 23 et 24 Alienum additamentum inclusit H *23 ἀειδημονέστεροι* pet. 24 *ἰταμιευσάμενοι* V

δίας, οὔσας μὲν καὶ ὁμολογουμένας Κυνικοῦ τινος συγγράμματα, ἀμφισβητουμένας δὲ κατὰ τοῦτο μόνον, εἴτε τοῦ διδασκάλου, τοῦ Διογένους, εἰσίν, εἴτε τοῦ D *μαθητοῦ Φιλίσκου, τίς (οὐκ ἂν) ἐπελθὼν βδελύξαιτο καὶ νομίσειεν ὑπερβολὴν ἀρρητουργίας οὐδὲ ταῖς ἑταίραις ἀπολελεῖφθαι; ταῖς Οἰνομάου δὲ ἐντυχών· ἔγραψε γὰρ καὶ τραγῳδίας τοῖς λόγοις τοῖς ἑαυτοῦ παραπλησίας, ἀρρήτων ἀρρητότερα καὶ κακῶν πέρα, καὶ οὐκέθ' ὅ,τι φῶ περὶ αὐτῶν ἀξίως ἔχω, κἂν τὰ Μαγνήτων κακὰ, κἂν τὸ Τερμέριον, κἂν πᾶσαν ἁπλῶς αὐτοῖς ἐπιφθέγξωμαι τὴν τραγῳδίαν μετὰ τοῦ* 211 *σατύρου καὶ τῆς κωμῳδίας καὶ τοῦ μίμου, οὕτω πᾶσα μὲν αἰσχρότης, πᾶσα τὲ ἀπόνοια πρὸς ὑπερβολὴν ἐν ἐκείνοις τῷ ἀνδρὶ πεφιλοτέχνηται· καὶ εἰ μὲν ἐκ τούτων τις ἀξιοῖ τὸν Κυνισμὸν ὁποῖός τίς ἐστιν ἡμῖν ἐπιδεῖξαι, βλασφημῶν τοὺς θεούς, ὑλακτῶν πρὸς ἅπαντας, ὅπερ ἔφην ἀρχόμενος, ἴτω, χαιρέτω, γῆν πρὸ γῆς, ὅποι βούλοιτο· εἰ δ', ὅπερ ὁ* B *θεὸς ἔφη Διογένει, τὸ νόμισμα παραχαράξας ἐπὶ τὴν πρὸ ταύτης εἰρημένην ὑπὸ τοῦ θεοῦ συμβουλὴν τρέποιτο, τὸ Γνῶθι σαυτόν, ὅπερ ζηλώσαντες ἐπὶ τῶν ἔργων Διογένης καὶ Κράτης φαίνονται, τοῦτο ἤδη τοῦ παντὸς ἄξιον ἔγωγε φαίην ἂν ἀνδρὶ καὶ στρα-*

3 *εἰσὶν* V] *εἰσὶ* 4 *Φιλίσκου*] *Φιλίστου*. vid. ad 186 C † *οὐκ ἂν* add. Cob. In V hoc loco erasum est aliquid, cujus tantum superest spiritus lenis. Rsk. et Bernhardys ad Suid. v. *ἀρητόν* (ubi haec leguntur: *τίς οὖν οὐ μισήσειεν ὑπερβολὴν ἀρρητουργίας ἑτέροις μὴ ἀπολελεῖφθαι;*) *οὐ* ante *βδελύξαιτο* addunt 5 *νομίσειεν* H] *νομίσαιτο* v, *νομίσαι* Rsk. Bernhard. Cob. 6 *ἑταίραις* iidem] *ἑτέραις* 8 *ἀρρήτων — πέρα*] Affert Suidas v. *ἀρητόν* et v. *πέρα* 9-14 *καὶ οὐκέθ' ὅ,τι φῶ — πεφιλοτέχνηται*] Citat Suidas v. *Μαγνητῶν κακά* 9 *οὐκέθ'* Rsk.] *οὔτε* | *ὅ,τι*] *τί* Suid. | *περὶ αὐτοῦ* Suid. 10 *μαγνιτῶν* V, *Μαγνητῶν* v 11 *αὐτὸς* Suid. 14 *ἐν*] *ἐπ'* Suid. (non V) | *ἐκείναις* Kuster. ad Suid. 17 *χαιρέτω*] *χωρείτω* H

τηγεῖν καὶ φιλοσοφεῖν ἐθέλοντι. τί δὲ εἶπεν ὁ θεός, ἆρ' ἴσμεν; ὅτι τῆς τῶν πολλῶν αὐτῷ δόξης ἐπέταξεν C *ὑπερορᾶν καὶ παραχαράττειν οὐ τὴν ἀλήθειαν, ἀλλὰ τὸ νόμισμα. τὸ δὲ Γνῶθι σαυτὸν ἐν ποτέρᾳ θησόμεθα μοίρᾳ; πότερον ἐν τῇ τοῦ νομίσματος; ἢ τοῦτό γε αὐτὸ τῆς ἀληθείας εἶναι κεφάλαιον θήσομεν καὶ τρόπον εἰρῆσθαι τοῦ Παραχάραξον τὸ νόμισμα διὰ τῆς τοῦ Γνῶθι σαυτὸν ἀποφάσεως; ὥσπερ γὰρ ὁ τὰ νομιζόμενα παντάπασιν ἀτιμάσας, ἐπ' αὐτὴν δὲ ἥκων τὴν ἀλήθειαν οὐδ' ὑπὲρ ἑαυτοῦ τοῖς νομιζομένοις, ἀλλὰ τοῖς ὄντως οὖσι θήσεται, οὕτως οἶμαι* D *καὶ ὁ γνοὺς ἑαυτὸν ὅπερ ἔστιν ἀκριβῶς εἴσεται καὶ οὐχ ὅπερ νομίζεται. πότερον οὖν οὐχ ὁ Πύθιος ἀληθής τέ ἐστι θεός, καὶ Διογένης τοῦτο ἐπέπειστο σαφῶς, ὅς γε αὐτῷ πεισθεὶς ἀντὶ φυγάδος ἀπεδείχθη οὐ τοῦ Περσῶν βασιλέως μείζων, ἀλλ', ὡς ἡ φήμη παρέδωκεν, αὐτῷ τῷ καταλύσαντι τὸ Περσῶν κράτος καὶ ταῖς Ἡρακλέους ἁμιλλωμένῳ πράξεσιν, ὑπερβάλλεσθαι δὲ τὸν Ἀχιλλέα φιλοτιμουμένῳ ζηλωτός; οὗτος οὖν ὁ Διογένης ὁποῖός τις ἦν τά τε πρὸς τοὺς* 212 *θεοὺς καὶ τὰ πρὸς ἀνθρώπους μὴ διὰ τῶν Οἰνομάου λόγων μηδὲ τῶν Φιλίσκου τραγῳδιῶν, αἷς ἐπιγράψας τὸ Διογένους ὄνομα τῆς θείας πολλά ποτε κατεψεύσατο κεφαλῆς, ἀλλὰ δι' ὧν ἔδρασεν ἔργων ὁποῖός τις ἦν γνωριζέσθω.*

Ἦλθεν εἰς Ὀλυμπίαν ἐπὶ τί πρὸς Διός; ἵνα τοὺς

2—4 *τῆς — νόμισμα* cit. Suidas in *γνῶθι σαυτόν* 8 *τοῦ* Cob.] *τὸ* v, in V est macula | *ἀποφάνσεως* Cob.; sed cf. 297 C 334 C 10 *οὐδ'* H] *οὔθ'* 11 *ὄντως*] *οὕτως* pet. 12 *ἔστιν* H] *ἐστὶν* 15 *ὅς γε* Rsk. H Cob.] *ὥστε* 16 *ἡ φήμη* V] *φήμη* 17 *αὐτῶ τῶ τῶ* V 18 *Ἡρακλέους* H] *Ἡρακλέος* | *πράξεσιν* V] *πράξεσι* 22 *Φιλίσκου*] *Φιλίστου*. vid. ad 186 C *26 ἐπί τι* V

ἀγωνιστὰς θεάσηται; τί δέ; οὐχὶ καὶ Ἰσθμίοις τοὺς αὐτοὺς καὶ Παναθηναίοις θεάσασθαι δίχα πραγμάτων οἷόν τε ἦν; ἀλλὰ ἐθέλων ἐκεῖ τοῖς κρατίστοις B συγγενέσθαι τῶν Ἑλλήνων; οὐ γὰρ Ἰσθμόνδε ἐφοίτων; οὐκ ἂν οὖν εὕροις ἄλλην αἰτίαν ἢ τὴν εἰς τὸν θεὸν θεραπείαν. εἰ δ' οὐκ ἐξεπλάγη τὸν κεραυνόν· οὐδὲ ἐγὼ μὰ τοὺς θεοὺς πολλῶν πολλάκις πειραθεὶς διοσημειῶν ἐξεπλάγην. ἀλλ' ὅμως οὕτω δή τι τοὺς θεοὺς πέφρικα καὶ φιλῶ καὶ σέβω καὶ ἅζομαι καὶ πάνθ' ἁπλῶς τὰ τοιαῦτα πρὸς αὐτοὺς πάσχω, ὅσαπερ ἄν τις καὶ οἷα πρὸς ἀγαθοὺς δεσπότας, πρὸς διδασκάλους, πρὸς πατέρας, πρὸς κηδεμόνας, πρὸς πάντα ἁπλῶς τὰ τοιαῦτα, ὥστε ὀλίγου C δεῖν ὑπὸ τῶν σῶν ῥημάτων πρῴην ἐξανέστην. τοῦτο μὲν οὖν οὐκ οἶδ' ὅντινα τρόπον ἐπελθὸν ἴσως σιωπᾶσθαι δέον ἐῤῥέθη. Διογένης δὲ καὶ πένης ὢν καὶ χρημάτων ἐνδεὴς εἰς Ὀλυμπίαν ἐβάδιζεν, Ἀλέξανδρον δὲ ἥκειν ἐκέλευε παρ' ἑαυτόν, εἴ τῳ πιστὸς ὁ Δίων. οὕτω πρέπειν ἐνόμιζεν ἑαυτῷ μὲν φοιτᾶν ἐπὶ τὰ D ἱερὰ τῶν θεῶν, τῷ βασιλικωτάτῳ δὲ τῶν καθ' ἑαυτὸν ἐπὶ τὴν ἑαυτοῦ συνουσίαν. ἃ δὲ πρὸς Ἀρχίδαμον γέγραφεν, οὐ βασιλικαὶ παραινέσεις εἰσίν; οὐ μόνον δὲ ἐν τοῖς λόγοις ἦν ὁ Διογένης θεοσεβής, ἀλλὰ γὰρ καὶ ἐν τοῖς ἔργοις. ἑλόμενον γὰρ αὐτὸν

1 *οὐχὶ* Rsk.] *οὐχὶ δὲ*. cf. 139 B C 151 D 176 C 213 A 7 *μὰ* H] *νὴ*. Idem correximus 131 A 142 C 191 A 219 D. Cf. etiam 316 C 351 C 376 C 450 D 8 et 9 *οὕτω δή τι*] Vid. ad 75 B 16 *ἐρέθη* V, *ἐρρήθη* Cob. 18 *ἥκειν* V] *καὶ ἥκειν* | *εἴ τω πιστὸς ὁ δίων* V, *εἰ τῷ . . . ὁ δίων* pet., *εἰ οὕτω ὁ Δίων* spanh. Respicitur autem Dionis Chrysostomi oratio IV 19 *οὕτω*] *οὗτος* pet. 21 *ἀρχίδαμον* V, *Ἀλέξανδρον* spanh., in pet. est lacuna 22 *εἰσὶν* V] *εἰσί* 23 *ὁ διογένης* V] *Διογένης* 24 *ἀλλὰ γὰρ καὶ*] Vid. Hermae III p. 309 et add.

οἰκεῖν τὰς Ἀθήνας ἐπειδὴ τὸ δαιμόνιον εἰς τὴν
Κόρινθον ἀπήγαγεν, ἀφεθεὶς ὑπὸ τοῦ πριαμένου τὴν
213 πόλιν οὐκέτ' ᾠήθη δεῖν ἐκλιπεῖν· ἐπέπειστο γὰρ αὐ-
τοῦ τοῖς θεοῖς μέλειν εἴς τε τὴν Κόρινθον οὐ μάτην
οὐδὲ κατά τινα συντυχίαν, τρόπον δέ τινα ὑπὸ τῶν
θεῶν εἰσπεπέμφθαι, ὁρῶν τὴν πόλιν τρυφῶσαν τῶν
Ἀθηναίων μᾶλλον καὶ δεομένην μείζονος καὶ γεν-
ναιοτέρου σωφρονιστοῦ. τί δέ; οὐχὶ καὶ τοῦ Κρά-
τητος μουσικὰ καὶ χαρίεντα φέρεται πολλὰ δείγματα
τῆς πρὸς τοὺς θεοὺς ὁσιότητός τε καὶ εὐλαβείας;
ἄκουε γοῦν αὐτὰ παρ' ἡμῶν, εἴ σοι μὴ σχολὴ γέγονε
B μαθεῖν ἐξ ἐκείνων αὐτά.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
Χόρτον ἐμῇ συνεχῆ δότε γαστέρι, καὶ δότε χωρίς
Δουλοσύνης, ἣ δὴ λιτὸν ἔθηκε βίον.

* * * *

Ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε.
C Χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτὰ, κανθάρου ὅλβον
Μύρμηκός τ' ἄφενος χρήματα μαιόμενος,
Ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον ἀσινῆ
Εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.
Τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ' ἁγνάς
D Οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις.

ὁρᾷς ὅτι τοὺς θεοὺς εὐφημῶν, οὐχὶ δὲ ὡς σὺ βλα-
σφημῶν κατ' αὐτῶν ηὔχετο; πόσαι γὰρ ἑκατόμβαι

Cyrill. c. Iulian. II 52 D et Bernhard. ad Suid. II. 1 p. 274, 12
12 αὐτά] αὐτῶν? 13—25 Haec leguntur etiam supra 199 D et 200 A, ubi vide 20 ὄλβον V 24 τῶνδε V | ἱλάσομαι V, *sed* correctum eadem, ut videtur, manu in ἱλάσομ' 27 πόσαι

τῆς ὁσίας εἰσὶν ἀντάξιαι, ἣν καὶ ὁ δαιμόνιος Εὐριπίδης ὀρθῶς ὕμνησεν εἰπὼν

Ὁσία πότνα θεῶν, ὁσία;

ἢ τοῦτό σε λέληθεν, ὅτι πάντα, καὶ τὰ μεγάλα καὶ (τὰ) σμικρά, μετὰ τῆς ὁσίας τοῖς θεοῖς προσαγόμενα τὴν ἴσην ἔχει δύναμιν, ἐστερημένη δὲ τῆς ὁσίας οὐχ 214 ἑκατόμβη μὰ θεούς, ἀλλὰ ἡ τῆς Ὀλυμπιάδος χιλιόμβη ἀνάλωμα μόνον ἐστίν, ἄλλο δὲ οὐδέν; ὅπερ οἶμαι γιγνώσκων ὁ Κράτης αὐτός τε διὰ μόνης ἧς εἶχεν ὁσίας τοὺς θεοὺς ἐτίμα σὺν εὐφημίᾳ καὶ τοὺς ἄλλους ἐδίδασκε μὴ τὰ δαπανήματα τῆς ὁσίας, ἀλλὰ τὴν ὁσίαν ἐκείνων προτιμᾶν ἐν ταῖς ἁγιστείαις. τοιούτω δὲ τὼ ἄνδρε τώδε γενομένω τὰ πρὸς τοὺς θεοὺς οὐκ ἀκροατήρια συνεκροτεῖτον οὐδ' ὥσπερ οἱ σοφοὶ δι' εἰκόνων καὶ μύθων τοῖς φίλοις συνεγιγνέσθον· λέγεται γὰρ ὑπ' Εὐριπίδου καλῶς B

Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ·

σκιαγραφίας γάρ φησι τὸν ψευδῆ καὶ ἄδικον δεῖσθαι. τίς οὖν ὁ τρόπος αὐτοῖς τῆς συνουσίας ἐγίνετο; τῶν λόγων ἡγεῖτο τὰ ἔργα, καὶ οἱ τὴν πενίαν τιμῶντες αὐτοὶ πρῶτοι ἐφαίνοντο καὶ τῶν πατρῴων χρημάτων ὑπεριδόντες, οἱ τὴν ἀτυφίαν ἀσπασάμενοι

Cob., ut 304 A, πᾶσαι v, quo servato Pet. οὐκ ante εἰσὶν adjecit. Ita similis exsistit oratio ei, quae 81 A legitur 1 Εὐριπίδης] Bacch. 370 3 πότνα Rsk. ex Euripide] πότνια 5 τὰ σμικρὰ Rsk.] σμικρὰ | θεοῖς] ἀνθρώποις V, sed eadem manus supra scripsit θεοῖς 7 μὰ H] νὴ 8 ἐστὶν V] ἐστὶ 9 γιγνώσκων H] διδάσκων 12 ἁγιστείαις V] ἀγιστείαις 14 συνεκροτεῖτον Rsk.] συνεκροτεῖτο. Sed et mihi et Cobeto scripsisse videtur Iulianus συνεκροτείτην et συνεγιγνέσθην 16 Εὐριπίδου] Phoen. 472 19 αὐτοῖς] αὐτῆς pet. 21 πρῶτοι Rsk. et Cob.] πρῶτον | ἐφαίνοντο] φαίνονται H

C πρῶτοι τὴν εὐτέλειαν ἤσκουν διὰ πάντων, οἱ τὸ
τραγικὸν καὶ σοβαρὸν ἐκ τῶν ἀλλοτρίων ἐξαιροῦντες
βίων ᾤκουν αὐτοὶ πρῶτοι τὰς ἀγορὰς ἢ τὰ τῶν
θεῶν τεμένη, τῇ τρυφῇ δὲ καὶ πρὸ τῶν ῥημάτων
διὰ τῶν ἔργων ἐπολέμουν, ἔργοις ἐλέγχοντες, οὐ
λόγῳ βοῶντες, ὅτι τῷ Διὶ συμβασιλεύειν ἔξεστιν
οὐδενὸς ἢ σμικρῶν πάνυ δεόμενον οὐδὲ παρενοχλού-
μενον ὑπὸ τοῦ σώματος, ἐπετίμων δὲ τοῖς ἁμαρτά-
νουσιν, ἡνίκα ἔζων οἱ πταίσαντες, οὐκ ἀποθανόντας
D ἐβλασφήμουν, ἡνίκα καὶ τῶν ἐχθρῶν οἱ μετριώτεροι
σπένδονται τοῖς ἀπελθοῦσιν. ἔχει δὲ ὅ γε ἀληθινὸς
κύων ἐχθρὸν οὐδένα, κἂν τὸ σωμάτιον αὐτοῦ τις
πατάξῃ, κἂν τοὔνομα περιέλκῃ, κἂν λοιδορῆται καὶ
βλασφημῇ, διότι τὸ μὲν τῆς ἔχθρας γίνεται πρὸς
ἀντίπαλον, τὸ δὲ ὑπερβαῖνον τὴν πρὸς ἕτερον ἅμιλ-
215 λαν εὐνοίᾳ τιμᾶσθαι φιλεῖ· κἂν τις ἑτέρως ἔχῃ
πρὸς αὐτόν, καθάπερ οἶμαι πολλοὶ πρὸς τοὺς θεούς,
ἐκείνῳ μὲν οὐκ ἔστιν ἐχθρός, οὐδὲ γὰρ βλαβερός,
αὐτὸς δὲ αὑτῷ βαρύτατον ἐπιθεὶς τίμημα τὴν τοῦ
κρείττονος ἄγνοιαν ἔρημος λείπεται τῆς ἐκείνου προ-
στασίας.

Ἀλλ' εἰ μὲν νῦν μοι προύκειτο περὶ Κυνισμοῦ
γράφειν, εἶπον ἂν ὑπὲρ τούτων ἔτι τὰ παριστάμενά
B μοι τῶν εἰρημένων ἴσως οὐκ ἐλάττω· νῦν δὲ ἀπο-
διδόντες τὸ συνεχὲς τῇ προαιρέσει περὶ τοῦ ποτα-
ποὺς εἶναι χρὴ τοὺς πλαττομένους τῶν μύθων ἐφεξῆς

6 ἔξεστιν V] ἔξεστι 9 παίσαντες pet. 10 μετριώτεροι H] μετριώτατοι 11 ἀπελθοῦσιν V] ἀπελθοῦσι 17 τοὺς om. pet. 19 Malim ἐπιτιθεὶς 20 λείπεται om. pet. 25 τῇ προαιρέσει (β) τὸ συνεχὲς (α) V | ποταποὺς Cob.] ποδαποὺς 26 τῶν μύθων H et Cob.] τὸν μῦθον

σκοπῶμεν. ἴσως δὲ ἡγεῖται καὶ ταύτης τῆς ἐγχειρήσεως ἐκείνη, ὁποίᾳ τινὶ φιλοσοφίᾳ προσῆκον ἡ μυθογραφία. φαίνονται γὰρ πολλοὶ καὶ τῶν φιλοσόφων αὐτὸ καὶ τῶν θεολόγων ποιήσαντες, ὥσπερ Ὀρφεὺς μὲν ὁ παλαιότατος ἐνθέως φιλοσοφήσας, οὐκ ὀλίγοι δὲ καὶ τῶν μετ᾽ ἐκεῖνον· οὐ μὴν ἀλλὰ καὶ Ξενοφῶν C φαίνεται καὶ Ἀντισθένης καὶ Πλάτων προσχρησάμενοι πολλαχοῦ τοῖς μύθοις, ὥσθ᾽ ἡμῖν πέφηνεν, εἰ καὶ μὴ τῷ Κυνικῷ, φιλοσόφῳ γοῦν τινι προσήκειν ἡ μυθογραφία. μικρὰ οὖν ὑπὲρ τῶν τῆς φιλοσοφίας εἴτε μορίων εἴτε ὀργάνων ......· ἔστι γὰρ οὐ μέγα τὸ διαφέρον ὁποτέρως ἄν τις τῷ τε ἠθικῷ καὶ τῷ φυσικῷ τὸ λογικὸν προσαριθμῇ· ἀναγκαῖον γὰρ D ὁμοίως φαίνεται κατ᾽ ἀμφότερα. τριῶν δὴ τούτων αὖθις ἕκαστον εἰς τρία τέμνεται, τὸ μὲν φυσικὸν εἰς τὸ θεολογικὸν καὶ τὸ περὶ τὰ μαθήματα καὶ τρίτον τὸ περὶ τὴν τῶν γινομένων καὶ ἀπολλυμένων καὶ τῶν ἀιδίων μέν, σωμάτων δὲ ὅμως θεωρίαν, τί τὸ εἶναι αὐτοῖς καὶ τίς ἡ οὐσία ἑκάστου· τοῦ πρακτικοῦ δὲ τὸ μὲν πρὸς ἕνα ἄνδρα, ἠθικόν, οἰκονομικὸν δὲ τὸ περὶ μίαν οἰκίαν, πολιτικὸν δὲ τὸ περὶ πόλιν· ἔτι μέντοι τοῦ λογικοῦ τὸ μὲν ἀποδεικτικὸν διὰ τῶν ἀληθῶν, τὸ δὲ διὰ τῶν ἐνδόξων βια- 216 στικόν, τὸ δὲ διὰ τῶν φαινομένων ἐνδόξων παραλογιστικόν. ὄντων δὴ τοσούτων τῶν τῆς φιλοσοφίας

2 προσῆκον H] προσῆκεν v, προσήκει Cob. vid. ad 128 B 5 οὐκ ὀλίγοι V] ὀλίγοι 8 et 9 πέφηνεν, εἰ καὶ μὴ H] πέφηνε, καὶ εἰ μὴ 11 „Post ὀργάνων verbum deest, e. c. προρρητέον aut προεξηγητέον vel simile quid.“ Rsk. Lacunae igitur signum posuimus 12 τῷ τε ἠθικῷ] τῷ πρακτικῷ H 17 τρίτον τὸ H] τὸ τρίτον v, τὸ τρίτον, τὸ Rsk. | γινομένων V] γιγνομένων 19 „Post εἶναι videtur καθόλου aut πᾶσιν deesse.“ Rsk. 22 μέντοι] μὲν pet.

μερῶν, εἰ μή τί με λέληθε· καὶ οὐδὲν θαυμαστὸν ἄνδρα στρατιώτην μὴ λίαν ἐξακριβοῦν μηδ᾽ ἐξονυχίζειν τὰ τοιαῦτα, ἅτε οὐκ ἐκ βιβλίων ἀσκήσεως, ἀπὸ δὲ τῆς προστυχούσης αὐτὰ ἕξεως ἀποφθεγγόμενον· ἔσεσθε γοῦν μοι καὶ ὑμεῖς μάρτυρες, εἰ τὰς ἡμέρας λογίσεσθε, πόσαι [καὶ] τινές εἰσιν αἱ μεταξὺ
B ταύτης τε καὶ τῆς ἔναγχος ἡμῖν γενομένης ἀκροάσεως ὅσων τε ἡμῖν ἀσχολιῶν πλήρεις· ἀλλ᾽, ὅπερ ἔφην, εἰ καί τι παραλέλειπται παρ᾽ ἐμοῦ· καίτοι νομίζω γε μηδὲν ἐνδεῖν· πλὴν ὁ προστιθεὶς οὐκ ἐχθρός, ἀλλὰ φίλος ἔσται. τούτων δὴ τῶν μερῶν οὔτε τῷ λογικῷ προσήκει τῆς μυθογραφίας οὔτε τῷ φυσικῷ οὔτε τῷ μαθηματικῷ, μόνον δέ, εἴπερ ἄρα, τοῦ πρακτικοῦ τῷ πρὸς ἕνα γινομένῳ καὶ τοῦ θεολογικοῦ
C τῷ τελεστικῷ καὶ μυστικῷ· φιλεῖ γὰρ ἡ φύσις κρύπτεσθαι, καὶ το ἀποκεκρυμμένον τῆς τῶν θεῶν οὐσίας οὐκ ἀνέχεται γυμνοῖς εἰς ἀκαθάρτους ἀκοὰς ῥίπτεσθαι ῥήμασιν. ὅπερ δὲ δὴ τῶν χαρακτήρων ἡ ἀπόρρητος φύσις ὠφελεῖν πέφυκε καὶ ἀγνοουμένη· θεραπεύει γοῦν οὐ ψυχὰς μόνον, ἀλλὰ καὶ σώματα, καὶ θεῶν ποιεῖ παρουσίας· τοῦτ᾽ οἶμαι πολλάκις γίγνεσθαι καὶ διὰ τῶν μύθων, ὅταν εἰς τὰς τῶν πολ-
D λῶν ἀκοὰς οὐ δυναμένας τὰ θεῖα καθαρῶς δέξασθαι δι᾽ αἰνιγμάτων αὐτοῖς μετὰ τῆς μύθων σκηνοποιίας ἐγχέηται. φανεροῦ δὲ ἤδη γενομένου τίνι καὶ ποίῳ φιλοσοφίας εἴδει καὶ μυθογραφεῖν ἔσθ᾽ ὅτε (προσή-

6 λογίσαισθε Cob. | καὶ inclusit H 12 et 13 τοῦ φυσικοῦ τῷ μαθηματικῷ H 15 φιλεῖ κρύπτεσθαι] Cf. Themist. p. 69 B 18 ῥήμασιν V] ῥήμασι 21 τοῦτ᾽ V] τοῦτο 21 γίγνεσθαι V] γίνεσθαι 23 οὐ δυναμένας Rsk. et H] οὐ δυνα.... V, ... ὄν δυνα ... pet., οὐ δυνάμενα Pet. spanh. 24 αὐτοῖς] αὐτὰ Rsk. 26 ἔσθ᾽ ὅτε προσήκει Rsk. et Horke-

κει)· προς γὰρ τῷ λόγῳ μαρτυρεῖ τούτοις ἡ τῶν προλαβόντων ἀνδρῶν προαίρεσις. ἐπεὶ καὶ Πλάτωνι πολλὰ μεμυθολόγηται περὶ τῶν ἐν ᾅδου πραγμάτων θεολογοῦντι καὶ πρό γε τούτου τῷ τῆς Καλλιόπης, Ἀντισθένει δὲ καὶ Ξενοφῶντι καὶ αὐτῷ Πλάτωνι 217 *πραγματευομένοις ἠθικάς τινας ὑποθέσεις οὐ παρέργως, ἀλλὰ μετά τινος ἐμμελείας ἡ τῶν μύθων ἐγκαταμέμικται γραφή, οὓς ἐχρῆν, εἴπερ ἐβούλου, μιμούμενον ἀντὶ μὲν Ἡρακλέους μεταλαμβάνειν Περσέως ἢ Θησέως τινὸς ὄνομα καὶ τὸν Ἀντισθένειον τύπον ἐγχαράττειν, ἀντὶ δὲ τῆς Προδίκου σκηνοποιίας ἀμφὶ τοῖν ἀμφοῖν τούτοιν θεοῖν ἑτέραν ὁμοίαν εἰσάγειν* B *εἰς τὸ θέατρον.*

Ἐπεὶ δὲ καὶ τῶν τελεστικῶν μύθων ἐπεμνήσθην, φέρε νῦν ὁποίους εἶναι χρὴ τοὺς ἑκατέρῳ τῶν μερῶν ἁρμόττοντας αὐτοὶ καθ' ἑαυτοὺς ἰδεῖν πειραθῶμεν, οὐκέτι μαρτύρων παλαιῶν ἐν πᾶσι προσδεόμενοι, ἑπόμενοι δὲ νέοις ἴχνεσιν ἀνδρός, ὃν ἐγὼ μετὰ τοὺς θεοὺς ἐξ ἴσης Ἀριστοτέλει καὶ Πλάτωνι C *ἄγαμαί (τε) τέθηπά τε. φησὶ δὲ οὐχ ὑπὲρ πάντων οὗτος, ἀλλ' ὑπὲρ τῶν τελεστικῶν, οὓς παρέδωκεν ἡμῖν Ὀρφεὺς ὁ τὰς ἁγιωτάτας τελετὰς καταστησάμενος. τὸ γὰρ ἐν τοῖς μύθοις ἀπεμφαῖνον αὐτῷ τούτῳ προοδοποιεῖ πρὸς τὴν ἀλήθειαν. ὅσῳ γὰρ μᾶλλον παράδοξόν ἐστι καὶ τερατῶδές τὸ αἴνιγμα, τοσούτῳ μᾶλλον ἔοικε διαμαρτύρεσθαι, μὴ τοῖς αὐτό-*

lius] *ἔσθ' ὅτε* .... v; in V nullum est lacunae indicium. Desse vero etiam apodosin animadvertit Rsk. 1 *μάρτυρι* pet. 7 *ἐμμελείας* V] *ἐπιμελείας* 8 *οὓς ἐχρῆν*] *οὓς σ' ἐχρῆν* H | *μιμούμενον* H] *μιμούμενος* 9 *Ἡρακλέους* H et Cob.] *Ἡρακλέος* 11 et 12 *ἀμφὶ τοῖν ἀμφοῖν* V] *ἀμφοῖν* 20 *τε* post *ἄγαμαι* add. Cob. coll. Odyss. ζ, 168

θεν λεγομένοις πιστεύειν, ἀλλὰ τὰ λεληθότα περι-
D εργάζεσθαι καὶ μὴ πρότερον ἀφίστασθαι, πρὶν ἂν ὑπὸ θεοῖς ἡγεμόσιν ἐκφανῆ γενόμενα τὸν ἐν ἡμῖν τελέσῃ, μᾶλλον δὲ τελειώσῃ νοῦν καὶ εἴ δή τι κρεῖττον ἡμῖν ὑπάρχει τοῦ νοῦ, αὐτοῦ τοῦ ἑνὸς καὶ τἀγαθοῦ μοῖρά τις ὀλίγη τὸ πᾶν ἀμερίστως ἔχουσα, τῆς ψυχῆς πλήρωμα καὶ ἐν τῷ ἑνὶ καὶ ἀγαθῷ συνεχουσα πᾶσαν αὐτὴν διὰ τῆς ὑπερεχούσης καὶ χωριστῆς αὐτοῦ καὶ ἐξῃρημένης παρουσίας. ἀλλὰ ταῦτα μὲν ἀμφὶ τὸν μέγαν Διόνυσον οὐκ οἶδ' ὅπως ἐπῆλθέ
218 μοι βακχεύοντι μανῆναι· τὸν βοῦν δὲ ἐπιτίθημι τῇ γλώττῃ· περὶ τῶν ἀρρήτων γὰρ οὐδὲν χρὴ λέγειν. ἀλλά μοι θεοὶ μὲν ἐκείνων καὶ ὑμῶν δὲ τοῖς πολλοῖς, ὅσοι τέως ἐστὲ τούτων ἀμύητοι, τὴν ὄνησιν δοῖεν. ὑπὲρ δὲ ὧν εἰπεῖν τε καὶ ἀκοῦσαι θέμις καὶ ἀνεμέσητον ἀμφοτέροις ἐστί, πᾶς λόγος ὁ προφερόμενος ἔκ τε λέξεως καὶ διανοίας σύγκειται. οὐκοῦν ἐπειδὴ καὶ ὁ μῦθος λόγος τίς ἐστιν, ἐκ δυοῖν τούτοιν
B συγκείσεται. σκοπῶμεν δὲ ἑκάτερον αὐτῶν. ἔστιν ἁπλῆ τις ἐν λόγῳ παντὶ διάνοια, καὶ μέντοι καὶ κατὰ σχῆμα προάγεται, τὰ παραδείγματα δὲ ἀμφοῖν ἐστι πολλά. τὸ μὲν οὖν ἓν ἁπλοῦν ἐστι καὶ οὐδὲν δεῖται ποικιλίας, τὸ δ' ἐσχηματισμένον ἔχει διαφορὰς ἐν ἑαυτῷ πολλάς, ὧν, εἴ τί σοι τῆς ῥητορικῆς ἐμέλησεν, οὐκ ἀξύνετος εἶ. τούτων δὴ τῶν κατὰ διάνοιαν σχημάτων ἁρμόττει τῷ μύθῳ τὰ πλεῖστα· πλὴν ἔμοιγε οὔθ' ὑπὲρ τῶν πολλῶν οὔθ' ὑπὲρ τῶν ἀπάν-

1 λεγομένοις Rsk. et Cob.] γενομένοις 8 χωριστῆς Pet. spanh.] χωρὶς τῆς V pet. 9 αὐτ . . V (οὗ an ῆς sub macula lateat non liquet) 12 οὐδὲν] οὐ pet. 13 ὑμῶν δὲ V] ὑμῶν 18 ἔστιν V] ἐστι 23 δ' V] δὲ 24 ἐμέλησεν V] ἐμέλησε 27 οὔθ' — οὔθ' H] οὐδ' — οὐδ'

των ἐστὶ τά γε νῦν ῥητέον, ἀλλ' ὑπὲρ δυοῖν, τοῦ τε σεμνοῦ κατὰ τὴν διάνοιαν καὶ τοῦ ἀπεμφαίνοντος. C τὰ δὲ αὐτὰ ταῦτα καὶ περὶ τὴν λέξιν γίνεται. μορφοῦται γάρ πως καὶ σχηματίζεται παρὰ τῶν μὴ προφερομένων εἰκῇ μηδ' ὥσπερ χειμάρρους ἑλκόντων συρφετοὺς ῥημάτων ἐκ τῆς τριόδου· ἀλλὰ τοῖν δυοῖν τούτοιν, ὅταν μὲν ὑπὲρ τῶν θείων πλάττωμεν, σεμνὰ χρὴ πάνυ τὰ ῥήματα εἶναι καὶ τὴν λέξιν ὡς ἔνι μάλιστα σώφρονα καὶ καλὴν καὶ τοῖς θεοῖς πρεπωδεστάτην, τῶν αἰσχρῶν δὲ μηδὲν καὶ βλασφήμων ἢ D δυσσεβῶν, ὅπως μὴ τῷ πλήθει τῆς τοιαύτης ἀρχηγοὶ θρασύτητος γενώμεθα, μᾶλλον δὲ καὶ πρὸ τοῦ πλήθους αὐτοὶ τὸ περὶ τοὺς θεοὺς ἠσεβηκέναι προλάβωμεν. οὐδὲν (οὖν) ἀπεμφαῖνον εἶναι χρὴ περὶ τὰς τοιαύτας λέξεις, ἀλλὰ σεμνὰ πάντα καὶ καλὰ καὶ μεγαλοπρεπῆ καὶ θεῖα καὶ καθαρὰ καὶ τῆς τῶν θεῶν οὐσίας εἰς δύναμιν ἐστοχασμένα· τὸ δὲ κατὰ τὴν 219 διάνοιαν ἀπεμφαῖνον (τοῦ) χρησίμου γιγνόμενον χάριν ἐγκριτέον, ὡς ἂν μή τινος ὑπομνήσεως ἔξωθεν οἱ ἄνθρωποι δεόμενοι, ἀλλ' ὑπὸ τῶν ἐν αὐτῷ λεγομένων τῷ μύθῳ διδασκόμενοι τὸ λανθάνον μῶσθαι καὶ πολυπραγμονεῖν ὑφ' ἡγεμόσι τοῖς θεοῖς προθυμηθεῖεν. ἰδοῦ γὰρ ἔγωγε πολλῶν ἤκουσα λεγόντων ἄνθρωπον μὲν τὸν Διόνυσον, ἐπείπερ ἐκ Σεμέλης ἐγένετο, θεὸν δὲ διὰ θεουργίας καὶ τελεστικῆς, B ὥσπερ τὸν δεσπότην Ἡρακλέα διὰ τῆς βασιλικῆς ἀρετῆς εἰς τὸν Ὄλυμπον ὑπὸ τοῦ πατρὸς ἀνῆχθαι τοῦ Διός. ἀλλ' ὦ τάν, εἶπον, οὐ ξυνίετε τοῦ μύθου

8 ἐνὶ pet. 9 καλὴν καὶ H] καλὴν εἶναι 10 μηδὲν H] μηθὲν 14 οὖν add. H 18 τοῦ add. Rsk. 21 μῶσθαι V et Suidas v. μῶσθαι, ubi verba τὸ λανθάνον — πολυπραγμονεῖν afferuntur, μ..σθαι pet., μυοῦσθαι spanh.

φανερῶς αἰνιττομένου. ποῦ γὰρ ἡ γένεσίς ἐστιν ὥσπερ Ἡρακλέους, οὕτω δὲ καὶ Διονύσου, ἔχουσα μὲν τὸ κρεῖττον καὶ ὑπερέχον καὶ ἐξῃρημένον, ἐν τῷ μετρίῳ δὲ ὅμως ἔτι τῆς ἀνθρωπίνης φύσεως
C μένουσα καί πως ἀφομοιουμένη πρὸς ἡμᾶς; Ἡρακλῆς δὲ λέγεται παιδίον γενέσθαι καὶ κατὰ μικρὸν αὐτῷ τὸ σῶμα τὸ θεῖον ἐπιδοῦναι, καὶ φοιτῆσαι διδασκάλοις ἱστόρηται, καὶ στρατεύσασθαι λέγεται καὶ κρατῆσαι πάντων, καμεῖν δὲ ὅμως καὶ τὸ σῶμα. καίτοι αὐτῷ ταῦτα μὲν ὑπῆρξε, μειζόνως δὲ ἢ κατ' ἄνθρωπον. ὅτε γὰρ ἐν τοῖς σπαργάνοις ἀποπνίγων τοὺς δράκοντας καὶ πρὸς αὐτὰ παραταττόμενος τὰ
D τῆς φύσεως στοιχεῖα, θάλπη καὶ κρυμούς, εἶτα τοῖς ἀπορωτάτοις καὶ ἀμαχωτάτοις, ἐνδείᾳ λέγω τροφῆς καὶ ἐρημίᾳ, καὶ τὴν δι' αὐτοῦ πορείαν οἶμαι τοῦ πελάγους ἐπὶ τῆς χρυσῆς κύλικος, ἣν ἐγὼ νομίζω μὰ τοὺς θεοὺς οὐ κύλικα εἶναι, βαδίσαι δὲ αὐτὸν ὡς ἐπὶ ξηρᾶς τῆς θαλάττης νενόμικα. τί γὰρ ἄπορον ἦν Ἡρακλεῖ; τί δ' οὐχ ὑπήκουσεν αὐτοῦ τῷ θείῳ καὶ καθαρωτάτῳ σώματι, τῶν λεγομένων τούτων στοιχείων δουλευόντων αὐτοῦ τῇ δημιουργικῇ καὶ
220 τελεσιουργῷ τοῦ ἀχράντου καὶ καθαροῦ νοῦ δυνάμει; ὃν ὁ μέγας Ζεὺς διὰ τῆς Προνοίας Ἀθηνᾶς, ἐπιστήσας αὐτῷ φύλακα τὴν θεὸν ταύτην, ὅλην ἐξ ὅλου προέμενος αὐτοῦ, τῷ κόσμῳ σωτῆρα ἐφύτευσεν, εἶτ' ἐπανήγαγε διὰ τοῦ κεραυνίου πυρὸς πρὸς ἑαυτόν, ὑπὸ τῷ θείῳ συνθήματι τῆς αἰθερίας αὐγῆς ἥκειν

1 ποῦ Rsk. et H] ὅπου 2 Ἡρακλέους H] Ἡρακλέος 5 Ἡρακλῆς] Ante hoc nomen lacunae signum est in pet. 9 καὶ] κατὰ H 10 κατὰ V 11 ὅτε γαρ] In hoc loco nonnulla aut corrupta aut mutila esse Rsk. annotavit 17 μὰ H] νή. vid. ad 212 B 25 αὐτοῦ H] αὐτοῦ | εἶτα V

παρ' ἑαυτὸν τῷ παιδὶ κελεύσας. ἀλλ' ὑπὲρ μὲν τούτων ἐμοί τε καὶ ὑμῖν ἵλεως Ἡρακλῆς εἴη. τὰ δὲ [ὑπὲρ] τῆς Διονύσου θρυλουμένης μὲν γενέσεως, οὔσης δὲ οὐ γενέσεως, ἀλλὰ δαιμονίας ἐκφάνσεως B κατὰ τί τοῖς ἀνθρωπικοῖς προσέοικεν; ἡ μήτηρ αὐτὸν· κύουσα, φασίν, ὑπὸ τῆς Ἥρας ζηλοτυπούσης ἐξαπατηθεῖσα τὸν ἐραστὴν ἐξελιπάρησεν ἥκειν, ὡς παρὰ τὴν γαμετὴν εἴωθε φοιτᾶν, πρὸς ἑαυτήν· εἶτα οὐκ ἀνασχόμενον τὸ δωμάτιον ἓν τῶν κτημάτων τοῦ Διὸς ὑπὸ τοῦ κεραυνοῦ κατεφλέγετο. πάντων δ' ὁμοῦ πυρουμένων, Ἑρμῇ κελεύσας ὁ Ζεὺς ἁρπάσαι τὸν Διόνυσον καὶ τεμὼν τὸν αὐτοῦ μηρὸν ἐρράπτει· εἶτα ἐκεῖθεν, ἡνίκα ἐτελεσφορήθη τὸ βρέφος, ὠδίνων C ὁ Ζεὺς ἐπὶ τὰς νύμφας ἔρχεται· τὸ Λῦθι ῥάμμα δὲ αὗται τῷ μηρῷ προσεπᾴδουσαι τὸν διθύραμβον ἡμῖν εἰς φῶς προήγαγον· εἶτα ἐμάνη, φασίν, ὁ θεὸς ὑπὸ τῆς Ἥρας, ἔπαυσε δ' αὐτῷ τὴν νόσον ἡ Μήτηρ τῶν θεῶν, ὁ δὲ ἦν αὐτίκα θεός. εἵποντο γοῦν οὐ Λίχας αὐτῷ καθάπερ Ἡρακλεῖ οὐδὲ Ἰόλεως οὐδὲ Τελαμὼν οὐδ' Ὕλας οὐδ' Ἄβδηρος, ἀλλὰ Σάτυροι καὶ Βακχαὶ D καὶ Πᾶνες καὶ δαιμόνων στρατιά. ὁρᾷς ὅπως ἀν-

2 ἐμοί τε V] ἔμοιγε | ἵλεως ἡρακλῆς V] Ἡρακλῆς ἵλεως 3 ὑπὲρ inclusit H | θρυλουμένης H] θρυλλουμένης 5 κατὰ τί H] κατά τι 6 φασὶν V] φασὶ 9 τὸ σωμάτιον ἓν τῶν κτυπημάτων B. Friederich, quod ita probandum videtur, ut ἓν expungatur, τὸ δωμάτιον ἓν κτύπημα τῶν Rsk. 12 τὸν αὐτοῦ (sic H pro τὸν αὐτοῦ) μηρὸν] ..... pet. | ἐρράπτει Cob.] ..ράπτει V, ῥάπτει v 14 νύμφας ἔρχεται] .... pet. | λῦθι ῥάμμα Schneiderus in Lexico Gr. v. διθύραμμα coll. Etymol. M. p. 274 (Cf. Bergk. ad Pindari fragm. 62); λιθύραμμα V et pet., διθύραμμα spanh. 15 αὗται V] αὐταὶ | διθύραμβον ἡμῖν] .... pet. spanh. 16 φασίν H] φησίν 17 δ' αὐτῷ V] δὲ αὐτῷ 18 οὐ Λίχας H] οὐ ναῦς V spanh., ...αῦς pet. 19 οὐδὲ Ἰόλεως Cob.] οὐδὲ ἰλεὸς V, οὐδ' Ὕλας pet. spanh. | οὐδὲ Τελαμὼν H] οὐδ' ὁ Τελαμὼν 20 οὐδ' Ὕλας Cob] οὐδ' ὕλλας V, οὐδ' ὁ Αἴας v | σάτυροι V\ Σάτυρος

θρωπικὴ μὲν ἡ σπορὰ διὰ τῶν κεραυνίων, ἡ δ' ἀποκύησις ἀνθρωπικωτέρα, ἀμφοῖν δὲ τοῖν εἰρημένοιν προσομοιότερα τοῖς ἀνθρωπίνοις τὰ ἔργα; τί οὖν οὐ καταβάλλοντες τὸν λῆρον ἐκεῖνο πρῶτον ὑπὲρ τούτων ἴσμεν, ὡς Σεμέλη σοφὴ τὰ θεῖα; παῖς γὰρ ἦν Κάδμου τοῦ Φοίνικος, τούτοις δὲ καὶ ὁ θεὸς σοφίαν μαρτυρεῖ

Πολλὰς καὶ Φοίνικες ὁδοὺς μακάρων ἐδάησαν

221 *λέγων. αἰσθέσθαι οὖν μοι δοκεῖ τοῦ θεοῦ τούτου πρώτη παρ' Ἕλλησι καὶ τὴν ἐσομένην ἐπιφάνειαν αὐτοῦ οὐκ εἰς μακρὰν προαγορεύσασα κινῆσαι μὲν θᾶττον, ἢ προσῆκον ἦν, τινὰ τῶν περὶ αὐτὸν ὀργίων, οὐκ ἀνασχομένη τὸν εἱμαρμένον περιμεῖναι χρόνον, εἶτα ἀναλωθῆναι πρὸς τοῦ πυρὸς τοῦ ῥυέντος ἐπ' αὐτήν. ἐπεὶ δὲ ἐδέδοκτο τῷ Διὶ κοινῇ πᾶσιν ἀνθρώποις ἐνδοῦναι ἀρχὴν καταστάσεως ἑτέρας καὶ μεταβάλλειν αὐτοὺς ἐκ τοῦ νομαδικοῦ βίου πρὸς τὸν*
B *ἡμερώτερον, ἐξ Ἰνδῶν ὁ Διόνυσος αὔτοπτος ἐφαίνετο δαίμων, ἐπιφοιτῶν τὰς πόλεις, ἄγων μεθ' ἑαυτοῦ στρατιὰν πολλὴν δαιμονίων τινὰ καὶ διδοὺς ἀνθρώποις κοινῇ μὲν ἅπασι σύμβολον τῆς ἐπιφανείας αὐτοῦ τὸ τῆς ἡμερίδος φυτόν, ὑφ' οὗ μοι δοκοῦσιν, ἐξημερωθέντων αὐτοῖς τῶν περὶ τὸν βίον, Ἕλληνες τῆς ἐπωνυμίας αὐτὸ ταύτης ἀξιῶσαι, μητέρα δ' αὐτοῦ προσειπεῖν τὴν Σεμέλην διὰ τὴν πρόρρησιν, ἄλλως*
C *τε καὶ τοῦ θεοῦ τιμῶντος αὐτήν, ἅτε πρώτην ἱερόφαντιν τῆς ἔτι μελλούσης ἐπιφοιτήσεως. οὔσης δέ, ὡς ἄν τις ἀκριβῶς σκοπῶν ἐξετάσειε, τῆς ἱστορίας*

17 Malim *μεταβαλεῖν* 18 *ἡμερώτατον* pet. 20 *τινα* aut post *πολλὴν* transponam aut *τινῶν* scribam 24 *δ' αὐτοῦ V] δὲ αὐτοῦ* 26 *ἱεροφάντιν* V pet. 28 *ἐξετάσειε* H]

τοιαύτης, οἳ τὸν Διόνυσον ὅστις ποτ᾽ ἐστὶ θεῶν ζητοῦντες τἀληθὲς ἔχον ὡς ἔφην εἰς μῦθον διεσκεύασαν, αἰνιττόμενοι τήν τε οὐσίαν τοῦ θεοῦ καὶ τὴν ἐν τοῖς νοητοῖς παρὰ τῷ πατρὶ κύησιν καὶ τὸν ἀγέννητον αὐτοῦ τόκον ἐν τῷ κόσμῳ . . . . ἐν τῷ παντί, καὶ τἆλλα ἐφεξῆς ὅσα τοῦ ζητεῖν ἦν . . . . . τυχὸν μὲν καὶ διὰ τὸ ἀγνοεῖν ἔτι περὶ αὐτῶν τὸ D ἀκριβές, τυχὸν δὲ καὶ οὐκ ἐθέλοντι τὸν κρύφιον ἅμα καὶ φανερὸν θεὸν ὥσπερ ἐν θεάτρῳ προβάλλειν ἀκοαῖς ἀνεξετάστοις καὶ διανοίαις ἐπὶ πάντα μᾶλλον ἢ τὸ φιλοσοφεῖν τετραμμέναις.

Ἀλλ᾽ ὑπὲρ μὲν τούτων ἴστω Διόνυσος αὐτός, ᾧ καὶ προσεύχομαι τάς τε ἐμὰς καὶ τὰς ὑμετέρας ἐκβακχεῦσαι φρένας ἐπὶ τὴν ἀληθῆ τῶν θεῶν γνῶσιν, ὡς ἂν μὴ πολὺν ἀβάκχευτοι χρόνον τῷ θεῷ μένοντες ὁπόσα ὁ Πενθεὺς ἔπαθε πάθωμεν, ἴσως 222 μὲν καὶ ζῶντες, πάντως δὲ ἀπαλλαγέντες τοῦ σώματος. ὅτῳ γὰρ μὴ τὸ πεπληθυσμένον τῆς ζωῆς ὑπὸ τῆς ἑνοειδοῦς καὶ ἐν τῷ μεριστῷ παντελῶς ἀδιαιρέτου ὅλης τε ἐν πᾶσιν ἀμιγοῦς προϋπαρχούσης οὐσίας τοῦ Διονύσου τελεσιουργηθείη διὰ τῆς περὶ τὸν θεὸν ἐνθέου βακχείας, τούτῳ κίνδυνος ἐπὶ πολλὰ ῥυῆναι τὴν ζωήν, ῥυεῖσαν δὲ διεσπάσθαι καὶ διαἐξετάσῃ

1 ποτ᾽ ἐστὶ V] ποτε ἦν 4 κύησιν V] κύουσαν spanh., ἤνυσαν pet. 5 κόσμῳ . . . .] In V haec fere videntur esse κόσμω. . . . . . . κατ . . . γματ . . . . ξιν 6 τἆλλα V pet.] τἄλλα spanh. | ἦν . . . . ῥᾴδιον ἐμοί v, in V videtur esse ἦν ἀξ . . . φράζειν . . . εγρα . . . . ἐμοί. Scripserit Iulianus ἦν ἄξια, φράζειν δέ γ᾽ οὐ ῥᾴδια ἐμοί 8 ἀκριβ . . . pet. | τυχὸν δὲ add. V 9 προβ . . . pet. 10 ἀκοαῖς add. V 11 τετρα . . . . pet. 13 τὰς ὑμετέρας V] ὑμετέρας 17 πάντως δὲ H] πάντως δὲ καὶ 18 Post γὰρ addendum videtur ἂν et 21 τελεσιουργηθῇ scribendum 20 πᾶσιν V] πᾶσι | οὐσίας pro οὔσης emendavit Petavius, recepit spanh., sed post Διονύσου transposuit

σπασθεῖσαν οἴχεσθαι· τὸ δὲ ῥυεῖσαν καὶ διασπα-
B σθεῖσαν μὴ προσέχων τις τοῖς ῥήμασιν ὑδάτιον μηδὲ
λίνου μήρινθον ἀκροάσθω, ξυνιέτω δὲ τὰ λεγόμενα
τρόπον ἄλλον, ὃν Πλάτων, ὃν Πλωτῖνος, ὃν Πορ-
φύριος, ὃν ὁ δαιμόνιος Ἰάμβλιχος. ὃς δ' ἂν μὴ
ταύτῃ ποιῇ, γελάσεται μέν, ἴστω μέντοι Σαρδώνιον
γελῶν ἔρημος ὢν ἀεὶ τῆς τῶν θεῶν γνώσεως, ἧς
ἀντάξιον οὐδὲ τὸ πᾶσαν ὁμοῦ μετὰ τῆς τῶν Ῥωμαίων
C ἐπιτροπεῦσαι τὴν βαρβάρων ἔγωγε θείμην ἄν, οὐ μὰ
τὸν ἐμὸν δεσπότην Ἥλιον. ἀλλά με πάλιν οὐκ οἶδ'
ὅστις θεῶν ἐπὶ ταῦτ' ἐβάκχευσεν οὐ προελόμενον.
οὗ δὲ ἕνεκεν ἔφην αὐτά· κατὰ μὲν τὴν διάνοιαν
ἀπεμφαίνοντες ὅταν οἱ μῦθοι γίγνωνται περὶ τῶν
θείων, αὐτόθεν ἡμῖν ὥσπερ βοῶσι καὶ διαμαρτύρον-
ται μὴ πιστεύειν ἁπλῶς, ἀλλὰ τὸ λεληθὸς σκοπεῖν
καὶ διερευνᾶσθαι. τοσούτῳ δ' ἐστὶ κρεῖττον ἐν τού-
τοις τοῦ σεμνοῦ τὸ ἀπεμφαῖνον, ὅσῳ διὰ μὲν ἐκείνου
D καλοὺς λίαν καὶ μεγάλους καὶ ἀγαθούς, ἀνθρώπους
δὲ ὅμως τοὺς θεοὺς κίνδυνος νομίσαι, διὰ δὲ τῶν
ἀπεμφαινόντων ὑπεριδόντας τῶν ἐν τῷ φανερῷ
λεγομένων ἐπὶ τὴν ἐξῃρημένην αὐτῶν οὐσίαν καὶ
ὑπερέχουσαν πάντα τὰ ὄντα καθαρὰν νόησιν ἐλπὶς
ἀναδραμεῖν.

223 *Αἴτιαι μὲν οὖν αὗται τοῦ τὴν τελεστικὴν καὶ
μυσταγωγὸν φιλοσοφίαν τὰ (μὲν ῥήματα) παντὸς
μᾶλλον εὐαγῆ καὶ σεμνὰ προφέρεσθαι, κατὰ δὲ τὴν
διάνοιαν ἀλλοιοτέραν ποιεῖσθαι τὴν ἐξήγησιν τῶν
τοιούτων. ὁ δὲ τῆς τῶν ἠθῶν ἐπανορθώσεως ἕνεκα

2 προσανέχων Rsk. | ῥήμασιν V] ῥήμασι 11 προελόμενον Cob.] προειδόμενον 13 γίγνωνται V] γίγνονται 13 et 14 τὸ θεῖον V m. pr., τῶν θείων m. s. 20 ὑπεριδόντας V] ὑπεριδόντα 25 τὰ μὲν ῥήματα Cob.] τὰ .... V, ... v

τοὺς λόγους πλάττων καὶ μύθους παράγων πρῶτον τῷ μὴ πρὸς ἄνδρας, ἀλλὰ πρὸς παῖδας ἤτοι καθ' ἡλικίαν ἢ τῷ φρονεῖν, πάντως (δὲ) τῶν λόγων τούτων δεομένους. εἰ μὲν οὖν ἡμεῖς σοι παῖδες ἐφάνημεν B εἴτε ἐγὼ εἴτε Ἀνατόλιος οὑτοσί, συγκαταρίθμει δὲ τούτῳ καὶ τὸν Μεμμόριον καὶ τὸν Σαλούστιον, πρὸς τούτοις δέ, εἰ βούλει, καὶ τοὺς ἄλλους ἑξῆς, Ἀντικύρας σοι δεῖ· τί γὰρ ἂν ἀκκίζοιτό τις; ἐπεὶ πρὸς τῶν θεῶν καὶ πρὸς αὐτοῦ τοῦ μύθου, μᾶλλον δὲ τοῦ κοινῇ πάντων βασιλέως Ἡλίου, τί σοι μέγα ἢ μικρὸν πεποίηται ἔργον; τίνι παρέστης ἀγωνιζομένῳ μετὰ τοῦ δικαίου; τίνα ἐθεράπευσας πενθοῦντα, τῷ λόγῳ διδάξας, ὅτι μὴ κακὸν ὁ θάνατος μήτε τῷ C παθόντι μήτε τοῖς οἰκείοις αὐτοῦ; τίς δ' αἰτιάσεταί σε τῆς ἑαυτοῦ μειρακίσκος σωφροσύνης, ὅτι πεποίηκας αὐτὸν ἐξ ἀσώτου σώφρονα καὶ καλὸν οὐ τὸ σῶμα μόνον, ἀλλὰ πολὺ μᾶλλον τὴν ψυχὴν φαίνεσθαι; τίνα δὲ ἄσκησιν ἐποιήσω τοῦ βίου; τί δέ σοι ἄξιον τῆς Διογένους βακτηρίας ἢ ναὶ μὰ Δία τῆς παρρησίας πεποίηται; ἔργον οἴει μέγα βακτηρίαν λαβεῖν ἢ τρίχας ἀνεῖναι, καὶ περινοστεῖν τὰς πόλεις D καὶ τὰ στρατόπεδα, καὶ τοῖς μὲν βελτίστοις λοιδορεῖσθαι, τοὺς δὲ χειρίστους θεραπεύειν; εἰπὲ πρὸς τοῦ Διὸς καὶ πρὸς τουτωνὶ τῶν ἀκροωμένων, οἳ δι' ὑμᾶς τὴν φιλοσοφίαν ἐκτρέπονται, ἀνθ' ὅτου πρὸς μὲν τὸν μακαρίτην Κωνστάντιον εἰς Ἰταλίαν ἦλθες, οὐκέτι μέντοι καὶ μέχρι τῶν Γαλλιῶν [ἦλθες]; καίτοι πορευθεὶς πρὸς ἡμᾶς, εἰ μηδὲν ἄλλο, ξυνεῖναι γοῦν

1 et 2 πρῶτον τῷ] δράτω τοῦτο H 2 μὴ ἄνδρας V 3 τῷ] τὸ pet. | δὲ add. H 4 δεομένους H] δεόμενος | ἡμεῖς σοι παῖδες V] σοι παῖδες ἡμεῖς 6 Σαλλούστιον spanh. 8 ἀντὶ κύρας V 27 ἦλθες uncis inclusit H

σου τῆς φωνῆς μᾶλλον δυναμένῳ πλησιάζειν ἔμελλες
224 ἀνθρώπῳ. τί δὲ καὶ τὸ περιφοιτᾶν πανταχοῦ καὶ παρέχειν πράγματα ταῖς ἡμιόνοις; ἀκούω δὲ ἔγωγε καὶ τοῖς τὰς ἡμιόνους ἐλαύνουσιν, οἳ μᾶλλον ὑμᾶς ἢ τοὺς στρατιώτας πεφρίκασι· χρῆσθαι γὰρ αὐτοῖς ἀκούω τινὰς ὑμῶν χαλεπώτερον ἢ τοῖς ξίφεσιν ἐκεῖνοι. γίγνεσθε οὖν αὐτοῖς εἰκότως φοβερώτεροι. πάλαι μὲν οὖν ὑμῖν ἐθέμην ἐγὼ τοῦτο τὸ ὄνομα, νυνὶ δὲ
B αὐτὸ ἔοικα καὶ γράψειν. ἀποτακτιστάς τινας ὀνομάζουσιν οἱ δυσσεβεῖς Γαλιλαῖοι· τούτων οἱ πλείους μικρὰ προέμενοι πολλὰ πάνυ, μᾶλλον δὲ τὰ πάντα πανταχόθεν ξυγκομίζουσι, καὶ προσῆν οἶμαι τὸ τιμᾶσθαι καὶ δορυφορεῖσθαι καὶ θεραπεύεσθαι. τοιοῦτόν τι καὶ τὸ ὑμέτερον ἔργον ἐστί, πλὴν ἴσως τοῦ χρηματίζεσθαι. τοῦτο δὲ οὐ παρ' ὑμᾶς γίγνεται, παρ' ἡμᾶς δέ· συνετώτεροι γάρ ἐσμεν τῶν ἀνοήτων ἐκείνων· ἴσως δὲ καὶ διὰ τὸ μηδὲν ὑμῖν εἶναι πρό-
C σχημα τοῦ φορολογεῖν εὐπροσώπως, ὁποῖον ἐκείνοις, ἣν λέγουσιν οὐκ οἶδ' ὅπως ἐλεημοσύνην, τὰ δ' ἄλλα γε πάντα ἐστὶν ὑμῖν τε κἀκείνοις παραπλήσια. καταλελοίπατε τὴν πατρίδα ὥσπερ ἐκεῖνοι, περιφοιτᾶτε πάντῃ καὶ τὸ στρατόπεδον διωχλήσατε μᾶλλον ἐκείνων καὶ ἰταμώτερον· οἱ μὲν γὰρ καλούμενοι, ὑμεῖς δὲ καὶ ἀπελαυνόμενοι. καὶ τί χρηστὸν ἐκ τούτων
D ὑμῖν ἐγένετο, μᾶλλον δὲ καὶ ἡμῖν τοῖς ἄλλοις; ἀνῆλ-

4 ἐλαύνουσιν V] ἐλαύνουσι 5 αὐτοῖς] Oppositionis ratio requirit τοῖς ξύλοις vel simile quidpiam 9 γράψειν Pet.] γράφειν. (Nam γράφειν ad marg. pet. sine dubio est operarum error pro γράψειν.) Futurum supra quoque 174 C restitutum | ἀποτακτιστάς Pet. spanh.] ἀποτακτ... V, ἀποτακτίσας pet. | ὀνομάζουσιν V] ὀνομάζουσι 12 προσῆν οἶμαι] Fort. προσκτῶνται 19 λέγουσιν V] λέγουσι | δ' ἄλλα V] δὲ ἄλλα 20 ἐστὶν V] ἐστὶ 25 ἄλλοις Cob.] ἀνθρώποις

θεν ὁ Ἀσκληπιάδης, εἶτα ὁ Σερηνιανός, εἶτα ὁ Χύτρων, εἶτα οὐκ οἶδα παιδάριον (ὅ,)τι ξανθὸν καὶ εὔμηκες, εἶτα σύ, καὶ μεθ' ὑμῶν ἄλλοι δὶς τοσοῦτοι. τί οὖν ἐκ τῆς ὑμετέρας ἀνίδου γέγονεν ἀγαθόν, ὦ λῷστοι; τίς ᾔσθετο πόλις ἢ τίς ἰδιώτης τῆς ὑμετέρας παρρησίας; οὐκ ἀφρόνως μὲν τὸ ἐξ ἀρχῆς εἵλεσθε τὴν ἐπὶ τὸν οὐδὲ ἰδεῖν ὑμᾶς θέλοντα βασιλέα πορείαν, ἀνελθόντες δὲ ἀφρονέστερον αὐτῇ καὶ ἀμαθέστερον καὶ μανιωδέστερον ἐχρήσασθε, κολακεύσαντες ἅμα καὶ ὑλακτήσαντες καὶ βιβλία δόντες καὶ ταῦτα 225
πραχθῆναι προσλιπαρήσαντες; οὐδένα ὑμῶν οἶμαι ἐγὼ τοσαυτάκις εἰς φιλοσόφου φοιτῆσαι, ὁσάκις εἰς ἀντιγραφέως, ὥστε ὑμῖν Ἀκαδήμεια καὶ Λύκειον ἀντὶ τῆς Ποικίλης τε ἦν τῶν βασιλείων τὰ πρόθυρα. οὐκ ἀπάξετε ταῦτα; οὐ καταβαλεῖτε νῦν γοῦν, εἰ καὶ μὴ πρότερον, ὅτε ὑμῖν οὐδέν ἐστι πλέον ἀπὸ τῆς κόμης καὶ τῆς βακτηρίας; πῶς δὲ καὶ γέγονεν ὑφ' ὑμῶν εὐκαταφρόνητος ἡ φιλοσοφία; τῶν ῥητορικῶν οἱ B
δυσμαθέστατοι καὶ οὐδ' ὑπ' αὐτοῦ τοῦ βασιλέως Ἑρμοῦ τὴν γλῶτταν ἐκκαθαρθῆναι δυνάμενοι, φρενωθῆναι δὲ οὐδὲ πρὸς αὐτῆς τῆς Ἀθηνᾶς σὺν τῷ Ἑρμῇ, τοῦτο ἐκ τῆς ἀγοραίου καὶ περιτρεχούσης ἁρπάσαντες ἐντρεχείας· οὐδὲ γὰρ ἐν παροιμίᾳ περιφερόμενον αὐτο γιγνώσκουσι τὸ ὅτι βότρυς πρὸς βότρυν πεπαίνεται· ὁρμῶσιν ἐπὶ τὸν Κυνισμόν· βακτηρία, τρίβων, κόμη, τὸ ἐντεῦθεν ἀμαθία, θράσος, ἰτα-

2 ὅ,τι H] τι   11 πραχθῆναι] „Fort. προσαχθῆναι, imperatori exhiberi, tradi, ad eum deferri." Rsk.   13 Ἀκαδήμεια H] Ἀκαδημία   16 ἐστι add. V   17 ὑμῶν V] ἡμων   20 φρενωθῆναι V] φανερωθῆναι   26 θράσος, ἰταμότης H] θράσος ......της V, θράσος ... spanh., ... pet.

C μότης καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα. τὴν σύντομον, φασίν, ὁδὸν καὶ σύντονον ἐπὶ τὴν ἀρετὴν ..... ὄφελον καὶ ὑμεῖς τὴν μακρὰν ἐπορεύεσθε· ῥᾷον ἂν δι' ἐκείνης ἢ δ(ιὰ ταύτ)ης ἤλθετε. οὐκ ἴστε, ὅτι μεγάλας ἔχουσιν αἱ σύντομοι τὰς χαλεπότητας; (καὶ) ὥσπερ ἐν ταῖς λεωφόροις ὁ μὲν τὴν σύντομεν ἐλθεῖν δυνηθεὶς ῥᾷον ἐκπερίεισι τὴν κύκλῳ, οὐκέτι μέντοι τὸ ἀνάπαλιν ὁ κύκλῳ πορευθεὶς ἔλθοι ἂν πάντως D καὶ τὴν ἐπίτομον, οὕτω δὲ καὶ ἐν τῇ φιλοσοφίᾳ τέλος τέ ἐστι καὶ ἀρχὴ μία γνῶναί τε ἑαυτὸν καὶ ἀφομοιωθῆναι τοῖς θεοῖς· ἀρχὴ μὲν οὖν ἑαυτὸν γνῶναι, τέλος δὲ ἡ πρὸς τοὺς κρείττονας ὁμοιότης. ὅστις οὖν Κυνικὸς εἶναι ἐθέλει, πάντων ὑπεριδὼν τῶν νομισμάτων καὶ τῶν ἀνθρωπίνων δοξῶν, εἰς ἑαυτὸν καὶ τὸν θεὸν ἐπέστραπται πρότερον. ἐκείνῳ τὸ χρυσίον οὐκ ἔστι χρυσίον, οὐχ ἡ ψάμμος ψάμμος, εἰ πρὸς ἀμοιβήν τις αὐτὰ ἐξετάζοι καὶ τῆς ἀξίας αὐ-
226 τῶν ἐπιτρέψειεν αὐτῷ τιμητῇ γενέσθαι· γῆν γὰρ αὐτὰ οἶδεν ἀμφότερα. τὸ σπανιώτερον δὲ καὶ τὸ ῥᾷον ἀνθρώπων εἶναι κενοδοξίας ταῦτα καὶ ἀμαθίας νενόμικεν ἔργα· τὸ αἰσχρὸν ἢ καλὸν οὐκ ἐν τοῖς ἐπαινουμένοις ἢ ψεγομένοις τίθεται, ἀλλ' ἐν τῇ φύσει· φεύγει τὰς περιττὰς τροφάς· ἀποστρέφεται δὲ τὰ ἀφροδίσια. βιαζομένου δὲ τοῦ σώματος, οὐ δόξῃ προστέτηκεν οὐδὲ περιμένει τὸν μάγειρον καὶ τὰ ὑποτρίμματα καὶ τὴν κνίσσαν, οὐδὲ τὴν Φρύνην οὐδὲ

1 ...... ἁπλῶς V pet., spanh., *καὶ πάντα ἁπλῶς* Horkelius 2 *φασίν* H] *φησίν* | *ἀρετὴν* ..... V pet., *ἀρετὴν εἰσιοῦσιν* spanh. *Πορευόμεθα* vel tale quid scripsit Iulianus 5 *ἔχουσιν οἱ* V, *ἔχουσι οἱ* pet., *ἔχουσι αἱ* Pet. spanh. 5 et 6 *καὶ ὥσπερ* H] ... *ὥσπερ* V, ... *περ* pet., *ὥσπερ* spanh. 10 *ἑαυτὸν* Pet.] *σεαυτὸν* 19 *ῥᾷον* H, *parabilius* interpr. Pet.] *ῥάδιον* 24 *δὲ*] *τε* ?

τὴν Λαΐδα οὐδὲ τὴν τοῦδε περιβλέπεται γαμετην οὐδὲ B τὸ θυγάτριον οὐδὲ τὴν θεράπαιναν· ἀλλ' ὡς ἔνι μάλιστα ἐκ τῶν προστυχόντων ἀποπλήσας τὴν θεραπείαν τοῦ σώματος καὶ τὸ ἐνοχλοῦν ἐξ αὐτοῦ παρωσάμενος, ἄνωθεν ἐκ τῆς Ὀλύμπου κορυφῆς ἐπιβλέπει τοὺς ἄλλους

Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας,

ὑπὲρ ὀλίγων παντάπασιν ἀπολαύσεων ὑπομένοντας ὅσα οὐδὲ παρὰ τὸν Κωκυτὸν καὶ τὸν Ἀχέροντα θρυλοῦσιν οἱ κομψότεροι τῶν ποιητῶν. ἡ σύντομος ὁδός ἐστιν αὕτη. δεῖ γὰρ αὐτὸν ἀθρόως ἐκστῆναι C ἑαυτοῦ καὶ γνῶναι, ὅτι θεῖός ἐστι, καὶ τὸν νοῦν μὲν τὸν ἑαυτοῦ ἀτρύτως καὶ ἀμετακινήτως συνέχειν ἐν τοῖς θείοις καὶ ἀχράντοις καὶ καθαροῖς νοήμασιν, ὀλιγωρεῖν δὲ πάντη τοῦ σώματος καὶ νομίζειν αὐτὸ κατὰ τὸν Ἡράκλειτον κοπρίων ἐκβλητότερον, ἐκ τοῦ ῥᾴστου δὲ αὐτῷ τὰς θεραπείας ἀποπληροῦν, ἕως ἂν ὁ θεὸς ὥσπερ ὀργάνῳ τῷ σώματι χρῆσθαι ἐπιτάττῃ.

Ταῦτα μὲν οὖν . . . . Ἐπανάξω δὲ ὅθεν ἐξέβην. ἐπειδὴ γὰρ τοὺς μύθους προσήκει πρὸς παῖδας ἤτοι τῷ φρονεῖν, κἂν ἄνδρες ὦσιν, ἢ καὶ τοῖς D καθ' ἡλικίαν παιδαρίοις ἀπαγγέλλειν, ἐξεταστέον ὅπως

7 „Versus est Empedocleus apud Karstenium p. 88." Cob. | ἠλάσκοντας pet.] ἠλάσκονται V spanh. 8 παντάπασιν V] παντάπασι 10 θρυλοῦσιν H] θρυλλοῦσιν 13 ἄτρυτον καὶ ἀμετακίνητον pet. 14 νοήμασιν V] νοήμασι 15 αὐτὸν pet. 16 κοπρίων Suidas v. Ἡράκλειτος, ubi hic locus affertur ab ὀλιγωρεῖν πάντη ad ἐπιτάττῃ] κοπ.... V, in pet. et spanh. est lacunae signum | ἐκβλητότερον V et Suid.] ....τερον v 17 αὐτῷ Suid.] αὐτοῦ 17 et 18 ἕως ἂν ὁ θεὸς Suid.] ἕως ἂν ..... V, ..μος v 18 ὥσπερ om. Suid. 19 ταῦτα μὲν οὖν τοιαῦτα, quod suspicabar, non satis explet lacunam | δὲ add. V 20 et 21 πρὸς παῖδας ἤτοι V] πρὸς ... Cf. 223 A et Plat. Gorg. 464 D 21 ὦσιν V] ὦσι 22 ὅπως] ὅπως ἂν H

μήτε εἰς θεοὺς μήτε εἰς ἀνθρώπους [τι] πλημμελὲς ᾖ, καθάπερ ἔναγχος, δυσσεβές τι ῥηθείη· καὶ προσέτι τοῦτο ἐν ἅπασιν ἀκριβῶς βασανιστέον, εἰ πιθανός, εἰ τοῖς πράγμασι προσφυής, εἰ μῦθός ἐστιν ἀληθῶς ὁ πλαττόμενος. ἐπεὶ τό γε νῦν ὑπὸ σοῦ πεποιημένον οὐ μῦθός ἐστι σός, ὡς ἔφης· καίτοι τοῦτό γε ἐνεανιεύσω· ἀλλ' ὁ μὲν μῦθος μῦθός ἐστι παλαιός, ἐφήρ-
227 μοσας δὲ αὐτὸν σὺ πράγμασιν ἑτέροις, ὅπερ οἶμαι ποιεῖν εἰώθασιν οἱ τῇ τροπικῇ χρώμενοι τῶν νοημάτων κατασκευῇ· πολὺς δὲ ἐν τούτοις ὁ Πάριός ἐστι ποιητής. ἔοικας οὖν οὐδὲ πεποιηκὼς μῦθον, ὦ ξυνετώτατε, μάτην νεανιεύεσθαι· καίτοι τοῦτο τίτθης ἔργον ἐστὶν εὐτραπέλου. Πλουτάρχου δὲ εἰ τὰ μυθικὰ διηγήματα τῶν σῶν εἴσω χειρῶν ἀφῖκτο, οὔποτ' ἂν ἐλελήθει σε, τίνι διαφέρει πλάσαι τε ἐξ ἀρχῆς μῦθον καὶ τὸν κείμενον ἐφαρμόσαι πράγμασιν οἰ-
B κείοις. ἀλλ' ἵνα μή σε τὴν σύντομον ὁδεύοντα βίβλοις ἐμβαλὼν μακραῖς καὶ δυσελίκτοις ἐπίσχω μικρὰ καὶ πεδήσω· σὺ δὲ οὐδὲ τὸν Δημοσθένους ἀκήκοας μῦθον, ὃν ἐποίησεν ὁ Παιανιεὺς πρὸς τοὺς Ἀθηναίους, ἡνίκα ὁ Μακεδὼν ἐξῄτει τοὺς Ἀθηναίους ῥήτορας. ἐχρῆν οὖν τι τοιοῦτο πλάσαι· ἢ πρὸς τῶν θεῶν ἔργον ἦν εἰπεῖν μυθάριόν τι τοιοῦτον; ἀναγκάσεις δέ με καὶ μυθοποιὸν γενέσθαι.

C Πλουσίῳ ἀνδρὶ πρόβατα ἦν πολλὰ καὶ ἀγέλαι βοῶν καὶ αἰπόλια πλατέ' αἰγῶν, ἵπποι δὲ αὐτῷ πολλάκις μυρίαι ἕλος κάτα βουκολέοντο, καὶ ποιμένες

1 εἰς τοὺς θεοὺς pet. | τι inclusit H 6 ὡς ἔφης fort. delendum 7 ἐστι om. pet. 9 εἰώθασιν V] εἰώθασι 18 δυσεξελίκτοις Rsk. 21 ἐξῄτει pet. 22 τοιοῦτο V] τοιοῦτον 26 αἰπόλια πλατέ' αἰγῶν] „Iliad. β, 474 λ, 678 Odyss. ξ, 101. 103." Cob. 27 κάτα βουκολέοντο ex Iliad. υ, 221]

δοῦλοί τε καὶ ἐλεύθεροι μισθωτοί, καὶ βουκόλοι βοῶν καὶ αἰγῶν αἰπόλοι καὶ ἱπποφορβοὶ τῶν ἵππων, καὶ πλεῖστα κτήματα. τούτων δὲ αὐτῷ πολλὰ μὲν ὁ πατὴρ ἀπελελοίπει, πολλαπλάσια δὲ αὐτὸς ἐκτήσατο, πλουτεῖν θέλων ἐν δίκῃ τε καὶ παρὰ δίκην· ἔμελε γὰρ αὐτῷ καὶ τῶν θεῶν ὀλίγον. ἐγένοντο δὲ αὐτῷ D γυναῖκες πολλαὶ καὶ (υἱεῖς) ἐξ αὐτῶν καὶ θυγατέρες, οἷς ἐκεῖνος διανείμας τὴν οὐσίαν ἔπειτα ἐτελεύτησεν, οὐδὲν αὐτοὺς οἰκονομίας πέρι διδάξας, οὐδ' ὅπως ἄν τις δύναιτο τὰ τοιαῦτα κτᾶσθαι μὴ παρόντα ἢ παρόντα διαφυλάττειν. ᾤετο γὰρ ὑπὸ ἀμαθίας ἀρκεῖν τὸ πλῆθος, ἐπεὶ καὶ αὐτὸς ἦν οὐ μάλα ἐπιστήμων τῆς τοιαύτης τέχνης, ἅτε μὴ λόγῳ προσειληφὼς αὐτήν, ἀλλὰ συνηθείᾳ τινὶ καὶ πείρᾳ μᾶλλον, ὥσπερ 228 οἱ φαῦλοι τῶν ἰατρῶν ἐκ τῆς ἐμπειρίας μόνον ἰώμενοι τοὺς ἀνθρώπους, ὅθεν καὶ διαφεύγει τὰ πολλὰ τῶν νοσημάτων αὐτούς. ἀρκεῖν οὖν νομίσας τὸ πλῆθος τῶν υἱέων πρὸς τὸ φυλάξαι τὴν οὐσίαν οὐδὲν ἐφρόντισεν, ὅπως ἔσονται σπουδαῖοι. τὸ δὲ ἄρα αὐτοῖς ἦρξε πρῶτον μὲν τῶν εἰς ἀλλήλους ἀδικημάτων. ἐπιθυμῶν γὰρ ἕκαστος ὥσπερ ὁ πατὴρ πολλὰ ἔχειν καὶ μόνος πάντα ἐπὶ τὸν πέλας ἐτράπετο. τέως B μὲν οὖν τοῦτο ἐπράττετο. προσαπέλαυον δὲ καὶ οἱ ξυγγενεῖς, οὐδ' αὐτοὶ παιδευθέντες καλῶς, τῆς τῶν παίδων ἀνοίας τε καὶ ἀμαθίας. εἶτα ἐπίμπλατο φόνων πάντα, καὶ ἡ τραγικὴ κατάρα ὑπὸ τοῦ δαίμονος

καταβουκολέοντο 4 ἀπελελοίπει H] ἀπολελοίπει 5 ἔμελε] .... pet. 7 υἱεῖς H] .... V, παῖδες v, υἱοὶ Cob. 8 ἐτελεύτησεν V] ἐτελεύτησε 9 ὅπως V] ὅπου 12 αὐτὸς H] οὗτος 16 et 17 διαφεύγει — αὐτοὺς] Imitatur Plat. Charm. 156 E 23 προσαπέλαυον Wytt.] προσαπέλαβον 25 ἀνέχεσθαι post ἀμαθίας vulgo additum delevit Wytt. | φόνων V] φόνου

*εἰς ἔργον ἤγετο· τὰ πατρῷα γὰρ θηκτῷ σιδήρῳ
διελάγχανον, καὶ ἦν πάντα ἀκοσμίας πλήρη· πατρῷα
μὲν ἱερὰ κατεσκάπτετο παρὰ τῶν παίδων ὀλιγωρη-
θέντα πρότερον ὑπὸ τοῦ πατρὸς καὶ ἀποσυληθέντα
C τῶν ἀναθημάτων, ἃ τέθειτο παρὰ πολλῶν μὲν καὶ
ἄλλων, οὐχ ἥκιστα δὲ τῶν προπατόρων αὐτοῦ. καθαι-
ρουμένων δὲ τῶν ἱερῶν ἀνῳκοδομεῖτο παλαιὰ καὶ
νέα μνήματα, προαγορεύοντος αὐτοῖς τοῦ αὐτομάτου
καὶ τῆς τύχης, ὅτι ἄρα πολλῶν αὐτοῖς δεήσει μνη-
μάτων οὐκ εἰς μακράν, ἐπειδήπερ αὐτοῖς ὀλίγον ἔμελε
τῶν θεῶν. πάντων οὖν ὁμοῦ φυρομένων καὶ ξυντε-
λουμένων γάμων [τε] οὐ γάμων καὶ βεβηλουμένων
ὁμοῦ τοῖς θείοις τῶν ἀνθρωπίνων, τὸν Δία ἔλεος
D ὑπῆλθεν· εἶτα ἀπιδὼν πρὸς τὸν Ἥλιον· Ὦ παῖ, εἶ-
πεν, οὐρανοῦ καὶ γῆς ἀρχαιότερον ἐν θεοῖς βλά-
στημα, μνησικακεῖν ἔτι διανοῇ τῆς ὑπεροψίας ἀνδρὶ
αὐθάδει καὶ τολμηρῷ, ὅς σε ἀπολιπὼν αὐτῷ τε καὶ
γένει καὶ παισὶν αἴτιος ἐγένετο τῶν τηλικούτων
παθημάτων; ἢ νομίζεις, ὅτι μὴ χαλεπαίνεις αὐτῷ
229 μηδ᾽ ἀγανακτεῖς μηδ᾽ ἐπὶ τὸ γένος αὐτοῦ τοὺς οἰ-
στοὺς θήγεις, ἔλαττον εἶναι ταύτης αἴτιος αὐτῷ τῆς
ξυμφορᾶς, ἔρημον αὐτοῦ τὴν οἰκίαν ἀφείς; ἀλλ᾽,
ἔφη, καλῶμεν τὰς Μοίρας, εἴ πῃ βοηθητέος ὁ ἀνήρ
ἐστιν. αἱ δὲ ὑπήκουσαν αὐτίκα τῷ Διί. καὶ ὁ μὲν*

1 *θηκτῷ* Pet. spanh.] *θνητῷ*. Spectat Eur. Phoen. 67
β α
5 *τέθειτο*] Immo *ἐτέθειτο* 9 et 10 *μνημάτων δεήσει* V 12 *τε* inclusit H 13 *θείοις* Pet. (nam *θείων* typothetae est error)] *θεοῖς* 15 *ἀρχαιότατον* Rsk. 17 *ἀπολιπὼν* Cob.] *ἀπολεί-πων* | *αὐτῶ* V] *αὐτῷ* 19 *μὴ*] *μοι* pet. 20 *οἰστοὺς* H] *ὀϊ-στοὺς* 21 *εἶναι ταύτης αἴτιον αὐτοῦ* spanh., *εἶνάι μὴ ..ε.. αἴτιον αὐτοῦ* pet., *εἶναι .. τε αἴτιον αὐτοῦ* V, *αἴτιος* Rsk. et H, *αὐτῷ* H. Sed nescio an legendum sit *εἶναι τούτῳ γε αἴ-τιος αὐτῷ*, ut *ἀφεὶς* pro epexegesi ad *τούτῳ* habendum sit 24 *ἐστιν* V] *ἐστι*

Ἥλιος, ὥσπερ ἐννοῶν τι καὶ λογιζόμενος αὐτὸς ἐν ἑαυτῷ, προσεῖχεν εἰς τὸν Δία πήξας τὰ ὄμματα. τῶν Μοιρῶν δὲ ἡ πρεσβυτάτη· Κωλύετον, ἔφη, ὦ πάτερ, ἡ Ὁσιότης ξὺν τῇ Δίκῃ. σὸν οὖν ἔργον ἐστίν, ἐπείπερ ἡμᾶς ἐκέλευσας ὑπεικαθεῖν αὐταῖς, B πεῖσαι καὶ ἐκείνας. Ἀλλ' ἐμαὶ γάρ εἰσιν, ἔφη, θυγατέρες, καὶ ἄξιον δὴ ἐρέσθαι αὐτάς· τί τοίνυν, ὦ ποτνία, φατόν; Ἀλλὰ τούτου μέν, εἰπέτην, ὦ πάτερ, αὐτὸς εἶ κύριος. σκόπει δὲ ὅπως ἐν ἀνθρώποις ὁ πονηρὸς οὑτοσὶ τῆς ἀνοσιουργίας ζῆλος μὴ παντάπασιν ἐπικρατήσῃ. Πρὸς ἀμφότερα, εἶπεν, ἐγὼ σκέψομαι. καὶ αἱ Μοῖραι πλησίον παροῦσαι πάντα ἐπέκλωθον, ὡς ὁ πατὴρ ἐβούλετο. λέγειν δὲ ὁ Ζεὺς C ἄρχεται πρὸς τὸν Ἥλιον· Τουτὶ τὸ παιδίον, ἔφη· ξυγγενὲς δὲ ἦν αὐτῶν ἄρα παρερριμμένον· που καὶ ἀμελούμενον, ἀδελφιδοῦς ἐκείνου τοῦ πλουσίου καὶ ἀνεψιὸς τῶν κληρονόμων· τοῦτο, ἔφη, σόν ἐστιν ἔκγονον. ὄμοσον οὖν τὸ ἐμόν τε καὶ σὸν σκῆπτρον, ἦ μὴν ἐπιμελήσεσθαι διαφερόντως αὐτοῦ καὶ ποιμανεῖν αὐτὸ καὶ θεραπεύσειν τῆς νόσου. ὁρᾷς γὰρ D ὅπως οἷον ὑπὸ καπνοῦ ῥύπου τε ἀναπέπλησται καὶ λιγνύος, κίνδυνός τε τὸ ὑπὸ σοῦ σπαρὲν ἐν αὐτῷ πῦρ ἀποσβῆναι, ἢν μὴ σύ γε δύσεαι ἀλκήν. σοὶ δὲ ἐγώ τε ξυγχωρῶ καὶ αἱ Μοῖραι· κόμιζε οὖν αὐτὸ καὶ τρέφε. ταῦτα ἀκούσας ὁ βασιλεὺς Ἥλιος ηὐφράνθη τε ἡσθεὶς τῷ βρέφει, σωζόμενον ἔτι καθορῶν ἐν αὐτῷ

5 ἐστὶν V] ἐστὶ | ὑπεικαθεῖν Cob.] ὑπεικάθειν 7 ἐρέσθαι Cob.] ἔρεσθαι 7 et 8 ὠ πότνια, φάτον V 11 ἐπικρατήσει? 15 παρεριμμένον V 18 καὶ τὸ σὸν H 23 ἢν μὴ — ἀλκήν] Iliad. ι, 231, ubi εἰ μὴ σύγε legitur | σοὶ δὲ H] ἔτι δὲ

σπινθῆρα μικρὸν ἐξ ἑαυτοῦ, καὶ τὸ ἐντεῦθεν ἔτρεφεν ἐκεῖνο τὸ παιδίον, ἐξαγαγὼν

ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ
230 Ἔκ τ' ἀνδροκτασίης.

ὁ πατὴρ δὲ ὁ Ζεὺς ἐκέλευσε καὶ τὴν Ἀθηνᾶν τὴν ἀμήτορα, τὴν παρθένον ἅμα τῷ Ἡλίῳ τὸ παιδάριον ἐκτρέφειν. ἐπεὶ δὲ ἐτράφη καὶ νεανίας ἐγένετο

Πρῶτον ὑπηνήτης, τοῦπερ χαριεστάτη ἥβη,

κατανοήσας τῶν κακῶν τὸ πλῆθος, ὁπόσον τι περὶ τοὺς ξυγγενεῖς αὐτοῦ καὶ τοὺς ἀνεψίους ἐγεγόνει, ἐδέησε μὲν αὐτὸν εἰς τὸν τάρταρον προέσθαι πρὸς B τὸ μέγεθος τῶν κακῶν ἐκπλαγείς· ἐπεὶ δὲ Ἥλιος εὐμενὴς ὢν μετὰ τῆς Προνοίας Ἀθηνᾶς ὕπνον τινὰ καὶ κάρον ἐμβαλὼν τῆς ἐπινοίας ταύτης ἀπήγαγεν, αὖθις ἀνεγερθεὶς ἄπεισιν εἰς ἐρημίαν. εἶτα ἐκεῖ λίθον τινὰ εὑρὼν μικρὸν ἀνεπαύσατο καὶ πρὸς αὑτὸν ἐσκόπει, τίνα τρόπον ἐκφεύξεται τῶν τοσούτων κακῶν τὸ μέγεθος· ἤδη γὰρ αὐτῷ πάντα ἐφαίνετο μοχθηρά, C καλὸν δὲ οὐδὲν οὐδαμοῦ τέως. Ἑρμῆς οὖν αὐτῷ· καὶ γὰρ εἶχεν οἰκείως πρὸς αὐτόν· ὥσπερ ἡλικιώτης νεανίσκος φανεὶς ἠσπάσατό τε φιλοφρόνως καί, Δεῦρο, εἶπεν, ἡγεμών σοι ἐγὼ ἔσομαι λείας καὶ ὁμαλεστέρας ὁδοῦ τουτὶ τὸ μικρὸν ὑπερβάντι τὸ σκολιὸν καὶ ἀπότομον χωρίον, οὗ πάντας ὁρᾷς προσπταίοντας καὶ

3 Iliad. λ, 164 | ἔκ τε αἵματος V 8 Iliad. ω, 348 11 ἐδέησε] „Deest μικροῦ." Pet. At Iulianus quanquam aliquoties μικροῦ vel ὀλίγου δέω dixit, ut 17 D 121 A 282 D 310 C 324 B 357 D 414 C, interdum tamen etiam, ut Cobetus observavit, μικροῦ vel ὀλίγου in hac locutione omittit, ut 242 D et 341 D, quod alios quoque facere docent I. Bekkerus (*homer. Blaetter* p. 287) et M. Hauptius (Hermae Vol. IV p. 30) | αὐτὸν V] αὑτὸν 13 ὕπνον] Lacuna est in pet. 15 ἀνεγερθεὶς om. pet.

ἀπιόντας ἐντεῦθεν ὀπίσω. καὶ ὁ νεανίσκος ἀπιὼν ᾤχετο μετὰ πολλῆς εὐλαβείας ἔχων παρ' ἑαυτῷ ξίφος τε καὶ ἀσπίδα καὶ μάχαιραν, γυμνὰ δὲ αὐτῷ τέως ἦν τὰ περὶ τὴν κεφαλήν. πεποιθὼς οὖν αὐτῷ προῆγεν D εἰς τὸ πρόσω διὰ λείας ὁδοῦ καὶ ἀθρύπτου καθαρᾶς τε πάνυ καὶ καρποῖς βριθούσης ἄνθεσί τε πολλοῖς καὶ ἀγαθοῖς, ὅσα ἐστὶ θεοῖς φίλα, καὶ δένδρεσι κιττοῦ καὶ δάφνης καὶ μυρρίνης. ἀγαγὼν δὲ αὐτὸν ἐπί τι μέγα καὶ ὑψηλὸν ὄρος, Ἐπὶ τούτου, ἔφη, τῆς κορυφῆς ὁ πατὴρ πάντων κάθηται τῶν θεῶν. ὅρα οὖν· ἐνταῦθά ἐστιν ὁ μέγας κίνδυνος· ὅπως αὐτὸν ὡς εὐαγέστατα προσκυνήσεις, αἰτήσῃ δὲ παρ' αὐτοῦ ὅ,τι ἂν ἐθέλῃς· ἕλοιο δέ, ὦ παῖ, τὰ βέλτιστα. ταῦτα 231 εἰπὼν ἀπέκρυψεν ἑαυτὸν Ἑρμῆς πάλιν. ὁ δὲ ἐβούλετο μὲν παρὰ τοῦ Ἑρμοῦ πυθέσθαι, τί ποτε αἰτήσασθαι χρὴ παρὰ τοῦ πατρὸς τῶν θεῶν, ὡς δὲ πλησίον ὄντα οὐ κατεῖδεν, Ἐνδεὴς μέν, ἔφη, καλὴ δὲ ὅμως ἡ ξυμβουλή. αἰτώμεθα οὖν ἀγαθῇ τύχῃ τὰ κράτιστα καίπερ οὔπω σαφῶς τὸν πατέρα τῶν θεῶν ὁρῶντες. Ὦ Ζεῦ πάτερ ἢ ὅ,τι σοι φίλον ὄνομα καὶ ὅπως ὀνομάζεσθαι [· τουτὶ γὰρ ἔμοιγε οὐδὲν διαφέρει]· δείκνυέ μοι τὴν ἐπὶ σὲ φέρουσαν ὁδὸν ἄνω. B κρείττονα γάρ μοι τὰ ἐκεῖ φαίνεται χωρία παρὰ σὲ μαντευομένῳ τὸ παρὰ σοὶ κάλλος ἀπὸ τῆς ἐν τούτοις ὅθεν πεπορεύμεθα τέως ἀγλαΐας. εὐξαμένῳ ταῦτα εἴτε ὕπνος τις εἴτε ἔκστασις ἐπῆλθεν. ὁ δὲ αὐτῷ δείκνυσιν αὐτὸν τὸν Ἥλιον. ἐκπλαγεὶς οὖν ὁ νεανί-

3 μάχαιραν] δόρυ vel αἰχμὴν requiro coll. 231 C, aut antea ἔγχος pro ξίφος 4 προῆγεν H et Cob.] προσῆγεν 5 ἀθρύπτου] ἀτρίπτου Pet. 8 μυρρίνης scripsi pro μυρίνης 17 ἔφη H] ἐφάνη 19 οὔπω Pet.] οὕτω 21 τουτὶ — διαφέρει delevit Cob. 23 παρὰ σὲ V] παρά σε 27 δείκνυσιν V] δείκνυσι

σκος ὑπὸ τῆς θέας, Ἀλλὰ σοὶ μέν, εἶπεν, ὦ θεῶν πάτερ, τῶν τε ἄλλων καὶ τούτων ἕνεκα πάντων
C ἐμαυτὸν φέρων ἀναθήσω. περιβάλλων δὲ τοῖς γόνασι τοῦ Ἡλίου τὰς χεῖρας (ἀπρὶξ) εἴχετο σώζειν ἑαυτὸν δεόμενος. ὁ δὲ καλέσας τὴν Ἀθηνᾶν ἐκέλευε πρῶτον ἀνακρίνειν αὐτόν, ὁπόσα ἐκόμισεν ὅπλα. ἐπεὶ δὲ ἑώρα τήν τε ἀσπίδα καὶ τὸ ξίφος μετὰ τοῦ δόρατος, Ἀλλὰ ποῦ σοι, ἔφη, ὦ παῖ, τὸ Γοργόνειον καὶ τὸ κράνος; ὁ δέ, Καὶ ταῦτα, εἶπε, μόγις ἐκτησάμην· οὐδεὶς γὰρ ἦν ὁ ξυμπονῶν ἐν τῇ τῶν συγγενῶν
D οἰκίᾳ παρερριμμένῳ. Ἴσθι οὖν, εἶπεν ὁ μέγας Ἥλιος, ὅτι σε πάντως χρὴ ἐπανελθεῖν ἐκεῖσε. ἐνταῦθα ἐδεῖτο μὴ πέμπειν αὐτὸν ἐκεῖσε πάλιν, ἀλλὰ κατέχειν, ὡς οὐκέθ' ὕστερον ἐπανήξοντα, ἀπολούμενον δὲ ὑπὸ τῶν ἐκεῖ κακῶν. ὡς δὲ ἐλιπάρει δακρύων, Ἀλλὰ νέος εἶ, ἔφη, καὶ ἀμύητος. ἴθι οὖν παρ' ὑμᾶς, ὡς ἂν μυηθῇς ἀσφαλῶς τε ἐκεῖ διάγῃς· χρὴ γάρ (σ') ἀπιέναι καὶ καθαίρειν ἐκεῖνα πάντα τὰ ἀσεβήματα, παρακαλεῖν δὲ ἐμέ τε καὶ τὴν Ἀθηνᾶν καὶ τοὺς ἄλλους
232 θεούς. ἀκούσας ταῦτα ὁ νεανίσκος εἱστήκει σιωπῇ. καὶ ὁ μέγας Ἥλιος ἐπί τινα σκοπιὰν ἀγαγὼν αὐτόν, ἧς τὸ μὲν ἄνω φωτὸς ἦν πλῆρες, τὸ δὲ ὑποκάτω μυρίας ἀχλύος, δι' ἧς ὥσπερ δι' ὕδατος ἀμυδρὸν

3 περιβαλὼν Cob. 4 τὰς χεῖρας ἀπρὶξ εἴχετο Cob.] τὰς χεῖρας ..... εἴχετο V, τὰς χεῖρας εἴχετο v 5 ἐκέλευε V] ἐκέλευσε 6 ἀνακρίνειν V] ...κρίνειν pet., διακρίνειν spanh. 10 γυγγενῶν V 11 παρεριμμένῳ V | ἴσθι Horkelius] τί 12 ἐκεῖσε H] ἐκεῖ. In V est quidem ἐκεῖ, sed post hoc vocabulum apparet vacuum spatium, quod duabus literis expleatur 13 κατέχειν] Fort. κατελεεῖν 17 μυηθῇς Pet.] μυηθεὶς | διάγῃς H] διάγοις. nisi potius, cum imperativus antecedat, μυηθείης et διάγοις scribendum est. Similes optativi leguntur 211 A 233 B 308 D. cf. ad Xenoph. C. D. I, 4, 14 et p. 226 D 236 B | σ' add. H 18 καθαίρειν Pet. spanh.] καθαιρεῖν. cf. 8 A

τὸ φῶς διικνεῖτο τῆς ἐκ τοῦ βασιλέως αὐγῆς Ἡλίου,
Ὁρᾷς, εἶπε, τὸν ἀνεψιὸν τὸν κληρονόμον; καὶ ὅς,
Ὁρῶ, ἔφη. Τί δέ; τοὺς βουκόλους τουτουσὶ καὶ
τοὺς ποιμένας; καὶ τούτους ὁρᾶν εἶπεν ὁ νεανίσκος.
Ποταπὸς οὖν τίς σοι ὁ κληρονόμος φαίνεται; ποταποὶ B
δ' αὖ οἱ ποιμένες τε καὶ βουκόλοι; καί ὁ νεανίσκος,
Ὁ μέν μοι, ἔφη, δοκεῖ νυστάζειν τὰ πολλὰ καὶ
καταδυόμενος λεληθότως ἡδυπαθεῖν, τῶν ποιμένων
δὲ ὀλίγον μέν ἐστι τὸ ἀστεῖον, τὸ πλῆθος δὲ μοχθηρὸν
καὶ θηριῶδες. ἐσθίει γὰρ καὶ πιπράσκει τὰ πρόβατα
καὶ ἀδικεῖ διπλῇ τὸν δεσπότην. τά τε γὰρ ποίμνια
αὐτοῦ φθείρει καὶ ἐκ πολλῶν μικρὰ ἀποφέρον ἄμι-
σθον εἶναί φησι καὶ ὀδύρεται. καίτοι κρεῖττον ἦν C
τοὺς μισθοὺς ἀπαιτεῖν ἐντελεῖς ἢ φθείρειν τὴν ποί-
μνην. Ἂν οὖν, ἔφη, σὲ ἐγὼ μετὰ ταυτησὶ τῆς Ἀθηνᾶς,
ἐπιτάττοντος τοῦ Διός, ἀντὶ τοῦ κληρονόμου τούτου
πάντων ἐπίτροπον τούτων καταστήσω —; πάλιν ἐν-
ταῦθα ὁ νεανίσκος ἀντείχετο καὶ πολλὰ ἱκέτευεν
αὐτοῦ μένειν. ὁ δέ, Μὴ λίαν ἀπειθὴς ἔσο, φησί,
μή ποτέ

σ' ἀπεχθήρω, ὡς νῦν ἔκπαγλ' ἐφίλησα.

καὶ ὁ νεανίσκος, Ἀλλ', ὦ μέγιστε, εἶπεν, Ἥλιε καὶ
Ἀθηνᾶ, σέ τε καὶ αὐτὸν ἐπιμαρτύρομαι τὸν Δία, D
χρῆσθέ μοι πρὸς ὅ,τι βούλεσθε. πάλιν οὖν ὁ Ἑρμῆς
ἄφνω φανεὶς ἐποίησε τὸν νεανίσκον θαρραλεώτερον.
ἤδη γὰρ διενοεῖτο τῆς τε ὀπίσω πορείας καὶ τῆς
ἐκεῖσε διατριβῆς ηὑρηκέναι τὸν ἡγεμόνα. καὶ ἡ
Ἀθηνᾶ, Μάνθανε, εἶπεν, ὦ-λῷστε, πατρὸς ἀγαθοῦ

12 ἀποφέρον ἄμισθον H] ἀποφέρων ἄμισθος 18 πολλὰ V] πολλάκις | ἱκέτευεν V] ἱκέτευσεν 21 Iliad. γ, 415 | σ' V] σε 27 ηὑρηκέναι H] εὑρηκέναι

τουτουὶ τοῦ θεοῦ καὶ ἐμὸν βλάστημα. τοῦτον, ἔφη,
τὸν κληρονόμον οἱ βέλτιστοι μὲν οὐκ εὐφραίνουσι
τῶν ποιμένων, οἱ κόλακες δὲ καὶ οἱ μοχθηροὶ δοῦ-
λον καὶ ὑποχείριον πεποίηνται. συμβαίνει οὖν αὐτῷ
233 παρὰ μὲν τῶν ἐπιεικῶν μὴ φιλεῖσθαι, παρὰ δὲ τῶν
νομιζομένων φίλων εἰς τὰ μέγιστα ἀδικεῖσθαι. σκό-
πει οὖν ὅπως ἐπανελθὼν μὴ πρὸ τοῦ φίλου θήσει
τὸν κόλακα. δευτέραν ἄκουέ μου παραίνεσιν, ὦ παῖ.
νυστάζων οὗτος ἐξαπατᾶται τὰ πολλά· σὺ δὲ νῆφε
καὶ γρηγόρει, μή σε διὰ τῆς τοῦ φίλου παρρησίας
ὁ κόλαξ ἐξαπατήσας λάθῃ, χαλκεὺς οἷά τις γέμων
B καπνοῦ καί μαρίλης, ἔχων ἱμάτιον λευκὸν καὶ τὰ
πρόσωπα τῷ ψιμυθίῳ κεχρισμένος, εἶτα αὐτῷ δοίης
γῆμαί τινα τῶν σῶν θυγατέρων. τρίτης ἐπάκουέ μου
παραινέσεως, καὶ μάλα ἰσχυρῶς φύλαττε σαυτόν, αἰ-
δοῦ δὲ καὶ ἡμᾶς μόνον, ἀνδρῶν δὲ ὅστις ἡμῖν προσ-
όμοιός ἐστιν, ἄλλον δὲ μηδένα· ὁρᾷς ὅπως τοῦτον
τὸν ἠλίθιον ἔβλαψεν αἰσχύνη καὶ τὸ λίαν [ἄγαν]
εἶναι καταπλῆγα; καὶ ὁ μέγας Ἥλιος αὖθις τὸν λόγον
C διαδεξάμενος εἶπεν· Ἑλόμενος φίλους ὡς φίλοις χρῶ,
μηδὲ αὐτοὺς οἰκέτας μηδὲ θεράποντας νόμιζε, πρόσιθι
δὲ αὐτοῖς ἐλευθέρως τε καὶ ἁπλούστατα καὶ γενναίως,
μὴ λέγων μὲν ἄλλα, φρονῶν δὲ ἕτερα περὶ αὐτῶν.
ὁρᾷς ὅτι καὶ τοῦτον τὸν κληρονόμον τοῦτο ἐπέτριψεν,
ἡ πρὸς τοὺς φίλους ἀπιστία; φίλει τοὺς ἀρχομένους
ὥσπερ ἡμεῖς σέ. τὰ πρὸς ἡμᾶς ἡγείσθω σοι τῶν
D καλῶν ἁπάντων· ἐσμὲν γάρ σου καὶ εὐεργεταὶ καὶ

7 θήσει V] θήσεις 11 χαλκεὺς οἷά τις] Spectat Plat. de Rep. VI 495 E 13 ψιμυθίῳ H] ψιμμυθίῳ | δοίης] δῷς? an antea λάθοι? vid. ad 231 D 17 ἐστιν V] ἐστι 18 ἄγαν delet Cob. Cf. Heyler. ad Epist. p. 297 et Lobeck. Paralip. p. 62 26 σέ V] σε

φίλοι καὶ σωτῆρες. ἀκούσας ταῦτα ὁ νεανίσκος διεχύθη καὶ δῆλος ἦν ἅπαντα ἤδη τοῖς θεοῖς πειθόμενος. Ἀλλ' ἴθι, ἔφη, πορεύου μετὰ ἀγαθῆς ἐλπίδος. ἡμεῖς γάρ σοι πανταχοῦ συνεσόμεθα ἐγώ τε καὶ Ἀθηνᾶ καὶ Ἑρμῆς ὅδε καὶ σὺν ἡμῖν οἱ θεοὶ πάντες οἱ ἐν Ὀλύμπῳ καὶ οἱ περὶ τὸν ἀέρα καὶ τὴν γῆν καὶ πᾶν πανταχοῦ τὸ θεῖον γένος, ἕως (ἂν) τά τε πρὸς ἡμᾶς ὅσιος ᾖς καὶ τὰ πρὸς τοὺς φίλους πιστὸς καὶ τὰ πρὸς τοὺς ὑπηκόους φιλάνθρωπος, ἄρχων 234 αὐτῶν καὶ ἡγούμενος ἐπὶ τὰ βέλτιστα· ἀλλὰ μήτε ταῖς σεαυτοῦ μήτε ἐκείνων ταῖς ἐπιθυμίαις δουλεύων ὑπεικάθῃς. ἔχων οὖν πανοπλίαν, ἣν ἐκόμισας πρὸς ἡμᾶς, ἄπιθι προσλαβὼν ταύτην μὲν τὴν δᾷδα παρ' ἐμοῦ, ἵνα σοι καὶ ἐν τῇ γῇ φῶς λάμπῃ μέγα καὶ μηδὲν ἐπιποθῇς τῶν τῇδε, ταυτησὶ δὲ Ἀθηνᾶς τῆς καλῆς τό τε Γοργόνειον καὶ τὸ κράνος· πολλὰ γάρ, ὁρᾷς, ἔστιν αὐτῇ, καὶ δίδωσιν οἷς ἂν ἐθέλῃ. δώσει B δέ σοι καὶ Ἑρμῆς χρυσῆν ῥαβδόν. ἔρχου οὖν τῇ πανοπλίᾳ κοσμηθεὶς ταύτῃ διὰ πάσης μὲν γῆς, διὰ πάσης δὲ θαλάττης, ἀμετακινήτως τοῖς ἡμετέροις πειθόμενος νόμοις, καὶ μηδείς σε μήτε ἀνδρῶν μήτε γυναικῶν, μήτε τῶν οἰκείων μήτε τῶν ξένων ἀναπείσῃ ἐντολῶν ἐκλαθέσθαι τῶν ἡμετέρων. ἐμμένων γὰρ αὐταῖς ἡμῖν μὲν ἔσῃ φίλος καὶ τίμιος, αἰδοῖος δὲ τοῖς ἀγαθοῖς ἡμῶν ὑπηρέταις, φοβερὸς δὲ ἀνθρώ-

2 διεχέθη V 7 ἕως .. τά τε V, ὡς τά τε v 8 τα περὶ τοὺς φ. pet. 9 ὑπηκόους] Lacuna est in pet. 10 et 11 μήτε ταῖς ἑαυτοῦ V, μήτε ... pet., μήτε μὲν ἑαυτοῦ spanh., ego σεαυτοῦ scripsi 12 παν....... (sub macula latere videtur πανοπλίαν ἣν) ἐκόμισας V, πανοπλίαν, ἣν ἐκόμισε pet. Ante πανοπλίαν desidero articulum 15 μηδὲν H] μηθὲν | ταυτησὶ Cob.] ταύτης 23 ἐντολῶν] τῶν ἐντολῶν H

C ποις πονηροῖς καὶ κακοδαίμοσιν. ἴσθι δὲ σεαυτῷ τὰ
σαρκία δεδόσθαι (τῆς) λειτουργίας ἕνεκα ταυτησί.
βουλόμεθα γάρ σοι τὴν προγονικὴν οἰκίαν αἰδοῖ τῶν
προγόνων ἀποκαθῆραι. μέμνησο οὖν, ὅτι τὴν ψυχὴν
ἀθάνατον ἔχεις καὶ ἔκγονον ἡμετέραν, ἑπόμενός τε
ἡμῖν ὅτι θεὸς ἔσῃ καὶ τὸν ἡμέτερον ὄψει σὺν ἡμῖν
πατέρα.

Τοῦτο εἴτε μῦθος εἴτε ἀληθής ἐστι λόγος οὐκ
οἶδα. τὸ παρὰ σοῦ δὲ πεποιημένον, τίνα βούλει τὸν
D Πᾶνα, τίνα δὲ εἶναι τὸν Δία, εἰ μὴ τοῦτον, ὡς ἐσμὲν
ἐγώ τε καὶ σύ, σὺ μὲν ὁ Ζεύς, ἐγὼ δὲ ὁ Πάν; ὢ
τοῦ γελοίου Ψευδόπανος, γελοιοτέρου μέντοι νὴ τὸν
Ἀσκληπιὸν τοῦ πάντα μᾶλλον ἢ Διὸς ἀνθρώπου.
ταῦτα οὐκ ἔστιν ἀτεχνῶς ἐκ τοῦ μαινομένου στόματος
οὔτι τὴν ἔνθεον, ἀλλὰ τὴν ἔκπληκτον μανίαν; οὐκ
οἶσθα, ὅτι καὶ ὁ Σαλμωνεὺς ἔδωκεν ὑπὲρ τούτων
235 τοῖς θεοῖς δίκην, ὅτι ἄνθρωπος ὢν ἐπεχείρει Ζεὺς
εἶναι; τὸ δὲ ἐκ τῶν Ἡσιόδου λεγόμενον ὑπὲρ τῶν
ὀνομασάντων ἑαυτοὺς τοῖς τῶν θεῶν ὀνόμασιν, Ἥρας
τε καὶ Διός, εἰ μήπω καὶ νῦν ἀκήκοας, ἔχω σοι
συγγνῶναι· οὐδὲ γὰρ ἐπαιδοτριβήθης καλῶς οὐδὲ
ἔτυχες καθηγεμόνος, ὁποίου περὶ τοὺς ποιητὰς ἐγὼ
τουτουὶ τοῦ φιλοσόφου, μεθ' ὃν ἐπὶ τὰ πρόθυρα
τῆς φιλοσοφίας ἦλθον ὑπ' ἀνδρὶ τελεσθησόμενος, ὃν
B νενόμικα τῶν κατ' ἐμαυτὸν πάντων διαφέρειν. ὁ
δέ με πρὸ πάντων ἀρετὴν ἀσκεῖν καὶ θεοὺς ἁπάντων

1 κακοδαίμοσιν V] κακοδαίμοσι 2 τῆς add. H | εἵνεκα V 8 ἐστι add. V 10 τοῦτον] τοῦτο? 11 ἐγώ τε V] ἐγὼ 12 ψευδοπανὸς V 14 τοῦ deleverim 19 ὀνόμασιν V] ὀνόμασι 21 συγγνῶναι V] συγγνώμην | καλ.. V, καλος pet. 25 ἐνόμισα Pet. spanh., ἐνόμισας V pet., ego νενόμικα scripsi

τῶν καλῶν νομίζειν ἡγεμόνας ἐδίδασκεν. εἰ μὲν οὖν
τι προὔργου πεποίηκεν, αὐτὸς ἂν εἰδείη καὶ πρὸ
τούτου γε οἱ βασιλεῖς θεοί· τουτὶ δὲ ἐξῄρει τὸ
μανιῶδες καὶ θρασύ, καὶ ἐπειρᾶτό με ποιεῖν ἐμαυτοῦ
σωφρονέστερον. ἐγὼ δὲ καίπερ, ὡς οἶσθα, τοῖς ἔξω-
θεν πλεονεκτήμασιν ἐπτερωμένος ὑπέταξα ὅμως ἐμαυ-
τὸν τῷ καθηγεμόνι καὶ τοῖς ἐκείνου φίλοις καὶ C
ἡλικιώταις καὶ συμφοιτηταῖς, καὶ ὧν ἤκουον ἐπαινου-
μένων παρ' αὐτοῦ, τούτων ἔσπευδον ἀκροατὴς εἶναι,
καὶ βιβλία ταῦτα ἀνεγίγνωσκον, ὁπόσα αὐτὸς δοκι-
μάσειεν. οὕτως ἡμεῖς ὑφ' ἡγεμόσι τελούμενοι, φιλο-
σόφῳ μὲν τῷ τὰ τῆς προπαιδείας με τελέσαντι,
φιλοσοφωτάτῳ δὲ τῷ τὰ πρόθυρα τῆς φιλοσοφίας
δείξαντι, σμικρὰ μὲν διὰ τὰς ἔξωθεν ἡμῖν προσ-
πεσούσας ἀσχολίας, ὅμως δ' οὖν ἀπελαύσαμεν τῆς D
ὀρθῆς ἀγωγῆς, οὐ τὴν σύντομον, ἣν σὺ φής, ἀλλὰ
τὴν κύκλῳ πορευθέντες· καίτοι νὴ τοὺς θεοὺς ἐπὶ
τὴν ἀρετὴν οἶμαι ὅτι σου συντομωτέραν ἐτραπόμην.
ἐγὼ μὲν γὰρ αὐτῆς, εἰ μὴ φορτικὸν εἰπεῖν, ἐπὶ τοῖς
προθύροις ἕστηκα, σὺ δὲ καὶ τῶν προθύρων εἶ πόρρω.
σοὶ δὲ ἀρετῆς ἢ τοῖς σοῖς ἀδελφοῖς —, ἀφελὼν δὲ
τὸ δύσφημον τὸ λειπόμενον αὐτὸς ἀναπλήρωσον· εἰ
βούλει δέ, καὶ παρ' ἡμῶν αὐτὸ ἄνασχου πρᾴως λεγό-
μενον, — τίς μετουσία; πᾶσιν ἐπιτιμᾷς αὐτὸς οὐδὲν 236
ἄξιον ἐπαίνου πράττων, ἐπαινεῖς φορτικῶς ὡς οὐδεὶς
τῶν ἀμαθεστάτων ῥητόρων, οἷς διὰ τὴν τῶν λόγων
ἀπορίαν καὶ τὸ μὴ ἔχειν εὑρεῖν ἐκ τῶν παρόντων
ὅ,τι φῶσιν, ἡ Δῆλος ἐπέρχεται καὶ ἡ Λητὼ μετὰ

3 τουτὶ H] τουτοῖ 6 ἀνεπτερωμένος Cob. 15 ἀπελαύσαμεν Rsk. et Cob.] ἀπηλαύσαμεν 21 σοὶ Pet. spanh.] σὺ V pet. | ἢ] ἢ V. Demosthenis locus 18, 128 respicitur

τῶν παίδων, εἶτα κύκνοι λιγυρὸν ᾄδοντες καὶ ἐπη-
χοῦντα αὐτοῖς τὰ δένδρα, λειμῶνές τε ἔνδροσοι μαλα-
κῆς πόας καὶ βαθείας πληρεῖς, ἥ τε ἐκ τῶν ἀνθέων
B ὀδμὴ καὶ τὸ ἔαρ αὐτὸ καί τινες εἰκόνες τοιαῦται.
ποῦ τοῦτο Ἰσοκράτης ἐν τοῖς ἐγκωμιαστικοῖς ἐποίησε
λόγοις; ποῦ δὲ τῶν παλαιῶν τις ἀνδρῶν, οἳ ταῖς
Μούσαις ἐτελοῦντο γνησίως, ἀλλ᾽ οὐχ ὥσπερ οἱ νῦν;
ἀφίημι δὲ τὰ ἑξῆς, ἵνα μὴ καὶ πρὸς τούτους ἀπε-
χθανόμενος ἅμα τοῖς τε φαυλοτάτοις τῶν Κυνικῶν
καὶ τῶν ῥητόρων προσκρούσαιμι· ὡς ἔμοιγε πρός τε
τοὺς κρατίστους τῶν Κυνικῶν, εἴ τις ἄρα ἔστι νῦν
τοιοῦτος, καὶ πρὸς τοὺς γενναίους ῥήτοράς ἐστι φιλικὰ
C πάντα. τῶν μὲν δὴ τοιούτων λόγων, εἰ καὶ πολὺ
πλῆθος ἐπιρρεῖ· καὶ οὐκ ἔστιν ὅσον οὐχὶ λέγειν ἐθέ-
λων τις ἐκ πάνυ δαψιλοῦς ἀντλήσειεν ἂν πίθου· τῆς
προκειμένης ἡμῖν ἀσχολίας ἕνεκεν ἀφέξομαι. μικρὰ
δὲ ἔτι τῷ λόγῳ προσθεὶς ὥσπερ ὀφλήματι τὸ ἐνδέον
D ἐπ᾽ ἄλλο τι τρέψομαι, ταυτηνὶ τὴν ξυγγραφὴν αὐτοῦ
που πληρώσας.

Τίς οὖν ἡ τῶν Πυθαγορικῶν εὐλάβεια περὶ τὰ
τῶν θεῶν ὀνόματα, τίς δὲ ἡ Πλάτωνος; ποταπὸς δὲ
ἦν ἐν τούτοις Ἀριστοτέλης; ἆρ᾽ οὐκ ἄξιον αὐτὸ ἰδεῖν;
ἢ τὸν μὲν Σάμιον οὐδεὶς ἀντερεῖ τοιοῦτον γενέσθαι;
καὶ γὰρ οὔτε τὸ ὀνόματα θεῶν ἐν τῇ σφραγῖδι
φορεῖν ἐπέτρεπεν οὔτε τὸ ὅρκῳ χρῆσθαι προπετῶς
τοῖς τῶν θεῶν ὀνόμασιν. εἰ δὲ νῦν λέγοιμι, ὅτι καὶ
237 εἰς Αἴγυπτον ἐπορεύθη καὶ Πέρσας εἶδε καὶ πανταχοῦ

6 τις add. V   12 φιλικὰ Pet. spanh., φ... V, φιλ... pet.   15 ἀντλήσειεν ἂν H] ἀντλήσειε τοῦ   16 ἕνεκεν H] εἵνεκεν   21 ποταπὸς Cob.] ποδαπὸς   24 οὔτε τὸ ὀνόματα Cob.] οὐ τὸ ὄνομα   25 οὔτε τὸ ὅρκῳ Cob.] οὐδὲ τῷ ὅρκῳ   26 ὀνόμασιν V] ὀνόμασι

πάντα ἐπειράθη τὰ μυστήρια τῶν θεῶν ἐποπτεῦσαι
καὶ τελεσθῆναι παντοίας πανταχοῦ τελετάς, ἐρῶ μὲν
ἴσως ἄγνωστά σοι, γνώριμα μέντοι καὶ σαφῆ τοῖς
πολλοῖς. ἀλλὰ τοῦ Πλάτωνος ἄκουε· Τὸ δ' ἐμὸν
δέος, ὦ Πρώταρχε, πρὸς τὰ τῶν θεῶν ὀνόματα οὐκ
ἔστι κατ' ἄνθρωπον, ἀλλὰ πέρα τοῦ μεγίστου φόβου.
καὶ νῦν τὴν μὲν Ἀφροδίτην, ὅπῃ ἐκείνῃ φίλον,
ταύτῃ προσαγορεύω· τὴν δ' ἡδονὴν οἶδα ὡς ἔστι B
ποικίλον. ταῦτα ἐν Φιλήβῳ λέγεται, καὶ τοιαῦτα
ἕτερα πάλιν ἐν Τιμαίῳ· πιστεύειν γὰρ ἁπλῶς ἀξιοῖ
καὶ χωρὶς ἀποδείξεως λεγομένοις, ὅσα ὑπὲρ τῶν θεῶν
φασιν οἱ ποιηταί. ταῦτα δὲ παρέθηκα, μή ποτέ σοι
παράσχῃ πρόφασιν, ὥσπερ οἶμαι τῶν Πλατωνικῶν
πολλοῖς, ὁ Σωκράτης εἴρων ὢν φύσει τὴν Πλατωνι-
κὴν ἀτιμάσαι δόξαν. ἐκεῖ γὰρ οὐχ ὁ Σωκράτης, ἀλλ' C
ὁ Τίμαιος ταῦτα λέγει ἥκιστα ὢν εἴρων. καίτοι τοῦτό
γέ ἐστιν οὐχ ὑγιὲς μὴ τὰ λεγόμενα ἐξετάζειν, ἀλλὰ
τοὺς λέγοντας, καὶ τὸ πρὸς τίνας οἱ λόγοι γίγνονται.
βούλει .... τὸ μετὰ τοῦτο τὴν πάνσοφον ὑπαγο-
ρεύσω σειρῆνα, τὸν τοῦ λογίου τύπον Ἑρμοῦ, (τὸν
τῷ Ἀπόλλ)ωνι καὶ ταῖς Μούσαις φίλον; ἐκεῖνος ἀξιοῖ
τοὺς ἐπερωτῶντας ἢ (ζητ)εῖν ὅλως ἐπιχειροῦντας, εἰ
θεοί εἰσιν, οὐχ ὡς ἀνθρώπους ἀποκρίσεως τυγχάνειν,
ἀλλ' ὡς τὰ θηρία κολά[illegible]ως. εἰ δὲ ἀνεγνώκεις τὸν D
ἀστατικὸν αὐτοῦ (λόγον, ὃς) ὥσπερ τῆς Πλάτωνος,

6 κατὰ V 8 δ' V] δὲ 9 Φιλήβῳ] p. 12 C 10 Τιμαίῳ] p. 40 D 17 ἐστὶν V] ἐστι 19 βούλει.... τὸ μετὰ V, βούλει δῆτα τὸ μετὰ Cob., βούλει τὸ μετὰ v 20 et 21 ἑρμοῦ .... ωνι V, Ἑρμοῦ ... Ἀπόλλωνι pet., Ἑρμοῦ τὸν Ἀπόλλωνι spanh., Ἑρμοῦ τὸν τῷ Ἀπόλλωνι Cob. 22 ἢ ζητεῖν ὅλως H] ἢ .... εῖν ὅλως V, καὶ ὅλως v 23 εἰσιν V] εἰσι 25 ἀστατικὸν V pet., εὐστατικὸν spanh., συστατικὸν Cob., ἐνστατικὸν, *dictum advertens et excitans intuentem*, Rsk. | αὐτοῦ

οὕτω δὲ καὶ τῆς ἐκείνου διατριβῆς προυγέγραπτο, ἔγνως ἂν πρὸ πάντων, ὅτι τὰ πρὸς τοὺς θεοὺς εὐσεβεῖς εἶναι καὶ μεμυῆσθαι πάντα τὰ μυστήρια καὶ τετελέσθαι τὰς ἁγιωτάτας τελετὰς καὶ διὰ πάντων τῶν μαθημάτων ἧχθαι τοῖς εἴσω τοῦ περιπάτου βαδίζουσι προηγορεύετο.

238 Σὺ δὲ ὅπως ἡμῖν μὴ τὸν Διογένη προβαλὼν ὥσπερ τι μορμολυκεῖον ἐκφοβήσῃς. οὐ γὰρ ἐμυήθη, φασίν, ἀλλὰ καὶ πρὸς τὸν (προ)τρεπόμενον μυηθῆναι, Γελοῖον, εἶπεν, ὦ νεανίσκε, εἰ τοὺς μὲν τελώνας οἴει ταύτης ἕνεκα τῆς τελετῆς κοινωνήσειν τοῖς ὁσίοις τῶν ἐν ᾅδου καλῶν, Ἀγησίλαον δὲ καὶ Ἐπαμεινώνδαν ἐν τῷ βορβόρῳ κείσεσθαι. τοῦτο, ὦ νεανίσκε, βαθὺ λίαν ἐστὶ καὶ δεόμενον ἐξηγήσεως, ὡς ἐμαυτὸν
B πείθω, μείζονος, ὅπως ἡμῖν αὐταὶ δοῖεν αἱ θεαὶ τὴν ἐπίνοιαν· νομίζω δὲ αὐτὴν ἤδη καὶ δεδόσθαι. φαίνεται γὰρ ὁ Διογένης οὐχ, ὥσπερ ὑμεῖς ἀξιοῦτε, δυσσεβής, ἀλλ' ἐκείνοις, ὧν μικρῷ πρόσθεν ἐπεμνήσθην, προσόμοιος. ἀπιδὼν γὰρ εἰς τὴν περίστασιν τὴν καταλαβοῦσαν αὐτόν, εἶτα εἰς τὰς ἐντολὰς βλέπων τοῦ Πυθίου καὶ συνείς, ὅτι τὸν μυούμενον ἐχρῆν
C πολιτογραφηθῆναι πρότερον καὶ Ἀθηναῖον, εἰ καὶ μὴ φύσει, τῷ νόμῳ γε γενέσθαι, τοῦτο ἔφυγεν, οὐ τὸ μυηθῆναι, νομίζων αὐτὸν εἶναι τοῦ κόσμου πολίτην,

λόγον ὃς Cob.] αὐτοῦ ...... V et v 6 προηγόρευτο Cob. 7 προσβαλὼν V 8 ἐκφοβήσεις Cob. 9 φησὶν V., φησὶ v. Scripsi φασίν | προτρεπόμενον Pet.] τρεπόμενον | μυηθῆναι Rsk. et Wytt. ad Plut. mor. 21 F] ἐκμυηθῆναι 10 τελῶνας V 11 κοινωνήσειν V] κοινώσειν | ὁσίοις Cob.] θεοῖς 12 Ἐπαμεινώδαν tacite Cob.] Ἐπαμινώνδαν 13 κείσεσθαι Wytt.] κεῖσθαι 14 ἐστι add. V 15 ὅπως] ὁποίας H 19 τὴν περίστασιν V] περίστασιν 21 συνείς] συνιείς H 22 πολιτογραφηθῆναι V] πολιτογραφῆναι 23 γε Rsk. et H] δὲ 24 αὐτὸν V

καὶ ταῖς ὅλαις τῶν θεῶν οὐσίαις, αἳ τὸν ὅλον κοινῇ κόσμον ἐπιτροπεύουσιν, ἀλλ' οὐ ταῖς τὰ μέρη καταvειμαμέναις αὐτοῦ, διὰ μεγαλοφροσύνην ἀξιῶν συμπολιτεύεσθαι· τό τε νόμιμον οὐ παρέβη αἰδοῖ τῶν θεῶν, καίτοι τἆλλα πατῶν καὶ παραχαράττων· αὐτόν B τε οὐκ ἐπανήγαγεν, ὅθεν ἄσμενος ἠλευθέρωτο. τί δ' ἦν τοῦτο; τὸ πόλεως μιᾶς δουλεῦσαι νόμοις ἑαυτόν τε ὑποθεῖναι τούτῳ, ὅπερ ἦν ἀνάγκη παθεῖν Ἀθηναίῳ γενομένῳ. πῶς γὰρ οὐκ ἔμελλεν ὁ τῶν θεῶν ἕνεκεν εἰς Ὀλυμπίαν βαδίζων, ὁ τῷ Πυθίῳ πεισθεὶς καὶ φιλοσοφήσας ὥσπερ Σωκράτης [ὕστερον, ὡς Ἀριστοτέλης]· φησὶ γὰρ καὶ αὐτὸς εἶναι Πύθιον οἴκοι παρ' ἑαυτῷ, ὅθεν αὐτῷ καὶ ἡ ὁρμὴ πρὸς φιλοσοφίαν ἐγένετο· [μὴ] παριέναι τῶν ἀνακτόρων εἴσω καὶ μάλα 239 ἀσμένως, εἰ μὴ τοῦτο ἐξέκλινε τὸ ὑποθεῖναι νόμοις ἑαυτὸν καὶ δοῦλον ἀποφῆναι πολιτείας; ἀλλὰ διὰ τί μὴ ταύτην αὐτὴν εἶπε τὴν αἰτίαν, ἐκ τῶν ἐναντίων δὲ τὴν παραιρουμένην οὐ σμικρὰ τῆς τῶν μυστηρίων σεμνότητος; ἴσως μὲν ἄν τις τὰ τοιαῦτα καὶ Πυθαγόρᾳ μάλιστα ἐπισκήψειεν, οὐκ ὀρθῶς λογιζόμενος. οὔτε γὰρ ῥητέον πάντα ἐστίν, αὐτῶν τε οἶμαι τούτων, ὧν θέμις φάναι, ἔνια πρὸς (τοὺς) πολλοὺς σιωπητέον εἶναί μοι φαίνεται. φανερὰ δὲ ὅμως ἐστὶ D καὶ τούτων ἡ αἰτία. κατανοήσας γὰρ ἀμελοῦντα μὲν τῆς περὶ τὸν βίον ὀρθότητος, ἐπὶ δὲ τῷ μεμνῆσθαι

5 τἆλλα spanh. | αὐτὸν V 9 οὐκ delet Rsk., ego potius 14 μὴ expungendum esse censeo 10 ἕνεκεν H] εἵνεκεν | βαδίζειν pet. 11 ὕστερον ego, ὡς Ἀριστοτέλης Petavius tollenda esse putamus 17 αὐτὴν deest in pet. 20 ἐπισκήψειεν] „Incipio nunc vereri, ne Iulianus, aevi sui soloecismo deceptus, ἐπισκήπτειν usurpaverit pro ἐπισκήπτεσθαι *queri* vel *incusare*. cujus rei memini jam supra p. 186 B legere exemplum.“ Rsk. 21 ἐστὶν V] ἐστί 22 φᾶναι V | τοὺς πολλοὺς H] πολλοὺς

μεγαλοφρονοῦντα τὸν παραινοῦντα αὐτῷ τοιαῦτα, σωφρονίζων ἅμα καὶ διδάσκων αὐτόν, ὅτι τούτοις μέν, οἷς ἀξίως τοῦ μνηθῆναι βεβίωται, καὶ μὴ μνηθεῖσιν οἱ θεοὶ τὰς ἀμοιβὰς ἀκεραίους φυλάττουσι, C τοῖς δὲ μοχθηροῖς οὐδέν ἐστι πλέον, κἂν εἴσω τῶν ἱερῶν εἰσφρήσωσι περιβόλων. ἦ γὰρ οὐ ταῦτα καὶ ὁ ἱεροφάντης προαγορεύει, ὅστις χεῖρα μὴ καθαρὸς καὶ ὅντινα μὴ χρή, τούτοις ἀπαγορεύων μὴ μυεῖσθαι;

Τί πέρας ἡμῖν ἔσται τῶν λόγων, εἰ ταῦτα μήπω σε πείθει;

1 τοιαῦτα] „Deest ἔλεγε aut simile aliud." Pet. 4 ἀκεραίους V] ἀκεραίως 6 περιβόλων] περιαύλων V

ΙΟΥΛΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ 240

ΕΠΙ ΤΗΙ ΕΞΟΔΩΙ ΤΟΥ ΑΓΑΘΩΤΑΤΟΥ ΣΑΛΟΥΣΤΙΟΥ ΠΑΡΑΜΥΘΗΤΙΚΟΣ ΕΙΣ ΕΑΥΤΟΝ.

Ἀλλ' εἰ μὴ καὶ πρὸς σὲ διαλεχθείην ὅσα πρὸς ἐμαυτὸν διελέχθην, ἐπειδή σε βαδίζειν ἐπυθόμην χρῆναι παρ' ἡμῶν, ἔλαττον ἔχειν οἰήσομαι πρὸς παραψυχήν, ὦ φίλε ἑταῖρε, μᾶλλον δὲ οὐδὲ τὴν ἀρχὴν πεπορίσθαι τινὰ ῥᾳστώνην ἐμαυτῷ νομιῶ, ἧς σοί γε οὐ μεταδέδωκα. κοινωνήσαντας γὰρ ἡμᾶς ἀλλήλοις B
πολλῶν μὲν ἀλγεινῶν, πολλῶν δὲ ἡδέων ἔργων τε καὶ λόγων, ἐν πράγμασιν ἰδίοις τε καὶ δημοσίοις, οἴκοι καὶ ἐπὶ στρατοπέδου, καινὸν εὑρίσκεσθαι χρὴ τῶν παρόντων, ὁποῖά ποτ' ἂν ᾖ, παιώνιον ἄκος. ἀλλὰ τίς ἡμῖν ἢ τὴν Ὀρφέως μιμήσεται λύραν ἢ τοῖς Σειρήνων ἀντηχήσει μέλεσιν ἢ τὸ νηπενθὲς ἐξεύροι φάρμακον; εἴτε λόγος ἦν ἐκεῖνο πλήρης Αἰγυπτίων διηγημάτων, εἴθ' ὅπερ αὐτὸς ἐποίησεν, ἐν C
τοῖς ἑπομένοις ἐνυφήνας τὰ Τρωικὰ πάθη, τοῦτο

1 καίσαρος V] αὐτοκράτορος 2 τοῦ ἀγαθωτάτου add. V 3 εἰς ἑαυτόν add. V. Inscriptio deest in M 4 εἰ καὶ μὴ M | πρὸς σὲ VM] πρός σε 5 διειλέχθην M | ἐπειδή σε VM] ἐπειδὴ 10 μὲν om. pet. 13 παιώνιον G. Dindorfius ad. Thes. i. v.] παιονικὸν V, παιωνικὸν v 14 et 15 τίς ἂν — μιμήσαιτο et ἀντηχήσειε legendum videtur 15 μέλεσιν VM] μέλεσι 17 ἐποίησεν VM] ἐποίησε

τῆς Ἑλένης παρ' Αἰγυπτίων μαθούσης, οὐχ ὅσα Ἕλληνες καὶ Τρῶες ἀλλήλους ἔδρασαν, ἀλλὰ ποταποὺς εἶναι χρὴ τοὺς λόγους, οἳ τὰς μὲν ἀλγηδόνας ἀφαιρήσουσι τῶν ψυχῶν, εὐφροσύνης δὲ καὶ γαλήνης αἴτιοι καταστήσονται. καὶ γάρ πως ἔοικεν ἡδονὴ καὶ λύπη τῆς αὐτῆς κορυφῆς ἐξῆφθαι καὶ παρὰ μέρος
241 ἀλλήλαις ἀντιμεθίστασθαι. τῶν προσπιπτόντων δὲ καὶ τὰ λίαν ἐργώδη φασὶν οἱ σοφοὶ τῷ νοῦν ἔχοντι φέρειν οὐκ ἐλάττονα τῆς δυσκολίας τὴν εὐπάθειαν, ἐπεὶ καὶ τὴν μέλιτταν ἐκ τῆς δριμυτάτης πόας τῆς περὶ τὸν Ὑμηττὸν φυομένης γλυκεῖαν ἀνιμᾶσθαι δρόσον καὶ τοῦ μέλιτος εἶναι δημιουργόν. ἀλλὰ καὶ τῶν σωμάτων ὅσα μὲν ὑγιεινὰ καὶ ῥωμαλέα καθέστηκεν, ὑπὸ τῶν τυχόντων τρέφεται σιτίων, καὶ τὰ
B δυσχερῆ δοκοῦντα πολλάκις ἐκείνοις οὐκ ἀβλαβῆ μόνον, ἀλλὰ καὶ τῆς ἰσχύος αἴτια γέγονεν· ὅσοις δὲ πονήρως ἔχει φύσει καὶ τροφῇ καὶ ἐπιτηδεύσει τὸ σῶμα, τὸν πάντα βίον νοσηλευομένοις, τούτοις καὶ τὰ κουφότατα βαρυτάτας εἴωθε προστιθέναι βλάβας. οὐκοῦν καὶ τῆς διανοίας ὅσοι μὲν οὕτως ἐπεμελήθησαν, ὡς μὴ παμπονήρως ἔχειν, ἀλλ' ὑγιαίνειν μετρίως, εἰ καὶ μὴ κατὰ τὴν Ἀντισθένους καὶ Σωκρά-
C τους ῥώμην μηδὲ τὴν Καλλισθένους ἀνδρείαν μηδὲ τὴν Πολέμωνος ἀπάθειαν, ἀλλ' ὥστε δύνασθαι τὸ μέτριον ἐν τοῖς τοιούτοις αἱρεῖσθαι, τυχὸν ἂν καὶ ἐν δυσκολωτέροις εὐφραίνοιντο. ἐγώ τοι καὶ αὐτὸς

5 γάρ πως VM] γὰρ πῶς 6 τῆς αὐτῆς κορυφῆς ἐξῆφθαι] Plat. Phaedon. p. 60 B 7 ἀλλήλαις VM] ἀλλήλοις 10 φασὶ add. M ante πόας 12 μέλιττος VM 18 νοσηλευομένοις M] νοσηλευόμενοι 19 εἴωθε] Hujus loco lacuna est in pet. 20 et 21 ἐπεμελήθησαν ὡς μὴ παμπονήρως ἔχειν M] ἐπεμελήθησαν ω........πονήρως ἔχειν V, ἐπ' ἐμὲ λήθη... ἔχειν v 24 ἀπάθειαν VM] εὐπάθειαν

πεῖραν ἐμαυτοῦ λαμβάνων, ὅπως πρὸς τὴν σὴν πο-
ρείαν ἔχω τε καὶ ἕξω, τοσοῦτον [μὲν] ὠδυνήθην,
ὅσον ὅτε πρῶτον τὸν ἐμαυτοῦ καθηγεμόνα κατέλιπον
οἴκοι· πάντων γὰρ ἀθρόως εἰσῄει με μνήμη, τῆς τῶν
πόνων κοινωνίας, ὧν ἀλλήλοις συνδιηνέγκαμεν, τῆς
ἀπλάστου καὶ καθαρᾶς ἐντεύξεως, τῆς ἀδόλου καὶ D
δικαίας ὁμιλίας, τῆς ἐν ἅπασι τοῖς καλοῖς κοινο-
πραγίας, τῆς πρὸς τοὺς πονηροὺς ἰσορρόπου τε καὶ
ἀμεταμελήτου προθυμίας τε καὶ ὁρμῆς, ὡς μετ᾽ ἀλλή-
λων ἔστημεν πολλάκις ἶσον θυμὸν ἔχοντες, ὁμότροποι
καὶ ποθεινοὶ φίλοι. πρὸς δὲ αὖ τούτοις εἰσῄει με
μνήμη τοῦ Οἰώθη δ᾽ Ὀδυσεύς· εἰμὶ γὰρ ἐγὼ νῦν
ἐκείνῳ παραπλήσιος, ἐπεὶ σὲ μὲν κατὰ τὸν Ἕκτορα
θεὸς ἐξήγαγεν ἔξω βελῶν, ὧν οἱ συκοφάνται πολλά- 242
κις ἀφῆκαν ἐπὶ σέ, μᾶλλον δὲ εἰς ἐμέ, διὰ σοῦ
τρῶσαι βουλόμενοι, ταύτῃ με μόνον ἁλώσιμον ὑπο-
λαμβάνοντες, εἰ τοῦ πιστοῦ φίλου καὶ συνασπιστοῦ
προθύμου καὶ πρὸς τοὺς κινδύνους ἀπροφασίστου
κοινωνοῦ τῆς συνουσίας στερήσειαν. οὐ μὴν ἔλαττον
οἶμαί σε διὰ τοῦτο ἀλγεῖν ἢ ἐγὼ νῦν, ὅτι σοι τῶν
πόνων καὶ τῶν κινδύνων ἔλαττον μέτεστιν, ἀλλὰ καὶ B
πλέον ὑπὲρ ἐμοῦ δεδιέναι καὶ τῆς ἐμῆς κεφαλῆς, μή
τι πάθῃ. καὶ γάρ τοι καὶ αὐτὸς οὐκ ἐν δευτέρῳ
τῶν ἐμῶν ἐθέμην τὰ σά, καὶ σοῦ δὲ ὁμοίως ἔχοντος
πρὸς ἡμᾶς ᾐσθόμην. ὅθεν εἰκότως καὶ μάλα δάκνο-
μαι, ὅτι σοι, τῶν ἄλλων ἕνεκα λέγειν δυναμένῳ

2 ἔξω V | μὲν om. M 3 τὸν om. M 4 πάντων VM] πάντως 8 τε om. M 9 ὁρμῆς Cob.] ῥώμης 10 ἔχοντε Cob., quum Iulianus Iliad. ν, 704 respiciat. Sed potest etiam Iliad. ρ, 720 spectare 12 δ᾽ Ὀδυσεὺς pet. ex Iliad. λ, 401, δὲ Ὀδυσσεὺς VM 13 Ἕκτορα] Iliad. λ, 163 17 et 18 Transponendum est προθύμου συνασπιστοῦ 21 μέτεστιν VM] μέτεστι 24 σοῦ δὲ H] σοῦ γε

Οὐδὲν μέλει μοι· τἀμὰ γὰρ καλῶς ἔχει,

C *μόνος εἰμὶ λύπης αἴτιος καὶ φροντίδος. ἀλλὰ τούτου μὲν ἐξ ἴσης, ὡς ἔοικε, κοινωνοῦμεν, σὺ μὲν ὑπὲρ ἡμῶν ἀλγῶν μόνον, ἐγὼ δὲ ἀεὶ ποθῶν τὴν σὴν συνουσίαν καὶ τῆς φιλίας μεμνημένος, ἣν ἐκ τῆς ἀρετῆς μὲν μάλιστα καὶ προηγουμένως, ἔπειτα καὶ διὰ τὴν χρείαν, ἣν οὐκ ἐγὼ μὲν σοί, σὺ δὲ ἐμοὶ συνεχῶς παρέσχες, ἀνακραθέντες ἀλλήλοις ὡμολογήσαμεν, οὐχ ὅρκοις οὐδὲ τοιαύταις ἀνάγκαις ταῦτα* D *πιστούμενοι, ὥσπερ ὁ Θησεὺς καὶ ὁ Πειρίθους, ἀλλ' ἐξ ὧν ἀεὶ ταὐτὰ νοοῦντες καὶ προαιρούμενοι κακὸν μὲν δοῦναι τῶν πολιτῶν τινι τοσοῦτον δέω λέγειν ἀπέσχομεν, ὥστε οὐδὲ ἐβουλευσάμεθά ποτε μετὰ ἀλλήλων· χρηστὸν δὲ εἴ τι γέγονεν ἢ βεβούλευται κοινῇ παρ' ἡμῶν, τοῦτο ἄλλοις εἰπεῖν μελήσει.*

Ὡς μὲν οὖν εἰκότως ἀλγῶ τοῖς παροῦσιν, οὐ φίλου μόνον, ἀλλὰ καὶ συνεργοῦ πιστοῦ, δοίη δὲ ὁ 243 *δαίμων, καὶ πρὸς ὀλίγον ἀπαλλαττόμενος, οἶμαι καὶ Σωκράτη τὸν μέγαν τῆς ἀρετῆς κήρυκα καὶ διδάσκαλον ἔμοιγε συνομολογήσειν ἐξ ὧν ἐκεῖνον γνωρίζομεν, λέγω δὲ τῶν Πλάτωνος λόγων, τεκμαιρόμενος ὑπὲρ αὐτοῦ. φησὶ γοῦν ὅτι Χαλεπώτερον ἐφαίνετό μοι ὀρθῶς τὰ πολιτικὰ διοικεῖν· οὔτε γὰρ ἄνευ φίλων ἀνδρῶν καὶ ἑταίρων πιστῶν οἷόν τε εἶναι πράττειν, οὔτ' εὐπορεῖν τούτων ξὺν πολλῇ ῥᾳστώνῃ.*

1 *οὐδὲν* H] *οὐθὲν* | *γὰρ*] *καὶ* pet. 4 *ποθῶν ἀεὶ* M 7 *οὐκ* delet Rsk., recte; vid. 243 B 11 *ταὐτὰ* V] *ταῦτα* 12 *δέω*] Vid. ad 230 A | *τοσοῦτον ....'γειν* V 14 *δὲ* VM] *δὴ* | *ἢ* M] *ἤ τι* 15 *ἄλλοις* Horkelius] *ἀλλήλοις* 16 *ὡς μὲν* VM] *εἰ μὲν* 17 *δοίη δὲ* M] *δοίη* V, *δοί..* pet., *οἶδεν* spanh. 18 *ἀπαλαττόμενος*, ut solet, V, *ἀπολειπόμενος* Cob. 19 *Σωκράτη* H] *Συκράτην* 22 *φησὶ γοῦν* M] *φησὶν οὖν* | Malim *χαλεπώτατον*

καίτοι τοῦτό γε εἰ Πλάτωνι μεῖζον ἐφαίνετο τοῦ διο- B ρύττειν τὸν Ἄθω, τί χρὴ προσδοκᾶν ἡμᾶς ὑπὲρ αὐτοῦ τοὺς πλέον ἀπολειπομένους τῆς ἐκείνου συνέσεώς τε καὶ γνώμης ἢ 'κεῖνος τοῦ θεοῦ; ἐμοὶ δὲ οὐδὲ τῆς χρείας μόνον ἕνεκα, ἣν ἀντιδιδόντες ἀλλήλοις ἐν τῇ πολιτείᾳ ῥᾷον εἴχομεν πρὸς τὰ παρὰ γνώμην ὑπὸ τῆς τύχης καὶ τῶν ἀντιταττομένων ἡμῖν πραττόμενα, ... καὶ τῆς μόνης ἀεί μοι θαλπωρῆς τε καὶ τέρ- C ψεως ἐνδεὴς οὐκ εἰς μακρὰν ἔσεσθαι μέλλων, εἰκότως δάκνομαί τε καὶ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν. ἐς τίνα γὰρ οὕτως ἔσται μοι λοιπὸν εὔνουν ἀποβλέψαι φίλον; τίνος δὲ ἀνασχέσθαι τῆς ἀδόλου καὶ καθαρᾶς παρρησίας; τίς δὲ ἡμῖν συμβουλεύσει μὲν ἐμφρόνως, ἐπιτιμήσει δὲ μετ' εὐνοίας, ἐπιρρώσει δὲ πρὸς τὰ καλὰ χωρὶς αὐθαδείας καὶ τύφου, παρρησιάσεται δὲ τὸ πικρὸν ἀφελὼν τῶν λόγων, ὥσπερ οἱ D τῶν φαρμάκων ἀφαιροῦντες μὲν τὸ λίαν δυσχερές, ἀπολείποντες δὲ αὐτὸ τὸ χρήσιμον; ἀλλὰ τοῦτο μὲν ἐκ τῆς σῆς φιλίας ὄφελος ἐκαρπωσάμην. τοσούτων δὲ ὁμοῦ ἐστερημένος, τίνων ἂν εὐπορήσαιμι λόγων, οἵ με, διὰ τὸν σὸν πόθον σά τε μήδεα σήν τε ἀγανοφροσύνην αὐτὴν προέσθαι τὴν ψυχὴν κινδυνεύοντα, πείσουσιν ἀτρεμεῖν καὶ φέρειν ὅσα δέδωκεν ὁ θεὸς γενναίως; εἰς ταὐτὸ γὰρ ἔοικεν αὐτῷ νοῶν

2 ὑπὲρ αὐτοῦ add. VM 4 ἢ 'κεῖνος V] ἢ ἐκεῖνος 5 ἕνεκα μόνον M 7 πραττόμενα] Lacunae signum post πραττόμενα habet pet., ac manifestum est nonnulla excidisse, quae audacter Rsk. explet: λυπηρὸν προσπίπτει τὸ σοῦ χωρίζεσθαι, ἀλλὰ καὶ τῆς μόνης (pro μονῆς, ut vulgo scribitur) ἀεί μοι θαλπωρῆς 8 ἀεί μοι M] ἀεὶ δέ μοι 10 δέδηκμαι V 19 ὄφελος M] τὸ ὄνειδος | ἐκαρπωσάμεθα M 21 οἵ με Pet.] οἶμαι 21 et 22 σὸν πόθον — ἀγανοφροσύνην] Odyss. λ, 201 23 et 24 φέρειν — γενναίως] Demosth. 18, 97 24 νοῶν] .οῶν V, ..ῶν pet.

244 ὁ μέγας αὐτοκράτωρ ταῦθ' οὕτω νυνὶ βουλεύσασθαι. τί ποτε οὖν ἄρα χρὴ διανοηθέντα καὶ τίνας ἐπῳδὰς εὑρόντα πεῖσαι πρᾴως ἔχειν ὑπὸ τοῦ πάθους θορυβουμένην τὴν ψυχήν; ἆρα ἡμῖν οἱ Ζαμόλξιδός εἰσι μιμητέοι λόγοι, (λέγω δὲ) τὰς ἐκ Θρᾴκης ἐπῳδάς, ἃς Ἀθήναζε φέρων ὁ Σωκράτης πρὸ τοῦ τὴν ὀδύνην ἰᾶσθαι τῆς κεφαλῆς ἐπᾴδειν ἠξίου τῷ καλῷ Χαρμίδῃ; ἢ τούτους μὲν ἅτε δὴ μείζονας καὶ περὶ μειζόνων οὐ κινητέον, ὥσπερ ἐν θεάτρῳ μικρῷ μηχανὰς με-
B γάλας, ἀλλ' ἐκ τῶν ἔμπροσθεν ἔργων, ὧν ἐπυθόμεθα τὰ κλέα, φησὶν ὁ ποιητής, ὥσπερ ἐκ λειμῶνος δρεψάμενοι ποικίλου καὶ πολυτελοῦς ἄνθη τὰ κάλλιστα ψυχαγωγήσομεν αὐτοὺς τοῖς διηγήμασι, μικρὰ τῶν ἐκ φιλοσοφίας αὐτοῖς προστιθέντες; ὥσπερ γὰρ οἶμαι τοῖς λίαν γλυκέσιν οἱ παρεγχέοντες οὐκ οἶδ' ὁποῖ' ἅττα φάρμακα τὸ προσκορὲς αὐτῶν ἀφαιροῦσιν, οὕτω τοῖς διηγήμασιν ἐκ φιλοσοφίας ἔνια προστιθέμενα τὸ
C δοκεῖν ἐξ ἱστορίας ἀρχαίας ὄχλον ἐπεισάγειν, οὐδὲν δέον, καὶ περιττὴν ἀδολεσχίαν ἀφαιρεῖται.

Τί πρῶτον; τί δ' ἔπειτα; τί δ' ὑστάτιον καταλέξω;

πότερον ὡς ὁ Σκηπίων ἐκεῖνος, ὁ τὸν Λαίλιον ἀγαπήσας καὶ φιληθεὶς τὸ λεγόμενον ἴσῳ ζυγῷ παρ'

1 ταῦθ' οὕτω VM] ταῦτ' οὔπω pet., ταῦθ' spanh. 2 ἆρα VM] ἄρα | χρὴ διανοηθέντα M] χρὴ .ι....... V, χρὴ v 4 ζαλμόξιδος M 5 λέγω δὲ Cob.] καὶ | τὰς ἐκ Θρᾴκης VM] τὰς pet., ἐκθρυλλεῖν (ex p. 309 C, ut videtur, petitum) τὰς spanh. 7 Χαρμίδῃ] Plat. Charm. 156 D 8 δὴ om. M 10 et 11 ὧν ἐπυθόμεθα τὰ κλέα] Iliad. ι, 524, unde Cob. ἐπευθόμεθα vult reponere 11 φησὶν VM] φησὶ | ὁ ποιητὴς add. M 13 αὐτοὺς V] αὑτοὺς 14 γὰρ add. VM 15 et 16 ὁποῖ' ἅττα V, ὁποιάττα M 17 διηγήμασιν VM] διηγήμασι | ἔνια προστιθέμενα Rsk.] αἰτία προστιθεμένη 20 Odyss. ι, 14 22 λέλιον V 22 et 23 ὁ δὲ ἀγαπήσας αὐτὸν

ἐκείνου πάλιν, ἡδέως μὲν αὐτῷ συνῆν, ἔπραττε δὲ
οὐδέν, ὧν μὴ πρότερον ἐκεῖνος πύθοιτο καὶ φήσειεν
εἶναι πρακτέον· ὅθεν οἶμαι καὶ λόγον παρέσχε τοῖς D
ὑπὸ φθόνου τὸν Σκηπίωνα λοιδοροῦσιν, ὡς ποιητὴς
μὲν ὁ Λαίλιος εἴη τῶν ἔργων, Ἀφρικανὸς δὲ ὁ
τούτων ὑποκριτής. αὕτη τοι καὶ ἡμῖν ἡ φήμη πρόσ-
κειται, καὶ χαίρω γε ἐπ' αὐτῇ πλέον. τὸ γὰρ τοῖς
ὀρθῶς ὑπ' ἄλλου γνωσθεῖσι πεισθῆναι μείζονος τῆς
ἀρετῆς ὁ Ζήνων ποιεῖται γνώρισμα τοῦ γνῶναί τινα 245
αὐτὸν ἐξ αὑτοῦ τὰ δέοντα, τὴν Ἡσιόδου μεθαρμότ-
των ῥῆσιν,

Οὗτος μὲν πανάριστος, ὃς εὖ εἰπόντι πίθηται
λέγων ἀντὶ τοῦ νοήσῃ πανθ' ἑαυτῷ. ἐμοὶ δὲ οὐ
διὰ τοῦτο χαρίεν εἶναι δοκεῖ· πείθομαι γὰρ ἀληθέ-
στερον μὲν Ἡσίοδον λέγειν, ἀμφοῖν δὲ ἄμεινον Πυθα-
γόραν, ὃς καὶ τῇ παροιμίᾳ παρέσχε τὴν ἀρχὴν καὶ
τὸ λέγεσθαι κοινὰ τὰ φίλων ἔδωκε τῷ βίῳ, οὐ δήπου B
τὰ χρήματα λέγων μόνον, ἀλλὰ καὶ τὴν τοῦ νοῦ
καὶ τῆς φρονήσεως κοινωνίαν, ὥσθ' ὅσα μὲν εὗρες
αὐτός, οὐδὲν ἔλαττον ταῦτα τοῦ πεισθέντος ἐστίν,
ὅσα δὲ τῶν σῶν ὑπεκρινάμην, τούτων αὐτῶν εἰκότως

καὶ φιληθεὶς — πρακτέον cit. Suidas v. ἴσῳ ζυγῷ 1 πάλιν om. Suid. 2 μὴ Suid.] μήτε 5 λέλιος V 7 καὶ χαίρω — πλέον] Haec fere scripserit Iulianus: καὶ οὐ μόνον οὐ δυσχεραίνω, χαίρω δὲ ἐπ' αὐτῇ πλέον. cf. 37 B 255 D et ad 116 C 7–13 τὸ γὰρ τοῖς — πάνθ' ἑαυτῷ cit. Suidas v. τοῖς ὀρθῶς 7 γὰρ om. Suid. 8 τῆς cum deterioribus libris Suidae malim omittere 9 Ζήνων] Cf. Diog. Laert. VII, 25 Themist. p. 108 C 171 D et Plut. mor. Vol. 14 p. 296, 4 Hutt. 10 Ἡσιόδου] O. et D. 293 12 πείθηται VM 13 νοήσῃ M] νοήσει 14 χάριεν VM 17 τὰ φίλων VM] τὰ τῶν φίλων 18 μόνον] μ... V. Post χρήματα addit Suidas (v. κοινὰ τὰ τῶν φίλων, ubi verba οὐ δήπου — κοινωνίαν afferuntur) λέγειν quod in λέγων mutatum recepi 20 ταῦτα om. M | ἐστίν] εἰσίν M

τὸ ἴσον μετέχεις. ἀλλὰ ταῦτα μὲν ὁποτέρου μᾶλλον ἂν φαίνηται, θατέρῳ προσήκει, καὶ τοῖς βασκάνοις οὐδὲν ἔσται πλέον ἐκ τῶν λόγων.

Ἡμῖν δὲ ἐπανιτέον ἐπὶ τὸν Ἀφρικανὸν καὶ τὸν Λαίλιον. ἐπειδὴ γὰρ ἀνῄρητο μὲν ἡ Καρχηδὼν καὶ
C τὰ περὶ τὴν Λιβύην ἅπαντα τῆς Ῥώμης ἐγεγόνει δοῦλα, πέμπει μὲν Ἀφρικανὸς τὸν Λαίλιον· ἀνήγετο δὲ ἐκεῖνος εὐαγγέλια τῇ πατρίδι φέρων· καὶ ὁ Σκηπίων ἤχθετο μὲν ἀπολειπόμενος τοῦ φίλου, οὐ μὴν ἀπαραμύθητον αὐτῷ τὸ πάθος ᾤετο. καὶ τὸν Λαίλιον δὲ δυσχεραίνειν εἰκός, ἐπειδὴ μόνος ἀνήγετο, οὐ μὴν ἀφόρητον ἐποιεῖτο τὴν συμφοράν. ἔπλει καὶ Κάτων ἀπολιπὼν οἴκοι τοὺς αὐτοῦ συνήθεις, καὶ Πυθαγόρας [εἰς Αἴγυπτον], καὶ Πλάτων καὶ Δημό-
D κριτος οὐδένα παραλαβόντες κοινωνὸν τῆς ὁδοῦ, καίτοι πολλοὺς οἴκοι τῶν φιλτάτων ἀπολιμπάνοντες. ἐστρατεύσατο καὶ Περικλῆς ἐπὶ τὴν Σάμον οὐκ ἄγων τὸν Ἀναξαγόραν, καὶ τὴν Εὔβοιαν παρεστήσατο ταῖς μὲν ἐκείνου βουλαῖς, ἐπεπαίδευτο γὰρ ὑπ' ἐκείνῳ, τὸ σῶμα δὲ οὐκ ἐφελκόμενος ὥσπερ ἄλλο τι τῶν
246 ἀναγκαίων πρὸς τὰς μάχας. καίτοι καὶ τοῦτον ἄκοντα, φασίν, Ἀθηναῖοι τῆς πρὸς τὸν διδάσκαλον ἀπέστησαν συνουσίας. ἀλλ' ἔφερεν ὡς ἀνὴρ ἔμφρων τὴν ἄνοιαν τῶν αὐτοῦ πολιτῶν ἐγκρατῶς καὶ πρᾴως. καὶ γὰρ ἀνάγκῃ τῇ πατρίδι καθάπερ μητρὶ δικαίως μὲν οὔ,

1 ἴσον M] ἶσον | μ...εις V 2 θατέρῳ] καὶ θατέρῳ H 3 ἔστι M 5 λέλιον V 6 τὴν om M 7 λέλιον V 8 φέρων τῇ πατρίδι M 9 ἀπολειπόμενος H et Cob.] ἀπολειπομένου 10 αὐτῷ H] αὑτῷ | λέλιον V 13 αὐτοῦ H] αὑτοῦ 14 εἰς Αἴγυπτον ineptum est additamentum 19 ἐκείνῳ VM] ἐκείνου 23 ἀλλ' ἔμφρων ὢν ἀνὴρ ἔφερε M, ex quo ὢν addiderim | ἄνοιαν M] ἄγνοιαν 24 αὐτοῦ H] αὑτοῦ 25 [ανάγκη] v

χαλεπῶς δὲ ὅμως ἐχούσῃ πρὸς τὴν συνουσίαν αὐτῶν, εἴκειν ᾤετο χρῆναι, ταῦτα, ὡς εἰκός, λογιζόμενος· ἀκούειν δὲ χρὴ τῶν ἑξῆς ὡς τοῦ Περικλέους αὐτοῦ· Ἐμοὶ πόλις μέν ἐστι καὶ πατρὶς ὁ κόσμος, καὶ φίλοι θεοὶ καὶ δαίμονες καὶ πάντες ὅσοι καὶ B ὅπου σπουδαῖοι. χρὴ δὲ καὶ οὗ γεγόναμεν τιμᾶν, ἐπειδὴ τοῦτο θεῖός ἐστι νόμος, καὶ πείθεσθαί γε οἷς ἂν ἐπιτάττῃ καὶ μὴ βιάζεσθαι μηδέ, ὅ φησιν ἡ παροιμία, πρὸς κέντρα λακτίζειν· ἀπαραίτητον γάρ ἐστι τὸ λεγόμενον ζυγὸν τῆς ἀνάγκης. οὐ μὴν ὀδυρτέον οὐδὲ θρηνητέον ἐφ' οἷς ἐπιτάττει τραχύτερον, ἀλλὰ τὸ πρᾶγμα λογιστέον αὐτό. νῦν ἀπαλλάττεσθαι τὸν Ἀναξαγόραν ἀφ' ἡμῶν κελεύει, καὶ τὸν ἄριστον C οὐκ ὀψόμεθα τῶν ἑταίρων, δι' ὃν ἠχθόμην μὲν τῇ νυκτί, ὅτι μοι τὸν φίλον οὐκ ἐδείκνυεν, ἡμέρᾳ δὲ καὶ ἡλίῳ χάριν ἠπιστάμην, ὅτι μοι παρεῖχεν ὁρᾶν οὗ μάλιστα ἤρων. ἀλλ' εἰ μὲν ὄμματά σοι δέδωκεν ἡ φύσις, ὦ Περίκλεις, μόνον ὥσπερ τοῖς ὄρνισιν, οὐδὲν ἀπεικός ἐστί σε διαφερόντως ἄχθεσθαι· εἰ δέ D σοι ψυχὴν ἐνέπνευσε καὶ νοῦν ἐνῆκεν, ὑφ' οὗ τὰ μὲν πολλὰ τῶν γεγενημένων καίπερ οὐ παρόντα νῦν ὁρᾷς διὰ τῆς μνήμης, πολλὰ δὲ καὶ τῶν ἐσομένων ὁ λογισμὸς ἀνευρίσκων ὥσπερ ὄμμασιν ὁρᾶν προσβάλλει τῷ νῷ, καὶ τῶν ἐνεστώτων οὐ τὰ πρὸ τῶν ὀμμάτων ἡ φαντασία μόνον ἀποτυπουμένη δίδωσιν

3 et 4 ἀκούειν — αὐτοῦ emblema esse censet Cob. At cf. Plat. Menex. 246 C 4 ἐστι om. pet. 6 οὗ] τὴν οὗ H 11 τραχυτέρως M 12 ἀπαλάττεσθαι V 14 οὐκ ὀψόμεθα τῶν ἑταίρων VM] τῶν ἑτ. οὐκ ὀψ. Pro οὐκ Cob. suspicatur οὐκέτ' 16 et 17 ὁρᾶν οὗ VM] ὁρᾶν ὃν spanh. In pet. est lacuna. Ceterum imitatur Iulianus Xenophontem Symp. 4, 12 18 ὦ περὶ... pet. | ὄρνισιν VM] ὄρνισι v, θῆρσιν H 23 προβάλλει M

αὐτῷ κρίνειν καὶ καθορᾶν, ἀλλὰ καὶ τὰ πόρρω καὶ
247 μυριάσι σταδίων ἀπῳκισμένα τῶν γενομένων παρὰ πόδα καὶ πρὸ τῶν ὀφθαλμῶν δείκνυσιν ἐναργέστερον, τί χρὴ τοσοῦτον ἀνιᾶσθαι καὶ σχετλίως φέρειν; ὅτι δὲ οὐκ ἀμάρτυρος ὁ λόγος ἐστί μοι,

Νοῦς ὁρῇ καὶ νοῦς ἀκούει

φησὶν ὁ Σικελιώτης, οὕτως ὀξὺ χρῆμα καὶ τάχει χρώμενον ἀμηχάνῳ, ὥσθ' ὅταν τινὰ τῶν δαιμόνων Ὅμηρος ἐθέλῃ κεχρημένον ἀπίστῳ πορείας ἐπιδεῖξαι τάχει,

Ὡς δ' ὅτ' ἂν ἀίξῃ νόος ἀνέρος

B φησί. τούτῳ τοι χρώμενος ῥᾷστα μὲν Ἀθήνηθεν ὄψει τὸν ἐν Ἰωνίᾳ, ῥᾷστα δὲ ἐκ Κελτῶν τὸν ἐν Ἰλλυριοῖς καὶ Θρᾴκῃ, καὶ τὸν ἐν Κελτοῖς ἐκ Θρᾴκης καὶ Ἰλλυριῶν. καὶ γὰρ οὐδ', ὥσπερ τοῖς φυτοῖς οὐκ ἔνι σώζεσθαι τὴν συνήθη χώραν μεταβάλλουσιν, ὅταν ἡ τῶν ὡρῶν ᾖ κρᾶσις ἐναντία, καὶ τοῖς ἀνθρώποις συμβαίνει τόπον ἐκ τόπου μεταβάλλουσιν ἢ διαφθείρεσθαι παντελῶς ἢ τὸν τρόπον ἀμείβειν καὶ μετατίθε-
C σθαι περὶ ὧν ὀρθῶς πρόσθεν ἐγνώκεσαν. οὔκουν οὐδὲ τὴν εὔνοιαν ἀμβλυτέραν ἔχειν εἰκός, εἰ μὴ καὶ μᾶλλον ἀγαπᾶν καὶ στέργειν· ἕπεται γὰρ ὕβρις μὲν κόρῳ, ἔρως δὲ ἐνδείᾳ. καὶ ταύτῃ τοίνυν ἕξομεν βέλτιον, ἐπιτεινομένης ἡμῖν τῆς πρὸς ἀλλήλους εὐ-

1 πόρρω καὶ VM] πόρρω 2 γενομένων H] λεγομένων 7 φησὶν VM] φησὶ | ὁ Σικελιώτης] Epicharmus. vid. Wyttenb. ad Plut. mor. 336 B | χρώμενον M] χρώμενος 8 τῶν add. VM 9 ἐπιδείξει pet. 11 Iliad. o, 80 | δ' ὅταν ἀΐξῃ M, δ' ὅτ' ἀναΐξῃ v et V 13 Ἰονίᾳ V pet. 15 οὐδ' VM] οὐδὲ 16 μεταβάλλουσιν VM] μεταβάλλουσι 17 ὡρῶν V 18 μεταβάλλουσιν VM] μεταβάλλουσι 20 οὔκουν M] οὐκοῦν 21 εὔνοιαν] διάνοιαν M 22 ἕπεται] ἐπιγίνεται M

νοίας, καθέξομέν τε ἀλλήλους ἐν ταῖς ἑαυτῶν δια-
νοίαις ἱδρυμένους ὥσπερ ἀγάλματα. καὶ νῦν μὲν
ἐγὼ τὸν Ἀναξαγόραν, αὖθις δὲ ἐκεῖνος ὄψεται ἐμέ·
κωλύει δὲ οὐδὲν καὶ ἅμα βλέπειν ἀλλήλους, οὐχὶ D
σαρκία καὶ νεῦρα καὶ μορφῆς τύπωμα, στέρνα τε
ἐξεικασμένα πρὸς ἀρχέτυπον σώματος· καίτοι καὶ
τοῦτο κωλύει τυχὸν οὐδὲν ταῖς διανοίαις ἡμῶν ἐμ-
φαίνεσθαι· ἀλλ' εἰς τὴν ἀρετὴν καὶ τὰς πράξεις καὶ
τοὺς λόγους καὶ τὰς ὁμιλίας καὶ τὰς ἐντεύξεις, ἃς
πολλάκις ἐποιησάμεθα μετ' ἀλλήλων, οὐκ ἀμούσως
ὑμνοῦντες παιδείαν καὶ δικαιοσύνην καὶ τὸν ἐπιτρο-
πεύοντα νοῦν τὰ θνητὰ καὶ τὰ ἀνθρώπινα, καὶ περὶ 248
πολιτείας καὶ νόμων καὶ τρόπων ἀρετῆς καὶ χρηστῶν
ἐπιτηδευμάτων διεξιόντες, ὅσα γε ἡμῖν ἐν καιρῷ τού-
των μεμνημένοις. ταῦτα ἐννοοῦντες, τούτοις τρεφό-
μενοι τοῖς εἰδώλοις τυχὸν οὐκ ὀνείρων νυκτερινῶν
ἰνδάλμασι προσέξομεν οὐδὲ κενὰ καὶ μάταια προσ-
βαλεῖ τῷ νῷ φαντάσματα πονηρῶς ὑπὸ τῆς τοῦ σώ-
ματος κράσεως αἴσθησις διακειμένη. οὐδὲ γὰρ αὐτὴν
παραληψόμεθα τὴν αἴσθησιν ὑπουργεῖν ἡμῖν καὶ B
ὑπηρετεῖσθαι· ἀλλ' ἀποφυγὼν αὐτὴν ὁ νοῦς ἐμμε-
λετήσει τούτοις πρὸς κατανόησιν καὶ συνεθισμὸν τῶν
ἀσωμάτων διεγειρόμενος· νῷ γὰρ δὴ καὶ τῷ κρείτ-
τονι σύνεσμεν, καὶ τὰ τὴν αἴσθησιν ἀποφυγόντα καὶ

3 ὄψεται ἐμέ H] ὄψεταί με 4 et 5 οὐκ εἰς σαρκία Rsk. 5 et 6 στέρνα τε ἐξεικασμένα M et, ut videtur, V, nam in hoc partim sub macula latent. Vulgo legitur στερ... ἐξείκασμα (pet.) aut στέρνων τε ἐξείκασμα (spanh.). Sumta sunt haec verba ex Eur. Phoen. 165 14 ἐν καιρῷ ἡμῖν M. Rsk. ἐπῄει post ἡμῖν addit 15 τρεφόμενοι M] στρεφόμενοι 16 νυκτέρων Cob.; nam senarium Tragici cujusdam (cf. Diog. Laert. 6, 95) respici 17 ἰνδάλμασι om. M | καινὰ pet. | προσβαλεῖ Rsk. et Cob.] προσβάλει (sic) M, προσβάλλει v 18 φαντάσματα M] τὰ φαντάσματα

διεστηκότα τῷ τόπῳ, μᾶλλον δὲ οὐδὲ δεόμενα τόπου ὁρᾶν τε καὶ αἱρεῖν πεφύκαμεν, ὅσοις ἀξίως βεβίωται τῆς τοιαύτης θέας, ἐννοοῦντες αὐτὴν καὶ συναπτόμενοι.

Ἀλλ' ὁ μὲν Περικλῆς, ἅτε δὴ μεγαλόφρων ἀνὴρ
C καὶ τραφεὶς ἐλευθέρως ἐν ἐλευθέρᾳ τῇ πόλει, ὑψηλοτέροις ἐψυχαγώγει λόγοις αὐτόν· ἐγὼ δὲ γεγονὼς ἐκ τῶν οἷοι νῦν βροτοί εἰσιν ἀνθρωπικωτέροις ἐμαυτὸν θέλγω καὶ παράγω λόγοις, καὶ τὸ λίαν πικρὸν ἀφαιρῶ τῆς λύπης, πρὸς ἕκαστον τῶν ἀεί μοι προσπιπτόντων ἀπὸ τοῦ πράγματος δυσχερῶν τε καὶ ἀτόπων φαντα-
D σμάτων ἐφαρμόζειν τινὰ παραμυθίαν πειρώμενος, ὥσπερ ἐπῳδὴν θηρίου δήγματι δάκνοντος αὐτὴν ἔσω τὴν καρδίαν ἡμῶν καὶ τὰς φρένας. ἐκεῖνό τοι πρῶτόν ἐστί μοι τῶν φαινομένων δυσχερῶν. νῦν ἐγὼ μόνος ἀπολελείψομαι καθαρᾶς ἐνδεὴς ὁμιλίας καὶ ἐλευθέρας ἐντεύξεως· οὐ γάρ ἔστι μοι τέως ὅτῳ διαλέξομαι θαρρῶν ὁμοίως. πότερον οὖν οὐδ' ἐμαυτῷ διαλέγε-
249 σθαι ῥᾴδιόν ἐστί μοι; ἀλλ' ἀφαιρήσεταί μέ τις καὶ τὴν ἔννοιαν καὶ προσαναγκάσει νοεῖν ἕτερα καὶ θαυμάζειν παρ' ἃ βούλομαι; ἢ τοῦτο μέν ἐστι τέρας ἤδη καὶ προσόμοιον τῷ γράφειν ἐφ' ὕδατος καὶ τῷ λίθον ἕψειν καὶ τῷ ἱπταμένων ὀρνίθων ἐρευνᾶν ἴχνη τῆς πτήσεως; οὐκοῦν ἐπειδὴ τούτων ἡμᾶς οὐδεὶς ἀφαιρεῖται, συνεσόμεθα δήπουθεν αὐτοί πως ἑαυτοῖς, ἴσως δὲ καὶ ὁ δαίμων ὑποθήσεταί τι χρηστόν· οἱ

6 ἐλευθέρως Cob.] ἐλεύθερος 8 τῶν H et Cob.] τούτων | εἰσιν VM] εἰσι 11 ἀπό του πράγματος H 17 οὐ γὰρ ἔστι V] οὐ γάρ ἐστι 19 με τίς V 20 προς...σει pet. 21 et 22 τέρας ἤδη M] ... ἤδη V pet., ἤδη spanh. 22 et 23 τῷ λίθον Cob.] τὸν λίθον 23 τῶν ἱπταμένων ὀρνίθων M, τῶ ..... ὀρνίθων V, τῶν ὀρνίθων v. Scripsi τῷ Cobetum secutus

γὰρ εἰκὸς ἄνδρα ἑαυτὸν ἐπιτρέψαντα τῷ κρείττονι
παντάπασιν ἀμεληθῆναι καὶ καταλειφθῆναι παντελῶς
ἔρημον· ἀλλ' αὐτοῦ καὶ ὁ θεὸς χεῖρα ἑὴν ὑπερέσχε B
καὶ θάρσος δίδωσι καὶ μένος ἐμπνεῖ καὶ τὰ πρακτέα
τίθησιν ἐπὶ νοῦν καὶ τῶν μὴ πρακτέων ἀφίστησιν.
εἵπετό τοι καὶ Σωκράτει δαιμονία φωνὴ κωλύουσα
πράττειν ὅσα μὴ χρεὼν ἦν· φησὶ δὲ καὶ Ὅμηρος
ὑπὲρ Ἀχιλλέως· Τῷ γὰρ ἐπὶ φρεσὶ θῆκεν, ὡς τοῦ
θεοῦ καὶ τὰς ἐννοίας ἡμῶν ἐγείροντος, ὅταν ἐπι-
στρέψας ὁ νοῦς εἰς ἑαυτὸν αὑτῷ τε πρότερον ξυγγέ-
νηται καὶ τῷ θεῷ δι' ἑαυτοῦ μόνου, κωλυόμενος
ὑπ' οὐδενός. οὐ γὰρ ἀκοῆς ὁ νοῦς δεῖται πρὸς τὸ C
μαθεῖν οὐδὲ μὴν ὁ θεὸς φωνῆς πρὸς τὸ διδάξαι
τὰ δέοντα· ἀλλ' αἰσθήσεως ἔξω πάσης ἀπὸ τοῦ κρείτ-
τονος ἡ μετουσία γίνεται τῷ νῷ· τίνα μὲν τρόπον
καὶ ὅπως οὐ σχολὴ νῦν ἐπεξιέναι, τὸ δ' ὅτι γίνεται
δῆλοι καὶ σαφεῖς οἱ μάρτυρες, οὐκ ἄδοξοί τινες οὐδ'
ἐν τῇ Μεγαρέων ἄξιοι τάττεσθαι μερίδι, ἀλλὰ τῶν D
ἀπενεγκαμένων ἐπὶ σοφίᾳ τὰ πρῶτα. οὐκοῦν ἐπειδὴ
χρὴ προσδοκᾶν καὶ θεὸν ἡμῖν παρέσεσθαι πάντως
καὶ ἡμᾶς αὐτοὺς αὑτοῖς συνέσεσθαι, τὸ λίαν δυσχερὲς
ἀφαιρετέον ἐστὶ τῆς λύπης. ἐπεὶ καὶ τὸν Ὀδυσσέα
μόνον ἐν τῇ νήσῳ καθειργμένον ἑπτὰ τοὺς πάντας
ἐνιαυτούς, εἶτ' ὀδυρόμενον, τῆς μὲν ἄλλης ἐπαινῶ
καρτερίας, τῶν θρήνων δὲ οὐκ ἄγαμαι. τί γὰρ 250
ὄφελος πόντον ἐπ' ἰχθυόεντα δέρκεσθαι καὶ λείβειν
δάκρυα; τὸ δὲ μὴ προέσθαι μηδ' ἀπαγορεῦσαι πρὸς

3 ὑ....χε V (ὑπερέσχε expletum alia manu). Sumta haec sunt ex Iliad. ι, 420 8 τῷ γὰρ — θῆκεν] Iliad. α, 55 12 οὐ γὰρ M] οὐδὲ γάρ. Nonnulla ex hoc loco excerpsit Suidas v. ἄκλητος 13 οὐδὲ μὴν H] οὔτε μὴν 26 πόντον — δέρκεσθαι] Odyss. ε, 84 27 προέσθαι VM] πρόεσθαι

τὴν τύχην, ἀλλ' ἄνδρα μέχρις ἐσχάτων γενέσθαι
φόβων καὶ κινδύνων, τοῦτο ἔμοιγε φαίνεται μεῖζον
ἢ κατὰ ἄνθρωπον. οὐ δὴ δίκαιον ἐπαινεῖν μὲν αὐ-
τούς, μὴ μιμεῖσθαι δέ, οὐδὲ νομίζειν, ὡς ἐκείνοις
μὲν ὁ θεὸς προθύμως συνελάμβανε, τοὺς δὲ νῦν
B περιόψεται τῆς ἀρετῆς ὁρῶν ἀντιποιουμένους, δι'
ἥνπερ ἄρα κἀκείνοις ἔχαιρεν· οὐ γὰρ διὰ τὸ κάλλος
τοῦ σώματος, ἐπεί τοι τὸν Νιρέα μᾶλλον ἐχρῆν ἀγα-
πᾶσθαι, οὐδὲ διὰ τὴν ἰσχύν, ἀπείρῳ γὰρ ὅσῳ Λαι-
στρυγόνες καὶ Κύκλωπες ἦσαν αὐτοῦ κρείττους, οὐδὲ
διὰ τὸν πλοῦτον, οὕτω γὰρ ἂν ἔμεινεν ἀπόρθητος
Τροία. τί δὲ δεῖ πράγματα ἔχειν αὐτὸν ἐπιζητοῦντα
τὴν αἰτίαν, δι' ἣν Ὀδυσσέα φησὶν ὁ ποιητὴς θεο-
C φιλῆ, αὐτοῦ γε ἐξὸν ἀκούειν;

Οὕνεκ' ἐπήτης ἐσσὶ καὶ ἀγχίνοος καὶ ἐχέφρων.

δῆλον οὖν ὡς, εἴπερ ἡμῖν ταῦτα προσγένοιτο, τὸ
κρεῖττον οὐκ ἐλλείψει τὰ παρ' ἑαυτοῦ, ἀλλὰ καὶ κατὰ
τὸν δοθέντα πάλαι ποτὲ Λακεδαιμονίοις χρησμὸν
καλούμενός τε καὶ ἄκλητος ὁ θεὸς παρέσται.

D Τούτοις ἐμαυτὸν ψυχαγωγήσας ἐπ' ἐκεῖνο τὸ
μέρος ἄπειμι πάλιν, ὃ δοκεῖ τῇ μὲν ἀληθείᾳ μικρὸν
εἶναι, πρὸς δόξαν δὲ ὅμως οὐκ ἀγεννές. Ὁμήρου
τοί φασι δεῖσθαι καὶ τὸν Ἀλέξανδρον, οὐ δήπου
συνόντος, ἀλλὰ κηρύττοντος ὥσπερ Ἀχιλλέα καὶ Πά-

2 φόβων M] φόνων. Malim πόνων coll. 36 D 113 B 242 A 417 A 4 οὐδὲ M] μηδὲ 6 τῆς ἀρετῆς M] ἀρετῆς 7 ἥνπερ M] ἣν εἴπερ | ἔχαιρεν M] ἔχαι... V pet., ἔχαιρε spanh. 8 νηρέα V | ἀγαπ..... V, ἀγαπᾶν pet. 9 ἀπείρῳ γὰρ ὅσῳ Rsk. et Cob.] ἀπείρω γὰρ ὡς | οἱ ante Λαιστρυγόνες expunxit H 12 αὐτὸν mihi suspectum est; vid. tamen 158 A 15 Odyss. ν, 332 | οὔνεκ' V pet. 16 προσγίνοιτο M 17—19 κατὰ τὸν — παρέσται] Suidas v. ἄκλητος 18 χρη... pet. 19 παρίσταται M

τροκλον καὶ Αἴαντας ἄμφω καὶ τὸν Ἀντίλοχον. ἀλλ' ὁ μὲν ὑπερορῶν ἀεὶ τῶν παρόντων, ἐφιέμενος δὲ τῶν ἀπόντων οὐκ ἠγάπα τοῖς καθ' ἑαυτὸν οὐδὲ ἠρκεῖτο τοῖς δοθεῖσι· καὶ εἴπερ ἔτυχεν Ὁμήρου, τὴν 251 Ἀπόλλωνος ἴσως ἂν ἐπόθησε λύραν, ᾗ τοῖς Πηλέως ἐκεῖνος ἐφύμνησε γάμοις, οὐ τῆς Ὁμήρου συνέσεως τοῦτο πλάσμα νομίσας, ἀλλ' ἀληθὲς ἔργον ἐνυφανθὲν τοῖς ἔπεσιν, ὥσπερ οἶμαι τὸ

Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν

καὶ

Ἠέλιος δ' ἀνόρουσε

καὶ

Κρήτη τις γαῖ' ἐστί,

καὶ ὅσα τοιαῦτά φασιν οἱ ποιηταί, δῆλα καὶ ἐναργῆ τὰ μὲν ὄντα καὶ εἰς ἡμᾶς ἔτι, τὰ δὲ γιγνόμενα. B

Ἀλλὰ τῷ μὲν εἴτε μέγεθος ἀρετῆς ὑπάρχον καὶ τῶν προσόντων ἀγαθῶν οὐδαμῶς ἐλάττων σύνεσις εἰς τοσαύτην ἐπιθυμίαν τὴν ψυχὴν ἐξῆγεν, ὥστε μειζόνων ἢ κατὰ τοὺς ἄλλους . . . ., εἴθ' ὑπερβολή τις ἀνδρείας καὶ θάρσους εἰς ἀλαζονείαν (ῥέπ)ουσα καὶ πρὸς αὐθάδειαν βλέπουσα, ἀφείσθω σκοπεῖν ἐν κοινῷ τοῖς βουλομένοις ἐπαινεῖν ἢ ψέγειν αὐτόν, εἴ C τις ἄρα καὶ ταύτης ὑπολαμβάνει τῆς μερίδος προσ-

1 αἴαντα M 3 τοῖς καθ' αὐτὸν M] τοὺς καθ' ἑαυτὸν 4 δοθεῖσιν V 5 ᾗ] ἢ M 6 ἐκείνοις M 7 τοῦτο H] τὸ. cf. 60 D et ad 48 D 8 ἔπεσιν VM] ἔπεσι 9 Iliad. ϑ, 1 11 Odyss. γ, 1 | δὲ V 13 Odyss. τ, 172 | γαῖα VM 15 γινόμενα M 16 τῷ μὲν M] τῶν μὲν 17 σύνεσις Pet. spanh.] σύνεσις δὲ 18 ἐξῆρεν Pflugk. ad Eur. Alc. 1080 19 Lacunam indicavi; nam recte Petavius „Deest, inquit, ὀρέγεσθαι vel simile quidpiam.“ 20 τις VM] τῆς | ῥέπουσα spanh.] ..'.ουσα V, ...σα pet., ἀνανδουσα (sic) M

ἥκειν ἐκείνῳ. ἡμεῖς δὲ τοῖς παροῦσιν ἀγαπῶντες ἀεὶ καὶ τῶν ἀπόντων ἥκιστα μεταποιούμενοι στέργομεν μέν, ὁπόταν ὁ κῆρυξ ἐπαινῇ, θεατής τε καὶ συναγωνιστὴς πάντων ἡμῖν γεγονώς, μὴ τοὺς λόγους παραδεξάμενος εἰς χάριν καὶ ἀπέχθειαν εἰκῇ πεπλασμένους· ἀρκεῖ δὲ ἡμῖν καὶ φιλεῖν ὁμολογῶν μόνον, ἐς δὲ τὰ ἄλλα σιωπηλότερος ὢν καὶ τῶν Πυθαγόρᾳ
D τελεσθέντων. ἐνταῦθα ὑπέρχεταί μοι καὶ τὸ θρυλούμενον, ὡς οὐκ εἰς Ἰλλυριοὺς μόνον, ἀλλὰ καὶ εἰς Θρᾷκας ἀφίξῃ καὶ τοὺς περὶ τὴν θάλατταν ἐκείνην οἰκοῦντας Ἕλληνας, ἐν οἷς γενομένῳ μοι καὶ τραφέντι πολὺς ἐντέτηκεν ἔρως ἀνδρῶν τε καὶ χωρίων καὶ πόλεων. ἴσως δὲ οὐ φαῦλος οὐδὲ ἐκείνων ἐναπολέλειπται ταῖς ψυχαῖς ἔρως ἡμῶν, οἷς εὖ οἶδ' ὅτι
252 τὸ λεγόμενον ἀσπάσιος ἐλθὼν ἂν γένοιο, δικαίαν ἀμοιβὴν ἀντιδιδοὺς αὐτοῖς ὑπὲρ ὧν ἡμᾶς ἀπολέλοιπας ἐνθάδε. καὶ τοῦτο μὲν οὐχ ὡς εὐχόμενος· ἐπὶ τό γε ἰέναι πρὸς ἡμᾶς τὴν αὐτὴν ταχέως ἄμεινον· ἀλλ' ὡς, εἰ γένοιτο, καὶ πρὸς τοῦθ' ἕξων οὐκ ἀπαραμυθήτως οὐδὲ ἀψυχαγωγήτως ἐννοῶ, συγχαίρων ἐκείνοις, ὅτι σε παρ' ἡμῶν ὄψονται. Κελτοῖς γὰρ ἐμαυτὸν ἤδη διὰ σὲ συντάττω, ἄνδρα εἰς τοὺς πρώτους τῶν Ἑλλήνων τελοῦντα καὶ κατ' εὐνομίαν καὶ κατὰ

1 παροῦσιν VM] παροῦσι 2 et 3 στέργομεν μὲν M] στερ..... V, στέργο... pet., στεργόμενοι spanh. 3 κήρυξ M] κῆρυξ 4 ἡμῖν add. VM | γεγονὼς M spanh.] γεγον.. V, γέγονε pet. | μὴ add. V spanh. 6 φιλεῖν Pet.] φίλοιν V pet., φίλοις M, φίλον spanh. | ὁμολογῶν Cob.] ὁμολογεῖν 7 et 8 σιωπηλότερος — τελεσθέντων] Suidas v. Πυθαγόρας et σιωπή 8 θρυλούμενον H] θρυλλούμενον 9 εἰς alterum add. M 12 ἔρως] πόθος M 13 et 14 ἐναπολέλειπται ταῖς ψυχαῖς M] ταῖς ψυχαῖς ἐναπολέλειπται 15 ἀσπάσιος — γένοιο] Iliad. κ, 35 | γίνοιο M | δικαίαν VM] δίκαιον 19 γίνοιτο M | ἕξω pet. | ἀπαραμυθήτως M] ἀπορραθυμήτως 22 διὰ σὲ VM] διά σε 23 τῶν Ἑλλήνων M] Ἑλλήνων

ἀρετὴν τὴν ἄλλην, καὶ ῥητορείαν ἄκρον καὶ φιλο- B σοφίας οὐκ ἄπειρον, ἧς Ἕλληνες μόνοι τὰ κράτιστα μετεληλύθασι, λόγῳ τἀληθές, ὥσπερ οὖν πέφυκε, θηρεύσαντες, οὐκ ἀπίστοις μύθοις οὐδὲ παραδόξῳ τερατείᾳ προσέχειν ἡμᾶς, ὥσπερ οἱ πολλοὶ τῶν βαρβάρων, ἐάσαντες. ἀλλὰ καὶ τοῦτο μὲν ὅπως ποτὲ ἔχει, τανῦν ἀφείσθω. σὲ δέ· προπέμπειν ἤδη γὰρ ἄξιον μετ' εὐφημίας· ἄγοι μὲν θεὸς εὐμενής, ὅποι ποτ' ἂν δέῃ πορεύεσθαι, Ξένιος δὲ ὑποδέχοιτο καὶ C Φίλιος εὔνους, ἄγοι τε διὰ γῆς ἀσφαλῶς· κἂν πλεῖν δέῃ, στορεννύσθω τὰ κύματα· πᾶσι δὲ φανείης φίλος καὶ τίμιος, ἡδὺς μὲν προσιών, ἀλγεινὸς δὲ ἀπολείπων αὐτούς· στέργων δὲ ἡμᾶς ἥκιστα ποθήσειας ἀνδρὸς ἑταίρου καὶ φίλου πιστοῦ κοινωνίαν. εὐμενῆ δὲ καὶ τὸν αὐτοκράτορά σοι θεὸς ἀποφήνειε καὶ τὰ ἄλλα πάντα κατὰ νοῦν διδοίη, καὶ τὴν οἴκαδε παρ' ἡμᾶς D πορείαν ἀσφαλῆ παρασκευάζοι καὶ ταχεῖαν.

Ταῦτά σοι μετὰ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν συνεύχομαι, καὶ ἔτι πρὸς τούτοις

Οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν,
Νοστῆσαι οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν.

1 ῥητορείαν VM] ῥητορείας 8 θεὸς H] ὁ θεός. cf. 13 D 206 B 8 et 9 ὅποί ποτ' M] ὅπου ποτ' 10 ἄγοι Pet.] ἄγων 10 et 11 κἂν πλεῖν δέῃ H] κἂν εἰ πλεῖν δέοι 11 στρωννύσθω M 13 ποθήσειας H] ποθήσαις 14 ἑταίρου M] ἑτέρου 15 ἀποφήνειε H] ἀποφήναι V spanh., ἀποφῆναι M, ἀπέφηνε pet. 17 ἀσφαλῆ] Hujus loco est in pet. lacunae signum | παρασκευάζοι M] παρασκευάσοι 20 Odyss. ω, 401 | οὐλλέ τε V | ὄλβια V 21 οἰκονδε VM

253 # ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

ΘΕΜΙΣΤΙΩΙ ΦΙΛΟΣΟΦΩΙ.

Ἐγώ σοι βεβαιῶσαι μέν, ὥσπερ οὖν γράφεις, τὰς ἐλπίδας καὶ σφόδρα εὔχομαι, δέδοικα δὲ μὴ διαμάρτω, μείζονος οὔσης τῆς ὑποσχέσεως, ἣν ὑπὲρ ἐμοῦ πρός τε τοὺς ἄλλους ἅπαντας καὶ ἔτι μᾶλλον πρὸς σεαυτὸν ποιῇ· καί μοι πάλαι μὲν οἰομένῳ πρός τε τὸν Ἀλέξανδρον καὶ τὸν Μάρκον, καὶ εἴ τις ἄλ-

B *λος γέγονεν ἀρετῇ διαφέρων, εἶναι τὴν ἅμιλλαν φρίκη τις προσῄει καὶ δέος θαυμαστόν, μὴ τοῦ μὲν ἀπολείπεσθαι παντελῶς τῆς ἀνδρείας δόξω, τοῦ δὲ τῆς τελείας ἀρετῆς οὐδὲ ἐπ' ὀλίγον ἐφίκωμαι. εἰς ταῦτα ἀφορῶν ἀνεπειθόμην τὴν σχολὴν ἐπαινεῖν, καὶ τῶν Ἀττικῶν διηγημάτων αὐτός τε ἡδέως ἐμεμνήμην καὶ τοῖς φίλοις ὑμῖν προσᾴδειν ἠξίουν, ὥσπερ οἱ τὰ βαρέα φορτία φέροντες ἐν ταῖς ᾠδαῖς ἐπικουφίζουσιν αὐτοῖς τὴν ταλαιπωρίαν. σὺ δέ μοι νῦν*

C *μεῖζον ἐποίησας διὰ τῆς ἔναγχος ἐπιστολῆς τὸ δέος καὶ τὸν ἀγῶνα τῷ παντὶ χαλεπώτερον ἔδειξας, ἐν ταύτῃ παρὰ τοῦ θεοῦ τετάχθαι με τῇ μερίδι λέγων,*

7 σεαυτὸν H] ἑαυτὸν   10 προσῄει Pet.] προσείη   12 [ἐ]ἀφίκωμαι V] ἀφίκωμαι   16 ᾠδαῖς Rsk.] ὁδοῖς | ἐπικουφίζουσιν V] ἐπικουφίζουσι

ἐν ᾗ πρότερον Ἡρακλῆς καὶ Διόνυσος ἐγενέσθην φιλοσοφοῦντες ὁμοῦ καὶ βασιλεύοντες καὶ πᾶσαν σχεδὸν τῆς ἐπιπολαζούσης κακίας ἀνακαθαιρόμενοι 254 γῆν τε καὶ θάλατταν. κελεύεις δὲ πᾶσαν ἀποσεισάμενον σχολῆς ἔννοιαν καὶ ῥᾳστώνης σκοπεῖν, ὅπως τῆς ὑποθέσεως ἀξίως ἀγωνιούμεθα· εἶτα ἐπ' αὐτοῖς τῶν νομοθετῶν [ἁπάντων] μέμνησαι, Σόλωνος, Πιττακοῦ, Λυκούργου, καὶ τούτων ἁπάντων μείζονα χρῆναι παρ' ἡμῶν λέγεις τοὺς ἀνθρώπους ἐν δίκῃ νῦν περιμένειν. τούτοις ἐγὼ τοῖς λόγοις ἐντυχὼν ἐξεπλάγην μικροῦ· σοὶ μὲν γὰρ ὑπελάμβανον οὐδαμῶς θεμιτὸν B κολακεύειν ἢ ψεύδεσθαι, ἐμαυτῷ δὲ συνειδὼς φύσεως μὲν ἕνεκα διαφέρον οὐδὲν οὔτε ἐξ ἀρχῆς οὔτε νῦν ὑπάρξαν, φιλοσοφίας δὲ ἐρασθέντι μόνον· τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας, αἵ μοι τὸν ἔρωτα τοῦτον ἀτελῆ τέως ἐφύλαξαν· οὐκ εἶχον οὖν ὅ,τι χρὴ περὶ τῶν τοιούτων λόγων συμβαλεῖν, ἕως ἐπὶ νοῦν ἤγαγεν ὁ θεός, μή ποτε ἄρα προτρέπειν ἐθέλεις διὰ τῶν ἐπαί- C νων καὶ τῶν ἀγώνων δεῖξαι τὸ μέγεθος, οἷς ἀνάγκη πᾶσα τὸν ἐν πολιτείᾳ ζῶντα παραβεβλῆσθαι τὸν ἅπαντα χρόνον. τοῦτο δὲ ἀποτρέποντός ἐστι πλέον ἢ πρὸς τὸν βίον παρορμῶντος. ὥσπερ γὰρ εἴ τις τὸν πορθμὸν τὸν παρ' ὑμῖν πλέων καὶ οὐδὲ τοῦτον ῥᾳδίως οὐδὲ εὐκόλως ὑφιστάμενος ἀκούοι παρά του μαντικὴν ἐπαγγελλομένου τέχνην, ὡς χρεὼν αὐτὸν D τὸν Αἰγαῖον ἀναμετρῆσαι καὶ τὸν Ἰόνιον καὶ τῆς

4 θάλατταν V] θάλασσαν 5 ῥᾳστώνης Rsk. et Cob.] ῥαστώνην 7 ἁπάντων delevit Cob. 14 et 15 τὰς γὰρ — τύχας] Eur. Orest. 16 16 οὖν fortasse delendum. Vid. tamen Schoemann. ad Plut. Cleom. 5 p. 189 17 ἤγαγεν V] ἦγεν 18 ἄρα H] ἆρα | προτρέπειν] ἀποτρέπειν Rsk. 24 ἀκούοι Pet.] ἀκούει | παρά του Rsk.] παρὰ τοῦ

ἔξω θαλάσσης ἅψασθαι, καὶ Νῦν μὲν ὁρᾷς ὁ προφήτης λέγοι τείχη καὶ λιμένας, ἐκεῖ δὲ γενόμενος οὐδὲ σκοπιὰν οὐδὲ πέτραν ὄψει, ἀλλ' ἀγαπήσεις καὶ ναῦν πόρρωθεν κατιδὼν προσειπεῖν τοὺς ἐμπλέοντας, καὶ τῆς γῆς ὀψέ ποτε ἁψάμενος τῷ θεῷ πολλάκις (προσεύξῃ), πρὸς αὐτῷ γοῦν τῷ τέλει τοῦ βίου τυχεῖν
255 ὅρμου καὶ τήν τε ναῦν σῶαν παραδοῦναι καὶ τοὺς ἐμπλέοντας ἀπαθεῖς τοῖς οἰκείοις κακῶν παραστῆσαι καὶ τὸ σῶμα τῇ μητρὶ γῇ δοῦναι, τοῦτο δὲ ἐσόμενον ἴσως ἄδηλον ἔσται σοι μέχρι τῆς τελευταίας ἐκείνης ἡμέρας· ἆρ' οἴει τούτων ἀκούσαντα τῶν λόγων ἐκεῖνον πόλιν γοῦν οἰκεῖν ἑλέσθαι πλησίον θαλάσσης, οὐχὶ δὲ χαίρειν εἰπόντα πλούτῳ καὶ τοῖς ἐξ ἐμπορίας ἀγαθοῖς περιγιγνομένοις, γνωρίμων πολλῶν, ξενικῆς
B φιλίας, ἱστορίας ἐθνῶν καὶ πόλεων ὑπεριδόντα σοφὸν ἀποφαίνειν τὸν τοῦ Νεοκλέους, ὃς κελεύει λαθεῖν βιώσαντα; καὶ σὺ δὲ ἔοικας τοῦτο καταμαθὼν προκαταλαμβάνειν ἡμᾶς ταῖς εἰς τὸν Ἐπίκουρον λοιδορίαις καὶ προεξαιρεῖν τὴν τοιαύτην γνώμην. φὴς γάρ που σχολὴν ἐπαινεῖν ἀπράγμονα καὶ διαλέξεις
C ἐν περιπάτοις προσήκειν ἐκείνῳ. ἐγὼ δὲ ὅτι μὲν οὐ καλῶς Ἐπικούρῳ ταῦτα ἐδόκει, πάλαι καὶ σφόδρα πείθομαι· εἰ δὲ πάνθ' ὁντινοῦν ἐπὶ πολιτείαν προτρέπειν ἄξιον, καὶ τὸν ἧττον πεφυκότα καὶ τὸν οὔπω τελέως δυνάμενον, ἐπὶ πλεῖστον ἴσως διαπορῆ-

4 ἐμπλέοντας V] ἐπιπλέοντας 6 προσεύξῃ deesse vidit Petavius 7 σῶαν V, in quo nescio an lateat σῶν 8 ἐμπλέοντας V] ἐπιπλέοντας v, συμπλέοντας Cob. 11 οἴει] αἰεὶ pet. 12 γοῦν] γ' ἂν legendum videtur 16 ἀποφανεῖν Pet. | τὸν τοῦ Ν. Cob.] τὸ τοῦ Ν. 18 ἡμᾶς Pet.] ἡμῶν 19 προεξαιρεῖν Rsk. et Wakefield. in Stephani Thes. s. v.] προεξαίρειν 21 προσήκειν [ἐν] ἐκείνῳ v, ἐν habet etiam V 23 ὁντινοῦν H] ὁντιναοῦν. cf. 358 A et apud Cyrill. 99 E

σαι χρή. λέγουσι γάρ τοι καὶ τὸν Σωκράτη πολλοὺς μὲν οὐ σφόδρα ἔχοντας ἀπαγαγεῖν τοῦ βήματος, Γλαύκωνα δὲ ἐκεῖνον, ὡς Ξενοφῶν λέγει, καὶ τὸν τοῦ Κλεινίου παῖδα πειραθῆναι μὲν ἐπισχεῖν, οὐ D *δυνηθῆναι δὲ περιγενέσθαι τοῦ νεανίσκου τῆς ὁρμῆς. ἡμεῖς δὲ καὶ ἄκοντας καὶ ξυνιέντας αὐτῶν προσαναγκάσομεν, θαρρεῖν ὑπὲρ τηλικούτων ἔργων κελεύοντες, ὧν οὐκ ἀρετὴ μόνον ἐστὶν οὐδὲ προαίρεσις ὀρθὴ κυρία, πολὺ δὲ πλέον ἡ τύχη κρατοῦσα πανταχοῦ καὶ βιαζομένη ῥέπειν ἧπερ ἂν ἐθέλῃ τὰ πράγματα; Χρύσιππος δὲ δοκεῖ τὰ μὲν ἄλλα σοφὸς εἶναι καὶ νομισθῆναι δικαίως, ἀγνοήσας δὲ τὴν τύχην καὶ τὸ αὐτόματον καί τινας ἄλλας αἰτίας τοιαύτας ἔξωθεν* 256 *τοῖς πρακτικοῖς παρεμπιπτούσας οὐ σφόδρα ὁμολογούμενα λέγειν οἷς ὁ χρόνος ἡμᾶς διὰ μυρίων ἐναργῶς διδάσκει παραδειγμάτων. ποῦ γὰρ εὐτυχῆ καὶ μακάριον Κάτωνα φήσομεν; ποῦ δὲ Δίωνα τὸν Σικελιώτην εὐδαίμονα; οἷς τοῦ μὲν ἀποθανεῖν ἔμελεν ἴσως οὐδέν, τοῦ δὲ μὴ λείπειν ἀτελεῖς τὰς πράξεις, ἐφ' ἃς ἐξ ἀρχῆς ὥρμησαν, καὶ σφόδρα ἔμελε, καὶ πάντα* B *ἂν εἵλοντο παθεῖν ὑπὲρ τούτου. σφαλέντες δὲ ἐν ἐκείνοις εἰ μὲν εὐσχημόνως ἔφερον, ὥσπερ οὖν λέγεται, τὴν τύχην [οὐκ ὀδυνώμενοι], παραμυθίαν ἔσχον ἐκ τῆς ἀρετῆς οὐ μικράν, εὐδαίμονες δὲ οὐκ*

2 *σφόδρα*] *σφόδρα εὖ* Pet., *σφόδρα εὐφυῶς* Rsk. 3 *Γλαύκωνα δὲ*] *καὶ Γλαύκωνα* Wytt. | *ὡς* Reiskio videtur delendum | *Ξενοφῶν*] Memor. III, 6, 1 | *καὶ τὸν*] *τὸν δὲ* Wytt. 4 *πειραθῆναι* V] *πειρασθῆναι* 6 *αὐτῶν* H] *αὑτῶν* 7 *ἔργων* add. V 8 *ὧν* Pet.] *ὡς οὖν* 8 et 9 *ὀρθὴ κυρία* H] *κυρία καὶ ὀρθή* 11 *δοκεῖ* Cob.] *ἐῴκει* 12 *δικαίως* H et Cob.] *δίκαιος* 18 *ἔμελλεν* V 20 *ἔμελλε* V 21 *εἵλαντο* V 21 et 22 *ἐν ἐκείνοις* H] *ἐπ' ἐκείνοις* 23 *οὐκ ὀδυνώμενοι* delet Cob., qui etiam rejicit *οὐκ ὀδυρόμενοι*, quod mihi non displicet

ἂν λέγοιντο τῶν καλλίστων πράξεων διημαρτηκότες, πλὴν ἴσως διὰ τὴν Στωικὴν ἔνστασιν· πρὸς ἣν ῥητέον, ὡς οὐ ταὐτόν ἐστιν ἐπαινεῖσθαι καὶ μακαρίζε-
C σθαι, καὶ εἰ φύσει τὸ ζῷον εὐδαιμονίας ὀρέγεται, κρεῖττον εἶναι τὸ κατ' ἐκείνην μακαριστὸν τέλος τοῦ κατ' ἀρετὴν ἐπαινετοῦ [μαντευόμενον]. ἥκιστα δὲ φιλεῖ τῆς εὐδαιμονίας ἡ βεβαιότης τῇ τύχῃ πιστεύειν. καὶ τοὺς ἐν πολιτείᾳ ζῶντας οὐκ ἔνεστιν ἄνευ ταύτης ἀναπνεῖν τὸ δὴ λεγόμενον * * * * * * * καὶ πεποιήκασι καὶ στρατηγὸν λόγοι, καθάπερ οἱ τὰς ἰδέας εἴτε ἀληθῶς θεωροῦντες εἴτε καὶ ψευδῶς ξυντιθέντες, ἐν τοῖς ἀσωμάτοις καὶ νοητοῖς ἱδρῦσθαί που τῶν τυχαίων ὑπεράνω πάντων, ἢ τὸν Διογένους ἐκεῖνον

D Ἄπολιν, ἄοικον, πατρίδος ἐστερημένον,

οὐκ ἔχοντα μὲν εἰς ὅ,τι παρ' αὐτῆς εὖ πάθῃ καὶ τοὐναντίον ἔν τίνι σφαλῇ· τοῦτον δὲ ὃν ἡ συνήθεια καλεῖν εἴωθε καὶ Ὅμηρος πρῶτος,

Ὧι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν,

πῶς ἄν τις ἔξω τύχης ἀπαγαγὼν τὴν θέσιν φυλάσ-
257 σοι; πάλιν δ' ὁ αὐτὸν ὑποτιθεὶς ταύτῃ πόσης αὐτῷ δεῖν οἰήσεται τῆς παρασκευῆς καὶ φρονήσεως πηλίκης, (ὥστε) τὰς ἐφ' ἑκάτερα ῥοπάς, καθάπερ πνεύματος κυβερνήτην, εὐσχημόνως φέρειν; οὐκ ἔστι

6 ἐπαινετοῦ V] ἐπαινοῦ | μαντευόμενον videtur expungendum esse, corruptum certe est 9 Vid. Praefat. 10 λόγοι] λόγῳ Rsk. „Faciunt (illi philosophi) imperatorem *mera oratione*, *verbotenus*, non qui reapse sit, sed tantummodo in conceptione mentis.“ 12 ξυντιθέντες V] συντιθέντες | ἱδρύσθαί V 15 Vid. ad 195 B 17 ἐν Cob.] ἐπὶ 19 Iliad. β, 25 20 τὴν Rsk. et H] [μὴ] 21 δ' ὁ αὐτὸν Rsk.] δὲ αὐτὸν | ὑποτιθεὶς Pet.] ὑποτίθης | αὐτῷ Cob.] αὐτῷ 22 τῆς deleam 23 ὥστε add. Pet.

θαυμαστὸν ἀντιτάξασθαι προσπολεμούσῃ μόνον αὐτῇ, πολὺ δὲ θαυμαστότερον τῶν ὑπαρξάντων παρ' αὐτῆς ἀγαθῶν ἄξιον φανῆναι. τούτοις ὁ μέγιστος ἑάλω βασιλεὺς ὁ τὴν Ἀσίαν καταστρεψάμενος Δαρείου καὶ Ξέρξου χαλεπώτερος καὶ μᾶλλον ἀλαζὼν φανείς, B ἐπειδὴ τῆς ἐκείνων ἀρχῆς κατέστη κύριος, τούτοις ἁλόντες τοῖς βέλεσιν ἄρδην ἀπώλοντο Πέρσαι, Μακεδόνες, ὁ τῶν Ἀθηναίων δῆμος, Συρακούσιοι, τὰ Λακεδαιμονίων τέλη, Ῥωμαίων στρατηγοὶ καὶ ἐπ' αὐτοῖς αὐτοκράτορες μυρίοι. πολὺ μῆκος ἂν γένοιτο πάντας ἀπαριθμουμένῳ τοὺς διὰ πλοῦτον καὶ νίκας καὶ τρυφὴν ἀπολομένους· ὅσοι δὲ ὑπὸ τῶν δυσπραγιῶν ἐπικλυσθέντες δοῦλοι μὲν ἀντ' ἐλευθέρων, C ταπεινοὶ δὲ ἀντὶ γενναίων καὶ σφόδρα εὐτελεῖς ἀντὶ τῶν πρόσθεν σεμνῶν ἅπασιν ὤφθησαν, τί με χρὴ νῦν ὥσπερ ἐκ δέλτου μεταγράφοντα καταλέγειν; εἰ γὰρ ὤφελεν ὁ τῶν ἀνθρώπων βίος ἀπορεῖν παραδειγμάτων τοιούτων. ἀλλ' οὔτε ἔστιν οὔτ' ἂν γένοιτό ποτε τῶν τοιούτων ἐνδεὴς παραδειγμάτων, ἕως ἂν τὸ τῶν ἀνθρώπων διαμένῃ γένος. ὅτι δὲ οὐκ D ἐγὼ μόνος τὴν τύχην ἐπὶ πλεῖστον ἐν τοῖς πρακτέοις κρατεῖν νενόμικα, λέγοιμ' ἂν ἤδη σοι τὰ τοῦ Πλάτωνος ἐκ τῶν θαυμασίων Νόμων, εἰδότι μὲν καὶ διδάξαντί με, ἀπόδειξιν δὲ ὥσπερ τοῦ μὴ ῥᾳθυμεῖν ποιούμενος παραγέγραφά σοι τὴν ῥῆσιν ὧδέ πως ἔχουσαν. „Θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τὰ ἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. ἡμε-

2 θαυμαστότερον Cob.] θαυμασιώτερον 7 βέλεσιν V] βέλεσι 8 συρρακούσιοι V. vid. ad 29 C 12 ἀπολλομένους V 17 ὤφελεν V] ὤφειλεν 19 παραδειγμάτων H] πραγμάτων. cf. paulo antea, 256 A et 84 A 23 Πλάτωνος] Legg. IV 709 B | Νόμων] μόνων V 27 τἀνθρώπινα Plat.

258 ρώτερον μὴν τούτοις συγχωρῆσαι τρίτον δεῖν ἕπε-
σθαι τέχνην.“ εἶτα ὁποῖον εἶναι χρὴ τὸν τεχνίτην
καὶ δημιουργὸν τῶν καλῶν πράξεων καὶ βασιλέα
θεὸν ὑπογράφων· „Γινώσκων ὁ Κρόνος ἄρα, καθάπερ
ἡμεῖς, φησί, διεληλύθαμεν, ὡς ἀνθρωπεία φύσις οὐ-
δαμῇ οὐδεμία ἱκανὴ τὰ ἀνθρώπινα διοικοῦσα αὐτο-
κράτωρ πάντα μὴ οὐχ ὕβρεώς τε καὶ ἀδικίας μεστοῦ-
B σθαι, ταῦτ' οὖν διανοούμενος ἐφίστη τότε βασιλέας
καὶ ἄρχοντας ταῖς πόλεσιν ἡμῶν οὐκ ἀνθρώπους,
ἀλλὰ γένους θειοτέρου καὶ ἀμείνονος, δαίμονας, οἷον
νῦν ἡμεῖς δρῶμεν τοῖς ποιμνίος καὶ ὅσων ἥμεροί
εἰσιν ἀγέλαι· οὐ βοῦς βοῶν οὐδὲ αἶγας αἰγῶν ἄρ-
χοντας ποιοῦμεν αὐτοῖς τινας, ἀλλ' ἡμεῖς αὐτῶν
δεσπόζομεν, ἄμεινον ἐκείνων γένος. ταὐτὸν δὴ καὶ
ὁ θεὸς φιλάνθρωπος ὢν [τὸ] γένος ἄμεινον ἡμῶν
ἐφίστη τὸ τῶν δαιμόνων, ὃ διὰ πολλῆς μὲν αὐτοῖς
C ῥᾳστώνης, διὰ πολλῆς δ' ἡμῖν, ἐπιμελόμενον ἡμῶν,
εἰρήνην τε καὶ αἰδῶ καὶ δὴ ἀφθονίαν δίκης παρε-
χόμενον, ἀστασίαστα καὶ εὐδαίμονα τὰ τῶν ἀνθρώπων
ἀπειργάζετο γένη. λέγει δὴ καὶ νῦν οὗτος ὁ λόγος
ἀληθείᾳ χρώμενος, ὅσων πόλεων μὴ θεός, ἀλλά τις
ἄρχει θνητός, οὐκ ἔστι κακῶν αὐτοῖς οὐδὲ πόνων
ἀνάψυξις· ἀλλὰ μιμεῖσθαι δεῖν ἡμᾶς οἴεται πάσῃ

1 τούτοις συγχωρῆσαι· τρίτον V, τρίτον ξυγχωρῆσαι τούτοις Plat. pet. spanh. | δεῖν] δ' ἦν V 4 θεὸν] θεῖον H 5—p. 335, 9 γινώσκων — σωτηρίας μηχανή] Plat. Legg. IV 713 C—714 A | γιγνώσκων Plat. 5 οὐδαμῇ abest apud Plat. 6 αὐτοκράτορ V 8 τότε non habet Plat. 8 et 9 βασιλέας γε vel τε Plat. 10 τε καὶ Plat. 11 ποιμνίοισι et 13 αὐτοῖσι Platonis libri partim 12 οὐδὲ V et Plat.] οὐδ' 13 ἀλλὰ Plat. 15 ὁ θεὸς ἄρα καὶ φιλ. Plat. | τὸ apud Platonem Stallbaumius recte uncis circumsepsit 17 διὰ abest apud Plat., inclusum in pet. et spanh. | ἐπιμελούμενον Plat. 18 αἰδῶ Plat.] αἰδὼ | καὶ δὴ] καὶ εὐνομίαν καὶ Plat. 20 δὴ V Plat.] δὲ 21 ὡς ὅσων ἂν Plat. 22 ἄρχῃ Plat.

μηχανῇ τὸν ἐπὶ τοῦ Κρόνου λεγόμενον βίον, καὶ D ὅσον ἐν ἡμῖν ἀθανασίας ἔνεστι, τούτῳ πειθομένους δημοσίᾳ καὶ ἰδίᾳ τάς τε οἰκήσεις καὶ τὰς πόλεις διοικεῖν, τὴν τοῦ νοῦ διανομὴν ὀνομάζοντας νόμον. εἰ δὲ ἄνθρωπος εἷς ἢ ὀλιγαρχία τις ἢ δημοκρατία ψυχὴν ἔχουσα ἡδονῶν καὶ ἐπιθυμιῶν ὀρεγομένην καὶ πληροῦσθαι τούτων δεομένην ἄρξει δὴ πόλεώς τινος ἢ ἰδιώτου καταπατήσας τοὺς νόμους, οὐκ ἔστι σωτηρίας μηχανή." ταύτην ἐγώ σοι τὴν ῥῆσιν ἐξεπίτηδες ὅλην παρέγραψα, μή με κλέπτειν ὑπολάβῃς καὶ 259 κακουργεῖν μύθους ἀρχαίους προφέροντα, τυχὸν μὲν ἐμφερῶς, οὐ μὴν ἀληθῶς πάντῃ ξυγκειμένους. ἀλλ' ὅ γε ἀληθὴς ὑπὲρ αὐτῶν λόγος τί φησιν; ἀκούεις ὅτι, κἂν ἄνθρωπός τις ᾖ τῇ φύσει, θεῖον εἶναι χρὴ τῇ προαιρέσει καὶ δαίμονα, πᾶν ἁπλῶς ἐκβαλόντα τὸ θνητὸν καὶ θηριῶδες τῆς ψυχῆς, πλὴν ὅσα B ἀνάγκη διὰ τὴν τοῦ σώματος παραμένειν σωτηρίαν; ταῦτα εἴ τις ἐννοῶν δέδοικεν ἐπὶ τηλικοῦτον ἑλκόμενος βίον, ἆρά σοι φαίνεται τὴν Ἐπικούρειον θαυμάζειν ἀπραγμοσύνην καὶ τοὺς κήπους καὶ τὸ προάστειον τῶν Ἀθηναίων καὶ τὰς μυρρίνας καὶ τὸ Σωκράτους δωμάτιον; ἀλλ' οὐκ ἔστιν ὅπου γε ἐγὼ ταῦτα προτιμήσας τῶν πόνων ὤφθην. ἥδιστα ἂν σοι τοὺς ἐμαυτοῦ πόνους διεξῆλθον καὶ τὰ ἐπικρεμασθέντα παρὰ τῶν φίλων καὶ ξυγγενῶν, ὅτε τῆς παρ' ὑμῖν ἠρχόμην παιδείας, δείματα, εἰ μὴ σφόδρα C

4 ἐπονομάζοντας Plat. 6 ἔχουσιν V | εἰργομένην V 7 Inter δεομένη et ἄρξει haec adduntur apud Platonem: στέγουσα δὲ οὐδέν, ἀλλ' ἀνηνύτῳ καὶ ἀπλήστῳ κακῷ νοσήματι ξυνεχομένην 7 et 8 πόλεως ἢ τινος ἰδιώτου Plat. 8 καταπατήσας] ὁ τοιοῦτος additur ap. Plat. | νόμους] ὃ νῦν δὴ ἐλέγομεν add. Plat. 10 παρέγραψα Cob.] παρεγραψάμην 19 et 20 θαυμάζειν ων ἀπραγμ. V 21 μυρίνας V pet. 26 δείματα

αὐτὸς ἠπίστασο. τὰ δὲ ἐν Ἰωνίᾳ πρὸς τὸν καὶ γένει προσήκοντα καὶ φιλίᾳ μᾶλλον οἰκεῖον ὄντα μοι πραχθέντα πρότερον ὑπὲρ ἀνδρὸς ξένου μικρὰ παντελῶς γνωρίμου μοι γενομένου, τοῦ σοφιστοῦ φημί, λέληθεν οὐδέν σε. ἀποδημίας δὲ οὐχ ὑπέστην τῶν φίλων ἕνεκα; καίτοι Καρτερίῳ μὲν οἶσθ᾽ ὅπως συνηράμην
D *πρὸς τὸν ἑταῖρον ἡμῖν ἀφικόμενος Ἀράξιον ἄκλητος, ὑπὲρ αὐτοῦ δεησόμενος. ὑπὲρ δὲ τῶν τῆς θαυμασίας Ἀρετῆς κτημάτων καὶ ὧν ἐπεπόνθει παρὰ τῶν γειτόνων οὐκ εἰς τὴν Φρυγίαν τὸ δεύτερον ἀφικόμην ἐν οὐδὲ ὅλοις μησὶ δύο, ἀσθενοῦς ἤδη μοι παντελῶς ὄντος τοῦ σώματος διὰ τὴν ἐπιγενομένην ὑπὸ τῆς πρότερον κακοπαθείας ἀρρωστίαν; ἀλλὰ δὴ τὸ τελευταῖον πρὸ τῆς εἰς τὴν Ἑλλάδα γενομένης ἡμῖν ἀφίξεως, ὅτε περὶ τῶν ἐσχάτων, ὡς ἂν εἴποιεν οἱ πολλοί,*
260 *κινδυνεύων ἐγὼ τῷ στρατοπέδῳ παρέμενον, ὁποίας ἔγραφον ἐπιστολὰς πρὸς σὲ νῦν ὑπομνήσθητι, μήποτε ὀδυρμῶν πλήρεις, μήτι μικρὸν ἢ ταπεινὸν ἢ λίαν ἀγεννὲς ἐχούσας. ἀπιὼν δὲ ἐπὶ τὴν Ἑλλάδα πάλιν, ὅτε με φεύγειν ἐνόμιζον πάντες, οὐχ ὡς ἐν ἑορτῇ τῇ μεγίστῃ τὴν τύχην ἐπαινῶν ἡδίστην ἔφην εἶναι τὴν ἀμοιβὴν ἐμοὶ καὶ τὸ δὴ λεγόμενον χρύσεα χαλκείων, ἑκατόμβοι᾽ ἐννεαβοίων ἔφην ἀντηλλάχθαι;*
B *οὕτως ἀντὶ τῆς ἐμαυτοῦ ἑστίας τὴν Ἑλλάδα λαχὼν ἐγανύμην, οὐκ ἀγρόν, οὐ κῆπον, οὐ δωμάτιον ἐκεῖ κεκτημένος. ἀλλὰ ἴσως ἔοικα ἐγὼ τὰς μὲν δυσπραγίας οὐκ ἀγεννῶς φέρειν, πρὸς δὲ τὰς παρὰ τῆς τύχης*

Pet.] *δείγματα* 1 *Ἰωνίᾳ* H] *Ἰονίᾳ* 5 *οὐδὲ σέ* Rsk. 14 *γενομένης* H et Cob.] *διαγενομένης* 17 *ἐπιστολὰς* V] *τὰς ἐπιστολὰς* | *πρὸς σὲ* V] *πρός σε* 18 *πλήρεις* Rsk. et H] *πλήρη* 22 et 23 *χρύσεα — ἐννεαβοίων*] Iliad. ζ, 236 25 *ἐγανύμην* H] *ἐγαννύμην*

δωρεὰς ἀγεννής τις εἶναι καὶ μικρός, ὅ γε ἀγαπῶν
τὰς Ἀθήνας μᾶλλον τοῦ νῦν περὶ ἡμᾶς ὄγκου, τὴν
σχολὴν δήπουθεν ἐκείνην ἐπαινῶν, διὰ δὲ τὸ πλῆθος
τῶν πράξεων τοῦτον αἰτιώμενος τὸν βίον; ἀλλὰ μή C
ποτε χρὴ περὶ ἡμῶν ἄμεινον κρίνειν, οὐκ εἰς ἀπραξίαν
καὶ πρᾶξιν βλέποντας, μᾶλλον δὲ εἰς τὸ Γνῶθι σαυ-
τὸν καὶ τὸ

Ἔρδοι δ' ἕκαστος ἥντιν' εἰδείη τέχνην.

μεῖζον ἔμοιγε φαίνεται τὸ βασιλεύειν ἢ κατ' ἄνθρω-
πον καὶ φύσεως δεῖσθαι δαιμονιωτέρας βασιλεύς,
ὥσπερ οὖν καὶ Πλάτων ἔλεγε· καὶ νῦν Ἀριστοτέλους D
εἰς ταὐτὸ συντείνοντα παραγράψω λόγον, οὐ γλαῦκα
Ἀθηναίοις ἄγων, ἀλλ' ὅτι μὴ παντάπασιν ἀμελῶ
τῶν ἐκείνου λόγων ἐπιδεικνύμενος. φησὶ δὲ ὁ ἀνὴρ
ἐν τοῖς πολιτικοῖς συγγράμμασιν· „Εἰ δὲ δή τις
ἄριστον θείη τὸ βασιλεύεσθαι ταῖς πόλεσι, πῶς ἕξει
τὰ περὶ τῶν τέκνων; πότερον καὶ τὸ γένος δεῖ βασι-
λεύειν; ἀλλὰ γιγνομένων ὁποῖοί τινες ἔτυχον, βλα- 261
βερόν. ἀλλὰ οὐ παραδώσει κύριος ὢν (τοῖς) τέκνοις;
ἀλλ' οὐκ ἔτι ῥᾴδιον τοῦτο πιστεῦσαι· χαλεπὸν γὰρ
καὶ μείζονος ἀρετῆς ἢ κατ' ἀνθρωπίνην φύσιν.“ ἑξῆς
δὲ περὶ τοῦ κατὰ νόμον λεγομένου βασιλέως διεξελ-
θών, ὅς ἐστιν ὑπηρέτης καὶ φύλαξ τῶν νόμων, καὶ
τοῦτον οὐδὲ βασιλέα καλῶν, οὐδὲ τὸ τοιοῦτον εἶδος

1 ὅ γε H] ὅς γε 2 τὴν V] καὶ v, καὶ τὴν Suidas v. δήπουθεν 8 Aristoph. Vesp. 1431 | ἔρδοι δὲ ἕκαστος V | ἥν τινα V 9 κατὰ V 11 Ἀριστοτέλους] Polit. III, 15 p. 1286, b 13 Ἀθηναίοις] Ἀθήναζε Cob. At Apostol. V, 46: γλαῦκα Ἀθήναζε καὶ γλαῦκα Ἀθηναίοις | ἀμελῶ Rsk. H Cob.] ἀμελῶν 14 ἐπιδεικνύμενος, ut videtur, V] δεικνύμενος 15 συγγράμασιν V 17 περὶ V et Aristot.] παρὰ 19 τοῖς ex Aristotele adjecimus 24 οὐδὲ τὸν τοιοῦτον εἶδος πολιτείας οἰόμενος videtur scribendum esse coll. Aristot. c. 16

B οἰόμενος, προστίθησι· „Περὶ δὲ τῆς παμβασιλείας καλουμένης, αὕτη δ' ἐστὶ καθ' ἣν ἄρχει πάντων κατὰ τὴν αὑτοῦ βούλησιν ὁ βασιλεύς, δοκεῖ τισιν οὐδὲ [τὸ] κατὰ φύσιν εἶναι τὸ κύριον ἕνα πάντων εἶναι τῶν πολιτῶν· τοῖς γὰρ ὁμοίοις φύσει τὸ αὐτὸ δίκαιον ἀναγκαῖον εἶναι.“ εἶτα μετ' ὀλίγον φησίν· „Ὁ μὲν οὖν τὸν νοῦν κελεύων ἄρχειν (δοκεῖ κελεύειν ἄρχειν) τὸν θεὸν καὶ τοὺς νόμους· ὁ δὲ ἄνθρωπον

C κελεύων προστίθησι καὶ θηρία· ἥ τε γὰρ ἐπιθυμία τοιοῦτον καὶ ὁ θυμὸς διαστρέφει καὶ τοὺς ἀρίστους ἄνδρας· διόπερ ἄνευ ὀρέξεως ὁ νοῦς νόμος ἐστίν.“ ὁρᾷς, ὁ φιλόσοφος ἔοικεν ἐνταῦθα σαφῶς ἀπιστοῦντι καὶ κατεγνωκότι τῆς ἀνθρωπίνης φύσεως. φησὶ γὰρ οὕτω ῥήματι τοῦτο λέγων· οὐδεμίαν ἀξιόχρεων εἶναι φύσιν ἀνθρωπίνην πρὸς τοσαύτην τύχης ὑπεροχήν· οὔτε γὰρ τῶν παίδων τὸ κοινῇ τοῖς πολίταις συμ-

D φέρον προτιμᾶν ἄνθρωπόν γε ὄντα ῥᾴδιον ὑπολαμβάνει, καὶ πολλῶν ὁμοίων ἄρχειν οὐ δίκαιον εἶναί φησι, καὶ τέλος ἐπιθεὶς τὸν κολοφῶνα τοῖς ἔμπροσθεν λόγοις νόμον μὲν εἶναί φησι τὸν νοῦν χωρὶς ὀρέξεως, ᾧ μόνῳ τὰς πολιτείας ἐπιτρέπειν χρῆναι, ἀνδρῶν δὲ οὐδενί. ὁ γὰρ ἐν αὐτοῖς νοῦς, κἂν ὦσιν ἀγαθοί, συμπέπλεκται θυμῷ καὶ ἐπιθυμίᾳ, θηρίοις χαλεπωτάτοις. ταῦτα ἐμοὶ δοκεῖ τοῖς τοῦ Πλάτωνος

p. 1287, a ὁ μὲν γὰρ κατὰ νόμον λεγόμενος βασιλεὺς οὐκ ἔστιν εἶδος πολιτείας 1 περὶ δὲ] Aristot. Polit. III, 16 p. 1287, a 2 δέ ἐστι V | πᾶν V 3 αὐτοῦ H] αὐτοῦ v, ἑαυτοῦ Aristot. | δοκεῖ δέ τισιν Aristot. 4 [τὸ] om. Arist. 7 νοῦν] νόμον V et librorum Aristot. partim. 7 et 8 δοκεῖ κελεύειν ἄρχειν om. V 8 τοὺς νόμους] τὸν νοῦν μόνους V 9 θηρία V] θηρίον 10 τοιοῦτον] τοῦτον V | θυμὸς ἄρχοντας διαστρέφει Arist. 11 ὁ νοῦς νόμος] νοῦς ὁ νόμος Arist., ὁ νοῦς μόνος V 14 ὅσον οὐ τῷ ῥήματι Rsk. 15 τοσαύτην H et Cob.] τοσαύτης

ἄκρως ὁμολογεῖν, πρῶτον μὲν ὅτι κρείττονα χρὴ τῶν 262
ἀρχομένων εἶναι τὸν ἄρχοντα, οὐκ ἐπιτηδεύσει μόνον,
ἀλλὰ καὶ φύσει διαφέροντα· ὅπερ εὑρεῖν ἐν ἀνθρώ-
ποις οὐ ῥᾴδιον· καὶ τρίτον ὅτι πάσῃ μηχανῇ κατὰ
δύναμιν νόμοις προσεκτέον οὐκ ἐκ τοῦ παραχρῆμα
κειμένοις οὐδὲ ὡς ἔοικε νῦν τεθεῖσιν ὑπ' ἀνδρῶν
οὐ πάντῃ κατὰ νοῦν βεβιωκότων, ἀλλ' ὅστις μᾶλλον
τὸν νοῦν καθαρθεὶς καὶ τὴν ψυχὴν οὐκ εἰς τὰ
παρόντα ἀφορῶν ἀδικήματα οὐδὲ εἰς τὰς παρεστώσας
τύχας τίθησι τοὺς νόμους, ἀλλὰ τὴν τῆς πολιτείας B
φύσιν καταμαθὼν καὶ τὸ δίκαιον ὅ ἐστι τῇ φύσει
καὶ ποταπόν ἐστι τἀδίκημα τεθεαμένος τῇ φύσει,
εἶθ' ὅσα δυνατόν ἐστιν ἐκεῖθεν ἐνταῦθα μεταφέρων
καὶ τιθεὶς νόμους τοῖς πολίταις κοινούς, οὔτε εἰς
φιλίαν οὔτε εἰς ἔχθραν ἀφορῶν οὔτε εἰς γείτονα
καὶ ξυγγενῆ· κρεῖσσον δέ, εἰ μηδὲ τοῖς καθ' ἑαυτὸν
ἀνθρώποις, ἀλλὰ τοῖς ὕστερον ἢ ξένοις γράψας ἀπο- C
πέμποι νόμους, ἔχων γε οὐδὲν οὐδὲ ἐλπίζων πρὸς
αὐτοὺς ἕξειν ἰδιωτικὸν συνάλλαγμα. ἐπεὶ καὶ τὸν
Σόλωνα τὸν σοφὸν ἀκούω μετὰ τῶν φίλων συμβου-
λευσάμενον ὑπὲρ τῆς τῶν χρεῶν ἀναιρέσεως τοῖς μὲν
εὐπορίας ἀφορμήν, αὑτῷ δὲ αἰσχύνης αἰτίαν παρα-
σχεῖν, καὶ ταῦτα τῷ πολιτεύματι τὸν δῆμον ἐλευ-
θερώσαντα. οὕτως οὐ ῥᾴδιόν ἐστι τὰς τοιαύτας ἐκ-
φυγεῖν κῆρας, κἂν τὸν αὑτοῦ νοῦν παράσχῃ τις D
ἀπαθῆ πρὸς τὴν πολιτείαν.

Ἃ δεδιὼς ἐγὼ πολλάκις εἰκότως ἐπαινῶ τὸν ἔμ-

4 καὶ τρίτον] Ante haec excidisse nonnulla videntur; nam πρῶτον μὲν requirit alterum   6 ἔοικε V] ἔοικεν   11 ὅ ἐστι] οἷόν ἐστι H   12 ποταπόν ἐστι V] ποταπὸν   13 ἐστιν V] ἐστι   18 γε] τε pet.   22 δὲ τῆς αἰσχ. pet.   25 κήρας V | αὐτοῦ H] αὐτοῦ

πρόσθεν βίον, καὶ σοὶ πειθόμενος μάλιστα ταῦτα ἐγὼ
διανοοῦμαι, οὐχ ὅτι μοι τὸν ζῆλον πρὸς ἐκείνους
μόνον ἔφης προκεῖσθαι τοὺς ἄνδρας, Σόλωνα καὶ
Λυκοῦργον καὶ Πιττακόν, ἀλλὰ καὶ ὅτι μεταβῆναί
με φῂς ἐκ τῆς ὑποστέγου φιλοσοφίας πρὸς τὴν ὑπαί-
263 θριον. ὥσπερ οὖν, εἴ τῳ χαλεπῶς καὶ μόλις ὑγιείας
ἕνεκα τῆς αὑτοῦ γυμναζομένῳ μετρίως οἴκαδε προὔ-
λεγες, ὅτι Νῦν ἥκεις εἰς Ὀλυμπίαν καὶ μεταβέβηκας
ἐκ τῆς ἐν τῷ δωματίῳ παλαίστρας ἐπὶ τὸ στάδιον
τοῦ Διός, οὗ θεατὰς ἕξεις τούς τε ἁπανταχόθεν
Ἕλληνας καὶ πρώτους γε τοὺς σαυτοῦ πολίτας, ὑπὲρ
ὧν ἀγωνίζεσθαι χρή, τινὰς δὲ καὶ τῶν βαρβάρων,
οὓς ἐκπλῆξαι χρεών, φοβερωτέραν αὐτοῖς τὴν πατρίδα
τό γε εἰς σὲ νῦν ἧκον ἐπιδείξαντα, κατέβαλες ἂν
B εὐθέως καὶ τρέμειν ἐποίησας πρὸ τῆς ἀγωνίας· οὕτω
κἀμὲ νῦν νόμιζε διατεθῆναι τοῖς τοιούτοις λόγοις.
καὶ περὶ μὲν τούτων εἴτε ὀρθῶς ἔγνωκα νῦν εἴτε
ἐν μέρει σφάλλομαι τοῦ προσήκοντος εἴτε καὶ (τοῦ)
παντὸς διαμαρτάνω, διδάξεις αὐτίκα μάλα.

Ὑπὲρ δὲ ὧν ἀπορῆσαί μοι πρὸς τὴν ἐπιστολὴν
τὴν σὴν παρέστη, ὦ φίλη κεφαλὴ καὶ πάσης ἔμοιγε
C τιμῆς ἀξία, βούλομαι δηλῶσαι· σαφέστερον γάρ πως
ὑπὲρ αὐτῶν ἐπιθυμῶ μαθεῖν. ἔφησθα ὅτι τὸν ἐν
τῇ πράξει παρὰ τὸν φιλόσοφον ἐπαινεῖς βίον, καὶ

1 καὶ σοὶ H] καί σοι 3 ἔφης] φῂς? Idem fortasse aliis quoque locis reponendum, ut 266 B. cf. 255 B 7 αὑτοῦ V] αὐτοῦ | οἴκαδε] Cf. (Plat.) Theag. 128 E ἀσκήσειν στάδιον εἰς Νεμέαν, Maxim. Tyr. 14, 4 Ὀλυμπίαζε ἀγωνιούμενος, Schoemann. ad Isaeum p. 308 18 τοῦ add. H 19 αὐτίκα μάλα H] αὐτός τι καὶ μάλα V, αὐτός τε καὶ μάλα v, αὐτὸς αὐτίκα μάλα Cob. 23 ἔφησθα ὅτι Cob., id enim in V videre sibi videbatur; ego vidi ἔφησθ...π, vulgo ἔφησθ' ἅπαν, Pet. et Rsk. ἔφησθα γὰρ — ἐπαινεῖν

τὸν Ἀριστοτέλη τὸν σοφὸν ἐκάλεις μάρτυρα, τὴν
εὐδαιμονίαν ἐν τῷ πράττειν εὖ τιθέμενον, καὶ τὴν
διαφορὰν σκοποῦντα τοῦ τε πολιτικοῦ βίου καὶ τῆς
ἐν τῇ θεωρίᾳ ζωῆς, διαπορεῖν ἅττα περὶ αὐτῶν, καὶ
τὴν μὲν θεωρίαν ἐν ἄλλοις προτιμᾶν, ἐπαινεῖν δὲ
ἐνταῦθα τοὺς τῶν καλῶν πράξεων ἀρχιτέκτονας. τού-
τους δὲ αὐτὸς μὲν εἶναι φῂς τοὺς βασιλέας, Ἀρι- D
στοτέλης δὲ εἴρηκεν οὐδαμοῦ κατὰ τὴν ὑπὸ σοῦ
προστεθεῖσαν λέξιν, πλέον δὲ θάτερον ἐξ ὧν παρα-
γέγραφας ἄν τις νοήσειε. τὸ γὰρ „Μάλιστα δὲ πράτ-
τειν λέγομεν κυρίως καὶ τῶν ἐξωτερικῶν πράξεων
τοὺς ταῖς διανοίαις ἀρχιτέκτονας“ εἰς τοὺς νομοθέ-
τας καὶ τοὺς πολιτικοὺς φιλοσόφους καὶ πάντας
ἁπλῶς τοὺς νῷ τε καὶ λόγῳ πράττοντας, οὐχὶ δὲ εἰς
τοὺς αὐτουργοὺς καὶ τῶν πολιτικῶν πράξεων ἐργά- 264
τας εἰρῆσθαι νομιστέον· οἷς οὐκ ἀπόχρη μόνον ἐνθυ-
μηθῆναι καὶ κατανοῆσαι καὶ τὸ πρακτέον τοῖς ἄλλοις
φράσαι, προσήκει δὲ αὐτοῖς ἕκαστα μεταχειρίζεσθαι
καὶ πράττειν ὧν οἱ νόμοι διαγορεύουσι καὶ πολλάκις
οἱ καιροὶ προσαναγκάζουσι, πλὴν εἰ μὴ τὸν ἀρχι-
τέκτονα καλοῦμεν, καθάπερ Ὅμηρος τὸν Ἡρακλέα
καλεῖν εἴωθεν ἐν τῇ ποιήσει μεγάλων ἐπιίστορα ἔργων,
αὐτουργότατον ἁπάντων γενόμενον. εἰ δὲ τοῦτ᾽ ἀληθὲς B
ὑπολαμβάνομεν ᾗ καὶ μόνον τοὺς ἐν τῷ πράττειν
τὰ κοινά φαμεν εὐδαίμονας κυρίους ὄντας καὶ βασι-
λεύοντας πολλῶν, τί ποτε περὶ Σωκράτους ἐροῦμεν;
Πυθαγόραν δὲ καὶ Δημόκριτον καὶ τὸν Κλαζομένιον

4 ἅττα V 6 τούτους V] τούτων 8 κατὰ Cob.] καὶ 11 τῶν Aristot. Pol. VII, 3 p. 1325, b] τὸ 12 ταῖς διανοίαις Arist.] τῆς διανοίας 21 Ὅμηρος] Odyss. φ, 26 23 τοῦτ᾽ V] τοῦτο 24 τοὺς malim ante κυρίους ὄντας transponere

Ἀναξαγόραν ἴσως διὰ τὴν θεωρίαν κατ᾽ ἄλλο φήσεις εὐδαίμονας· Σωκράτης δὲ τὴν θεωρίαν παραιτησάμενος καὶ τὸν πρακτικὸν ἀγαπήσας βίον οὐδὲ τῆς C γαμετῆς ἦν τῆς αὑτοῦ κύριος οὐδὲ τοῦ παιδός· ἦπού γε δυοῖν ἢ τριῶν πολιτῶν ἐκείνῳ κρατεῖν ὑπῆρχεν; ἆρ᾽ οὖν οὐκ ἦν ἐκεῖνος πρακτικός, ἐπεὶ μηδενὸς ἦν [ἐκεῖνος] κύριος; ἐγὼ μὲν οὖν Ἀλεξάνδρου φημὶ μείζονα τὸν Σωφρονίσκου κατεργάσασθαι, τὴν Πλάτωνος αὐτῷ σοφίαν ἀνατιθείς, τὴν Ξενοφῶντος στρατηγίαν, τὴν Ἀντισθένους ἀνδρείαν, τὴν Ἐρετρικὴν φιλοσοφίαν, τὴν Μεγαρικήν, τὸν Κέβητα, τὸν Σιμ- D μίαν, τὸν Φαίδωνα, μυρίους ἄλλους· καὶ οὔπω φημὶ τὰς γενομένας ἡμῖν ἐνθένδ᾽ ἀποικίας, τὸ Λύκειον, τὴν Στοάν, τὰς Ἀκαδημείας. τίς οὖν ἐσώθη διὰ τὴν Ἀλεξάνδρου νίκην; τίς πόλις ἄμεινον ᾠκήθη; τίς αὐτοῦ γέγονε βελτίων ἰδιώτης ἀνήρ; πλουσιωτέρους μὲν γὰρ πολλοὺς ἂν εὕροις, σοφώτερον δὲ οὐδένα οὐδὲ σωφρονέστερον αὐτὸν αὑτοῦ, εἰ μὴ καὶ μᾶλλον ἀλαζόνα καὶ ὑπερόπτην. ὅσοι δὲ σώζονται νῦν ἐκ φιλοσοφίας, διὰ τὸν Σωκράτη σώζονται. καὶ 265b τοῦτο οὐκ ἐγὼ μόνος, Ἀριστοτέλης δὲ πρότερον ἔοικεν ἐννοήσας εἰπεῖν, ὅτι μὴ μεῖον αὐτῷ προσήκει φρονεῖν ἐπὶ τῇ θεολογικῇ συγγραφῇ τοῦ καθελόντος τὴν Περσῶν δύναμιν. καί μοι δοκεῖ τοῦτο ἐκεῖνος ὀρθῶς ξυννοῆσαι· νικᾶν μὲν γὰρ ἀνδρείας ἐστὶ μάλιστα καὶ τῆς τύχης, κείσθω δέ, εἰ βούλει, καὶ τῆς ἐντρεχοῦς

4 αὑτοῦ H] αὐτοῦ 4 et 5 ἦπού γε H] ἦπου γε 7 [ἐκεῖνος] om. pet. 10 ἀνδρείαν V] ἀνδρίαν 13 ἐνθένδ᾽ H] ἔνθεν. vid. ad 132 B 14 Ἀκαδημείας H] Ἀκαδημίας | οὖν Cob. Mnem. nov. 2 p. 27] νῦν 18 οὐδὲ σωφρονέστερον H] καὶ σωφρονέστερον· οὐδὲ 21 Ἀριστοτέλης] Vid. Wyttenb. ad Plut. mor. p. 78 D | πρότερος H 26 κείσθω] προσκείσθω Cob.

ταύτης φρονήσεως, ἀληθεῖς δὲ ὑπὲρ τοῦ θεοῦ δόξας ἀναλαβεῖν οὐκ ἀρετῆς μόνον τῆς τελείας ἔργον ἐστίν, ἀλλ' ἐπιστήσειεν ἄν τις εἰκότως, πότερον χρὴ τὸν B τοιοῦτον ἄνδρα ἢ θεὸν καλεῖν. εἰ γὰρ ὀρθῶς ἔχει τὸ λεγόμενον, ὅτι πέφυκεν ἕκαστον ὑπὸ τῶν οἰκείων γνωρίζεσθαι, τὴν θείαν οὐσίαν ὁ γνωρίσας θεῖός τις ἂν εἰκότως νομίζοιτο. ἀλλ' ἐπειδὴ πάλιν ἐοίκαμεν εἰς τὸν θεωρηματικὸν ὁρμήσαντες βίον τούτῳ παραβάλλειν τὸν πρακτικόν, ἐξ ἀρχῆς παραιτησαμένου καὶ σοῦ τὴν σύγκρισιν, αὐτῶν ἐκείνων, ὧν ἐπεμνή- C σθης, Ἀρείου, Νικολάου, Θρασύλλου καὶ Μουσωνίου μνημονεύσω. τούτων γὰρ οὐχ ὅπως τις ἦν κύριος τῆς αὑτοῦ πόλεως, ἀλλ' ὁ μὲν Ἄρειος, ὥς φασί, καὶ διδομένην αὐτῷ τὴν Αἴγυπτον ἐπιτροπεῦσαι παρῃτήσατο, Θράσυλλος δὲ Τιβερίῳ πικρῷ καὶ φύσει χαλεπῷ τυράννῳ ξυγγενόμενος, εἰ μὴ διὰ τῶν καταλειφθέντων ὑπ' αὐτοῦ λόγων ἀπελογήσατο, δείξας D ὅστις ἦν, ὦφλεν ἂν εἰς τέλος αἰσχύνην ἀναπάλλακτον, οὕτως αὐτὸν οὐδὲν ὤνησεν ἡ πολιτεία, Νικόλαος δὲ πράξεων μὲν οὐ μεγάλων αὐτουργὸς γέγονε, γνώριμος δέ ἐστι μᾶλλον διὰ τοὺς ὑπὲρ αὐτῶν λόγους, καὶ Μουσώνιος ἐξ ὧν ἔπαθεν ἀνδρείως καὶ νὴ Δί' ἤνεγκεν ἐγκρατῶς τὴν τῶν τυράννων ὠμότητα γέγονε γνώριμος, ἴσως οὐκ ἔλαττον εὐδαιμονῶν ἐκείνων τῶν τὰς μεγάλας ἐπιτροπευσάντων βασιλείας. Ἄρειος δὲ ὁ τὴν ἐπιτροπὴν τῆς Αἰγύπτου παραιτη- 266 σάμενος ἑκὼν αὑτὸν ἀπεστέρει τοῦ κρατίστου τέλους,

1 ἀληθεῖς Pet. spanh.] ἀληθείας 2 τῆς om. pet. 6 θεῖος H] νοῦς 10 καὶ σοῦ V] σου pet., καὶ σου spanh. 13 αὑτοῦ H] αὐτοῦ 17 ἀπελογήσατο V] ἀπελογίσατο 18 ὦφλεν H et Cob.] ὤφειλεν 23 νὴ Δί' ἤνεγκεν Cob.] [μὴ] διήνεγκεν

εἰ τοῦτ᾽ ᾤετο κυριώτατον. σὺ δὲ αὐτὸς ἡμῖν ἄπρακτος εἶ, μήτε στρατηγῶν μήτε δημηγορῶν μήτε ἔθνους ἢ πόλεως ἄρχων; ἀλλ᾽ οὐκ ἂν φαίη νοῦν ἔχων ἀνήρ. ἔξεστι γάρ σοι φιλοσόφους (πολλοὺς) ἀποφήναντι, εἰ δὲ μή, τρεῖς ἢ τέτταρας μείζονα τὸν βίον εὐεργετῆσαι τῶν ἀνθρώπων πολλῶν ὁμοῦ βασι-
B λέων. οὐ μικρᾶς (γὰρ) μερίδος ὁ φιλόσοφος προέστηκεν, οὐδέ, καθάπερ ἔφης, συμβουλῆς ἐστι μόνης τῆς ὑπὲρ τῶν κοινῶν ἐκεῖνος κύριος, οὐδὲ ἡ πρᾶξις εἰς λόγον αὖθις αὐτῷ περιίσταται, ἔργῳ δὲ βεβαιῶν τοὺς λόγους καὶ φαινόμενος τοιοῦτος, ὁποίους βούλεται τοὺς ἄλλους εἶναι, πιθανώτερος ἂν εἴη καὶ πρὸς τὸ πράττειν ἀνυσιμώτερος τῶν ἐξ ἐπιτάγματος
C ἐπὶ τὰς καλὰς πράξεις παρορμώντων.

Ἀλλ᾽ ἐπανιτέον εἰς ἀρχὴν καὶ συμπεραντέον τὴν ἐπιστολὴν μείζονα ἴσως οὖσαν τοῦ δέοντος. ἔστι δὲ ἐν αὐτῇ τὸ κεφάλαιον, ὅτι μήτε τὸν πόνον φεύγων μήτε τὴν ἡδονὴν θηρεύων μήτε ἀπραγμοσύνης καὶ ῥᾳστώνης ἐρῶν τὸν ἐν τῇ πολιτείᾳ δυσχεραίνω βίον· ἀλλ᾽, ὅπερ ἔφην ἐξ ἀρχῆς, οὔτε παιδείαν ἐμαυτῷ
D συνειδὼς τοσαύτην οὔτε φύσεως ὑπεροχήν, καὶ προσέτι δεδιώς, μὴ φιλοσοφίαν, ἧς ἐρῶν οὐκ ἐφικόμην, εἰς τοὺς νῦν ἀνθρώπους οὐδὲ ἄλλως εὐδοκιμοῦσαν διαβάλλω, πάλαι τε ἔγραφον ἐκεῖνα καὶ νῦν τὰς παρ᾽

1 τοῦτ᾽ V] τοῦτο 3 ἄρχων] ἄ..ων V | φαίη Rsk. et Horkelius] φ... V, φαίην v 4 πολλοὺς add. H; in V hoc loco aliquid extritum esse videtur. Post ἀποφήναντι addunt Reiskius παμπόλλους, Cobetus δέκα 4 et 5 ἀποφ..... εἰ δὲ V, ἀποφη.. εἰ δὲ pet., ἀποφήναντι Pet. spanh. 5 et 6 μείζονα — ἀνθρώπων] Huc spectat, ut videtur, Suidas v. φιλόσοφος 6 ἀνθρώπων] ...ων V 7 γὰρ add. H 8 καθάπερ] ..θάπερ V 14 καλὰς om. pet. 15 συμπερατέον V 18 μήτε ἀπρ. H] μηδὲ ἀπρ. 20 οὔτε H] οὐδὲ 23 εἰς] πρὸς Cob. At vid. Duker. ad Thucyd. 8, 109, Xen. H. G. II, 1, 2 III, *5, 2, Plat.* de rep. VII 529 C 24 νοῦν pet.

ὑμῶν ἐπιτιμήσεις ἀπελυσάμην εἰς δύναμιν. διδοίη δὲ ὁ θεὸς τὴν ἀρίστην τύχην καὶ φρόνησιν ἀξίαν τῆς τύχης, ὡς ἐγὼ νῦν ἔκ τε τοῦ κρείττονος τό γε πλέον καὶ παρ' ὑμῶν ἁπάσῃ μηχανῇ τῶν φιλοσο- 267
φούντων βοηθητέος εἶναί μοι δοκῶ, προτεταγμένος ὑμῶν καὶ προκινδυνεύων. εἰ δέ τι μεῖζον ἀγαθὸν τῆς ἡμετέρας παρασκευῆς (*καὶ*) *ἧς ὑπὲρ ἐμαυτοῦ γνώμης ἔχω τοῖς ἀνθρώποις δι' ἡμῶν ὁ θεὸς παράσχοι, χαλεπαίνειν οὐ χρὴ πρὸς τοὺς ἐμοὺς λόγους. ἐγὼ γὰρ οὐδὲν ἐμαυτῷ συνειδὼς ἀγαθὸν πλὴν τοῦτο μόνον, ὅτι μηδὲ οἴομαι τὰ μέγιστα ἔχειν ἔχων γε οὐδέν, ὡς ὁρᾷς αὐτός, εἰκότως βοῶ καὶ μαρτύρομαι μὴ μεγάλα παρ' ἡμῶν ἀπαιτεῖν, ἀλλὰ τῷ θεῷ τὸ* B
πᾶν ἐπιτρέπειν· οὕτω γὰρ ἐγὼ τῶν τε ἐλλειμμάτων εἴην ἂν ἀνεύθυνος καί, γενομένων ἁπάντων δεξιῶν, εὐγνώμων ἂν καὶ μέτριος εἴην, οὐκ ἀλλοτρίοις ἐμαυτὸν ἔργοις ἐπιγράφων, τῷ θεῷ δέ, ὥσπερ οὖν δίκαιον, προσανατεθεικὼς ἅπαντα αὐτός τε εἴσομαι καὶ ὑμᾶς προτρέπω τὴν χάριν εἰδέναι.

3 et 4 *τό γε πλέον* Rsk. et H] *τό γε πλέον.* cf. 122 C *τό γε ἔλαττον*   4 *τῶν φιλοσοφούντων* post *ὑμῶν* collocandum   7 *παρασκευ*... *ῆ*. V, *παρασκευῆς ἧς* v   12 *βοῶ* Rsk.] *βιῶ*   14 *ἐλειμμάτων* V   18 *προσανατεθεικὼς* Lennep. ad Phalar. Epp. p. 158, a] *προανατεθεικὼς*

ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

ΑΘΗΝΑΙΩΝ ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ.

Πολλῶν εἰργασμένων τοῖς προγόνοις ὑμῶν, ἐφ' οἷς οὐκ ἐκείνοις μόνον τότε ἐξῆν, ἀλλὰ καὶ ὑμῖν νῦν ἔξεστι φιλοτιμεῖσθαι, καὶ πολλῶν ἐγηγερμένων τροπαίων ὑπέρ τε ἁπάσης τῆς Ἑλλάδος κοινῇ καὶ κατ' ἰδίαν ὑπὲρ αὐτῆς τῆς πόλεως, ἐν οἷς ἠγωνίσατο μόνη πρός τε τοὺς ἄλλους Ἕλληνας καὶ πρὸς
B τὸν βάρβαρον, οὐδέν ἐστι τηλικοῦτον ἔργον οὐδὲ ἀνδραγαθία τοσαύτη, πρὸς ἣν οὐκ ἔνεστι καὶ ταῖς ἄλλαις ἁμιλληθῆναι πόλεσι. τὰ μὲν γὰρ μεθ' ὑμῶν καὶ αὗται, τὰ δὲ κατ' ἰδίαν εἰργάσαντο. καὶ ἵνα μὴ μεμνημένος ἔπειτα ἀντιπαραβάλλων ἢ προτιμᾶν ἑτέρας ἑτέραν ἐν οἷς διαμφισβητοῦσι νομισθείην ἢ πρὸς τὸ λυσιτελοῦν, ὥσπερ οἱ ῥήτορες, ἐνδεέστερον
C ἐπαινεῖν τὰς ἐλαττουμένας, τοῦτο ἐθέλω φράσαι μόνον ὑπὲρ ὑμῶν, ᾧ μηδὲν ἀντίπαλον ἔχομεν ἐξευρεῖν παρὰ τοῖς ἄλλοις Ἕλλησιν, ἐκ τῆς παλαιᾶς φήμης εἰς ἡμᾶς παραδεδομένον. ἀρχόντων μὲν Λακεδαιμονίων οὐ βίᾳ τὴν ἀρχήν, ἀλλὰ δόξῃ δικαιοσύνης παρείλεσθε,

13 ἀντιπαραβάλλων V] ἀντιπαραβάλλειν 14 ἑτέρας ἑτέραν V] ἑτέρας ἑτέραις | οἷς Rsk. et H] αἷς | διαμφισβητοῦσι V] ἀμφισβητοῦσι 17 ᾧ Pet.] ὃ | μηδὲν Cob.] μηδὲ 20 παρείλασθαι V

καὶ τὸν Ἀριστείδην τὸν δίκαιον οἱ παρ' ὑμῖν ἐθρέψαντο νόμοι. καίτοι γε ταῦτα οὕτως ὄντα λαμπρὰ τεκμήρια διὰ λαμπροτέρων οἶμαι τῶν ἔργων ὅμως 269 ἐπιστώσασθε. τὸ μὲν γὰρ δόξαι δίκαιον ἴσως ἂν τῳ καὶ ψευδῶς συμβαίη, καὶ τυχὸν οὐ παράδοξον ἐν πολλοῖς φαύλοις ἕνα γενέσθαι σπουδαῖον. ἢ γὰρ οὐχὶ καὶ παρὰ Μήδοις ὑμνεῖταί τις Δηιόκης Ἄβαρίς τε ἐν Ὑπερβορέοις καὶ Ἀνάχαρσις ἐν Σκύθαις, ὑπὲρ ὧν τοῦτο ἦν θαυμαστόν, ὅτι παρὰ τοῖς ἀδικωτάτοις γεγονότες ἔθνεσι τὴν δίκην ὅμως ἐτίμησαν, τὼ μὲν B ἀληθῶς, ὁ δὲ τῆς χρείας χάριν πλαττόμενος. δῆμον δὲ ὅλον καὶ πόλιν ἐραστὰς ἔργων καὶ λόγων δικαίων ἔξω τῆς παρ' ὑμῖν οὐ ῥᾴδιον εὑρεῖν. βούλομαι δὲ ὑμᾶς ἑνὸς τῶν παρ' ὑμῖν πολλῶν γε ὄντων ἔργων ὑπομνῆσαι. Θεμιστοκλέους γὰρ μετὰ τὰ Μηδικὰ γνώμην εἰσηγεῖσθαι διανοουμένου λάθρᾳ καταφλέξαι τὰ νεώρια τῶν Ἑλλήνων, εἶτα μὴ τολμῶντος εἰς τὸν C δῆμον λέγειν, ἑνὶ δὲ ὁμολογοῦντος πιστεύσειν τὸ ἀπόρρητον, ὅνπερ ἂν ὁ δῆμος χειροτονήσας προέληται, προυβάλετο μὲν ὁ δῆμος τὸν Ἀριστείδην· ὁ δὲ ἀκούσας τῆς γνώμης ἔκρυψε μὲν τὸ ῥηθέν, ἐξήνεγκε δὲ εἰς τὸν δῆμον, ὡς οὔτε λυσιτελέστερον οὔτε ἀδικώτερον εἴη τι τοῦ βουλεύματος· καὶ ἡ πόλις ἀπεψηφίσατο παραχρῆμα καὶ παρῃτήσατο, πάνυ γε νὴ Δία μεγαλοψύχως καὶ ὃν ἐχρῆν τρόπον ἄνδρας ὑπὸ μάρτυρι τῇ φρονιμωτάτῃ θεῷ τρεφομένους. D

3 ὅμως Rsk. et H] οὕτως 7 δηόκης V 8 Ὑπερβορέοις Cob.] ὑπερβοραίοις V (sed ερβοραιο recentiore manu refícta), Ὑπερβορείοις v | ἀναχάρσις V 13 εὑρεῖν (quod Petavius interpretatus est) Cob.] εἰπεῖν 14 ὑμῖν V] ὑμῶν 19 προέληται H] προσέληται 20 προυβάλετο Cob.] προὐβάλλετο 24 γε om. pet.

Οὐκοῦν εἰ ταῦτα παρ' ὑμῖν μὲν ἦν πάλαι, σώζεται δὲ ἐξ ἐκείνου καὶ εἰς ὑμᾶς ἔτι τῆς τῶν προγόνων ἀρετῆς ὥσπερ ἐμπύρευμά τι σμικρόν, εἰκός ἐστιν ὑμᾶς οὐκ εἰς τὸ μέγεθος τῶν πραττομένων ἀφορᾶν οὐδὲ εἴ τις ὥσπερ δι' ἀέρος ἱπτάμενος διὰ τῆς γῆς ἐβάδισεν ἀμηχάνῳ τάχει καὶ ἀτρύτῳ ῥώμῃ, σκοπεῖν δὲ ὅτῳ ταῦτα μετὰ τοῦ δικαίου κατείργασται, κᾆτα ἂν μὲν φαίνηται ξὺν δίκῃ πράττων, ἰδίᾳ
270 τε αὐτὸν ἴσως καὶ δημοσίᾳ πάντες ἐπαινεῖτε, τῆς δίκης δὲ ὀλιγωρήσας ἀτιμάζοιτο ἂν παρ' ὑμῶν εἰκότως. οὐδὲν γὰρ οὕτως ἐστὶν ὡς τὸ δίκαιον ἀδελφὸν φρονήσει. τοὺς οὖν ἀτιμάζοντας τοῦτο δικαίως ἂν καὶ ὡς εἰς τὴν παρ' ὑμῖν θεὸν ἀσεβοῦντας ἐξελαύνοιτε. βούλομαι οὖν ὑμῖν τὰ κατ' ἐμαυτὸν οὐκ ἀγνοοῦσι μὲν ἀπαγγεῖλαι δὲ ὅμως, ὅπως, εἴ τι λέλη-
B θεν· εἰκὸς δὲ ἔνια καὶ ὅσα μάλιστα τοῖς πᾶσι γνωσθῆναι προσήκει· ὑμῖν τε καὶ δι' ὑμῶν τοῖς ἄλλοις Ἕλλησι γένοιτο γνώριμα. μηδεὶς οὖν ὑπολάβῃ με ληρεῖν ἢ φλυαρεῖν, εἰ περὶ τῶν πᾶσιν ὥσπερ ἐν ὀφθαλμοῖς γεγονότων οὐ πάλαι μόνον, ἀλλὰ καὶ μικρῷ πρότερον, ποιεῖσθαί τινας ἐπιχειρήσαιμι λόγους· οὐδένα γὰρ οὐδὲν ἀγνοεῖν βούλομαι τῶν ἐμαυτοῦ, λανθάνειν δὲ ἄλλον ἄλλα εἰκός· ἄρξομαι δὲ ἀπὸ τῶν
C προγόνων πρῶτον τῶν ἐμαυτοῦ.

Καὶ ὅτι μὲν τὰ πρὸς πατρὸς ἡμῖν ἐντεῦθεν ὅθενπερ καὶ Κωνσταντίῳ τὰ πρὸς πατρὸς ὥρμηται, φανερόν. τὼ γὰρ ἡμετέρω πατέρε γεγόνατον ἀδελφὼ πατρόθεν. οὕτω δὲ πλησίον ἡμᾶς ὄντας συγγενεῖς

ἀδελφὸν
11 : αγαθὸν : V, ἀδελφὸν ἀγαθὸν spanh. 16 ἔνια] λανθάνειν ἔνια Rsk. 27 τὼ V] τῷ | ἀδελφῶ V

ὁ φιλανθρωπότατος οὗτος βασιλεὺς οἷα εἰργάσατο,
ἓξ μὲν ἀνεψιοὺς ἐμοῦ τε καὶ ἑαυτοῦ, πατέρα δὲ ἐμόν,
ἑαυτοῦ δὲ θεῖον, καὶ προσέτι κοινὸν ἕτερον τὸν πρὸς D
πατρὸς θεῖον ἀδελφόν τε ἐμὸν τὸν πρεσβύτατον
ἀκρίτους κτείνας, ἐμὲ δὲ καὶ ἕτερον ἀδελφὸν ἐμὸν
ἐθελήσας μὲν κτεῖναι, τέλος δὲ ἐπιβαλὼν φυγήν, ἀφ'
ἧς ἐμὲ μὲν ἀφῆκεν, ἐκεῖνον δὲ ὀλίγῳ πρότερον τῆς
σφαγῆς ἐρρύσατο τὸ τοῦ Καίσαρος ὄνομα, τί με δεῖ
νῦν ὥσπερ ἐκ τραγῳδίας τὰ ἄρρητα ἀναμετρεῖσθαι;
μετεμέλησε γὰρ αὐτῷ, φασί, καὶ ἐδήχθη δεινῶς, ἀπαι- 271
δίαν τε ἐντεῦθεν νομίζει δυστυχεῖν, τά τε ἐς τοὺς
πολεμίους τοὺς Πέρσας οὐκ εὐτυχῶς πράττειν ἐκ
τούτων ὑπολαμβάνει. ταῦτα ἐθρύλουν οἱ περὶ τὴν
αὐλὴν τότε καὶ τὸν μακαρίτην ἀδελφὸν ἐμὸν Γάλλον,
τοῦτο νῦν πρῶτον ἀκούοντα τὸ ὄνομα· κτείνας γὰρ
αὐτὸν παρὰ τοὺς νόμους οὐδὲ τῶν πατρῴων μετα-
λαχεῖν εἴασε τάφων οὐδὲ τῆς εὐαγοῦς ἠξίωσε μνήμης.
ὅπερ οὖν ἔφην, ἔλεγον τοσαῦτα καὶ δὴ καὶ ἔπειθον B
ὑμᾶς, ὅτι τὰ μὲν ἀπατηθεὶς εἰργάσατο, τὰ δὲ βίᾳ
καὶ ταραχαῖς εἴξας ἀτάκτου καὶ ταραχώδους στρατεύ-
ματος. τοσαῦτα ἡμῖν ἐπῇδον ἐν ἀγρῷ τινι τῶν ἐν
Καππαδοκίᾳ κατακεκλεισμένοις, οὐδένα ἐῶντες προσελ-
θεῖν, τὸν μὲν ἀπὸ . . . φυγῆς ἀνακαλεσάμενοι, ἐμὲ

1 οἷα Cob.] ἃ 2 ἐμόν] τὸν ἐμόν H, ut 273 B 8 ἐρρύσατο] ἐρρύσατο οὐδὲ Cob. Mihi ἐξέδυσε Iulianus videtur scripsisse. Cf. 272 A et Zosim. 2, 55 τῆς (τὴν?) τοῦ καίσαρος ἐκδύει τιμῆς (τιμήν?). Ac Petavius vertit: *fratrem vero paulo antequam jugularetur Caesaris nomen exemit.* 9 τραγῳδίας] Eur. Orest. 14 10 ἀπαιδείαν V, εἰς ἀπαιδίαν Rsk. 12 τοὺς Πέρσας deleverim 13 ἐθρύλουν H] ἐθρύλλουν 19 ὑμᾶς] ἡμᾶς, quod Petavius vertit, malim cum Reiskio 21 ὑμῖν pet. 23 ἀπὸ $\overset{\lambda}{\text{τρα}}$ φυγῆς V] ἀπὸ $\overset{\tau}{\text{τρα}}$ φυγῆς pet. Fuitne: ἀπὸ τῆς ἐν Τράλλεσι φυγῆς?

δὲ κομιδῇ μειράκιον ἔτι τῶν διδασκαλείων ἀπαγα-
C γόντες. πῶς ἂν ἐνταῦθα φράσαιμι περὶ τῶν ἓξ ἐνιαυτῶν, οὓς ἐν ἀλλοτρίῳ κτήματι διαγαγόντες, ὥσπερ οἱ παρὰ τοῖς Πέρσαις ἐν τοῖς φρουρίοις τηρούμενοι, μηδενὸς ἡμῖν προσιόντος ξένου μηδὲ τῶν πάλαι γνωρίμων ἐπιτρεπομένου τινὸς ὡς ἡμᾶς φοιτᾶν, διεξῶμεν ἀποκεκλεισμένοι παντὸς μὲν μαθήματος σπουδαίου, πάσης δὲ ἐλευθέρας ἐντεύξεως, ἐν ταῖς λαμπραῖς οἰκετείαις τρεφόμενοι καὶ τοῖς ἡμῶν αὐτῶν
D δούλοις ὥσπερ ἑταίροις συγγυμναζόμενοι; προσῄει γὰρ οὐδεὶς οὐδὲ ἐπετρέπετο τῶν ἡλικιωτῶν. ἐντεῦθεν ἐγὼ μὲν μόγις ἀφείθην διὰ τοὺς θεοὺς εὐτυχῶς, ὁ δὲ ἀδελφὸς ὁ ἐμὸς εἰς τὴν αὐλὴν καθείρχθη δυστυχῶς, εἴπερ τις ἄλλος τῶν πώποτε. καὶ γὰρ εἴ τι περὶ τὸν τρόπον ἄγριον καὶ τραχὺ τὸν ἐκείνου κατεφάνη, τοῦτο ἐκ τῆς ὀρείου τροφῆς συνηυξήθη. δίκαιος οὖν οἶμαι καὶ ταύτην ἔχειν τὴν αἰτίαν ὁ ταύτης ἡμῖν πρὸς βίαν μεταδοὺς τῆς τροφῆς, ἧς ἐμὲ μὲν
272 οἱ θεοὶ διὰ τῆς φιλοσοφίας καθαρὸν ἀπέφηναν καὶ ἐξάντη, τῷ δὲ οὐδεὶς ἐνέδωκεν. εὐθὺς γὰρ ἀπὸ τῶν ἀγρῶν ἐς τὰ βασίλεια παρελθόντι ἐπειδὴ πρῶτον αὐτῷ περιέθηκεν ἁλουργὲς ἱμάτιον, αὐτίκα φθονεῖν ἀρξάμενος οὐ πρότερον ἐπαύσατο πρὶν καθελεῖν αὐτόν, οὐδὲ τῷ περιελεῖν τὸ πορφυροῦν ἱμάτιον ἀρκεσθείς. καίτοι τοῦ ζῆν γοῦν ἄξιος, εἰ μὴ βασιλεύειν

1 διδασκαλίων V 3 οὓς Cob.] ὡς v, οὓς ὡς Rsk. | διάγοντες, nisi fallor, legendum 4 οἱ Rsk. et Horkelius] ὃν | παρὰ Πέρσαις pet. 5 μηδενὸς H] μηθενὸς 9 οἰκετίαις V 11 οὐδεὶς H] οὐθεὶς 14 πῶποτε V 15 τὸν ἐκείνου Pet.] τῶν ἐκείνου V spanh., τῶν ἐκείνῳ pet. 16 δίκαιος Pet.] δικαίως 20 ἐξάντη Pet.] εἴξαντι. cf. Ruhnken. ad Tim. p. 108 | τῷ δὲ Pet.] τῷδε V spanh., τοῦδε pet. 21 ἐπειδὴ V] ἐπειδὰν

ἐφαίνετο ἐπιτήδειος. ἀλλ' ἐχρῆν αὐτὸν καὶ τούτου
στέρεσθαι. ξυγχωρῶ, λόγον γε πάντως ὑποσχόντα B
πρότερον, ὥσπερ τοὺς κακούργους. οὐ γὰρ δὴ τοὺς
μὲν λῃστὰς ὁ νόμος ἀπαγορεύει τῷ δήσαντι κτείνειν,
τοὺς ἀφαιρεθέντας δὲ τιμάς, ἃς εἶχον, καὶ γενομέ-
νους ἐξ ἀρχόντων ἰδιώτας ἀκρίτους φησὶ δεῖν ἀναι-
ρεῖσθαι. τί γάρ, εἰ τῶν ἁμαρτημάτων εἶχεν ἀπο-
φῆναι τοὺς αἰτίους; ἐδέδοντο γὰρ αὐτῷ τινων ἐπι-
στολαί, Ἡράκλεις, ὅσας ἔχουσαι κατ' αὐτοῦ κατηγορίας,
ἐφ' αἷς ἐκεῖνος ἀγανακτήσας ἀκρατέστερον μὲν (καὶ) C
ἥκιστα βασιλικῶς ἐφῆκε τῷ θυμῷ, τοῦ μέντοι μηδὲ
ζῆν ἄξιον οὐδὲν ἐπεπράχει. πῶς γάρ; οὐχ οὗτός
ἐστιν ἀνθρώποις ἅπασι κοινὸς Ἕλλησιν ἅμα καὶ
βαρβάροις ὁ νόμος, ἀμύνεσθαι τοὺς ἀδικίας ὑπάρχον-
τας; ἀλλ' ἴσως μὲν ἠμύνατο πικρότερον. οὐ μὴν
ἔξω πάντη τοῦ εἰκότος· τὸν γὰρ ἐχθρὸν ὑπ' ὀργῆς
εἰκός τι καὶ ποιεῖν, εἴρηται καὶ πρόσθεν. ἀλλ' εἰς D
χάριν ἑνὸς ἀνδρογύνου, τοῦ κατακοιμιστοῦ, καὶ
προσέτι τοῦ τῶν μαγείρων ἐπιτρόπου τὸν ἀνεψιόν,
τὸν καίσαρα, τὸν τῆς ἀδελφῆς ἄνδρα γενόμενον, τὸν
τῆς ἀδελφιδῆς πατέρα, οὗ καὶ αὐτὸς πρότερον ἦν
ἀγαγόμενος τὴν ἀδελφήν, πρὸς ὃν αὐτῷ τοσαῦτα
θεῶν ὁμογνίων ὑπῆρχε δίκαια, κτεῖναι παρέδωκε τοῖς
ἐχθίστοις· ἐμὲ δὲ ἀφῆκε μόγις ἑπτὰ μηνῶν ὅλων
ἑλκύσας τῇδε κἀκεῖσε καὶ ποιησάμενος ἔμφρουρον, 273
ὥστε, εἰ μὴ θεῶν τις ἐθελήσας με σωθῆναι τὴν
καλὴν καὶ ἀγαθὴν τὸ τηνικαῦτά μοι παρέσχεν εὐ-

6 ἀκρίτους Cob.] ἀκρίτως 10 καὶ add. Pet. 21 ἀδελφιδῆς Pet.] ἀδελφιδοῦς 25 ἔμφρουρον Lennep. ad Phalar. p. 29, a] ἐμφρούριον 27 κἀγαθὴν Cob. | τοτηνικαῦτα V, τηνικαῦτα v

μενῇ [τὴν τούτου γαμετὴν] Εὐσεβίαν, οὐδ᾽ ἂν ἐγὼ τὰς χεῖρας αὐτοῦ τότε διέφυγον. καίτοι μὰ τοὺς θεοὺς οὐδ᾽ ὄναρ μοι φανεὶς ἀδελφὸς ἐπεπράχει· καὶ γὰρ οὐδὲ συνῆν αὐτῷ οὐδὲ ἐφοίτων οὐδὲ ἐβάδιζον παρ᾽ αὐτόν, ὀλιγάκις δὲ ἔγραφον καὶ ὑπὲρ ὀλίγων. B ὡς οὖν ἀποφυγὼν ἐκεῖθεν ἄσμενος ἐπορευόμην ἐπὶ τὴν τῆς μητρὸς ἑστίαν· πατρῷον γὰρ οὐδὲν ὑπῆρχέ μοι οὐδὲ ἐκεκτήμην ἐκ τοσούτων, ὅσων εἰκὸς ἦν πατέρα κεκτῆσθαι τὸν ἐμόν, οὐκ ἐλαχίστην βῶλον, οὐκ ἀνδράποδον, οὐκ οἰκίαν· ὁ γάρ τοι καλὸς Κωνστάντιος ἐκληρονόμησεν ἀντ᾽ ἐμοῦ τὴν πατρῴαν οὐσίαν ἅπασαν, ἐμοί τε, ὅπερ ἔφην, οὐδὲ γρὺ μετέδωκεν αὐτῆς· ἀλλὰ καὶ τῷ ἀδελφῷ τῷμῷ τῶν πατρῴων ἔδωκεν ὀλίγα, πάντων αὐτὸν ἀφελόμενος τῶν μητρῴων.

C Ὅσα μὲν οὖν ἔπραξε πρός με πρὶν ὀνόματος (μὲν) μεταδοῦναί μοι τοῦ σεμνοτάτου, ἔργῳ δὲ εἰς πικροτάτην καὶ χαλεπωτάτην ἐμβαλεῖν δουλείαν, εἰ καὶ μὴ πάντα, τὰ πλεῖστα γοῦν ὅμως ἠκούσατε. πορευομένου δὲ λοιπὸν ἐπὶ τὴν ἑστίαν, ἀγαπητῶς τε καὶ μόγις ἀποσωζομένου, συκοφάντης τις ἀνεφάνη περὶ τὸ Σίρμιον, ὃς τοῖς ἐκεῖ πράγματα ἔρραψεν ὡς D νεώτερα διανοουμένοις· ἴστε δήπουθεν ἀκοῇ τὸν Ἀφρικανὸν καὶ τὸν Μαρῖνον· οὔκουν ὑμᾶς οὐδὲ ὁ Φῆλιξ

1 τὴν τούτου γαμετὴν delevit Cob. | οὐδ᾽ ἂν V] οὐδὲ ἂν 3 οὐδ᾽ ὄναρ V] οὐδὲ ὄναρ | ἀδελφὸς H] ἀδελφὸς 8 ὅσων Cob.] θεῶν 12 οὐδὲ Cob.] οὔτε 17 μὲν add. H et Cob. 18 ἐμβαλεῖν Rsk. H Cob.] ἐμβαλὼν 19 ἠκούσατε Rsk. et Cob.] ἀκούσατε 20 δὲ] δὴ H 22 et 23 πράγματα ἔρραψεν — διανοουμένοις Cob., πρᾶγμα συνέρραψεν — διανοουμένοις Valesius ad Ammian. Vol. II p. 114 Erf., πράγμασιν ἔρραψεν — διανοούμενος V et v 24 οὔκουν H] οὐκοῦν | Φίληξ V pet.

ἔλαθεν οὐδὲ ὅσα ἐπράχθη περὶ τοὺς ἀνθρώπους. ἀλλ' ὡς τοῦτο αὐτῷ κατεμηνύθη τὸ πρᾶγμα, καὶ Δυνάμιος ἐξαίφνης, ἄλλος συκοφάντης, ἐκ Κελτῶν ἤγγειλεν ὅσον οὔπω τὸν Σιλουανὸν αὐτῷ πολέμιον ἀναφανεῖσθαι, δείσας παντάπασι καὶ φοβηθεὶς αὐτίκα ἐπ' ἐμὲ πέμπει, καὶ μικρὸν εἰς τὴν Ἑλλάδα κελεύσας ὑποχωρῆσαι πάλιν ἐκεῖθεν ἐκάλει παρ' ἑαυτόν, οὔπω 274 πρότερον τεθεαμένος πλὴν ἅπαξ μὲν ἐν Καππαδοκίᾳ, ἅπαξ δὲ ἐν Ἰταλίᾳ, ἀγωνισαμένης Εὐσεβίας, ὡς ἂν ὑπὲρ τῆς σωτηρίας τῆς ἐμαυτοῦ θαρρήσαιμι. καίτοι τὴν αὐτὴν αὐτῷ πόλιν ἓξ ᾤκησα μηνῶν, καὶ μέντοι καὶ ὑπέσχετό με θεάσεσθαι πάλιν. ἀλλ' ὁ θεοῖς ἐχθρὸς ἀνδρόγυνος, ὁ πιστὸς αὐτοῦ κατακοιμιστής, ἔλαθέ μου καὶ ἄκων εὐεργέτης γενόμενος· οὐ γὰρ εἴασεν ἐντυχεῖν με πολλάκις αὐτῷ, τυχὸν μὲν οὐδὲ B ἐθέλοντι, πλὴν ἀλλὰ τὸ κεφάλαιον ἐκεῖνος ἦν· ὤκνει γὰρ ὡς ἂν μή τινος συνηθείας ἐγγενομένης ἡμῖν πρὸς ἀλλήλους ἔπειτα ἀγαπηθείην καὶ πιστὸς ἀναφανεὶς ἐπιτραπείην τι. παραγενόμενον δή με τότε πρῶτον ἀπὸ τῆς Ἑλλάδος αὐτίκα διὰ τῶν περὶ τὴν θεραπείαν εὐνούχων ἡ μακαρῖτις Εὐσεβία καὶ λίαν ἐφιλοφρονεῖτο. μικρὸν δὲ ὕστερον ἐπελθόντος τούτου· καὶ γάρ τοι καὶ τὰ περὶ Σιλουανὸν ἐπέπρακτο· C λοιπὸν εἴσοδός τε εἰς τὴν αὐλὴν δίδοται, καὶ τὸ λεγόμενον ἡ Θετταλικὴ περιβάλλεται πειθανάγκη. ἀρνουμένου γάρ μου τὴν συνουσίαν στερεῶς ἐν τοῖς βασιλείοις, οἱ μὲν ὥσπερ ἐν κουρείῳ συνελθόντες

4 τὸν Σιλουανὸν αὐτῷ πολέμιον Valesius l. l.] τοῦ Νείλου κἂν (ναῦ V) ἐν αὐτῷ πόλεμον 7 οὔπω V] οὐ 10 θαρσήσαιμι V 11 μηνῶν V] μῆνας 12 θεάσεσθαι Cob.] θεάσασθαι 16 ἐκεῖνο Pet. et Rsk. 21 μακαρίτις V 24 τὰ λοιπὸν spanh.

ἀποκείρουσι τὸν πώγωνα, χλανίδα δὲ ἀμφιεννύουσι
καὶ σχηματίζουσιν, ὡς τότε ὑπελάμβανον, πάνυ γε-
D λοῖον στρατιώτην. οὐδὲν γάρ μοι τοῦ καλλωπισμοῦ
τῶν καθαρμάτων ἥρμοζεν· ἐβάδιζον δὲ οὐχ ὥσπερ
ἐκεῖνοι περιβλέποντες καὶ σοβοῦντες, ἀλλ' εἰς γῆν
βλέπων, ὥσπερ εἰθίσμην ὑπὸ τοῦ θρέψαντός με
παιδαγωγοῦ. τότε μὲν οὖν αὐτοῖς παρέσχον γέλωτα,
μικρὸν δὲ ὕστερον ὑποψίαν, εἶτα ἀνέλαμψεν ὁ τοσοῦ-
τος φθόνος. ἀλλ' ἐνταῦθα χρὴ μὴ παραλείπειν
ἐκεῖνα, πῶς ἐγὼ συνεχώρησα, πῶς δὲ εἰλόμην ὁμο-
ρόφιος ἐκείνοις γενέσθαι, οὓς ἠπιστάμην παντὶ μέν
275b μου λυμηναμένους τῷ γένει, ὑπώπτευον δὲ οὐκ εἰς
μακρὰν ἐπιβουλεύσοντας καὶ ἐμοί. πηγὰς μὲν οὖν
ὁπόσας ἀφῆκα δακρύων καὶ θρήνους οἵους, ἀνατείων
εἰς τὴν ἀκρόπολιν τὴν παρ' ὑμῖν τὰς χεῖρας, ὅτε
ἐκαλούμην, καὶ τὴν Ἀθηνᾶν ἱκετεύων σώζειν τὸν
ἱκέτην καὶ μὴ ἐκδιδόναι, πολλοὶ τῶν παρ' ὑμῖν
ἑορακότες εἰσί μοι μάρτυρες, αὐτὴ δὲ ἡ θεὸς πρὸ
τῶν ἄλλων, ὅτι καὶ θάνατον ᾐτησάμην παρ' αὐτῆς
B Ἀθήνησι πρὸ τῆς τότε ὁδοῦ. ὡς μὲν οὖν οὐ πρού-
δωκεν ἡ θεὸς τὸν ἱκέτην οὐδὲ ἐξέδωκεν, ἔργοις ἐπέ-
δειξεν· ἡγήσατο γὰρ ἁπανταχοῦ μοι καὶ παρέστησεν
ἁπανταχόθεν τοὺς φύλακας, ἐξ Ἡλίου καὶ Σελήνης
ἀγγέλους λαβοῦσα.

Συνέβη δέ τι καὶ τοιοῦτον. ἐλθὼν ἐς τὸ Μεδιό-
λανον ᾤκουν ἔν τινι προαστείῳ. ἐνταῦθα ἔπεμπεν
Εὐσεβία πολλάκις πρός με φιλοφρονουμένη καὶ γρά-

3 οὐδὲν V] οὐδὲ 7 οὖν add. V 12 et 13 οὐκ εἰς μακρὰν] ὡς οὐκ εἰς μακρὰν Cob. 16 ἱκετεύων H] ἱκέτευον 17 ἱκέτην Pet.] οἰκέτην 18 ἑορακότες H] ἑωρακότες 21 ἱκέτην Pet.] οἰκέτην | ἐπέδειξεν] ἔδειξεν? vid ad 307 A 22 παρέστησεν V] παρέστηκεν

ϲα καὶ θαρρεῖν, ὑπὲρ ὅτου ἂν δέωμαι.
ρὸς αὐτὴν ἐπιστολήν, μᾶλλον δὲ ἱκε- C
ἔχουσαν τοιούτους· Οὕτω παισὶ χρή-
οις· οὕτω τὰ καὶ τὰ θεός σοι δοίη,
δε τὴν ταχίστην, ἐκεῖνο ὑπειδόμην ὡς
εἰς τὰ βασίλεια πρὸς αὐτοκράτορος
ματα εἰσπέμπειν. ἱκέτευσα δὴ τοὺς
δηλῶσαί μοι, εἰ χρὴ πέμπειν παρὰ
τὸ γραμματεῖον· οἱ δὲ ἐπηπείλησαν,
εἰ πέμψαιμι, θάνατον αἴσχιστον. ὡς δὲ ἀληθῆ ταῦτα D
γράφω, καλῶ τοὺς θεοὺς ἅπαντας μάρτυρας. τὰ μὲν
δὴ γράμματα διὰ τοῦτο ἐπέσχον εἰσπέμψαι. ἐξ ἐκεί-
νης δέ μοι τῆς νυκτὸς λογισμὸς εἰσῆλθεν, οὗ καὶ
ὑμᾶς ἴσως ἄξιον ἀκοῦσαι. Νῦν, ἔφην, ἐγὼ τοῖς
θεοῖς ἀντιτάττεσθαι διανοοῦμαι, καὶ ὑπὲρ ἐμαυτοῦ
βουλεύεσθαι κρεῖττον νενόμικα τῶν πάντα εἰδότων.
καίτοι φρόνησις ἀνθρωπίνη πρὸς τὸ παρὸν ἀφορῶσα 276
μόνον ἀγαπητῶς ἂν τύχοι καὶ μόγις τοῦ πρὸς ὀλίγον
ἀναμαρτήτου. διόπερ οὐδεὶς οὐθ' ὑπὲρ τῶν εἰς τρια-
κοσιοστὸν ἔτος βουλεύεται οὔτε ὑπὲρ τῶν ἤδη γεγο-
νότων· τὸ μὲν γὰρ περιττόν, τὸ δὲ ἀδύνατον· ἀλλ'
ὑπὲρ τῶν ἐν χερσὶ καὶ ὧν ἀρχαί τινές εἰσιν ἤδη
καὶ σπέρματα. φρόνησις δὲ ἡ παρὰ τοῖς θεοῖς ἐπὶ
τὸ μήκιστον, μᾶλλον δὲ ἐπὶ πᾶν βλέπουσα μηνύει
τε ὀρθῶς καὶ πράττει τὸ λῷον· αἴτιοι γάρ εἰσιν
αὐτοὶ καθάπερ τῶν ὄντων, οὕτω δὲ καὶ τῶν ἐσο- B

1 θαρρεῖν κελεύουσα καὶ γράφειν Cob. 2 γράψας] γράψας οὖν Cob. 3 et 4 οὕτω — δοίη affert Suidas v. ὅρκος 4 οὕτως V | θεός σοι Suid.] σοι ὁ θεός 9 γραμματεῖον Cob.] γραμμάτιον 10 δὲ H et Cob.] δή 18 ὀλίγον H] ὀλίγοις 19 οὐδεὶς H] οὐθεὶς | τριακοστὸν legendum esse censeo. Vid. Dorvill. ad Charit. V, 3 p. 474 Lips. et add. Plut. mor. 559 B 25 λῷον scripsi pro λώιον 26 δὲ H] δή

μένων. οὐκοῦν εἰκὸς αὐτοὺς ὑπὲρ τῶν παρόντων ἐπίστασθαι. τέως μὲν οὖν ἐδόκει μοι κατὰ τοῦτο συνετωτέρα τῆς ἔμπροσθεν ἡ δευτέρα γνώμη. σκοπῶν δὲ εἰς τὸ δίκαιον εὐθέως ἔφην· Εἶτα σὺ μὲν ἀγανακτεῖς, εἴ τι τῶν σῶν κτημάτων ἀποστεροίη σε τῆς ἑαυτοῦ χρήσεως ἢ καὶ ἀποδιδράσκοι καλούμενον, κἂν
C ἵππος τύχῃ κἂν πρόβατον κἂν βοίδιον, ἄνθρωπος δὲ εἶναι βουλόμενος οὐδὲ τῶν ἀγελαίων οὐδὲ τῶν συρφετωδῶν, ἀλλὰ τῶν ἐπιεικῶν καὶ μετρίων ἀποστερεῖς σεαυτοῦ τοὺς θεοὺς καὶ οὐκ ἐπιτρέπεις ἐφ' ὅ,τι ἂν ἐθέλωσι χρήσασθαί σοι; ὅρα μὴ πρὸς τῷ λίαν ἀφρόνως καὶ τῶν δικαίων τῶν πρὸς τοὺς θεοὺς ὀλιγώρως πράττῃς. ἡ δὲ ἀνδρεία ποῦ καὶ τίς, γελοῖον. ἕτοιμος γοῦν εἶ καὶ θωπεῦσαι καὶ κολακεῦσαι
D δέει τοῦ θανάτου, ἐξὸν ἅπαντα καταβαλεῖν καὶ τοῖς θεοῖς ἐπιτρέψαι πράττειν ὡς βούλονται, διελόμενον πρὸς αὐτοὺς τὴν ἐπιμέλειαν τὴν ἑαυτοῦ, καθάπερ καὶ ὁ Σωκράτης ἠξίου, καὶ τὰ μὲν ἐπὶ σοὶ πράττειν ὡς ἂν ἐνδέχηται, τὸ δὲ ὅλον ἐπ' ἐκείνοις ποιεῖσθαι, κεκτῆσθαι δὲ μηδὲν μηδὲ ἁρπάζειν, τὰ διδόμενα δὲ παρ' αὐτῶν ἀσφαλῶς δέχεσθαι. ταύτην ἐγὼ νομίσας
277 οὐκ ἀσφαλῆ μόνον, ἀλλὰ πρέπουσαν ἀνδρὶ μετρίῳ γνώμην, ἐπεὶ καὶ (τὰ) τῶν θεῶν ἐσήμαινε ταύτῃ· τὸ γὰρ ἐπιβουλὰς εὐλαβούμενον τὰς μελλούσας εἰς αἰσχρὸν καὶ προῦπτον ἐμβαλεῖν ἑαυτὸν κίνδυνον δεινῶς ἐφαίνετό μοι θορυβῶδες· εἶξαι καὶ ὑπήκουσα. καὶ

4 σὺ] οὐ pet. 5 εἴ τι Pet. spanh.] εἴ τις 6 ἀποδιδράσκοι Pet.] ἀποδιδράσκει 7 τύχῃ H] τύχοι | βοίδιον scripsi pro βοΐδιον 9 συρφετωδῶν Rsk.] συρφετῶν 10 σεαυτοῦ H] ἑαυτοῦ 11 τῷ] τὸ pet. 13 τίς V] τις | „Post γελοῖον videtur εἰπεῖν deesse.“ Rsk. 14 γοῦν V] οὖν | εἶ Pet.] εἰ 18 ἐπὶ σοὶ V] ἐπί σοι 23 τὰ τῶν Pet. spanh.] τῶν

τὸ μὲν ὄνομά μοι ταχέως καὶ τὸ χλανίδιον περιεβλήθη τοῦ καίσαρος· ἡ δὲ ἐπὶ τούτῳ δουλεία καὶ τὸ καθ' ἑκάστην ἡμέραν ὑπὲρ αὐτῆς τῆς ψυχῆς ἐπικρεμάμενον δέος Ἡράκλεις ὅσον καὶ οἷον· κλεῖθρα B θυρῶν, θυρωροί, τῶν οἰκετῶν αἱ χεῖρες ἐρευνώμεναι, μή τίς μοι παρὰ τῶν φίλων γραμματίδιον κομίζῃ, θεραπεία ξένη· μόλις ἠδυνήθην οἰκέτας ἐμαυτοῦ τέτταρας, παιδάρια μὲν δύο κομιδῇ μικρά, δύο δὲ μείζονας, εἰς τὴν αὐλὴν οἰκειότερόν με θεραπεύσοντας εἰσαγαγεῖν, ὧν εἷς μοι μόνος καὶ τὰ πρὸς θεοὺς συνειδὼς καὶ ὡς ἐνεδέχετο λάθρᾳ συμπράττων· ἐπεπίστευντο δὲ τῶν βιβλίων μου τὴν φυλακήν, ὧν μόνος C τῶν ἐμοὶ πολλῶν ἑταίρων καὶ φίλων πιστῶν, εἷς ἰατρός, ὃς καί, ὅτι φίλος ὢν ἐλελήθει, συναπεδήμησεν. οὕτω δὲ ἐδεδίειν ἐγὼ ταῦτα καὶ ψοφοδεῶς εἶχον πρὸς αὐτά, ὥστε καὶ βουλομένους εἰσιέναι τῶν φίλων πολλοὺς παρ' ἐμὲ καὶ μάλ' ἄκων ἐκώλυον, ἰδεῖν μὲν αὐτοὺς ἐπιθυμῶν, ὀκνῶν δὲ ἐκείνοις τε καὶ ἐμαυτῷ γενέσθαι συμφορῶν αἴτιος. ἀλλὰ ταῦτα μὲν ἔξωθέν ἐστι, τά(δε)δὲ ἐν αὐτοῖς τοῖς πράγμασι. D τριακοσίους ἑξήκοντά μοι δοὺς στρατιώτας εἰς τὸ τῶν Κελτῶν ἔθνος ἀνατετραμμένον ἔστειλε, μεσοῦντος ἤδη τοῦ χειμῶνος, οὐκ ἄρχοντα μᾶλλον τῶν ἐκεῖσε στρατοπέδων ἢ τοῖς ἐκεῖσε στρατηγοῖς ὑπακούσοντα. ἐγέγραπτο γὰρ αὐτοῖς καὶ ἐνετέταλτο διαρρήδην οὐ τοὺς πολεμίους μᾶλλον ἢ ἐμὲ παραφυλάττειν, ὡς ἂν μὴ νεώτερόν τι πράξαιμι. τούτων δὲ ὃν ἔφην τρόπον γενομένων, περὶ τὰς τροπὰς τὰς θερινὰς ἐπι- 278

11 ὡς ἐν δέχετο V | ἐπεπίστευντο H] πεπίστευντο 13 πιστὸς Pet. 17 μάλ' ἄκων Cob.] μάλα ἑκὼν 20 τάδε δὲ H] τὰ δὲ 24 ὑπακούοντα H 25 ἐγέγραπτο H] γέγραπτο 28 θερινὰς] χειμερινὰς Pet. θερινὰς tuetur Valesius ad Am-

τρέπει μοι βαδίζειν εἰς τὰ στρατόπεδα τὸ σχῆμα καὶ τὴν εἰκόνα περιοίσοντι τὴν ἑαυτοῦ· καὶ γάρ τοι καὶ τοῦτο εἴρητο καὶ ἐγέγραπτο, ὅτι τοῖς Γάλλοις οὐ βασιλέα δίδωσιν, ἀλλὰ τὸν τὴν ἑαυτοῦ πρὸς ἐκείνους εἰκόνα κομιοῦντα. (οὐ) κακῶς δέ, ὡς ἀκηκόατε, τοῦ πρώτου στρατηγηθέντος ἐνιαυτοῦ καὶ πραχθέντος σπουδαίου, πρὸς τὰ χειμάδια πάλιν ἐπανελθὼν εἰς B τὸν ἔσχατον κατέστην κίνδυνον. οὔτε γὰρ ἀθροίζειν ἐξῆν μοι στρατόπεδον· ἕτερος γὰρ ἦν ὁ τούτου κύριος· αὐτός τε ξὺν ὀλίγοις ἀποκεκλεισμένος, εἶτα παρὰ τῶν πλησίον πόλεων αἰτηθεὶς ἐπικουρίαν, ὧν εἶχον τὸ πλεῖστον ἐκείνοις δούς, [αὐτὸς] ἀπελείφθην μόνος. ἐκεῖνα μὲν οὖν οὕτως ἐπράχθη τότε. ὡς δὲ καὶ ὁ τῶν στρατοπέδων ἄρχων ἐν ὑποψίᾳ γενόμενος αὐτῷ παρῃρέθη καὶ ἀπηλλάγη τῆς ἀρχῆς, οὐ C σφόδρα ἐπιτήδειος δόξας, ἔγωγε ἐνομίσθην ἥκιστα σπουδαῖος καὶ δεινὸς στρατηγός, ἅτε πρᾷον ἐμαυτὸν παρασχὼν καὶ μέτριον. οὐ γὰρ ᾤμην δεῖν ξυγομαχεῖν οὐδὲ παραστρατηγεῖν, εἰ μή πού τι τῶν λίαν ἐπικινδύνων ἑώρων ἢ δέον γενέσθαι παρορώμενον ἢ καὶ τὴν ἀρχὴν μὴ δέον γενέσθαι γιγνόμενον. ἅπαξ δὲ καὶ δεύτερον (οὐ) καθηκόντως μοί τινων χρησα- D μένων, ἐμαυτὸν ᾠήθην χρῆναι τιμᾶν τῇ σιωπῇ, καὶ τοῦ λοιποῦ τὴν χλανίδα περιέφερον καὶ τὴν εἰκόνα· τούτων γὰρ τὸ τηνικαῦτα διενοούμην ἀποπεφάνθαι

mian. Vol. II p. 176 Erf. 1 τὸ σχῆμα Valesius l. l. et Lennep. ad Phalar. p. 183, b] ὄχημα 5 κομιοῦντα. οὐ κακῶς] .... κακῶς pet., in V periit οὐ charta perrosa, quod secundum Petavium reposuit spanh. 5 πραχθέντος] τινὸς addit Pet. 11 αἰτηθεὶς Pet.] ἐπιθεὶς 12 αὐτὸς delendum videtur 14 τῶν om. pet. 21 μὴ δέον V] μηδὲ 22 οὐ add. Pet. 25 τούτων H et Cob.] τούτῳ v, τούτου Pet.

κύριος. ἐξ ὧν ὁ Κωνστάντιος νομίσας ὀλίγῳ μὲν
ἐπιδώσειν, οὐκ εἰς τοσοῦτον δὲ μεταβολῆς ἥξειν τὰ
τῶν Κελτῶν πράγματα, δίδωσί μοι τῶν στρατοπέδων
τὴν ἡγεμονίαν ἦρος ἀρχῇ. καὶ στρατεύω μὲν ἀκμά-
ζοντος τοῦ σίτου, πολλῶν πάνυ Γερμανῶν περὶ τὰς
πεπορθημένας ἐν Κελτοῖς πόλεις ἀδεῶς κατοικούντων. 279
τὸ μὲν οὖν πλῆθος τῶν πόλεων πέντε που καὶ τεσσα-
ράκοντά ἐστι, τείχη τὰ διηρπασμένα δίχα τῶν πύργων
καὶ τῶν ἐλασσόνων φρουρίων. ἧς (δ') ἐνέμοντο γῆς
ἐπὶ τάδε τοῦ Ῥήνου πάσης οἱ βάρβαροι τὸ μέγεθος
ὁπόσον ἀπὸ τῶν πηγῶν αὐτῶν ἀρχόμενος ἄχρι τοῦ
Ὠκεανοῦ περιλαμβάνει· τριακόσια δὲ ἀπεῖχον τῆς
ᾐόνος τοῦ Ῥήνου στάδια οἱ πρὸς ἡμᾶς οἰκοῦντες
ἔσχατοι, τριπλάσιον δὲ ἦν ἔτι τούτου πλάτος τὸ κατα- B
λειφθὲν ἔρημον ὑπὸ τῆς λεηλασίας, ἔνθα οὐδὲ νέμειν
ἐξῆν τοῖς Κελτοῖς τὰ βοσκήματα, καὶ πόλεις τινὲς
ἔρημοι τῶν ἐνοικούντων, αἷς οὔπω παρῴκουν οἱ
βάρβαροι. ἐν τούτοις οὖσαν καταλαβὼν ἐγὼ τὴν
Γαλατίαν πόλιν τε ἀνέλαβον τὴν Ἀγριππίναν ἐπὶ τῷ
Ῥήνῳ, πρὸ μηνῶν ἑαλωκυῖάν που δέκα, καὶ τεῖχος
Ἀργέντορα πλησίον πρὸς ταῖς ὑπωρείαις αὐτοῦ τοῦ
Βοσέγου, καὶ ἐμαχεσάμην (οὐκ ἀκλεῶς), ἴσως καὶ εἰς C
ὑμᾶς ἀφίκετο ἡ τοιαύτη μάχη. ἔνθα τῶν θεῶν δόν-
των μοι τὸν βασιλέα τῶν πολεμίων αἰχμάλωτον, οὐκ
ἐφθόνησα τοῦ κατορθώματος Κωνσταντίῳ. καίτοι εἰ
μὴ θριαμβεύειν ἐξῆν, ἀποσφάττειν τὸν πολέμιον

1 ὀλίγῳ] ὀλίγον? 8 τὰ] τε Rsk. 9 δ' add. Pet. 10 ἐπὶ τάδε Pet.] ἐπίταδε V, ἐπείτα δὲ pet. 13 ᾐόνος H] ἠϊόνος 21 Ἀργέντορα Pet.] Ἀγέντορα v, Ἀργεντόρατον Cob. 22 Βοσέγου Pet.] Βαρσέγου | οὐκ ἀκλεῶς, ἴσως καὶ spanh., in pet. est lacuna, in V perrosa charta certum tantum est ...'ος, satis certa vestigia verborum ἴσως καὶ

κύριος ἦν καὶ μέντοι διὰ πάσης αὐτὸν ἄγων τῆς
Κελτίδος ταῖς πόλεσιν ἐπιδεικνύειν καὶ ὥσπερ ἐντρυ-
φᾶν τοῦ Χνοδομαρίου ταῖς συμφοραῖς [οὐδεὶς ἐκώλυε].
D τούτων οὐδὲν ᾠήθην δεῖν πράττειν, ἀλλὰ πρὸς τὸν
Κωνστάντιον αὐτὸν εὐθέως ἀπέπεμψα, τότε ἀπὸ τῶν
Κουάδων καὶ Σαυροματῶν ἐπανιόντα. συνέβη τοίνυν,
ἐμοῦ μὲν ἀγωνισαμένου, ἐκείνου δὲ ὁδεύσαντος μόνον
καὶ φιλίως ἐντυχόντος τοῖς παροικοῦσι τὸν Ἴστρον
ἔθνεσιν, οὐχ ἡμᾶς, ἀλλ' ἐκεῖνον θριαμβεῦσαι. τὸ δὴ
μετὰ τοῦτο δεύτερος ἐνιαυτὸς καὶ τρίτος, καὶ πάντες
μὲν ἀπελήλαντο τῆς Γαλατίας οἱ βάρβαροι, πλεῖσται
δὲ ἀνελήφθησαν τῶν πόλεων, παμπληθεῖς δὲ ἀπὸ
τῆς Βρεττανίδος ναῦς ἀνήχθησαν. ἑξακοσίων νηῶν
280 ἀνήγαγον στόλον, ὧν τὰς τετρακοσίας ἐν οὐδὲ ὅλοις
μησὶ δέκα ναυπηγησάμενος πάσας εἰσήγαγον εἰς τὸν
Ῥῆνον, ἔργον οὐ μικρὸν διὰ τοὺς ἐπικειμένους καὶ
παροικοῦντας πλησίον βαρβάρους. ὁ γοῦν Φλωρέν-
τιος οὕτως ᾤετο τοῦτο ἀδύνατον, ὥστε ἀργύρου
δισχιλίας λίτρας ὑπέσχετο μισθὸν ἀποτίσειν τοῖς
βαρβάροις ὑπὲρ τῆς παρόδου, καὶ ὁ Κωνστάντιος
ὑπὲρ τούτου μαθών· ἐκοινώσατο γὰρ αὐτῷ περὶ τῆς
B δόσεως· ἐπέστειλεν αὐτὸ πρός με, πράττειν κελεύσας,
εἰ μὴ παντάπασιν αἰσχρόν μοι φανείη. πῶς δὲ οὐκ
ἦν αἰσχρόν, ὅπου Κωνσταντίῳ τοιοῦτον ἐφάνη, λίαν
εἰωθότι θεραπεύειν τοὺς βαρβάρους; ἐδόθη μὴν αὐ-
τοῖς οὐδέν· ἀλλ' ἐπ' αὐτοὺς στρατεύσας, ἀμυνόντων

1 ἄγων] εἴλων pet. 2 πόλεσιν V] πόλεσι 3 οὐδεὶς ἐκώλυε delevit Cob. 8 φιλίοις Rsk. 12 παμπλήθεις V 13 τῆς Cob.] γῆς | βρετανίδος V | ναῦς et νηῶν, vitiosae formae, librariis videntur potius deberi quam ipsi Iuliano 22 ἐπέστειλε πρός με τὸ αὐτὸ πράττειν κελεύσας Horkelius 25 μὴν H] μὲν 26 ἐπ' V] ἐπὶ

μοι καὶ παρεστώτων (τῶν) θεῶν, ὑπεδεξάμην μὲν
μοῖραν τοῦ Σαλίων ἔθνους, Χαμάβους δὲ ἐξήλασα,
πολλὰς βοῦς καὶ γύναια μετὰ παιδαρίων συλλαβών.
οὕτω δὲ πάντας ἐφόβησα καὶ παρεσκεύασα καταπτῆ-
ξαι τὴν ἐμὴν ἔφοδον, ὥστε παραχρῆμα λαβεῖν ὁμή- C
ρους καὶ τῇ σιτοπομπίᾳ παρασχεῖν ἀσφαλῆ κομιδήν.
μακρόν ἐστι πάντα ἀπαριθμεῖσθαι καὶ τὰ καθ' ἕκα-
στον γράφειν, ὅσα ἐν ἐνιαυτοῖς ἔπραξα τέτταρσι· τὰ
κεφάλαια δέ· τρίτον ἐπεραιώθην καῖσαρ ἔτι τὸν
Ῥῆνον· δισμυρίους ἀπῄτησα παρὰ τῶν βαρβάρων
ὑπὲρ τὸν Ῥῆνον ὄντας αἰχμαλώτους· ἐκ δυοῖν ἀγώ-
νοιν καὶ μιᾶς πολιορκίας χιλίους ἐξελὼν ἐζώγρησα,
οὐ τὴν ἄχρηστον ἡλικίαν, ἄνδρας δὲ ἡβῶντας· ἔπεμψα D
τῷ Κωνσταντίῳ τέτταρας ἀριθμοὺς τῶν κρατίστων
πεζῶν, τρεῖς ἄλλους τῶν ἐλαττόνων, ἱππέων τάγματα
δύο τὰ ἐντιμότατα· πόλεις ἀνέλαβον νῦν μὲν δὴ τῶν
θεῶν ἐθελόντων πάσας, τότε δὲ ἀνειλήφειν ἐλάττους
ὀλίγῳ τῶν τεσσαράκοντα. μάρτυρα καλῶ τὸν Δία
καὶ πάντας θεοὺς πολιούχους τε καὶ ὁμογνίους ὑπὲρ
τῆς ἐμῆς προαιρέσεως εἰς αὐτὸν καὶ πίστεως, ὅτι
τοιοῦτος γέγονα περὶ αὐτόν, οἷον ἂν εἱλόμην ἐγὼ
υἱὸν περὶ ἐμὲ γενέσθαι. τετίμηκα μὲν οὖν αὐτὸν 281
ὡς οὐδεὶς καισάρων οὐδένα τῶν ἔμπροσθεν αὐτο-
κρατόρων. οὐδὲν γοῦν εἰς τὴν τήμερον ὑπὲρ ἐκείνων
ἐγκαλεῖ μοι, καὶ ταῦτα παρρησιασαμένῳ πρὸς αὐτόν,
ἀλλὰ γελοίους αἰτίας ὀργῆς ἀναπλάττει. Λουππικῖνον,
φησί, καὶ τρεῖς ἄλλους ἀνθρώπους κατέσχες· οὓς εἰ

1 τῶν add. H 8 et 9 γράφειν — τρίτον om. pet. 8 τέσσαρσι V 14 τῷ pet. 18 τεσσάρων pet. | μάρτυρα] μάρτυρας H 23 οὐδεὶς τῶν καισάρων pet. 25 ἐγκαλεῖ H et Cob.] ἐγκαλεῖν v, ἐγκαλεῖν ἔχει Pet. 26 ἀναπλάττει Pet.] ἀναπλάττειν 27 κατέσχες V] κατέσχεν

καὶ κτείνας ἤμην ἐπιβουλεύσαντας ἔμοιγε φανερῶς, ἐχρῆν τὴν ὑπὲρ τῶν παθόντων ὀργὴν ἀφεῖναι τῆς ὁμονοίας ἕνεκα. τούτους δὲ οὐδὲν ἄχαρι διαθεὶς ὡς
B ταραχώδεις φύσει καὶ πολεμοποιοὺς κατέσχον, πολλὰ πάνυ δαπανῶν εἰς αὐτοὺς ἐκ τῶν δημοσίων, ἀφελόμενος οὐδὲν τῶν ὑπαρχόντων ἐκείνοις. ὁρᾶτε, πῶς ἐπεξιέναι τούτοις ὁ Κωνστάντιος νομοθετεῖ. ὁ γὰρ χαλεπαίνων ὑπὲρ τῶν προσηκόντων μηδὲν ἆρ' οὐκ ὀνειδίζει μοι καὶ κατεγελᾷ τῆς μωρίας, ὅτι τὸν φονέα πατρός, ἀδελφῶν, ἀνεψιῶν, ἁπάσης ὡς ἔπος εἰπεῖν τῆς κοινῆς ἡμῶν ἑστίας καὶ συγγενείας τὸν δήμιον
C εἰς τοῦτο ἐθεράπευσα; σκοπεῖτε δὲ ὅπως καὶ γενόμενος αὐτοκράτωρ ἔτι θεραπευτικῶς αὐτῷ προσηνέχθην ἐξ ὧν ἐπέστειλα.

Καὶ τὰ πρὸ τούτου δὲ ὁποῖός τις γέγονα περὶ αὐτὸν ἐντεῦθεν εἴσεσθε. αἰσθόμενος, ὅτι τῶν ἁμαρτανομένων κληρονομήσω μὲν αὐτὸς τὴν ἀδοξίαν καὶ τὸν κίνδυνον, ἐξεργασθήσεται δὲ ἑτέροις τὰ πλεῖστα,
D πρῶτον μὲν ἱκέτευον, εἰ ταῦτα πράττειν αὐτῷ φαίνοιτο καὶ πάντως ἐμὲ προσαγορεύειν καίσαρα δεδογμένον εἴη, ἄνδρας ἀγαθοὺς καὶ σπουδαίους δοῦναί μοι τοὺς ὑπουργοῦντας· ὁ δὲ πρότερον ἔδωκε τοὺς μοχθηροτάτους.ὡς δὲ ὁ μὲν εἷς ὁ πονηρότατος καὶ μάλα ἀσμένως ὑπήκουσεν, (οὐδεὶς δὲ ἠξίου) τῶν ἄλλων, ἄνδρα δίδωσιν ἄκων ἐμοὶ καὶ μάλα ἀγαθὸν Σαλούστιον, ὃς διὰ τὴν ἀρετὴν εὐθέως αὐτῷ γέγονεν

1 ἤμην] ἠλεγχόμην Rsk. | ἐπιβουλεύσοντας V 6 οὐδὲν H] οὐθὲν. Malim etiam δ' οὐδὲν 8 μηδὲν H] μηθὲν 19 φαίνοιτο delendum esse censeo 24 ἀσμένως] Malim ἄσμενος 24 et 25 οὐδεὶς — ἄλλων om. spanh., εἰ... ἀξίου.. τῶν ἄλλων pet., in V charta perrosa satis certa vestigia sunt eorum, quae Cobetus legit, οὐδεὶς δὲ ἠξίου, verba τῶν ἄλλων commode legi possunt

ὕποπτος. οὐκ ἀρκεσθεὶς ἐγὼ τῷ τοιούτῳ, κατανοήσας
δὲ πρὸς τὸ διάφορον τοῦ τρόπου καὶ βλέπων τῷ
μὲν ἄγαν αὐτὸν πιστεύοντα, τῷ δὲ οὐδ' ὅλως προσέ- 282
χοντα τῆς δεξιᾶς αὐτοῦ καὶ τῶν γονάτων ἁψάμενος·
Τούτων, ἔφην, οὐδείς ἐστί μοι συνήθης οὐδὲ γέγονεν
ἔμπροσθεν· ἐπιστάμενος δὲ αὐτοὺς ἐκ φήμης, σοῦ
κελεύσαντος, ἑταίρους ἐμαυτοῦ καὶ φίλους νομίζω,
τοῖς πάλαι γνωρίμοις ἐπ' ἴσης τιμῶν. οὐ μὴν δίκαιον
ἢ τούτοις ἐπιτετράφθαι τὰ ἐμὰ ἢ τὰ τούτων ἡμῖν
συγκινδυνεῦσαι. τί οὖν ἱκετεύω; γραπτοὺς ἡμῖν δὸς
ὥσπερ νόμους, τίνων ἀπέχεσθαι χρὴ καὶ ὅσα πράτ- B
τειν ἐπιτρέπεις. δῆλον γάρ, ὅτι τὸν μὲν πειθόμενον
ἐπαινέσεις, τὸν δὲ ἀπειθοῦντα κολάσεις, εἰ καὶ ὅ,τι
μάλιστα νομίζω μηδένα ἀπειθήσειν.

Ὅσα μὲν οὖν ἐπεχείρησεν ὁ Πεντάδιος αὐτίκα
καινοτομεῖν, οὐδὲν χρὴ λέγειν· ἀντέπραττον δὲ ἐγὼ
πρὸς πάντα, καὶ γίνεταί μοι δυσμενὴς ἐκεῖθεν. εἶτ'
ἄλλον λαβὼν καὶ παρασκευάσας δεύτερον καὶ τρίτον, C
Παῦλον, Γαυδέντιον, τοὺς ὀνομαστοὺς ἐπ' ἐμὲ μισθω-
σάμενος συκοφάντας, Σαλούστιον μὲν ὡς ἐμοὶ φίλον
ἀποστῆναι παρασκευάζει, Λουκιλιανὸν δὲ δοθῆναι
διάδοχον αὐτίκα. καὶ μικρὸν ὕστερον καὶ Φλωρέν-
τιος ἦν ἐχθρὸς ἐμοὶ διὰ τὰς πλεονεξίας, αἷς ἠναν-
τιούμην. πείθουσιν οὗτοι τὸν Κωνστάντιον ἀφελέ-
σθαι με τῶν στρατοπέδων ἁπάντων, ἴσως τι καὶ
ὑπὸ τῆς ζηλοτυπίας τῶν κατορθωμάτων κνιζόμενον, D

2 πρὸς aut delendum est aut cum Horkelio participiorum κατανοήσας et βλέπων loci permutandi sunt 3 ἄγαν V] ἄγειν 9 ἢ H et Cob.] ἐν 14 μηδένα Cob.] μηδὲν 17 γίνεται δέ μοι pet. 21 ἀποσταθῆναι Rsk. | λουκιλιανὸν V] Λουκιανὸν 23 αἷς] ἃς V, πρὸς ἃς Cob. | ἠναντιούμην Cob.] ἐναντιούμην

μενῇ [τὴν τούτου γαμετὴν] Εὐσεβίαν, οὐδ' ἂν ἐγὼ τὰς χεῖρας αὐτοῦ τότε διέφυγον. καίτοι μὰ τοὺς θεοὺς οὐδ' ὄναρ μοι φανεὶς ἀδελφὸς ἐπεπράχει· καὶ γὰρ οὐδὲ συνῆν αὐτῷ οὐδὲ ἐφοίτων οὐδὲ ἐβάδιζον παρ' αὐτόν, ὀλιγάκις δὲ ἔγραφον καὶ ὑπὲρ ὀλίγων.
B *ὡς οὖν ἀποφυγὼν ἐκεῖθεν ἄσμενος ἐπορευόμην ἐπὶ τὴν τῆς μητρὸς ἑστίαν· πατρῷον γὰρ οὐδὲν ὑπῆρχέ μοι οὐδὲ ἐκεκτήμην ἐκ τοσούτων, ὅσων εἰκὸς ἦν πατέρα κεκτῆσθαι τὸν ἐμόν, οὐκ ἐλαχίστην βῶλον, οὐκ ἀνδράποδον, οὐκ οἰκίαν· ὁ γάρ τοι καλὸς Κωνστάντιος ἐκληρονόμησεν ἀντ' ἐμοῦ τὴν πατρῴαν οὐσίαν ἅπασαν, ἐμοί τε, ὅπερ ἔφην, οὐδὲ γρὺ μετέδωκεν αὐτῆς· ἀλλὰ καὶ τῷ ἀδελφῷ τῷμῷ τῶν πατρῴων ἔδωκεν ὀλίγα, πάντων αὐτὸν ἀφελόμενος τῶν μητρῴων.*

C *Ὅσα μὲν οὖν ἔπραξε πρός με πρὶν ὀνόματος (μὲν) μεταδοῦναί μοι τοῦ σεμνοτάτου, ἔργῳ δὲ εἰς πικροτάτην καὶ χαλεπωτάτην ἐμβαλεῖν δουλείαν, εἰ καὶ μὴ πάντα, τὰ πλεῖστα γοῦν ὅμως ἠκούσατε. πορευομένου δὲ λοιπὸν ἐπὶ τὴν ἑστίαν, ἀγαπητῶς τε καὶ μόγις ἀποσωζομένου, συκοφάντης τις ἀνεφάνη περὶ τὸ Σίρμιον, ὃς τοῖς ἐκεῖ πράγματα ἔρραψεν ὡς*
D *νεώτερα διανοουμένοις· ἴστε δήπουθεν ἀκοῇ τὸν Ἀφρικανὸν καὶ τὸν Μαρῖνον· οὔκουν ὑμᾶς οὐδὲ ὁ Φῆλιξ*

1 *τὴν τούτου γαμετὴν* delevit Cob. | *οὐδ' ἂν* V] *οὐδὲ ἂν* 3 *οὐδ' ὄναρ* V] *οὐδὲ ὄναρ* | *ἀδελφὸς* H] *ἀδελφὸς* 8 *ὅσων* Cob.] *θεῶν* 12 *οὐδὲ* Cob.] *οὔτε* 17 *μὲν* add. H et Cob. 18 *ἐμβαλεῖν* Rsk. H Cob.] *ἐμβαλὼν* 19 *ἠκούσατε* Rsk. et Cob.] *ἀκούσατε* 20 *δὲ*] *δὴ* H 22 et 23 *πράγματα ἔρραψεν — διανοουμένοις* Cob., *πρᾶγμα συνέρραψεν — διανοουμένοις* Valesius ad Ammian. Vol. II p. 114 Erf., *πράγμασιν ἔρραψεν — διανοούμενος* V et v 24 *οὔκουν* H] *οὐκοῦν* | *Φίληξ* V pet.

ἔλαθεν οὐδὲ ὅσα ἐπράχθη περὶ τοὺς ἀνθρώπους· ἀλλ' ὡς τοῦτο αὐτῷ κατεμηνύθη τὸ πρᾶγμα, καὶ Δυνάμιος ἐξαίφνης, ἄλλος συκοφάντης, ἐκ Κελτῶν ἤγγειλεν ὅσον οὔπω τὸν Σιλουανὸν αὐτῷ πολέμιον ἀναφανεῖσθαι, δείσας παντάπασι καὶ φοβηθεὶς αὐτίκα ἐπ' ἐμὲ πέμπει, καὶ μικρὸν εἰς τὴν Ἑλλάδα κελεύσας ὑποχωρῆσαι πάλιν ἐκεῖθεν ἐκάλει παρ' ἑαυτόν, οὔπω 274 πρότερον τεθεαμένος πλὴν ἅπαξ μὲν ἐν Καππαδοκίᾳ, ἅπαξ δὲ ἐν Ἰταλίᾳ, ἀγωνισαμένης Εὐσεβίας, ὡς ἂν ὑπὲρ τῆς σωτηρίας τῆς ἐμαυτοῦ θαρρήσαιμι. καίτοι τὴν αὐτὴν αὐτῷ πόλιν ἓξ ᾤκησα μηνῶν, καὶ μέντοι καὶ ὑπέσχετό με θεάσεσθαι πάλιν. ἀλλ' ὁ θεοῖς ἐχθρὸς ἀνδρόγυνος, ὁ πιστὸς αὐτοῦ κατακοιμιστής, ἔλαθέ μου καὶ ἄκων εὐεργέτης γενόμενος· οὐ γὰρ εἴασεν ἐντυχεῖν με πολλάκις αὐτῷ, τυχὸν μὲν οὐδὲ B ἐθέλοντι, πλὴν ἀλλὰ τὸ κεφάλαιον ἐκεῖνος ἦν· ὤκνει γὰρ ὡς ἂν μή τινος συνηθείας ἐγγενομένης ἡμῖν πρὸς ἀλλήλους ἔπειτα ἀγαπηθείην καὶ πιστὸς ἀναφανεὶς ἐπιτραπείην τι. παραγενόμενον δή με τότε πρῶτον ἀπὸ τῆς Ἑλλάδος αὐτίκα διὰ τῶν περὶ τὴν θεραπείαν εὐνούχων ἡ μακαρῖτις Εὐσεβία καὶ λίαν ἐφιλοφρονεῖτο. μικρὸν δὲ ὕστερον ἐπελθόντος τούτου· καὶ γάρ τοι καὶ τὰ περὶ Σιλουανὸν ἐπέπρακτο· C λοιπὸν εἴσοδός τε εἰς τὴν αὐλὴν δίδοται, καὶ τὸ λεγόμενον ἡ Θετταλικὴ περιβάλλεται πειθανάγκη. ἀρνουμένου γάρ μου τὴν συνουσίαν στερεῶς ἐν τοῖς βασιλείοις, οἱ μὲν ὥσπερ ἐν κουρείῳ συνελθόντες

4 τὸν Σιλουανὸν αὐτῷ πολέμιον Valesius l. l.] τοῦ Νείλου κἂν (ναῦ V) ἐν αὐτῷ πόλεμον 7 οὔπω V] οὐ 10 θαρσήσαιμι V 11 μηνῶν V] μῆνας 12 θεάσεσθαι Cob.] θεάσασθαι 16 ἐκεῖνο Pet. et Rsk. 21 μακαρίτις V 24 τὰ λοιπὸν spanh.

μένων. οὐκοῦν εἰκὸς αὐτοὺς ὑπὲρ τῶν παρόντων
ἐπίστασθαι. τέως μὲν οὖν ἐδόκει μοι κατὰ τοῦτο
συνετωτέρα τῆς ἔμπροσθεν ἡ δευτέρα γνώμη. σκοπῶν
δὲ εἰς τὸ δίκαιον εὐθέως ἔφην· Εἶτα σὺ μὲν ἀγα-
νακτεῖς, εἴ τι τῶν σῶν κτημάτων ἀποστεροίη σε τῆς
ἑαυτοῦ χρήσεως ἢ καὶ ἀποδιδράσκοι καλούμενον, κἂν
C ἵππος τύχῃ κἂν πρόβατον κἂν βοίδιον, ἄνθρωπος δὲ
εἶναι βουλόμενος οὐδὲ τῶν ἀγελαίων οὐδὲ τῶν
συρφετωδῶν, ἀλλὰ τῶν ἐπιεικῶν καὶ μετρίων ἀπο-
στερεῖς σεαυτοῦ τοὺς θεοὺς καὶ οὐκ ἐπιτρέπεις ἐφ'
ὅ,τι ἂν ἐθέλωσι χρήσασθαί σοι; ὅρα μὴ πρὸς τῷ
λίαν ἀφρόνως καὶ τῶν δικαίων τῶν πρὸς τοὺς θεοὺς
ὀλιγώρως πράττῃς. ἡ δὲ ἀνδρεία ποῦ καὶ τίς, γε-
λοῖον. ἕτοιμος γοῦν εἶ καὶ θωπεῦσαι καὶ κολακεῦσαι
D δέει τοῦ θανάτου, ἐξὸν ἅπαντα καταβαλεῖν καὶ τοῖς
θεοῖς ἐπιτρέψαι πράττειν ὡς βούλονται, διελόμενον
πρὸς αὐτοὺς τὴν ἐπιμέλειαν τὴν ἑαυτοῦ, καθάπερ
καὶ ὁ Σωκράτης ἠξίου, καὶ τὰ μὲν ἐπὶ σοὶ πράττειν
ὡς ἂν ἐνδέχηται, τὸ δὲ ὅλον ἐπ' ἐκείνοις ποιεῖσθαι,
κεκτῆσθαι δὲ μηδὲν μηδὲ ἁρπάζειν, τὰ διδόμενα δὲ
παρ' αὐτῶν ἀσφαλῶς δέχεσθαι. ταύτην ἐγὼ νομίσας
277 οὐκ ἀσφαλῆ μόνον, ἀλλὰ πρέπουσαν ἀνδρὶ μετρίῳ
γνώμην, ἐπεὶ καὶ (τὰ) τῶν θεῶν ἐσήμαινε ταύτῃ· τὸ
γὰρ ἐπιβουλὰς εὐλαβούμενον τὰς μελλούσας εἰς αἰ-
σχρὸν καὶ προῦπτον ἐμβαλεῖν ἑαυτὸν κίνδυνον δεινῶς
ἐφαίνετό μοι θορυβῶδες· εἶξαι καὶ ὑπήκουσα. καὶ

4 σὺ] οὐ pet. 5 εἴ τι Pet. spanh.] εἴ τις 6 ἀποδιδράσκοι Pet.] ἀποδιδράσκει 7 τύχῃ H] τύχοι | βοίδιον scripsi pro βοΐδιον 9 συρφετωδῶν Rsk.] συρφετῶν 10 σεαυτοῦ H] ἑαυτοῦ 11 τῷ] τὸ pet. 13 τίς V] τις | „Post γελοῖον videtur εἰπεῖν deesse.“ Rsk. 14 γοῦν V] οὖν | εἶ Pet.] εἰ 18 ἐπὶ σοὶ V] ἐπί σοι 23 τὰ τῶν Pet. spanh.] τῶν

τὸ μὲν ὄνομά μοι ταχέως καὶ τὸ χλανίδιον περιεβλήθη τοῦ καίσαρος· ἡ δὲ ἐπὶ τούτῳ δουλεία καὶ τὸ καθ' ἑκάστην ἡμέραν ὑπὲρ αὐτῆς τῆς ψυχῆς ἐπικρεμάμενον δέος Ἡράκλεις ὅσον καὶ οἷον· κλεῖθρα B *θυρῶν, θυρωροί, τῶν οἰκετῶν αἱ χεῖρες ἐρευνώμεναι, μή τίς μοι παρὰ τῶν φίλων γραμματίδιον κομίζῃ, θεραπεία ξένη· μόλις ἠδυνήθην οἰκέτας ἐμαυτοῦ τέτταρας, παιδάρια μὲν δύο κομιδῇ μικρά, δύο δὲ μείζονας, εἰς τὴν αὐλὴν οἰκειότερόν με θεραπεύσοντας εἰσαγαγεῖν, ὧν εἷς μοι μόνος καὶ τὰ πρὸς θεοὺς συνειδὼς καὶ ὡς ἐνεδέχετο λάθρᾳ συμπράττων· ἐπεπίστευτο δὲ τῶν βιβλίων μου τὴν φυλακήν, ὢν μόνος* C *τῶν ἐμοὶ πολλῶν ἑταίρων καὶ φίλων πιστῶν, εἷς ἰατρός, ὃς καί, ὅτι φίλος ὢν ἐλελήθει, συναπεδήμησεν. οὕτω δὲ ἐδεδίειν ἐγὼ ταῦτα καὶ ψοφοδεῶς εἶχον πρὸς αὐτά, ὥστε καὶ βουλομένους εἰσιέναι τῶν φίλων πολλοὺς παρ' ἐμὲ καὶ μάλ' ἄκων ἐκώλυον, ἰδεῖν μὲν αὐτοὺς ἐπιθυμῶν, ὀκνῶν δὲ ἐκείνοις τε καὶ ἐμαυτῷ γενέσθαι συμφορῶν αἴτιος. ἀλλὰ ταῦτα μὲν ἔξωθέν ἐστι, τά(δε)δὲ ἐν αὐτοῖς τοῖς πράγμασι.* D *τριακοσίους ἑξήκοντά μοι δοὺς στρατιώτας εἰς τὸ τῶν Κελτῶν ἔθνος ἀνατετραμμένον ἔστειλε, μεσοῦντος ἤδη τοῦ χειμῶνος, οὐκ ἄρχοντα μᾶλλον τῶν ἐκεῖσε στρατοπέδων ἢ τοῖς ἐκεῖσε στρατηγοῖς ὑπακούσοντα. ἐγέγραπτο γὰρ αὐτοῖς καὶ ἐνετέταλτο διαρρήδην οὐ τοὺς πολεμίους μᾶλλον ἢ ἐμὲ παραφυλάττειν, ὡς ἂν μὴ νεώτερόν τι πράξαιμι. τούτων δὲ ὃν ἔφην τρόπον γενομένων, περὶ τὰς τροπὰς τὰς θερινὰς ἐπι-* 278

11 *ὡς ἐν δέχετο* V | *ἐπεπίστευτο* H] *πεπίστευτο* 13 *πιστὸς* Pet. 17 *μάλ' ἄκων* Cob.] *μάλα ἑκὼν* 20 *τάδε δὲ* H] *τὰ δὲ* 24 *ὑπακούοντα* H 25 *ἐγέγραπτο* H] *γέγραπτο* 28 *θερινὰς*] *χειμερινὰς* Pet. *θερινὰς* tuetur Valesius ad Am-

τρέπει μοι βαδίζειν εἰς τὰ στρατόπεδα τὸ σχῆμα καὶ
τὴν εἰκόνα περιοίσοντι τὴν ἑαυτοῦ· καὶ γάρ τοι καὶ
τοῦτο εἴρητο καὶ ἐγέγραπτο, ὅτι τοῖς Γάλλοις οὐ
βασιλέα δίδωσιν, ἀλλὰ τὸν τὴν ἑαυτοῦ πρὸς ἐκείνους
εἰκόνα κομιοῦντα. (οὐ) κακῶς δέ, ὡς ἀκηκόατε, τοῦ
πρώτου στρατηγηθέντος ἐνιαυτοῦ καὶ πραχθέντος
σπουδαίου, πρὸς τὰ χειμάδια πάλιν ἐπανελθὼν εἰς
B τὸν ἔσχατον κατέστην κίνδυνον. οὔτε γὰρ ἀθροίζειν
ἐξῆν μοι στρατόπεδον· ἕτερος γὰρ ἦν ὁ τούτου
κύριος· αὐτός τε ξὺν ὀλίγοις ἀποκεκλεισμένος, εἶτα
παρὰ τῶν πλησίον πόλεων αἰτηθεὶς ἐπικουρίαν, ὧν
εἶχον τὸ πλεῖστον ἐκείνοις δούς, [αὐτὸς] ἀπελείφθην
μόνος. ἐκεῖνα μὲν οὖν οὕτως ἐπράχθη τότε. ὡς
δὲ καὶ ὁ τῶν στρατοπέδων ἄρχων ἐν ὑποψίᾳ γενό-
μενος αὐτῷ παρῃρέθη καὶ ἀπηλλάγη τῆς ἀρχῆς, οὐ
C σφόδρα ἐπιτήδειος δόξας, ἔγωγε ἐνομίσθην ἥκιστα
σπουδαῖος καὶ δεινὸς στρατηγός, ἅτε πρᾶον ἐμαυτὸν
παρασχὼν καὶ μέτριον. οὐ γὰρ ᾤμην δεῖν ξυγομα-
χεῖν οὐδὲ παραστρατηγεῖν, εἰ μή πού τι τῶν λίαν
ἐπικινδύνων ἑώρων ἢ δέον γενέσθαι παρορώμενον ἢ
καὶ τὴν ἀρχὴν μὴ δέον γενέσθαι γιγνόμενον. ἅπαξ
δὲ καὶ δεύτερον (οὐ) καθηκόντως μοί τινων χρησα-
D μένων, ἐμαυτὸν ᾠήθην χρῆναι τιμᾶν τῇ σιωπῇ, καὶ
τοῦ λοιποῦ τὴν χλανίδα περιέφερον καὶ τὴν εἰκόνα·
τούτων γὰρ τὸ τηνικαῦτα διενοούμην ἀποπεφάνθαι

mian. Vol. II p. 176 Erf. 1 τὸ σχῆμα Valesius l. l. et Lennep. ad Phalar. p. 183, b] ὄχημα 5 κομιοῦντα. οὐ κακῶς] .... κακῶς pet., in V periit οὐ charta perrosa, quod secundum Petavium reposuit spanh. 5 πραχθέντος] τινὸς addit Pet. 11 αἰτηθεὶς Pet.] ἐπιθεὶς 12 αὐτὸς delendum videtur 14 τῶν om. pet. 21 μὴ δέον V] μηδὲ 22 οὐ add. *Pet.* 25 τούτων H et Cob.] τούτῳ v, τούτου Pet.

κύριος. ἐξ ὧν ὁ Κωνστάντιος νομίσας ὀλίγῳ μὲν ἐπιδώσειν, οὐκ εἰς τοσοῦτον δὲ μεταβολῆς ἥξειν τὰ τῶν Κελτῶν πράγματα, δίδωσί μοι τῶν στρατοπέδων τὴν ἡγεμονίαν ἦρος ἀρχῇ. καὶ στρατεύω μὲν ἀκμάζοντος τοῦ σίτου, πολλῶν πάνυ Γερμανῶν περὶ τὰς πεπορθημένας ἐν Κελτοῖς πόλεις ἀδεῶς κατοικούντων. 279 τὸ μὲν οὖν πλῆθος τῶν πόλεων πέντε που καὶ τεσσαράκοντά ἐστι, τείχη τὰ διηρπασμένα δίχα τῶν πύργων καὶ τῶν ἐλασσόνων φρουρίων. ἧς (δ') ἐνέμοντο γῆς ἐπὶ τάδε τοῦ Ῥήνου πάσης οἱ βάρβαροι τὸ μέγεθος ὁπόσον ἀπὸ τῶν πηγῶν αὐτῶν ἀρχόμενος ἄχρι τοῦ Ὠκεανοῦ περιλαμβάνει· τριακόσια δὲ ἀπεῖχον τῆς ᾐόνος τοῦ Ῥήνου στάδια οἱ πρὸς ἡμᾶς οἰκοῦντες ἔσχατοι, τριπλάσιον δὲ ἦν ἔτι τούτου πλάτος τὸ κατα- B λειφθὲν ἔρημον ὑπὸ τῆς λεηλασίας, ἔνθα οὐδὲ νέμειν ἐξῆν τοῖς Κελτοῖς τὰ βοσκήματα, καὶ πόλεις τινὲς ἔρημοι τῶν ἐνοικούντων, αἷς οὔπω παρῴκουν οἱ βάρβαροι. ἐν τούτοις οὖσαν καταλαβὼν ἐγὼ τὴν Γαλατίαν πόλιν τε ἀνέλαβον τὴν Ἀγριππίναν ἐπὶ τῷ Ῥήνῳ, πρὸ μηνῶν ἑαλωκυῖάν που δέκα, καὶ τεῖχος Ἀργέντορα πλησίον πρὸς ταῖς ὑπωρείαις αὐτοῦ τοῦ Βοσέγου, καὶ ἐμαχεσάμην (οὐκ ἀκλεῶς), ἴσως καὶ εἰς C ὑμᾶς ἀφίκετο ἡ τοιαύτη μάχη. ἔνθα τῶν θεῶν δόντων μοι τὸν βασιλέα τῶν πολεμίων αἰχμάλωτον, οὐκ ἐφθόνησα τοῦ κατορθώματος Κωνσταντίῳ. καίτοι εἰ μὴ θριαμβεύειν ἐξῆν, ἀποσφάττειν τὸν πολέμιον

1 ὀλίγῳ] ὀλίγον? 8 τὰ] τε Rsk. 9 δ' add. Pet. 10 ἐπὶ τάδε Pet.] ἐπίταδε V, ἔπειτα δὲ pet. 13 ᾐόνος H] ἠϊόνος 21 Ἀργέντορα Pet.] Ἀγέντορα v, Ἀργεντόρατον Cob. 22 Βοσέγου Pet.] Βαρσέγου | οὐκ ἀκλεῶς, ἴσως καὶ spanh., in pet. est lacuna, in V perrosa charta certum tantum est ...'ος, satis certa vestigia verborum ἴσως καὶ

τρέπει μοι βαδίζειν εἰς τὰ στρατόπεδα τὸ σχῆμα καὶ τὴν εἰκόνα περιοίσοντι τὴν ἑαυτοῦ· καὶ γάρ τοι καὶ τοῦτο εἴρητο καὶ ἐγέγραπτο, ὅτι τοῖς Γάλλοις οὐ βασιλέα δίδωσιν, ἀλλὰ τὸν τὴν ἑαυτοῦ πρὸς ἐκείνους εἰκόνα κομιοῦντα. (οὐ) κακῶς δέ, ὡς ἀκηκόατε, τοῦ πρώτου στρατηγηθέντος ἐνιαυτοῦ καὶ πραχθέντος σπουδαίου, πρὸς τὰ χειμάδια πάλιν ἐπανελθὼν εἰς B τὸν ἔσχατον κατέστην κίνδυνον. οὔτε γὰρ ἀθροίζειν ἐξῆν μοι στρατόπεδον· ἕτερος γὰρ ἦν ὁ τούτου κύριος· αὐτός τε ξὺν ὀλίγοις ἀποκεκλεισμένος, εἶτα παρὰ τῶν πλησίον πόλεων αἰτηθεὶς ἐπικουρίαν, ὧν εἶχον τὸ πλεῖστον ἐκείνοις δούς, [αὐτὸς] ἀπελείφθην μόνος. ἐκεῖνα μὲν οὖν οὕτως ἐπράχθη τότε. ὡς δὲ καὶ ὁ τῶν στρατοπέδων ἄρχων ἐν ὑποψίᾳ γενόμενος αὐτῷ παρῃρέθη καὶ ἀπηλλάγη τῆς ἀρχῆς, οὐ C σφόδρα ἐπιτήδειος δόξας, ἔγωγε ἐνομίσθην ἥκιστα σπουδαῖος καὶ δεινὸς στρατηγός, ἅτε πρᾷον ἐμαυτὸν παρασχὼν καὶ μέτριον. οὐ γὰρ ᾤμην δεῖν ξυγομαχεῖν οὐδὲ παραστρατηγεῖν, εἰ μή πού τι τῶν λίαν ἐπικινδύνων ἑώρων ἢ δέον γενέσθαι παρορώμενον ἢ καὶ τὴν ἀρχὴν μὴ δέον γενέσθαι γιγνόμενον. ἅπαξ δὲ καὶ δεύτερον (οὐ) καθηκόντως μοί τινων χρησα- D μένων, ἐμαυτὸν ᾠήθην χρῆναι τιμᾶν τῇ σιωπῇ, καὶ τοῦ λοιποῦ τὴν χλανίδα περιέφερον καὶ τὴν εἰκόνα· τούτων γὰρ τὸ τηνικαῦτα διενοούμην ἀποπεφάνθαι

mian. Vol. II p. 176 Erf. 1 τὸ σχῆμα Valesius l. l. et Lennep. ad Phalar. p. 183, b] ὄχημα 5 κομιοῦντα. οὐ κακῶς] .... κακῶς pet., in V periit οὐ charta perrosa, quod secundum Petavium reposuit spanh. 5 πραχθέντος] τινὸς addit Pet. 11 αἰτηθεὶς Pet.] ἐπιθεὶς 12 αὐτὸς delendum videtur 14 τῶν om. pet. 21 μὴ δέον V] μηδὲ 22 οὐ add. Pet. 25 τούτων H et Cob.] τούτῳ v, τούτου Pet.

κύριος. ἐξ ὧν ὁ Κωνστάντιος νομίσας ὀλίγῳ μὲν
ἐπιδώσειν, οὐκ εἰς τοσοῦτον δὲ μεταβολῆς ἥξειν τὰ
τῶν Κελτῶν πράγματα, δίδωσί μοι τῶν στρατοπέδων
τὴν ἡγεμονίαν ἦρος ἀρχῇ. καὶ στρατεύω μὲν ἀκμά-
ζοντος τοῦ σίτου, πολλῶν πάνυ Γερμανῶν περὶ τὰς
πεπορθημένας ἐν Κελτοῖς πόλεις ἀδεῶς κατοικούντων. 279
τὸ μὲν οὖν πλῆθος τῶν πόλεων πέντε που καὶ τεσσα-
ράκοντά ἐστι, τείχη τὰ διηρπασμένα δίχα τῶν πύργων
καὶ τῶν ἐλασσόνων φρουρίων. ἧς (δ') ἐνέμοντο γῆς
ἐπὶ τάδε τοῦ Ῥήνου πάσης οἱ βάρβαροι τὸ μέγεθος
ὁπόσον ἀπὸ τῶν πηγῶν αὐτῶν ἀρχόμενος ἄχρι τοῦ
Ὠκεανοῦ περιλαμβάνει· τριακόσια δὲ ἀπεῖχον τῆς
ᾐόνος τοῦ Ῥήνου στάδια οἱ πρὸς ἡμᾶς οἰκοῦντες
ἔσχατοι, τριπλάσιον δὲ ἦν ἔτι τούτου πλάτος τὸ κατα- B
λειφθὲν ἔρημον ὑπὸ τῆς λεηλασίας, ἔνθα οὐδὲ νέμειν
ἐξῆν τοῖς Κελτοῖς τὰ βοσκήματα, καὶ πόλεις τινὲς
ἔρημοι τῶν ἐνοικούντων, αἷς οὔπω παρῴκουν οἱ
βάρβαροι. ἐν τούτοις οὖσαν καταλαβὼν ἐγὼ τὴν
Γαλατίαν πόλιν τε ἀνέλαβον τὴν Ἀγριππίναν ἐπὶ τῷ
Ῥήνῳ, πρὸ μηνῶν ἑαλωκυῖάν που δέκα, καὶ τεῖχος
Ἀργέντορα πλησίον πρὸς ταῖς ὑπωρείαις αὐτοῦ τοῦ
Βοσέγου, καὶ ἐμαχεσάμην (οὐκ ἀκλεῶς), ἴσως καὶ εἰς C
ὑμᾶς ἀφίκετο ἡ τοιαύτη μάχη. ἔνθα τῶν θεῶν δόν-
των μοι τὸν βασιλέα τῶν πολεμίων αἰχμάλωτον, οὐκ
ἐφθόνησα τοῦ κατορθώματος Κωνσταντίῳ. καίτοι εἰ
μὴ θριαμβεύειν ἐξῆν, ἀποσφάττειν τὸν πολέμιον

1 ὀλίγῳ] ὀλίγον? 8 τὰ] τε Rsk. 9 δ' add. Pet. 10 ἐπὶ τάδε Pet.] ἐπίταδε V, ἔπειτα δὲ pet. 13 ᾐόνος H] ἠϊόνος 21 Ἀργέντορα Pet.] Ἀγέντορα v, Ἀργεντόρατον Cob. 22 Βοσέγου Pet.] Βαρσέγου | οὐκ ἀκλεῶς, ἴσως καὶ spanh., in pet. est lacuna, in V perrosa charta certum tantum est ...'ος, satis certa vestigia verborum ἴσως καὶ

κύριος ἦν καὶ μέντοι διὰ πάσης αὐτὸν ἄγων τῆς Κελτίδος ταῖς πόλεσιν ἐπιδεικνύειν καὶ ὥσπερ ἐντρυφᾶν τοῦ Χνοδομαρίου ταῖς συμφοραῖς [οὐδεὶς ἐκώλυε]. D τούτων οὐδὲν ᾠήθην δεῖν πράττειν, ἀλλὰ πρὸς τὸν Κωνστάντιον αὐτὸν εὐθέως ἀπέπεμψα, τότε ἀπὸ τῶν Κουάδων καὶ Σαυροματῶν ἐπανιόντα. συνέβη τοίνυν, ἐμοῦ μὲν ἀγωνισαμένου, ἐκείνου δὲ ὁδεύσαντος μόνον καὶ φιλίως ἐντυχόντος τοῖς παροικοῦσι τὸν Ἴστρον ἔθνεσιν, οὐχ ἡμᾶς, ἀλλ' ἐκεῖνον θριαμβεῦσαι. τὸ δὴ μετὰ τοῦτο δεύτερος ἐνιαυτὸς καὶ τρίτος, καὶ πάντες μὲν ἀπελήλαντο τῆς Γαλατίας οἱ βάρβαροι, πλεῖσται δὲ ἀνελήφθησαν τῶν πόλεων, παμπληθεῖς δὲ ἀπὸ τῆς Βρεττανίδος ναῦς ἀνήχθησαν. ἑξακοσίων νηῶν 280 ἀνήγαγον στόλον, ὧν τὰς τετρακοσίας ἐν οὐδὲ ὅλοις μησὶ δέκα ναυπηγησάμενος πάσας εἰσήγαγον εἰς τὸν Ῥῆνον, ἔργον οὐ μικρὸν διὰ τοὺς ἐπικειμένους καὶ παροικοῦντας πλησίον βαρβάρους. ὁ γοῦν Φλωρέντιος οὕτως ᾤετο τοῦτο ἀδύνατον, ὥστε ἀργύρου δισχιλίας λίτρας ὑπέσχετο μισθὸν ἀποτίσειν τοῖς βαρβάροις ὑπὲρ τῆς παρόδου, καὶ ὁ Κωνστάντιος ὑπὲρ τούτου μαθών· ἐκοινώσατο γὰρ αὐτῷ περὶ τῆς B δόσεως· ἐπέστειλεν αὐτὸ πρός με, πράττειν κελεύσας, εἰ μὴ παντάπασιν αἰσχρόν μοι φανείη. πῶς δὲ οὐκ ἦν αἰσχρόν, ὅπου Κωνσταντίῳ τοιοῦτον ἐφάνη, λίαν εἰωθότι θεραπεύειν τοὺς βαρβάρους; ἐδόθη μὴν αὐτοῖς οὐδέν· ἀλλ' ἐπ' αὐτοὺς στρατεύσας, ἀμυνόντων

1 ἄγων] εἴλων pet. 2 πόλεσιν V] πόλεσι 3 οὐδεὶς ἐκώλυε delevit Cob. 8 φιλίοις Rsk. 12 παμπλήθεις V 13 τῆς Cob.] γῆς | βρετανίδος V | ναῦς et νηῶν, vitiosae formae, librariis videntur potius deberi quam ipsi Iuliano 22 ἐπέστειλε πρός με τὸ αὐτὸ πράττειν κελεύσας Horkelius 25 μὴν H] μὲν 26 ἐπ' V] ἐπὶ

μοι καὶ παρεστώτων (τῶν) θεῶν, ὑπεδεξάμην μὲν μοῖραν τοῦ Σαλίων ἔθνους, Χαμάβους δὲ ἐξήλασα, πολλὰς βοῦς καὶ γύναια μετὰ παιδαρίων συλλαβών. οὕτω δὲ πάντας ἐφόβησα καὶ παρεσκεύασα καταπτῆξαι τὴν ἐμὴν ἔφοδον, ὥστε παραχρῆμα λαβεῖν ὁμήρους C καὶ τῇ σιτοπομπίᾳ παρασχεῖν ἀσφαλῆ κομιδήν. μακρόν ἐστι πάντα ἀπαριθμεῖσθαι καὶ τὰ καθ' ἕκαστον γράφειν, ὅσα ἐν ἐνιαυτοῖς ἔπραξα τέτταρσι· τὰ κεφάλαια δέ· τρίτον ἐπεραιώθην καῖσαρ ἔτι τὸν Ῥῆνον· δισμυρίους ἀπήτησα παρὰ τῶν βαρβάρων ὑπὲρ τὸν Ῥῆνον ὄντας αἰχμαλώτους· ἐκ δυοῖν ἀγώνοιν καὶ μιᾶς πολιορκίας χιλίους ἑξελὼν ἐζώγρησα, οὐ τὴν ἄχρηστον ἡλικίαν, ἄνδρας δὲ ἡβῶντας· ἔπεμψα D τῷ Κωνσταντίῳ τέτταρας ἀριθμοὺς τῶν κρατίστων πεζῶν, τρεῖς ἄλλους τῶν ἐλαττόνων, ἱππέων τάγματα δύο τὰ ἐντιμότατα· πόλεις ἀνέλαβον νῦν μὲν δὴ τῶν θεῶν ἐθελόντων πάσας, τότε δὲ ἀνειλήφειν ἐλάττους ὀλίγῳ τῶν τεσσαράκοντα. μάρτυρα καλῶ τὸν Δία καὶ πάντας θεοὺς πολιούχους τε καὶ ὁμογνίους ὑπὲρ τῆς ἐμῆς προαιρέσεως εἰς αὐτὸν καὶ πίστεως, ὅτι τοιοῦτος γέγονα περὶ αὐτόν, οἷον ἂν εἱλόμην ἐγὼ υἱὸν περὶ ἐμὲ γενέσθαι. τετίμηκα μὲν οὖν αὐτὸν 281 ὡς οὐδεὶς καισάρων οὐδένα τῶν ἔμπροσθεν αὐτοκρατόρων. οὐδὲν γοῦν εἰς τὴν τήμερον ὑπὲρ ἐκείνων ἐγκαλεῖ μοι, καὶ ταῦτα παρρησιασαμένῳ πρὸς αὐτόν, ἀλλὰ γελοίους αἰτίας ὀργῆς ἀναπλάττει. Λουππικῖνον, φησί, καὶ τρεῖς ἄλλους ἀνθρώπους κατέσχες· οὓς εἰ

1 τῶν add. H 8 et 9 γράφειν — τρίτον om. pet. 8 τέσσαρσι V 14 τῷ pet. 18 τεσσάρων pet. | μάρτυρα] μάρτυρας H 23 οὐδεὶς τῶν καισάρων pet. 25 ἐγκαλεῖ H et Cob.] ἐγκαλεῖν v, ἐγκαλεῖν ἔχει Pet. 26 ἀναπλάττει Pet.] ἀναπλάττειν 27 κατέσχες V] κατέσχεν

καὶ κτείνας ἤμην ἐπιβουλεύσαντας ἔμοιγε φανερῶς, ἐχρῆν τὴν ὑπὲρ τῶν παθόντων ὀργὴν ἀφεῖναι τῆς ὁμονοίας ἕνεκα. τούτους δὲ οὐδὲν ἄχαρι διαθεὶς ὡς
B *ταραχώδεις φύσει καὶ πολεμοποιοὺς κατέσχον, πολλὰ πάνυ δαπανῶν εἰς αὐτοὺς ἐκ τῶν δημοσίων, ἀφελόμενος οὐδὲν τῶν ὑπαρχόντων ἐκείνοις. ὁρᾶτε, πῶς ἐπεξιέναι τούτοις ὁ Κωνστάντιος νομοθετεῖ. ὁ γὰρ χαλεπαίνων ὑπὲρ τῶν προσηκόντων μηδὲν ἆρ᾽ οὐκ ὀνειδίζει μοι καὶ κατεγελᾷ τῆς μωρίας, ὅτι τὸν φονέα πατρός, ἀδελφῶν, ἀνεψιῶν, ἁπάσης ὡς ἔπος εἰπεῖν τῆς κοινῆς ἡμῶν ἑστίας καὶ συγγενείας τὸν δήμιον*
C *εἰς τοῦτο ἐθεράπευσα; σκοπεῖτε δὲ ὅπως καὶ γενόμενος αὐτοκράτωρ ἔτι θεραπευτικῶς αὐτῷ προσηνέχθην ἐξ ὧν ἐπέστειλα.*

Καὶ τὰ πρὸ τούτου δὲ ὁποῖός τις γέγονα περὶ αὐτὸν ἐντεῦθεν εἴσεσθε. αἰσθόμενος, ὅτι τῶν ἁμαρτανομένων κληρονομήσω μὲν αὐτὸς τὴν ἀδοξίαν καὶ τὸν κίνδυνον, ἐξεργασθήσεται δὲ ἑτέροις τὰ πλεῖστα,
D *πρῶτον μὲν ἱκέτευον, εἰ ταῦτα πράττειν αὐτῷ φαίνοιτο καὶ πάντως ἐμὲ προσαγορεύειν καίσαρα δεδογμένον εἴη, ἄνδρας ἀγαθοὺς καὶ σπουδαίους δοῦναί μοι τοὺς ὑπουργοῦντας· ὁ δὲ πρότερον ἔδωκε τοὺς μοχθηροτάτους. ὡς δὲ ὁ μὲν εἷς ὁ πονηρότατος καὶ μάλα ἀσμένως ὑπήκουσεν, (οὐδεὶς δὲ ἠξίου) τῶν ἄλλων, ἄνδρα δίδωσιν ἄκων ἐμοὶ καὶ μάλα ἀγαθὸν Σαλούστιον, ὃς διὰ τὴν ἀρετὴν εὐθέως αὐτῷ γέγονεν*

1 *ἤμην*] *ἠλεγχόμην* Rsk. | *ἐπιβουλεύσοντας* V 6 *οὐδὲν* H] *οὐθὲν*. Malim etiam *δ᾽ οὐδὲν* 8 *μηδὲν* H] *μηθὲν* 19 *φαίνοιτο* delendum esse censeo 24 *ἀσμένως*] Malim *ἄσμενος* 24 et 25 *οὐδεὶς — ἄλλων* om. spanh., *εἰ... ἀξίου.. τῶν ἄλλων* pet., in V charta perrosa satis certa vestigia sunt eorum, quae Cobetus legit, *οὐδεὶς δὲ ἠξίου*, verba *τῶν ἄλλων* commode legi possunt

ὕποπτος. οὐκ ἀρκεσθεὶς ἐγὼ τῷ τοιούτῳ, κατανοήσας
δὲ πρὸς τὸ διάφορον τοῦ τρόπου καὶ βλέπων τῷ
μὲν ἄγαν αὐτὸν πιστεύοντα, τῷ δὲ οὐδ᾽ ὅλως προσέ- 282
χοντα τῆς δεξιᾶς αὐτοῦ καὶ τῶν γονάτων ἁψάμενος·
Τούτων, ἔφην, οὐδείς ἐστί μοι συνήθης οὐδὲ γέγονεν
ἔμπροσθεν· ἐπιστάμενος δὲ αὐτοὺς ἐκ φήμης, σοῦ
κελεύσαντος, ἑταίρους ἐμαυτοῦ καὶ φίλους νομίζω,
τοῖς πάλαι γνωρίμοις ἐπ᾽ ἴσης τιμῶν. οὐ μὴν δίκαιον
ἢ τούτοις ἐπιτετράφθαι τὰ ἐμὰ ἢ τὰ τούτων ἡμῖν
συγκινδυνεῦσαι. τί οὖν ἱκετεύω; γραπτοὺς ἡμῖν δὸς
ὥσπερ νόμους, τίνων ἀπέχεσθαι χρὴ καὶ ὅσα πράτ- B
τειν ἐπιτρέπεις. δῆλον γάρ, ὅτι τὸν μὲν πειθόμενον
ἐπαινέσεις, τὸν δὲ ἀπειθοῦντα κολάσεις, εἰ καὶ ὅ,τι
μάλιστα νομίζω μηδένα ἀπειθήσειν.

Ὅσα μὲν οὖν ἐπεχείρησεν ὁ Πεντάδιος αὐτίκα
καινοτομεῖν, οὐδὲν χρὴ λέγειν· ἀντέπραττον δὲ ἐγὼ
πρὸς πάντα, καὶ γίνεταί μοι δυσμενὴς ἐκεῖθεν. εἶτ᾽
ἄλλον λαβὼν καὶ παρασκευάσας δεύτερον καὶ τρίτον, C
Παῦλον, Γαυδέντιον, τοὺς ὀνομαστοὺς ἐπ᾽ ἐμὲ μισθω-
σάμενος συκοφάντας, Σαλούστιον μὲν ὡς ἐμοὶ φίλον
ἀποστῆναι παρασκευάζει, Λουκιλιανὸν δὲ δοθῆναι
διάδοχον αὐτίκα. καὶ μικρὸν ὕστερον καὶ Φλωρέν-
τιος ἦν ἐχθρὸς ἐμοὶ διὰ τὰς πλεονεξίας, αἷς ἠναν-
τιούμην. πείθουσιν οὗτοι τὸν Κωνστάντιον ἀφελέ-
σθαι με τῶν στρατοπέδων ἁπάντων, ἴσως τι καὶ
ὑπὸ τῆς ζηλοτυπίας τῶν κατορθωμάτων κνιζόμενον, D

2 πρὸς aut delendum est aut cum Horkelio participiorum κατανοήσας et βλέπων loci permutandi sunt 3 ἄγαν V] ἄγειν 9 ἢ H et Cob.] ἐν 14 μηδένα Cob.] μηδὲν 17 γίνεται δέ μοι pet. 21 ἀποσταθῆναι Rsk. | λουκιλιανὸν V] Λουκιανὸν 23 αἷς] ἃς V, πρὸς ἃς Cob. | ἠναντιούμην Cob.] ἐναντιούμην

καὶ γράφει γράμματα πολλῆς μὲν ἀτιμίας εἰς ἐμὲ πλήρη, Κελτοῖς δὲ ἀνάστασιν ἀπειλοῦντα· μικροῦ γὰρ δέω φάναι τὸ στρατιωτικὸν ἅπαν ἀδιακρίτως τὸ μαχιμώτατον ἀπαγαγεῖν τῆς Γαλατίας ἐκέλευσεν, ἐπιτάξας τοῦτο τὸ ἔργον Λουππικίνῳ τε καὶ Γιντωνίῳ, ἐμοὶ δὲ ὡς ἂν πρὸς μηδὲν ἐναντιωθείην αὐτοῖς ἐπέστειλεν. ἐνταῦθα μέντοι τίνα τρόπον τὰ τῶν θεῶν
283 εἴποιμ' ἂν ἔργα πρὸς ὑμᾶς; διενοούμην· μάρτυρες δὲ αὐτοί· πᾶσαν ἀπορρίψας τὴν βασιλικὴν πολυτέλειαν καὶ παρασκευὴν ἡσυχάζειν, πράττειν δὲ οὐδὲν ὅλως. ἀνέμενον δὲ Φλωρέντιον παραγενέσθαι καὶ τὸν Λουππικῖνον· ἦν γὰρ ὁ μὲν περὶ τὴν Βίενναν, ὁ δὲ ἐν ταῖς Βρεττανίαις. ἐν τούτῳ θόρυβος πολὺς ἦν
B περὶ πάντας τοὺς ἰδιώτας καὶ τοὺς στρατιώτας, καὶ γράφει τις ἀνώνυμον εἰς τὴν ἀστυγείτονά μοι πόλιν πρὸς τοὺς Πετουλάντας τουτουσὶ καὶ Κελτούς· ὀνομάζεται δὲ οὕτω τὰ τάγματα· ἐν ᾧ πολλὰ μὲν ἐγέγραπτο κατ' ἐκείνου, πολλοὶ δὲ ὑπὲρ τῆς Γαλλιῶν προδοσίας ὀδυρμοί· καὶ μέντοι καὶ τὴν ἐμὴν ἀτιμίαν ὁ τὸ γραμματεῖον συγγράψας ἀπωδύρετο. τοῦτο κομισθὲν ἐκίνησε πάντας, οἳ τὰ Κωνσταντίου μάλιστα
C ἐφρόνουν, ἐπιθέσθαι μοι κατὰ τὸ καρτερώτατον, ὅπως ἤδη τοὺς στρατιώτας ἐκπέμψαιμι, πρὶν καὶ εἰς τοὺς ἄλλους ἀριθμοὺς ὅμοια ῥιφῆναι. καὶ γὰρ οὐδὲ ἄλλος τις παρῆν τῶν δοκούντων εὔνως ἔχειν ἐμοί, Νεβρίδιος (δέ), Πεντάδιος, Δεκέντιος, ὁ παρ' αὐτοῦ πεμ-

5 γιντωνίω V] Γιντονίῳ 8 εἴποιμ' ἂν V] εἴποιμι ἂν 15 εἰς τὴν] Haec in V perrosa charta non satis certa sunt. Potest etiam aliud praeterea vocabulum latere, sed breve. In pet. est lacuna. Fort. γραμματεῖον post ἀνώνυμον cum Horkelio addendum 17 ἐγέγραπτο H] γέγραπτο 18 γαλλιῶν V] Γαλλῶν 20 γραμματεῖον] γραμμάτιον. vid. ad 275 C | συγγράψας V] ξυγγράψας 26 δὲ add. H; Reisk. ante Νεβρί-

φθεὶς ἐπ' αὐτὸ τοῦτο Κωνσταντίου. λέγοντος δέ μου χρῆναι περιμένειν ἔτι Λουππικῖνον καὶ Φλωρέντιον, οὐδεὶς ἤκουσεν, ἀλλ' ἔλεγον πάντες τοὐναντίον ὅτι δεῖ ποιεῖν, εἰ μὴ βούλομαι ταῖς προλαβούσαις ὑποψίαις ὥσπερ ἀπόδειξιν καὶ τεκμήριον τοῦτο προσθεῖναι. D εἶτα προσέθεσαν ὡς Νῦν μὲν ἐκπεμφθέντων αὐτῶν σόν ἐστι τὸ ἔργον, ἀφικομένων δὲ τούτων οὐ σοὶ τοῦτο, ἀλλ' ἐκείνοις λογιεῖται Κωνστάντιος, σὺ δὲ ἐν αἰτίᾳ γενήσῃ. γράψαι με ἔπεισαν αὐτῷ, μᾶλλον δὲ ἐβιάσαντο· πείθεται μὲν γὰρ ἐκεῖνος, ᾧπερ ἔξεστι καὶ μὴ πεισθῆναι, βιάζεσθαι δὲ οἷς ἂν ἐξῇ, τοῦ πείθειν οὐδὲν προσδέονται· οὔκουν οὐδὲ οἱ βιασθέντες τῶν πεπεισμένων εἰσίν, ἀλλὰ τῶν ἀναγκασθέντων. ἐσκοποῦμεν ἐνταῦθα, ποίαν ὁδὸν αὐτοὺς 284 χρὴ βαδίζειν, διττῆς οὔσης. ἐγὼ μὲν ἠξίουν ἑτέραν τραπῆναι, οἱ δὲ αὖθις ἀναγκάζουσιν ἐκείνην ἰέναι, μὴ τοῦτο αὐτὸ γενόμενον ὥσπερ ἀφορμήν τινα στάσεως τοῖς στρατιώταις παράσχῃ καὶ ταραχῆς τινος αἴτιον γένηται, εἶτα στασιάζειν ἅπαξ ἀρξάμενοι πάντα ἀθρόως ταράξωσιν. ἐδόκει τὸ δέος οὐ παντάπασιν ἄλογον εἶναι τῶν ἀνθρώπων. ἦλθε τὰ τάγματα, ὑπήντησα κατὰ τὸ νενομισμένον αὐτοῖς, ἔχεσθαι τῆς B ὁδοῦ προύτρεψα· μίαν ἡμέραν ἐπέμεινεν, ἄχρις ἧς οὐδὲν ᾔδειν ἐγὼ τῶν βεβουλευμένων αὐτοῖς· ἴστω Ζεύς, Ἥλιος, Ἄρης, Ἀθηνᾶ καὶ πάντες θεοί, ὡς οὐδὲ ἐγγὺς ἀφίκετό μού τις τοιαύτη ὑπόνοια ἄχρι δείλης αὐτῆς· ὀψίας δὲ ἤδη περὶ ἡλίου δυσμὰς ἐμη-

διος excidisse putat ἀλλὰ 3 οὐδεὶς H] οὐθεὶς 3 et 4 ὅτι δεῖ H] ὃ δεῖ V et v, δεῖν Cob. 6 προσέ... pet. 7 et 8 οὐ σοὶ V] οὔ σοι 9 γράψαι] δὴ addendum videtur 12 οὔκουν H] οὐκοῦν 14 ἐσκοποῦμεν Pet.] ἐσκόπουν μὲν 20 ταράξωσιν H et Cob.] ταράξουσιν 24 οὐδὲν H] οὐθὲν

νύϑη μοι, καὶ αὐτίκα (τὰ) βασίλεια περιείληπτο, καὶ
ἐβόων πάντες, ἔτι φροντίζοντός μου τί χρὴ ποιεῖν
καὶ οὔπω σφόδρα πιστεύοντος· ἔτυχον γὰρ ἔτι τῆς
C *γαμετῆς ζώσης μοι ἀναπαυσόμενος ἰδίᾳ πρὸς τὸ*
πλησίον ὑπερῷον ἀνελθών. εἶτα ἐκεῖθεν· ἀνεπέπτατο
γὰρ ὁ τοῖχος· προσεκύνησα τὸν Δία. γενομένης δὲ
ἔτι μείζονος τῆς βοῆς καὶ ϑορυβουμένων πάντων ἐν
τοῖς βασιλείοις, ἠτέομεν τὸν ϑεὸν δοῦναι τέρας,
αὐτὰρ ὅ γ' ἡμῖν δεῖξε καὶ ἠνώγει πεισϑῆναι καὶ μὴ
προσεναντιοῦσϑαι τοῦ στρατοπέδου τῇ προϑυμίᾳ.
D *γενομένων ὅμως ἐμοὶ καὶ τούτων τῶν σημείων, οὐκ*
εἶξα ἑτοίμως, ἀλλ' ἀντέσχον εἰς ὅσον ἠδυνάμην, καὶ
οὔτε τὴν πρόσρησιν οὔτε τὸν στέφανον προσιέμην.
ἐπεὶ δὲ οὔτε εἷς τῶν πολλῶν ἠδυνάμην κρατεῖν οἵ
τε τοῦτο βουλόμενοι γενέσϑαι ϑεοὶ τοὺς μέν παρώ-
ξυνον, ἐμοὶ δὲ ἔϑελγον τὴν γνώμην, ὥρᾳ που τρίτῃ
σχεδὸν οὐκ οἶδα οὕτινός μοι στρατιώτου δόντος
μανιάκην περιεϑέμην καὶ ἦλϑον εἰς τὰ βασίλεια,
ἔνδοϑεν ἀπ' αὐτῆς, ὡς ἴσασιν οἱ ϑεοί, στένων τῆς
285 *καρδίας. καίτοι χρῆν δήπουϑεν πιστεύοντα τῷ φή-*
ναντι ϑεῷ τὸ τέρας ϑαρρεῖν· ἀλλ' ᾐσχυνόμην δεινῶς
καὶ κατεδυόμην, εἰ δόξαιμι μὴ πιστῶς ἄχρι τέλους
ὑπακοῦσαι Κωνσταντίῳ. πολλῆς (οὖν) οὔσης περὶ
τὰ βασίλεια κατηφείας, τοῦτον εὐϑὺς οἱ Κωνσταντίου
φίλοι τὸν καιρὸν ἁρπάσαι διανοηϑέντες ἐπιβουλήν
μοι ῥάπτουσιν αὐτίκα καὶ διένειμαν τοῖς στρατιώταις

1 *τὰ* add. H et Cob. 3 *ἔτι* Pet.] *ἐπὶ* 4 *ἀναπαυσόμενος* H] *ἀναπαυόμενος* 8 *ἠτέομεν* Cob.] *ἠτεόμην*. Verba sumta esse ex Odyss. *γ*, 173 Cobetus vidit, qui *φῆναι* quoque inde scriptum vult pro *δοῦναι*, coll. p. 285 A 9 *ὅ γ' ἡμῖν δεῖξε* V] *ὅ γε ἡμῖν δεῖξε* (*ἔδειξε* spanh.) 13 *προσείμην* Cob. 14 *οὔτε* Cob.] *οὐδὲ* 23 *οὖν* add. H

χρήματα, δυοῖν θάτερον προσδοκῶντες, ἢ διαστήσειν ἀλλήλους ἢ καὶ παντάπασιν ἐπιθέσθαι μοι φανερῶς. B αἰσθόμενός τις τῶν ἐπιτεταγμένων τῇ προόδῳ τῆς ἐμῆς γαμετῆς λάθρᾳ πραττόμενον αὐτὸ ἐμοὶ μὲν πρῶτον ἐμήνυσεν, ὡς δὲ ἑώρα με μηδὲν προσέχοντα, παραφρονήσας ὥσπερ οἱ θεόληπτοι δημοσίᾳ βοᾶν ἤρξατο κατὰ τὴν ἀγοράν· Ἄνδρες στρατιῶται καὶ ξένοι καὶ πολῖται, μὴ προδῶτε τὸν αὐτοκράτορα. εἶτα ἐμπίπτει θυμὸς εἰς τοὺς στρατιώτας, καὶ πάντες εἰς τὰ βασίλεια μετὰ τῶν ὅπλων ἔθεον. καταλαβόντες C δέ με ζῶντα καὶ χαρέντες ὥσπερ οἱ τοὺς ἐξ ἀνελπίστων ὀφθέντας φίλους ἄλλος ἄλλοθεν περιέβαλλον καὶ περιέπλεκον καὶ ἐπὶ τῶν ὤμων ἔφερον, καὶ ἦν πως τὸ πρᾶγμα θέας ἄξιον, ἐνθουσιασμῷ γὰρ ἐῴκει. ὡς δέ με ἁπανταχόθεν περιέσχον, ἐξήτουν ἅπαντας τοὺν Κωνσταντίου φίλους ἐπὶ τιμωρίᾳ. πηλίκον ἠγωνισάμην ἀγῶνα σῶσαι βουλόμενος αὐτούς, D ἴσασιν οἱ θεοὶ πάντες. ἀλλὰ δὴ τὰ μετὰ τοῦτο πῶς πρὸς τὸν Κωνστάντιον διεπραξάμην; οὔπω καὶ τήμερον (ἐν) ταῖς πρὸς αὐτὸν ἐπιστολαῖς τῇ δοθείσῃ μοι παρὰ τῶν θεῶν ἐπωνυμίᾳ κέχρημαι, καίσαρα δὲ ἐμαυτὸν γέγραφα, καὶ πέπεικα τοὺς στρατιώτας ὀμόσαι μοι μηδενὸς ἐπιθυμήσειν, εἴπερ ἡμῖν ἐπιτρέψειεν ἀδεῶς οἰκεῖν τὰς Γαλλίας, τοῖς πεπραγμένοις συναινέσας. ἅπαντα τὰ παρ' ἐμοὶ τάγματα πρὸς αὐτὸν 286 ἔπεμψεν ἐπιστολάς, ἱκετεύοντα περὶ τῆς πρὸς ἀλλήλους ἡμῖν ὁμονοίας. ὁ δὲ ἀντὶ τούτων ἐπέβαλεν ἡμῖν τοὺς βαρβάρους, ἐχθρὸν δὲ ἀνηγόρευσέ με παρ'

5 μηδὲν H] μηθὲν 8 προδῶτε Cob.] πρόδοτε 12 περιέβαλλον V] περιέβαλον 14 πως Cob.] ἴσως 20 ἐν add. H 22 γέγραφα H] ἔγραψα 24 συναινέσας Pet.] συναινέσαι

ἐκείνοις, καὶ μισθοὺς ἐτέλεσεν, ὅπως τὸ Γαλλιῶν ἔθνος πορθηθείη, γράφων τε τοῖς ἐν Ἰταλίᾳ παραφυλάττειν τοὺς ἐκ τῶν Γαλλιῶν παρεκελεύετο, καὶ B *περὶ τοὺς Γαλλικοὺς ὅρους ἐν ταῖς πλησίον πόλεσιν εἰς τριακοσίας μυριάδας μεδίμνων πυροῦ κατειργασμένου ἐν τῇ Βριγαντίᾳ, τοσοῦτον ἕτερον περὶ τὰς Κοττίας Ἄλπεις ὡς ἐπ' ἐμὲ στρατεύσων ἐκέλευσε παρασκευασθῆναι. καὶ ταῦτα οὐ λόγοι, σαφῆ δὲ ἔργα. καὶ γὰρ ἃς γέγραφεν ἐπιστολὰς ὑπὸ τῶν βαρβάρων κομισθείσας ἐδεξάμην, καὶ τὰς τροφὰς τὰς παρεσκευασμένας κατέλαβον καὶ τὰς ἐπιστολὰς Ταύρου. πρὸς* C *τούτοις ἔτι νῦν μοι καίσαρι γράφει, καὶ οὐδὲ συνθήσεσθαι πώποτε πρός με ὑπέστη, ἀλλ' Ἐπίκτητόν τινα τῶν Γαλλιῶν ἐπίσκοπον ἔπεμψεν ὡς πιστά μοι περὶ τῆς ἀσφαλείας τῆς ἐμαυτοῦ παρέξοντα, καὶ τοῦτο θρυλεῖ δι' ὅλων αὐτοῦ τῶν ἐπιστολῶν, ὡς οὐκ ἀφαιρησόμενος τοῦ ζῆν, ὑπὲρ δὲ τῆς τιμῆς οὐδὲν μνημονεύει. ἐγὼ δὲ τοὺς μὲν ὅρκους αὐτοῦ τὸ τῆς* D *παροιμίας οἶμαι δεῖν εἰς τέφραν γράφειν, οὕτως εἰσὶ πιστοί· τῆς τιμῆς δὲ οὐ τοῦ καλοῦ καὶ πρέποντος μόνον, ἀλλὰ καὶ τῆς τῶν φίλων ἕνεκα σωτηρίας ἀντέχομαι· καὶ οὔπω φημὶ τὴν πανταχοῦ γῆς γυμναζομένην πικρίαν. ταῦτα ἔπεισέ με, ταῦτα ἐφάνη μοι δίκαια. καὶ πρῶτον μὲν αὐτὰ τοῖς πάντα ὁρῶσι καὶ*

6 *περὶ* H] *ἐπὶ* 7 *Κοττίας* Pet.] *Σκοτίας* 9 *ἐπιστολὰς ὑπὸ* Pet.] *ἐπιστολὰς ἃς ὑπὲρ* V pet., *ἐπιστολὰς ὑπὲρ* spanh. 12 *καίσαρι*] *ὡς οὐδὲ καίσαρι* Rsk., *ὡς καίσαρι* H 13 *πώποτε* V 14 *τῶν Γαλλιῶν*] Cum Epictetus Centumcellensis episcopus, qui, ut Constantio gratificaretur, magna in Catholicos saevitia grassatus sit, ab Athanasio ad Solit. commemoretur, Petavius suspicatur, Iulianum *Κεντουμκελλῶν* scripsisse 16 *θρυλεῖ* H] *θρυλλεῖ* 17 *οὐδὲν* H] *οὐθὲν* 18 et 19 *ἐγὼ δὲ — γράφειν*] Haec Suidas affert v. *εἰς τέφραν γράφειν* 19 et 20 *οὕτως εἰσὶ πιστοί*] Haec delet Cob.

ἀκούουσιν ἀνεθέμην θεοῖς. εἶτα θυσάμενος περὶ τῆς ἐξόδου καὶ γενομένων καλῶν τῶν ἱερῶν κατ' αὐτὴν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τοῖς στρατιώταις περὶ τῆς ἐπὶ τάδε πορείας ἔμελλον διαλέγεσθαι, ὑπέρ 287
τε τῆς ἐμαυτοῦ σωτηρίας καὶ πολὺ πλέον ὑπὲρ τῆς τῶν κοινῶν εὐπραγίας καὶ τῆς ἁπάντων ἀνθρώπων ἐλευθερίας αὐτοῦ τε τοῦ Κελτῶν ἔθνους, ὃ δὶς ἤδη τοῖς πολεμίοις ἐξέδωκεν, οὐδὲ τῶν προγονικῶν φεισάμενος τάφων, ὁ τοὺς ἀλλοτρίους πάνυ θεραπεύων, ᾠήθην δεῖν ἔθνη τε προσλαβεῖν τὰ δυνατώτατα καὶ χρημάτων πόρους δικαιοτάτων ἐξ ἀργυρείων καὶ χρυσείων, καὶ εἰ μὲν ἀγαπήσειεν ἔτι νῦν γοῦν τὴν πρὸς ἡμᾶς ὁμόνοιαν, εἴσω τῶν νῦν ἐχομένων μένειν, εἰ B
δὲ πολεμεῖν διανοοῖτο καὶ μηδὲν ἀπὸ τῆς προτέρας γνώμης χαλάσειεν, ὅ,τι ἂν ᾖ τοῖς θεοῖς φίλον πάσχειν ἢ πράττειν, ὡς αἴσχιον ἀνανδρίᾳ ψυχῆς καὶ διανοίας ἀμαθίᾳ ἢ πλήθει δυνάμεως ἀσθενέστερον αὐτοῦ φανῆναι. νῦν μὲν γὰρ εἰ τῷ πλήθει κρατήσειεν, οὐκ ἐκείνου τὸ ἔργον, ἀλλὰ τῆς πολυχειρίας ἐστίν· εἰ δὲ ἐν ταῖς Γαλλίαις περιμένοντά με καὶ τὸ ζῆν ἀγαπῶντα καὶ διακλίνοντα τὸν κίνδυνον ἁπανταχό- C
θεν περικόψας κατέλαβε, κύκλῳ μὲν ὑπὸ τῶν βαρβάρων, κατὰ στόμα δὲ ὑπὸ τῶν αὐτοῦ στρατοπέδων, τὸ παθεῖν τε οἶμαι τὰ ἔσχατα προσῆν καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη οὐδεμιᾶς ἐλάττων ζημίας

4 ἐπί ταδε V | ἔμελλον Pet. spanh.] ἔμελλε 6 ἁπάντων H] ἁπάντων τῶν 8 οὐδὲ H et Cob.] οὔτε 9 ὁ Rsk. H Cob.] ὃς 10 ᾠήθην Pet. spanh.] ᾠήθη 11 δικαιοτάτους Rsk. | ἀργυρείων κ. χρυσείων Cob.] ἀργυρίων κ. χρυσίων 15 πάσχειν Pet.] παρασχεῖν 16 αἴσχιον H et Cob.] αἰσχρὸν v, αἴσχιον ὂν Rsk., quod fortasse praeferendum 21 διακλίνοντα H et Cob.] διακυλίοντα 24—p. 370, 1 ἡ τῶν — σώφροσι] Haec e Demosth. or. 1, 27 desumta sunt

τοῖς γε σώφροσι. ταῦτα διανοηθείς, ἄνδρες Ἀθηναῖοι, τοῖς τε συστρατιώταις τοῖς ἐμοῖς διῆλθον καὶ πρὸς κοινοὺς τῶν πάντων Ἑλλήνων πολίτας γράφω.
D θεοὶ δὲ οἱ πάντων κύριοι συμμαχίαν ἡμῖν τὴν ἑαυτῶν, ὥσπερ ὑπέστησαν, εἰς τέλος δοῖεν καὶ παράσχοιεν ταῖς Ἀθήναις ὑφ' ἡμῶν τε εἰς ὅσον δύναμις εὖ παθεῖν καὶ τοιούτους σχεῖν ἐς ἀεὶ τοὺς αὐτοκράτορας, οἳ μάλιστα καὶ διαφερόντως αὐτὰς εἴσονται καὶ ἀγαπήσουσιν.

2 ἐμοῖς V] ἐμοῦ 3 Aut πρὸς ὑμᾶς ὡς πρὸς κοινοὺς scribendum esse censet Cobetus aut ὑμᾶς post πολίτας addendum 4 et 5 τὴν ἑαυτῶν, ὥσπερ H] ὥσπερ τὴν ἑαυτῶν 7 σχεῖν V] ἔχειν | ἐς ἀεὶ V] εἰσαεὶ 8 αὐτὰς Rsk.] αὐτὰ

* * * * *

. . . . . *πλὴν ἢν εἰς τὸν βασιλέα ἐπίδωσιν ἀτακτοῦντάς τινας, αὐτίκα μάλα κολάζουσιν· ἐπὶ δὲ τοὺς οὐ προσιόντας τοῖς θεοῖς ἔστι το τῶν πονηρῶν δαιμόνων τεταγμένον φῦλον, ὑφ' ὧν οἱ πολλοὶ παροιστρούμενοι τῶν ἀθέων ἀναπείθονται θανατᾶν, ὡς ἀναπτησόμενοι πρὸς τὸν οὐρανόν, ὅταν ἀποῤῥήξωσι* B *τὴν ψυχὴν βιαίως. εἰσὶ δὲ οἳ καὶ τὰς ἐρημίας ἀντὶ τῶν πόλεων διώκουσιν, ὄντος τἀνθρώπου φύσει πολιτικοῦ ζῴου καὶ ἡμέρου, δαίμοσιν ἐκδεδομένοι πονηροῖς, ὑφ' ὧν εἰς ταύτην ἄγονται τὴν μισανθρωπίαν. ἤδη δὲ καὶ δεσμὰ καὶ κλοιοὺς ἐξηῦρον οἱ πολλοὶ τούτων· οὕτω πανταχόθεν αὐτοὺς ὁ κακὸς συνελαύνει δαίμων, ᾧ δεδώκασιν ἑκόντες ἑαυτούς, ἀποστάντες τῶν αἰδίων καὶ σωτήρων θεῶν. ἀλλ'* C *ὑπὲρ μὲν τούτων ἀπόχρη τοσαῦτα εἰπεῖν· ὅθεν δ' ἐξέβην εἰς τοῦτο ἐπανήξω.*

Δικαιοπραγίας οὖν τῆς μὲν κατὰ τοὺς πολιτικοὺς νόμους εὔδηλον ὅτι μελήσει τοῖς ἐπιτρόποις τῶν πό-

1 De hoc fragmento vid. praef. 3 *πλὴν ἢν* H] *πλὴν* | *εἰς* Pet.] *εἴ τις* | *ἐπίδωσιν* Rsk. et H] *ἐπιδώσειεν* 7 *θανατᾶν* H et Cob.] *θάνατον* 10 *τἀνθρώπου* Cob.] *ἀνθρώπου* 13 *ἐξηῦρον* H] *ἐξεῦρον* 17 *δ'* add. Cob. cf. 226 C 20 *μελήσει* Pet. spanh.] ....*σει*

λεων. πρέποι δ' ἂν καὶ ὑμῖν εἰς παραίνεσιν τὸ μὴ
289 παραβαίνειν ἱεροὺς ὄντας τῶν θεῶν τοὺς νόμους.
ἐπεὶ δὲ τὸν ἱερατικὸν βίον εἶναι χρὴ τοῦ πολιτικοῦ
σεμνότερον, ἀκτέον ἐπὶ τοῦτον καὶ διδακτέον· ἕψον-
ται δέ, ὡς εἰκός, οἱ βελτίους· ἐγὼ μὲν γὰρ εὔχομαι
καὶ πάντας, ἐλπίζω δὲ τοὺς ἐπιεικεῖς φύσει καὶ
σπουδαίους· ἐπιγνώσονται γὰρ οἰκείους ὄντας ἑαυ-
τοῖς τοὺς λόγους. ἀσκητέα τοίνυν πρὸ πάντων ἡ
φιλανθρωπία· ταύτῃ γὰρ ἕπεται πολλὰ μὲν καὶ ἄλλα
B τῶν ἀγαθῶν, ἐξαίρετον δὲ δὴ καὶ μέγιστον ἡ παρὰ
τῶν θεῶν εὐμένεια. καθάπερ γὰρ οἱ τοῖς ἑαυτῶν
δεσπόταις συνδιατιθέμενοι περί τε φιλίας καὶ σπου-
δὰς καὶ ἔρωτας ἀγαπῶνται πλέον τῶν ὁμοδούλων,
οὕτω νομιστέον φύσει φιλάνθρωπον ὂν τὸ θεῖον
ἀγαπᾶν τοὺς φιλανθρώπους τῶν ἀνδρῶν. ἡ δὲ
φιλανθρωπία πολλὴ καὶ παντοία· καὶ τὸ πεφεισμέ-
C νως κολάζειν τοὺς ἀνθρώπους ἐπὶ τῷ βελτίονι τῶν
κολαζομένων, ὥσπερ οἱ διδάσκαλοι τὰ παιδία, καὶ
τὸ τὰς χρείας αὐτῶν ἐπανορθοῦν, ὥσπερ οἱ θεοὶ
τὰς ἡμετέρας. ὁρᾶτε ὅσα ἡμῖν δεδώκασιν ἐκ τῆς
γῆς ἀγαθά, τροφὰς παντοίας καὶ ὁπόσας οὐδὲ ὁμοῦ
πᾶσι τοῖς ζῴοις. ἐπεὶ δὲ ἐτέχθημεν γυμνοί, ταῖς τε
τῶν ζῴων ἡμᾶς θριξὶν ἐσκέπασαν καὶ τοῖς ἐκ τῆς
γῆς φυομένοις καὶ τοῖς ἐκ δένδρων. καὶ οὐκ ἤρκε-
D σεν ἁπλῶς οὐδὲ αὐτοσχεδίως, καθάπερ ὁ Μωυσῆς
ἔφη τοὺς χιτῶνας λαβεῖν δερματίνους, ἀλλ' ὁρᾶτε
ὅσα ἐγένετο τῆς Ἐργάνης Ἀθηνᾶς τὰ δῶρα. ποῖον
οἴνῳ χρῆται ζῷον; ποῖον ἐλαίῳ; πλὴν εἴ τισιν ἡμεῖς

4 ἕψονται V] ὄψονται (sic) pet., ὄψονται spanh. 8 ἀσκητέον pet. 12 συνδιατιθέμενοι Cob.] συνδιαθέμενοι 19 χρείας Pet.] χεῖρας 20 δεδώκασιν V] δεδώκασι

καὶ τούτων μεταδίδομεν, οἱ τοῖς ἀνθρώποις οὐ μεταδιδόντες. τί δὲ τῶν θαλαττίων σίτῳ, τί δὲ τῶν χερσαίων τοῖς ἐν τῇ θαλάττῃ χρῆται; χρυσὸν οὔπω λέγω καὶ χαλκὸν καὶ σίδηρον, οἷς πᾶσιν οἱ θεοὶ ζαπλούτους ἡμᾶς ἐποίησαν, οὐχ ἵνα ὄνειδος αὐτῶν περιορῶμεν περινοστοῦντας τοὺς πένητας, ἄλλως τε 290 ὅταν καὶ ἐπιεικεῖς τινες τύχωσι τὸν τρόπον, οἷς πατρῷος μὲν κλῆρος οὐ γέγονεν, ὑπὸ δὲ μεγαλοψυχίας ἥκιστα ἐπιθυμοῦντες χρημάτων πένονται. τούτους ὁρῶντες οἱ πολλοὶ τοὺς θεοὺς ὀνειδίζουσιν. αἴτιοι δὲ θεοὶ μὲν οὐκ εἰσὶ τῆς τούτων πενίας, ἡ δὲ ἡμῶν τῶν κεκτημένων ἀπληστία καὶ τοῖς ἀνθρώποις ὑπὲρ τῶν θεῶν οὐκ ἀληθοῦς ὑπολήψεως αἰτία γίνεται καὶ προσέτι τοῖς θεοῖς ὀνείδους ἀδίκου. τί B γὰρ ἀπαιτοῦμεν, ἵνα χρυσὸν ὥσπερ τοῖς Ῥοδίοις ὁ θεὸς ὕσῃ τοῖς πένησιν; ἀλλὰ εἰ καὶ τοῦτο γένοιτο, ταχέως ἡμεῖς ὑποβαλόμενοι τοὺς οἰκέτας καὶ προθέντες πανταχοῦ τὰ ἀγγεῖα πάντας ἀπελάσομεν, ἵνα μόνοι τὰ κοινὰ τῶν θεῶν ἁρπάσωμεν δῶρα. θαυμάσειε δ᾽ ἄν τις εἰκότως, εἰ τοῦτο μὲν ἀξιοῦμεν οὔτε πεφυκὸς γίνεσθαι καὶ ἀλυσιτελὲς πάντῃ, τὰ δυνατὰ δὲ μὴ πράττομεν. τίς γὰρ ἐκ τοῦ μεταδιδόναι τοῖς C πέλας ἐγένετο πένης; ἐγώ τοι πολλάκις τοῖς δεομένοις προέμενος ἐκτησάμην αὐτὰ παρ᾽ αὐτῶν πολλαπλάσια καίπερ ὢν φαῦλος χρηματιστής, καὶ οὐδέποτέ μοι μετεμέλησε προεμένῳ. καὶ τὰ μὲν νῦν οὐκ

9 et 10 τούτους γὰρ ὁρῶντες Rsk. 15 Ῥοδίοις] Pindar. Ol. 7, 49 (90) 17 ὑποβαλόμενοι Cob.] ὑποβαλλόμενοι | προσθέντες V 20 ἀξιοῦμεν] ἀξιοῖμεν H 22 πράττομεν Rsk. H Cob.] πράττωμεν 23 πολλὰ πολλάκις Horkelius 24 παρ᾽ αὐτῶν] παρὰ θεῶν H. *A diis immortalibus* interpretatur Pet.

ἂν εἴποιμι· καὶ γὰρ ἂν εἴη παντελῶς ἄλογον, εἰ
τοὺς ἰδιώτας ἀξιώσαιμι βασιλικαῖς παραβάλλεσθαι
D χορηγίαις· ἀλλ' ὅτε ἔτι ἐτύγχανον ἰδιώτης, σύνοιδα
ἐμαυτῷ τοῦτο ἀποβὰν πολλάκις. ἀπεσώθη μοι τέλειος
ὁ κλῆρος τῆς τήθης, ἐχόμενος ὑπ' ἄλλων βιαίως, ἐκ
βραχέων ὧν εἶχον ἀναλίσκοντι τοῖς δεομένοις καὶ
μεταδιδόντι. κοινωνητέον οὖν τῶν χρημάτων ἅπασιν
ἀνθρώποις, ἀλλὰ τοῖς μὲν ἐπιεικέσιν ἐλευθεριώτερον,
τοῖς δὲ ἀπόροις καὶ πένησιν ὅσον ἐπαρκέσαι τῇ
χρείᾳ. φαίην δ' ἄν, εἰ καὶ παράδοξον εἰπεῖν, ὅτι
καὶ τοῖς πολεμίοις ἐσθῆτος καὶ τροφῆς ὅσιον ἂν εἴη
291 μεταδιδόναι· τῷ γὰρ ἀνθρωπίνῳ καὶ οὐ τῷ τρόπῳ
δίδομεν. διόπερ οἶμαι καὶ τοὺς ἐν δεσμωτηρίῳ
καθειργμένους ἀξιωτέον τῆς τοιαύτης ἐπιμελείας. οὐδὲν
γὰρ κωλύσει τὴν δίκην ἡ τοιαύτη φιλανθρωπία.
χαλεπὸν γὰρ ἂν εἴη, πολλῶν ἀποκεκλεισμένων ἐπὶ
κρίσει, καὶ τῶν μὲν ὀφλησόντων, τῶν δὲ ἀθῴων
ἀποφανθησομένων, μὴ διὰ τοὺς ἀναιτίους οἶκτόν
B τινα νέμειν καὶ τοῖς πονηροῖς, ἀλλὰ τῶν πονηρῶν
ἕνεκα καὶ περὶ τοὺς οὐδὲν ἠδικηκότας ἀνηλεῶς καὶ
ἀπανθρώπως διακεῖσθαι. ἐκεῖνο δὲ ἐννοοῦντί μοι
παντάπασιν ἄδικον καταφαίνεται· Ξένιον ὀνομάζομεν
Δία, καὶ γιγνόμεθα τῶν Σκυθῶν κακοξενώτεροι.
πῶς οὖν ὁ βουλόμενος τῷ Ξενίῳ θῦσαι Διὶ φοιτᾷ
πρὸς τὸν νεών; μετὰ ποταποῦ συνειδότος, ἐπιλαθό-
μενος τοῦ

2 παραβάλλεσθαι V] παραβαλέσθαι 5 τήθης Cob., *aviae* Pet.] τίτθης 7 κοινωνητέον] Vid. ad 17 B 11 πολεμίοις] πονηροῖς H 14 τῆς τοιαύτης] τοιαύτης pet. | οὐδὲν H] οὐθὲν 19 καὶ Cob.] [ἐν] 24 θύσαι V 26 τοῦ *Pet.*] τε

πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Πτωχοί τε ξεῖνοί τε· δόσις δ' ὀλίγη τε φίλη τε;

πῶς δὲ ὁ τὸν Ἑταίρειον θεραπεύων Δία, ὁρῶν τοὺς C
πέλας ἐνδεεῖς χρημάτων, εἶτα μηδ' ὅσον δραχμῆς
μεταδιδούς, οἴεται τὸν Δία καλῶς θεραπεύειν; ὅταν
εἰς ταῦτα ἀπίδω, παντελῶς ἀχανὴς γίνομαι, τὰς μὲν
ἐπωνυμίας τῶν θεῶν ἅμα τῷ κόσμῳ τῷ ἐξ ἀρχῆς
ὥσπερ εἰκόνας γραπτὰς ὁρῶν, ἔργῳ δὲ ὑφ' ἡμῶν
οὐδὲν τοιοῦτον ἐπιτηδευόμενον. ὁμόγνιοι λέγονται D
παρ' ἡμῖν θεοὶ καὶ Ζεὺς ὁμόγνιος, ἔχομεν δὲ ὥσπερ
πρὸς ἀλλοτρίους τοὺς συγγενεῖς· ἄνθρωπος γὰρ ἀνθρώπῳ
καὶ ἑκὼν καὶ ἄκων πᾶς ἐστι συγγενής, εἴτε
[γὰρ], καθάπερ λέγεται παρά τινων, ἐξ ἑνός τε καὶ
μιᾶς γεγόναμεν πάντες, εἴθ' ὁπωσοῦν ἄλλως, ἀθρόως
ὑποστησάντων ἡμᾶς τῶν θεῶν ἅμα τῷ κόσμῳ τῷ
ἐξ ἀρχῆς, οὐχ ἕνα καὶ μίαν, ἀλλὰ πολλοὺς ἅμα καὶ
πολλάς. οἱ γὰρ ἕνα καὶ μίαν δυνηθέντες οἷοί τε 292
ἦσαν ἅμα καὶ πολλοὺς καὶ πολλάς. καὶ γὰρ ὃν
τρόπον τόν τε ἕνα καὶ τὴν μίαν, τὸν αὐτὸν τρόπον
τοὺς πολλούς τε καὶ τὰς πολλάς. εἴς τε τὸ διάφορον
ἀποβλέψαντα τῶν ἠθῶν καὶ τῶν νόμων, οὐ μὴν
ἀλλὰ καὶ ὅπερ ἐστὶ μεῖζον καὶ τιμιώτερον καὶ κυριώτερον,
εἰς τὴν τῶν θεῶν φήμην, ἣ παραδέδοται διὰ
τῶν ἀρχαίων ἡμῖν θεουργῶν, ὡς, ὅτε Ζεὺς ἐκόσμει B
τὰ πάντα, σταγόνων αἵματος ἱεροῦ πεσουσῶν, ἐξ ὧν

1 Odyss. ζ, 207 3 ὁ τὸν V] ὅταν | ἑταιρεῖον Cob.] ἑταίριον 4 δραγμῆς V 6 ἀ..νὴς pet. 13 γὰρ expungendum videtur 18 „Post πολλὰς deesse videtur ποιεῖν vel ὑποστῆσαι.“ Rsk. 19 τόν τε H et Cob.] τότε 20 πολλούς τε V] πολλοὺς | „Post πολλάς deesse videtur χρὴ ὑπολαβεῖν γεγενῆσθαι.“ Rsk. 21 ἠθῶν] ἀγαθῶν pet. Malim ἐθῶν. „Mutilus videtur hic locus.“ Pet.

που τὸ τῶν ἀνθρώπων βλαστήσειε γένος. καὶ οὕτως οὖν συγγενεῖς γινόμεθα πάντες, εἰ μὲν ἐξ ἑνὸς καὶ μιᾶς, ἐκ δυοῖν ἀνθρώποιν ὄντες οἱ πολλοὶ καὶ πολλαί, (εἰ δέ), καθάπερ οἱ θεοί φασι καὶ χρὴ πιστεύειν ἐπιμαρτυρούντων τῶν ἔργων, ἐκ τῶν θεῶν πάντες γεγονότες. ὅτι δὲ πολλοὺς ἅμα ἀνθρώπους C γενέσθαι μαρτυρεῖ τὰ ἔργα, ῥηθήσεται μὲν ἀλλαχοῦ δι' ἀκριβείας, ἐνταῦθα δὲ ἀρκέσει τοσοῦτον εἰπεῖν, ὡς ἐξ ἑνὸς μὲν καὶ μιᾶς οὖσιν οὔτε τοὺς νόμους εἰκὸς ἐπὶ τοσοῦτον παραλλάξαι οὔτε ἄλλως τὴν γῆν ὑφ' ἑνὸς ἐμπλησθῆναι πᾶσαν, οὐδὲ εἰ ἅμα πολλὰ καθάπερ αἱ σύες ἔτικτον αὐτοῖς αἱ γυναῖκες. πανταχοῦ δὲ ἀθρόως νευσάντων θεῶν, ὅνπερ τρόπον ὁ εἷς, οὕτω δὲ καὶ οἱ πλείους προῆλθον ἄνθρωποι D τοῖς γενεάρχαις θεοῖς ἀποκληρωθέντες, οἳ καὶ προήγαγον αὐτούς, ἀπὸ τοῦ δημιουργοῦ τὰς ψυχὰς παραλαμβάνοντες ἐξ αἰῶνος.

Κἀκεῖνο δ' ἄξιον ἐννοεῖν, ὅσοι παρὰ τῶν ἔμπροσθεν ἀνάλωνται λόγοι περὶ τοῦ φύσει κοινωνικὸν εἶναι ζῷον τὸν ἄνθρωπον. ἡμεῖς οὖν οἱ ταῦτα εἰπόντες καὶ διατάξαντες ἀκοινωνήτως πρὸς τοὺς πλησίον ἕξομεν; ἐκ δὴ τῶν τοιούτων ἠθῶν τε καὶ ἐπιτηδευμάτων ἕκαστος ἡμῶν ὁρμώμενος εὐλαβείας 293 τῆς εἰς τοὺς θεούς, χρηστότητος τῆς εἰς ἀνθρώπους, ἁγνείας τῆς περὶ τὸ σῶμα, τὰ τῆς εὐσεβείας ἔργα πληρούτω, πειρώμενος δὲ ἀεί τι περὶ τῶν θεῶν

2 et 3 *εἰ μὲν — οντες* ut spuria uncis inclusit Petavius 4 *εἰ δὲ* add. H 11 *εἰ ἅμα*] *εἰ τέκνα ἅμα?* 12 *σῦες* V 13 *φυσάντων* (vel *φυτευσάντων*) *τῶν θεῶν* H 18 *δ' ἄξιον* Toupius ad Longin. p. 347] *δεξιὸν* | *ἐπίπροσθεν* pet. 20 *ζῷον* Horkelius] *τὸ ζῷον* | *ταὐτὰ* Rsk. 24 *εἰς ἀνθρώπους*] *εἰς* ..... pet. 26 *δὲ*] *δέον* pet., *τε* Rsk.

εὐσεβὲς διανοεῖσθαι καὶ μετά τινος ἀποβλέπων εἰς
τὰ ἱερὰ τῶν θεῶν καὶ τὰ ἀγάλματα τιμῆς καὶ ὁσιό-
τητος, σεβόμενος ὥσπερ ἂν εἰ παρόντας ἑώρα τοὺς
θεούς. ἀγάλματα γὰρ καὶ βωμοὺς καὶ πυρὸς ἀσβέ-
στου φυλακὴν καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα σύμβολα
οἱ πατέρες ἔθεντο τῆς παρουσίας τῶν θεῶν, οὐχ ἵνα B
ἐκεῖνα θεοὺς νομίσωμεν, ἀλλ᾽ ἵνα δι᾽ αὐτῶν τοὺς
θεοὺς θεραπεύσωμεν. ἐπειδὴ γὰρ ἡμᾶς ὄντας ἐν
σώματι σωματικὰς ἔδει ποιεῖσθαι τοῖς θεοῖς καὶ τὰς
λατρείας, ἀσώματοι δέ εἰσιν αὐτοί· πρῶτα μὲν ἔδει-
ξαν ἡμῖν ἀγάλματα τὸ δεύτερον ἀπὸ τοῦ πρώτου
τῶν θεῶν γένος περὶ πάντα τὸν οὐρανὸν κύκλῳ C
περιφερόμενον. δυναμένης δὲ οὐδὲ τούτοις ἀποδί-
δοσθαι τῆς θεραπείας σωματικῶς· ἀπροσδεᾶ γάρ ἐστι
φύσει· τρίτον ἐπὶ γῆς ἐξηυρέθη γένος ἀγαλμάτων,
εἰς ὃ τὰς θεραπείας ἐκτελοῦντες ἑαυτοῖς εὐμενεῖς
τοὺς θεὺς καταστήσομεν. ὥσπερ γὰρ οἱ τῶν βασι-
λέων θεραπεύοντες εἰκόνας, οὐδὲν δεομένων, ὅμως
ἐφέλκονται τὴν εὔνοιαν εἰς ἑαυτούς, οὕτω καὶ οἱ
θεῶν θεραπεύοντες τὰ ἀγάλματα, δεομένων οὐδὲν D
τῶν θεῶν, ὅμως πείθουσιν αὐτοὺς ἐπαμύνειν σφίσι
καὶ κήδεσθαι· δεῖγμα γάρ ἐστιν ὡς ἀληθῶς ὁσιότη-
τος ἡ περὶ τὰ δυνατὰ προθυμία, καὶ ὁ ταύτην πλη-
ρῶν εὔδηλον ὅτι μειζόνως ἐκείνην ἀποδίδωσιν, ὁ δὲ
τῶν δυνατῶν ὀλιγωρῶν, εἶτα προσποιούμενος τῶν
ἀδυνάτων ὀρέγεσθαι δῆλός ἐστιν οὐκ ἐκεῖνα μετα-

4 et 5 βωμοὺς et φυλακὴν spanh.] βωμὸς et φυλακὴ 9 σωματικῶς pet., quod praestare videtur; cf. infra C 14 ἀπροσδεᾶ H] ἀπροσδεῆ 15 τρίτον] „Imo vero δεύτερον, nondum enim secundum genus simulacrorum fuit nominatum, sed solummodo primum.“ Rsk. Ego ἕτερον conjeceram | ἐξηυρέθη H] ἐξευρέθη 18 οὐδὲν H] οὐθὲν 19 οὕτως V 20 οὐδὲν H] οὐθὲν 21 ὅμως] ὅπως V 26 ὀρέγεται pet.

294 διώκων, ἀλλὰ ταῦτα παρορῶν· οὐδὲ γάρ, εἰ μηδενὸς ὁ θεὸς δεῖται, διὰ τοῦτο οὐδὲν αὐτῷ προσοιστέον· οὐδὲ γὰρ τῆς διὰ λόγων εὐφημίας δεῖται. τί οὖν; εὔλογον αὐτὸν ἀποστερῆσαι καὶ ταύτης; οὐδαμῶς. οὐκ ἄρα οὐδὲ τῆς διὰ τῶν ἔργων εἰς αὐτὸν γιγνομένης τιμῆς, ἧς ἐνομοθέτησαν οὐκ ἐνιαυτοὶ τρεῖς οὐδὲ τρισχίλιοι, πᾶς δὲ ὁ προλαβὼν αἰὼν ἐν πᾶσι τοῖς τῆς γῆς ἔθνεσιν.

B [Ἀλλ' οὐκ ἐχρῆν, ὦ πᾶσαν δαιμόνων πληθὺν ἀναστηλώσας τῇ σῇ ψυχῇ, τοὺς κατὰ σὲ ἀνειδέους καὶ ἀσχηματίστους σωματοπλαστεῖσθαι. πῶς δὲ οὐ ξύλα καὶ λίθους νομίσωμεν ἃ χεῖρες ἀνθρώπων ἐμόρφωσαν; ὦ καὶ τῶν λίθων αὐτῶν ἀφρονέστερε,
C οὕτως οἴει πάντας ἐκ τῶν ῥινῶν ἕλκεσθαι, ὥσπερ σὺ παρὰ τῶν ἀλιτηρίων δαιμόνων, ὥστε θεοὺς ἡγεῖσθαι τὰ αὐτῶν τεχνουργήματα;] Ἀφορῶντες οὖν εἰς τὰ τῶν θεῶν ἀγάλματα μή τοι νομίζωμεν αὐτὰ λίθους εἶναι μηδὲ ξύλα, μηδὲ μέντοι τοὺς θεοὺς αὐτοὺς εἶναι ταῦτα. καὶ γὰρ οὐδὲ τὰς βασιλικὰς εἰκόνας ξύλα καὶ λίθον καὶ χαλκὸν λέγομεν, οὐ μὴν οὐδὲ αὐτοὺς τοὺς βασιλέας, ἀλλὰ εἰκόνας βασιλέων. ὅστις οὖν ἐστι φιλοβασιλεὺς ἡδέως ὁρᾷ τὴν τοῦ
D βασιλέως εἰκόνα, καὶ ὅστις ἐστὶ φιλόπαις ἡδέως ὁρᾷ τὴν τοῦ παιδός, καὶ ὅστις φιλοπάτωρ τὴν τοῦ πατρός. οὐκοῦν καὶ ὅστις φιλόθεος ἡδέως εἰς τὰ τῶν θεῶν ἀγάλματα καὶ τὰς εἰκόνας ἀποβλέπει, σεβόμε-

9—16 Ἀλλ' οὐκ — τεχνουργήματα] Hoc esse emblema docuit Horkelius 10 κατὰ σὲ V] κατά σε 16 αὐτῶν V] ἑαυτῶν 18 μηδὲ ξύλα H] μήτε ξ. 20 λίθον καὶ χαλκὸν] λι............ V 22 ὅστις οὖν ἐστι] ..... οὖν .... V, ὅστις οὖν pet. | φιλοβασιλεὺς Pet.] .... βασιλεὺς V, βασι-
α
λεὺς v 24 τὴν] τὴν V

νος ἅμα καὶ φρίττων ἐξ ἀφανοῦς ὁρῶντας εἰς αὐτὸν τοὺς θεούς. εἴ τις οὖν οἴεται δεῖν αὐτὰ μηδὲ φθείρεσθαι διὰ τὸ θεῶν ἅπαξ εἰκόνας κληθῆναι, παντελῶς ἄφρων εἶναί μοι φαίνεται. χρῆν γὰρ δήπουθεν αὐτὰ μηδὲ ὑπὸ ἀνθρώπων γενέσθαι. τὸ δὲ ὑπ' ἀνδρὸς σοφοῦ καὶ ἀγαθοῦ γενόμενον ὑπὸ ἀν- 295 θρώπου πονηροῦ καὶ ἀμαθοῦς φθαρῆναι δύναται. τὰ δὲ ὑπὸ τῶν θεῶν ζῶντα ἀγάλματα κατασκευασθέντα τῆς ἀφανοῦς αὐτῶν οὐσίας, οἱ περὶ τὸν οὐρανὸν κύκλῳ φερόμενοι θεοί, μένει τὸν ἀεὶ χρόνον ἀίδια. μηδεὶς οὖν ἀπιστείτω θεοῖς ὁρῶν καὶ ἀκούων, ὡς ἐνύβρισάν τινες εἰς τὰ ἀγάλματα καὶ τοὺς ναούς. ἆρ' οὐκ ἀνθρώπους χρηστοὺς ἀπέκτειναν πολλοί, καθάπερ Σωκράτη καὶ Δίωνα καὶ τὸν μέγαν Ἐμπε- B δότιμον; ὧν εὖ οἶδ' ὅτι μᾶλλον ἐμέλησε τοῖς θεοῖς. ἀλλ' ὁρᾶτε, ὅτι καὶ τούτων φθαρτὸν εἰδότες τὸ σῶμα συνεχώρησαν εἶξαι τῇ φύσει καὶ ὑποχωρῆσαι, δίκην δὲ ἀπήτησαν ὕστερον παρὰ τῶν κτεινάντων. ὃ δὴ συνέβη φανερῶς ἐφ' ἡμῶν ἐπὶ πάντων τῶν ἱεροσύλων.

Μηδεὶς οὖν ἀπατάτω λόγοις μηδὲ ταραττέτω περὶ τῆς προνοίας ἡμᾶς. οἱ γὰρ ἡμῖν ὀνειδίζοντες τὰ C τοιαῦτα, τῶν Ἰουδαίων οἱ προφῆται, τί περὶ τοῦ νεὼ φήσουσι τοῦ παρ' αὐτοῖς τρίτον ἀνατραπέντος, ἐγειρομένου δὲ οὐδὲ νῦν; ἐγὼ δὲ εἶπον οὐκ ὀνειδίζων ἐκείνοις, ὅς γε τοσούτοις ὕστερον χρόνοις ἀναστήσασθαι διενοήθην αὐτὸν εἰς τιμὴν τοῦ κληθέντος ἐπ' αὐτῷ θεοῦ· νυνὶ δὲ ἐχρησάμην αὐτῷ δεῖξαι D βουλόμενος, ὅτι τῶν ἀνθρωπίνων οὐδὲν ἄφθαρτον εἶναι δύναται καὶ οἱ τὰ τοιαῦτα γράφοντες ἐλήρουν

3 διὰ τῶν θεῶν pet. 22 et 23 τὰ τοιαῦτα V] τοιαῦτα

προφῆται, γραδίοις ψυχροῖς ὁμιλοῦντες. οὐδὲν δὲ οἶμαι κωλύει τὸν μὲν θεὸν εἶναι μέγαν, οὐ μὴν σπουδαίων προφητῶν οὐδὲ ἐξηγητῶν τυχεῖν. αἴτιον δέ, ὅτι τὴν ἑαυτῶν ψυχὴν οὐ παρέσχον ἀποκαθῆραι τοῖς ἐγκυκλίοις μαθήμασιν οὐδὲ ἀνοῖξαι μεμυκότα λίαν τὰ ὄμματα οὐδὲ ἀνακαθῆραι τὴν ἐπικειμένην 296 *αὐτοῖς ἀχλύν, ἀλλ' οἷον φῶς μέγα δι' ὁμίχλης οἱ ἄνθρωποι βλέποντες οὐ καθαρῶς οὐδὲ εἰλικρινῶς, αὐτὸ δὲ ἐκεῖνο νενομικότες οὐχὶ φῶς καθαρόν, ἀλλὰ πῦρ, καὶ τῶν περὶ αὐτὸ πάντων ὄντες ἀθέατοι βοῶσι μέγα· Φρίττετε, φοβεῖσθε, πῦρ, φλόξ, θάνατος, μάχαιρα, ῥομφαία, πολλοῖς ὀνόμασι μίαν ἐξηγούμενοι τὴν βλαπτικὴν τοῦ πυρὸς δύναμιν. ἀλλ' ὑπὲρ μὲν τούτων ἰδίᾳ βέλτιον παραστῆσαι, πόσῳ φαυλό-* B *τεροι τῶν παρ' ἡμῖν οὗτοι γεγόνασι ποιητῶν οἱ τῶν ὑπὲρ τοῦ θεοῦ λόγων διδάσκαλοι.*

Προσήκει δὲ οὐ τὰ τῶν θεῶν μόνον ἀγάλματα προσκυνεῖν, ἀλλὰ καὶ τοὺς ναοὺς καὶ τὰ τεμένη καὶ τοὺς βωμούς· εὔλογον δὲ καὶ τοὺς ἱερέας τιμᾶν ὡς λειτουργοὺς θεῶν καὶ ὑπηρέτας καὶ διακονοῦντας ἡμῖν τὰ πρὸς τοὺς θεούς, συνεπισχύοντας τῇ ἐκ C *θεῶν εἰς ἡμᾶς τῶν ἀγαθῶν δόσει· προθύουσι γὰρ πάντων καὶ ὑπερεύχονται. δίκαιον οὖν ἀποδιδόναι πᾶσιν αὐτοῖς οὐκ ἔλαττον, εἰ μὴ καὶ πλέον, ἢ τοῖς πολιτικοῖς ἄρχουσι τὰς τιμάς. εἰ δέ τις οἴεται τοῦτο ἐπ' ἴσης χρῆναι νέμειν αὐτοῖς καὶ τοῖς πολιτικοῖς*

1 *γραδίοις* scripsi pro *γραϊδίοις* | *οὐδὲν* H] *οὐθὲν* 4 *ἀποκαθῆραι* H] *ἀποκαθᾶραι* (*ἀποκαθάραι* V) 5 *οὐδὲ* H] *οὔτε* 6 *ἀνακαθῆραι* H] *ἀνακαθᾶραι* (*ἀνακαθάραι* V) 11 *μέγα* Cob.] *μεγάλα* 15 *οὗτοι* Pet.] *οὕτω* 24 *εἰ μὴ καὶ* H] *εἰ καὶ μή*. Eodem modo emendandum est 406 C

ἄρχουσιν, ἐπεὶ κἀκεῖνοι τρόπον τινὰ τοῖς θεοῖς ἱερατεύουσι, φύλακες ὄντες τῶν νόμων, ἀλλὰ τά γε τῆς εὐνοίας παρὰ πολὺ χρὴ νέμειν τούτοις. οἱ μὲν γὰρ D Ἀχαιοὶ καίπερ πολέμιον ὄντα τὸν ἱερέα προσέταττον αἰδεῖσθαι τῷ βασιλεῖ· ἡμεῖς δὲ οὐδὲ τοὺς φίλους αἰδούμεθα τοὺς εὐχομένους ὑπὲρ ἡμῶν καὶ θύοντας.

Ἀλλ' ἐπείπερ ὁ λόγος εἰς τὴν πάλαι ποθουμένην ἀρχὴν ἐλήλυθεν, ἄξιον εἶναί μοι (δοκεῖ) διελθεῖν ἐφεξῆς, ὁποῖός τις ὢν ὁ ἱερεὺς αὐτός τε δικαίως τιμηθήσεται . . . . . . τὸ γὰρ ἡμέτερον οὐ χρὴ σκοπεῖν οὐδὲ ἐξετάζειν, ἀλλὰ ἕως ἂν ἱερεύς τις ὀνομά- 297 ζηται, τιμᾶν αὐτὸν χρὴ καὶ θεραπεύειν, εἰ δὲ εἴη πονηρός, ἀφαιρεθέντα τὴν ἱερωσύνην ὡς ἀνάξιον ἀποφανθέντα περιορᾶν· ἕως δὲ προθύει καὶ κατάρχεται καὶ παρίσταται τοῖς θεοῖς, ὡς τὸ τιμιώτατον τῶν θεῶν κτῆμα προσβλεπτέος ἐστὶν ἡμῖν μετὰ αἰδοῦς καὶ εὐλαβείας. ἄτοπον γάρ, εἰ τοὺς μὲν λίθους, ἐξ ὧν οἱ βωμοὶ πεποίηνται, διὰ τὸ καθιερῶσθαι τοῖς θεοῖς ἀγαπήσομεν, ὅτι μορφὴν ἔχουσι καὶ σχῆμα πρέπον, εἰς ἣν εἰσι κατεσκευασμένοι λειτουργίαν, B ἄνδρα δὲ καθωσιωμένον τοῖς θεοῖς οὐκ οἰησόμεθα χρῆναι τιμᾶν. ἴσως ὑπολήψεταί τις· ἀλλὰ ἀδικοῦντα καὶ ἐξαμαρτάνοντα πολλὰ τῶν πρὸς τοὺς θεοὺς ὁσίων; ἐγὼ δή φημι χρῆναι τὸν μὲν τοιοῦτον ἐξελέγχειν, ἵνα μὴ πονηρὸς ὢν ἐνοχλῇ τοὺς θεούς, ἕως

1 ἄρχουσιν V] ἄρχουσι 4 Ἀχαιοὶ] Iliad. α, 23 7 εἰς V] ἐς 8 δοκεῖ add. Cob., Pet. οἶμαι pro εἶναί μοι suspicatur 10 Lacunam indicavi; nam deesse aliquid Reiskius et Cobetus viderunt. Haec fere videntur excidisse: καὶ τοὺς θεοὺς τιμᾶσθαι ποιήσει 14 ἀποφανθέντα V] ἀποφανέντα 19 ἀγαπήσομεν] ἀγαπῶμεν? vid. Cobeti N. L. p. 361 21 καθωσιωμένον Cob.] καθοσιούμενον 22 ὑπολείψεται pet. 24 τὸν V] τῶν

δ' (ἂν) ἐξελέγχῃ τις, μὴ ἀτιμάζειν. οὐδὲ γὰρ εὔλο-
C γον ἐπιλαβομένους ταύτης τῆς ἀφορμῆς οὐ τούτων
μόνον, ἀλλὰ καὶ τῶν ἐπιτηδείων τιμᾶσθαι τὴν τιμὴν
προσαφαιρεῖσθαι. ἔστω τοίνυν ὥσπερ ἄρχων, οὕτω
δὲ καὶ ἱερεὺς πᾶς αἰδέσιμος, ἐπειδὴ καὶ ἀπόφασίς
ἐστι θεοῦ τοῦ Διδυμαίου τοιαύτη·

Ὅσσοι ἐς ἀρητῆρας ἀτασθαλίῃσι νόοιο
Ἀθανάτων ῥέζουσ' ἀποφώλια, καὶ γεράεσσιν
D Ἀντία βουλεύουσιν ἀδεισιθέοισι λογισμοῖς,
Οὐκέθ' ὅλην βιότοιο διεκπερόωσιν ἀταρπόν,
Ὅσσοι περ μακάρεσσιν ἐλωβήσαντο θεοῖσιν,
Ὧν κεῖνοι θεόσεπτον ἕλον θεραπηίδα τιμήν,

298 καὶ πάλιν ἐν ἄλλοις ὁ θεός φησι

Πάντας μὲν θεράποντας ἐμοὺς ὀλοῆς κακότητος —,

καί φησιν ὑπὲρ τούτων δίκην ἐπιθήσειν αὐτοῖς.
πολλῶν δὲ εἰρημένων τοιούτων παρὰ τοῦ θεοῦ, δι'
ὧν ἔνεστι μαθόντας ὅπως χρὴ τιμᾶν καὶ θεραπεύειν
τοὺς ἱερέας, εἰρήσεταί μοι διὰ πλειόνων ἐν ἄλλοις·
ἀπόχρη δὲ νῦν, ὅτι μὴ σχεδιάζω μηδέν, ἐπιδεῖξαι
B τήν τε ἐκ τοῦ θεοῦ πρόρρησιν καὶ τὸ ἐπίταγμα τῶν
αὐτοῦ λόγων ἱκανὸν ἡγούμενος. εἴ τις οὖν ἀξιό-
πιστον ὑπείληφεν ἐμὲ διδάσκαλον τῶν τοιούτων,
αἰδεσθεὶς τὸν θεὸν ἐκείνῳ πειθέσθω καὶ τοὺς ἱερέας
τῶν θεῶν τιμάτω διαφερόντως· ὁποῖον δὲ αὐτὸν
εἶναι χρή, πειράσομαι νῦν εἰπεῖν, οὐχ ἕνεκα σοῦ·
τοῦτο μὲν γὰρ εἰ μὴ τὸ νῦν ἠπιστάμην, ἅμα μὲν
τοῦ καθηγεμόνος, ἅμα δὲ τῶν μεγίστων θεῶν μαρτυ-

1 δ' ἂν H] δὲ | ἐξελέγχῃ] Immo ἐξελέγξῃ 3 τιμᾶσθαι H et Cob.] τιμᾶσθαι καὶ 7—12 Iidem versus leguntur 451 A 11 μακάρεσιν pet. 14 πάντῃ V 19 μὴ V] μηδὲ 25 ἕνεκα σοῦ spanh.] ἕνεκά σου 26 τουνῦν V] τὸ..

ρούντων, ὅτι τὴν λειτουργίαν ταύτην διαθήσῃ καλῶς, C
ὅσα γε εἰς προαίρεσιν ἥκει τὴν σήν, οὐδ' ἂν ἐτόλ-
μησά σοι μεταδοῦναι τοσούτου πράγματος· ἀλλ' ὅπως
ἔχῃς ἐντεῦθεν διδάσκειν τοὺς ἄλλους, οὐκ ἐν ταῖς
πόλεσι μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀγροῖς εὐλογώτερον
καὶ ἐπ' ἐξουσίας, ὡς οὐκ οἴκοθεν αὐτὰ νοεῖς καὶ
πράττεις μόνος, ἔχεις δὲ καὶ ἐμὲ σύμψηφον σεαυτῷ,
δοκοῦντά γε εἶναι διὰ τοὺς θεοὺς ἀρχιερέα μέγι- D
στον, ἄξιον μὲν οὐδαμῶς πράγματος τοσούτου, βου-
λόμενον δὲ εἶναι καὶ προσευχόμενον ἀεὶ τοῖς θεοῖς.
εὖ γὰρ ἴσθι, μεγάλας ἡμῖν οἱ θεοὶ μετὰ τὴν τελευ-
τὴν ἐλπίδας ἐπαγγέλλονται. πειστέον δὲ αὐτοῖς πάν-
τως. ἀψευδεῖν γὰρ εἰώθασιν οὐχ ὑπὲρ ἐκείνων
μόνον, ἀλλὰ καὶ τῶν ἐν τῷ βίῳ τῷδε. οἱ δὲ διὰ
περιουσίαν δυνάμεως οἷοί τε ὄντες καὶ τῆς ἐν τῷ 299
βίῳ τούτῳ (περι)γενέσθαι ταραχῆς καὶ τὸ ἄτακτον
αὐτοῦ καὶ τὸ ἀλλόκοτον ἐπανορθοῦν ἆρ' οὐκ ἐν
ἐκείνῳ μᾶλλον, ὅπου διήρηται τὰ μαχόμενα, χωρι-
σθείσης μὲν τῆς ἀθανάτου ψυχῆς, γῆς δὲ γενομένου
τοῦ νεκροῦ σώματος, ἱκανοὶ παρασχεῖν ἔσονται ταῦθ'
ὅσαπερ ἐπηγγείλαντο τοῖς ἀνθρώποις; εἰδότες οὖν,
ὅτι μεγάλας ἔχειν ἔδοσαν οἱ θεοὶ τοῖς ἱερεῦσι τὰς
ἀμοιβάς, ἐγγύους αὐτοὺς ἐν πᾶσι τῆς ἀξίας τῶν B
θεῶν κατασκευάσωμεν, ὧν πρὸς τὰ πλήθη χρὴ λέγειν
δεῖγμα τὸν ἑαυτῶν ἐκφέροντας βίον. ἀρκτέον δὲ
ἡμῖν τῆς πρὸς τοὺς θεοὺς εὐσεβείας. οὕτω γὰρ ἡμᾶς

4 ἐντεῦθεν H] ἐγγύθεν v, ἔνθεν Horkelius 7 ἔχεις Rsk. et Horkelius] ἔχειν 8 δοκοῦντά τε pet. 13 εἰώθασιν V] εἰώθασι 15 καὶ τῆς ἐν] ...... V 16 τούτῳ om. pet. | περιγενέσθαι H et Cob.] γενέσθαι V spanh., om. pet. 17 ἐπανορθοῦν] ...νορθοῦν V 19 μὲν τῆς V] αὐτῆς pet., τῆς μὲν spanh. | γῆς Rsk. et C. Sintenis Hermae I p. 144] τῆς 25 τὸν V] τῶν

*πρέπει τοῖς θεοῖς λειτουργεῖν ὡς παρεστηκόσιν αὐτοῖς
καὶ ὁρῶσι μὲν ἡμᾶς, οὐχ ὁρωμένοις δὲ ὑφ' ἡμῶν καὶ
τὸ πάσης αὐγῆς ὄμμα κρεῖττον ἄχρι τῶν ἀποκρυπτο-*
C *μένων ἡμῖν λογισμῶν διατετακόσιν. ὅτι δὲ οὐκ ἐμὸς
ὁ λόγος οὗτός ἐστιν, ἀλλὰ τοῦ θεοῦ, διὰ πολλῶν
μὲν εἰρημένος λόγων, ἐμοὶ δὲ δῆτα ἀπόχρη καὶ ἕνα
παραθεμένῳ δύο δι' ἑνὸς παραστῆσαι, πῶς μὲν ὁρῶσιν
οἱ θεοὶ πάντα, πῶς δὲ ἐπὶ τοῖς εὐσεβέσιν εὐφραί-
νονται.*

Πάντη Φοιβείη τέταται τανυσίσκοπος ἀκτίς·
D *Καί τε διὰ στερεῶν χωρεῖ θοὸν ὄμμα πετράων,*
Καὶ διὰ κυανέης ἁλὸς ἔρχεται, οὐδέ ἑ λήθει
Πληθὺς ἀστερόεσσα παλινδίνητος ἰοῦσα
*Οὐρανὸν εἰς ἀκάμαντα σοφῆς κατὰ θεσμὸν ἀνάγ-
κης,*
Οὐδ' ὅσα νερτερίων ὑπεδέξατο φῦλα καμόντων
300 *Τάρταρος ἀχλυόεσσαν ὑπὸ ζόφον αἴδος εἴσω·*
*Εὐσεβέσιν δὲ βροτοῖς γάνυμαι τόσον, ὅσσον
Ὀλύμπῳ.*

*ὅσῳ δὲ λίθου καὶ πέτρας ἅπασα μὲν ψυχή, πολὺ δὲ
πλέον ἡ τῶν ἀνθρώπων οἰκειότερον ἔχει καὶ συγγενέ-
στερον πρὸς τοὺς θεούς, τοσούτῳ μᾶλλον εἰκός ἐστι
ῥᾷον καὶ ἐνεργέστερον δι' αὐτῆς χωρεῖν τῶν θεῶν*
B *τὸ ὄμμα. θεῷ δὲ τὴν φιλανθρωπίαν τοῦ θεοῦ γάνυ-*

2 *δὲ* add. V 4 *διατετακόσιν* V] *διατετακόσι* | *ὅτι*] *ἔστι* fortasse scribendum est et quod sequitur *ἐστιν* delendum 10 Hic versus deest in pet. 11 *πετράων*] Lacuna in pet. 12 *οὐδέ ἑ λήθει* V pet.] *οὐδ' ἐλελήθει* spanh. Cf. Hesiod. O. et D. 268 13 *πληθὺς ἀστερόεσσα* Pet.] *πλήθουσα στερόεσσα* V pet., *πλήθους ἀστερόεσσα* spanh. | *ἰοῦσα* Pet.] *ἐοῦσα* 17 *ἀχλυόεσσαν*] *ἀχλυόεντος*? | *ὑπὸ* V] *ὑπὲρ* 18 Hic versus legitur etiam apud Hieroclem p. 32 Mullach. | *εὐσεβέσι* V pet. | *γάννυμαι τόσσον* V 21 *ἡ* V] *ἢ* 24 *θεῷ* Rsk. et

σθαι φάσκοντος τῇ τῶν εὐσεβῶν ἀνδρῶν διανοίᾳ ὅσον Ὀλύμπῳ τῷ καθαρωτάτῳ. πάντως ἡμῖν οὗτος οὐχὶ καὶ ἀνάξει τὰς ψυχὰς ἡμῶν ἀπὸ τοῦ ζόφου καὶ τοῦ Ταρτάρου μετ' εὐσεβείας αὐτῷ προσιόντων; οἶδε μὲν γὰρ καὶ τοὺς ἐν τῷ Ταρτάρῳ κατακεκλεισμένους· οὐδὲ γὰρ ἐκεῖνα τῆς τῶν θεῶν ἐκτὸς πίπτει δυνάμεως· ἐπαγγέλλεται δὲ τοῖς εὐσεβέσι τὸν Ὄλυμπον ἀντὶ τοῦ C Ταρτάρου. διόπερ χρὴ μάλιστα τῶν τῆς εὐσεβείας ἔργων ἀντέχεσθαι προσιόντας μὲν τοῖς θεοῖς μετ' εὐλαβείας, αἰσχρὸν μηδὲν μήτε λέγοντας μήτε ἀκούοντας. ἁγνεύειν δὲ χρὴ τοὺς ἱερέας οὐκ ἔργων μόνον ἀκαθάρτων οὐδὲ ἀσελγῶν πράξεων, ἀλλὰ καὶ ῥημάτων καὶ ἀκροαμάτων τοιούτων. ἐξελατέα τοίνυν ἐστὶν ἡμῖν πάντα τὰ ἐπαχθῆ σκώμματα, πᾶσα δὲ ἀσελγὴς ὁμιλία. καὶ ὅπως εἰδέναι ἔχῃς ὃ βούλομαι φράζειν, ἱερωμένος τις μήτε Ἀρχίλοχον ἀναγινωσκέτω μήτε Ἱππώνακτα μήτε ἄλλον τινὰ τῶν τὰ τοιαῦτα γραφόν- D των. ἀποκλινέτω καὶ τῆς παλαιᾶς κωμῳδίας ὅσα τῆς τοιαύτης ἰδέας· ἄμεινον μὲν γάρ· καὶ πάντως πρέποι δ' ἂν ἡμῖν ἡ φιλοσοφία μόνη, καὶ τούτων οἱ θεοὺς ἡγεμόνας προστησάμενοι τῆς ἑαυτῶν παιδείας, ὅπερ Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης οἵ τε ἀμφὶ Χρύσιππον καὶ Ζήνωνα. προσεκτέον μὲν γὰρ οὔτε πᾶσιν οὔτε τοῖς πάντων δόγμασιν, ἀλλὰ 301 ἐκείνοις μόνον καὶ ἐκείνων, ὅσα εὐσεβείας ἐστὶ ποιητικὰ καὶ διδάσκει περὶ θεῶν πρῶτον μὲν ὡς εἰσίν,

Cob.] θέα | γάννυσθαι V 2 πάντως ἡμῖν] Aut πῶς scribendum videtur aut οὐχὶ tollendum | οὗτος Rsk.] οὕτως 10 μηδὲν Rsk.] δὲ 13 ἐστὶν V] ἐστὶ 14 πάντα τὰ] πάν.... V 15 εἰδέναι ἐ.... β...... φράζειν V 16 et 17 μήτε Ἱππ. H] μηδὲ Ἱππ. 17 τὰ τοιαῦτα V] τοιαῦτα 19 πάντως] πάντα V 21 οἱ — προστησάμενοι Horkelius] ἡ — προστησαμένη 22 ὅπερ] ὥσπερ H 24 δόγμασιν V] δόγμασι

εἶτα ὡς προνοοῦσι τῶν τῇδε, καὶ ὡς ἐργάζονται μὲν οὐδὲ ἓν κακὸν οὔτε ἀνθρώπους οὔτε ἀλλήλους φθονοῦντες καὶ βασκαίνοντες καὶ πολεμοῦντες, ὁποῖα γράφοντες οἱ μὲν παρ' ἡμῖν ποιηταὶ κατεφρονήθησαν, οἱ δὲ τῶν Ἰουδαίων προφῆται διατεταμένως συγκατα-
B σκευάζοντες ὑπὸ τῶν ἀθλίων τούτων τῶν προσνειμάντων ἑαυτοὺς τοῖς Γαλιλαίοις θαυμάζονται. πρέποι δ' ἂν ἡμῖν ἱστορίαις ἐντυγχάνειν, ὁπόσαι συνεγράφησαν ἐπὶ πεποιημένοις τοῖς ἔργοις· ὅσα δέ ἐστιν ἐν ἱστορίας εἴδει παρὰ τοῖς ἔμπροσθεν ἀπηγγελμένα πλάσματα παραιτητέον, ἐρωτικὰς ὑποθέσεις καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα. καθάπερ γὰρ οὐδὲ ὁδὸς πᾶσα τοῖς ἱερωμένοις ἁρμόττει, τετάχθαι δὲ χρὴ καὶ ταύ-
C τας, οὕτως οὐδὲ ἀνάγνωσμα πᾶν ἱερωμένῳ πρέπει. ἐγγίνεται γάρ τις τῇ ψυχῇ διάθεσις ὑπὸ τῶν λόγων, καὶ κατ' ὀλίγον ἐγείρει τὰς ἐπιθυμίας, εἶτα ἐξαίφνης ἀνάπτει δεινὴν φλόγα, πρὸς ἣν οἶμαι χρὴ πόρρωθεν παρατετάχθαι. μήτε Ἐπικούρειος εἰσίτω λόγος μήτε Πυρρώνειος· ἤδη μὲν γὰρ καλῶς ποιοῦντες οἱ θεοὶ καὶ ἀνῃρήκασιν, ὥστε ἐπιλείπειν καὶ τὰ
D πλεῖστα τῶν βιβλίων. ὅμως οὐδὲν κωλύει τύπου χάριν ἐπιμνησθῆναι μὲν καὶ τούτων, ὁποίων χρὴ μάλιστα τοὺς ἱερέας ἀπέχεσθαι λόγων, εἰ δὲ λόγων, πολὺ πρότερον ἐννοιῶν. οὐδὲ γὰρ οἶμαι ταὐτόν ἐστιν ἁμάρτημα γλώττης καὶ διανοίας, ἀλλ' ἐκείνην χρὴ μάλιστα θεραπεύειν, ὡς καὶ τῆς γλώττης ἐκείνῃ συνεξαμαρτανούσης. ἐκμανθάνειν χρὴ τοὺς ὕμνους

2 οὔτε — οὔτε Cob.] οὐδὲ — οὐδὲ | ἀλλήλους Cob.] ἄλλους 4 οἱ μὲν H et Cob.] μὲν οἱ 5 διατεταμένως Rsk. et Cob.] διατεταγμένως 10 ἱστορίας εἴδει Pet.] ἱστορίας ἤδη 18 εἰσίτω Cob.] εἰσιέτω 21 οὐδὲν H] οὐθὲν 22 τούτων] τοῦ Cob.

τῶν θεῶν· εἰσὶ δὲ οὗτοι πολλοὶ μὲν καὶ καλοὶ
πεποιημένοι παλαιοῖς καὶ νέοις· οὐ μὴν ἀλλ' ἐκεί-
νους πειρατέον ἐπίστασθαι τοὺς ἐν τοῖς ἱεροῖς ᾀδο-
μένους. οἱ πλεῖστοι γὰρ ὑπ' αὐτῶν τῶν θεῶν ἱκε- 302
τευθέντων ἐδόθησαν, ὀλίγοι δέ τινες ἐποιήθησαν καὶ
παρὰ ἀνθρώπων, ὑπὸ πνεύματος ἐνθέου καὶ ψυχῆς
ἀβάτου τοῖς κακοῖς ἐπὶ τῇ τῶν θεῶν τιμῇ συγκεί-
μενοι. ταῦτά γε ἄξιον ἐπιτηδεύειν καὶ εὔχεσθαι
πολλάκις τοῖς θεοῖς ἰδίᾳ καὶ δημοσίᾳ, μάλιστα μὲν
τρὶς τῆς ἡμέρας, εἰ δὲ μή, πάντως ὄρθρου τε καὶ
δείλης· οὐδὲ γὰρ εὔλογον ἄθυτον ἄγειν ἡμέραν ἢ
νύκτα τὸν ἱερωμένον· ἀρχὴ δὲ ὄρθρος μὲν ἡμέρας, B
ὀψία δὲ νυκτός. εὔλογον δὲ ἀμφοτέρων τοῖς θεοῖς
ἀπάρχεσθαι τῶν διαστημάτων, ὅταν ἔξωθεν τῆς ἱερα-
τικῆς ὄντες τυγχάνωμεν λειτουργίας· ὡς τά γε ἐν
τοῖς ἱεροῖς, ὅσα πάτριος διαγορεύει νόμος, φυλάτ-
τειν πρέπει, καὶ οὔτε πλέον οὔτε ἔλαττόν τι ποιη-
τέον αὐτῶν· ἀίδια γάρ ἐστι τὰ τῶν θεῶν· ὥστε καὶ
ἡμᾶς χρὴ μιμεῖσθαι τὴν οὐσίαν αὐτῶν, ἵν' αὐτοὺς C
ἱλασκώμεθα διὰ τοῦτο πλέον. εἰ μὲν οὖν ἦμεν αὐτο-
ψυχαὶ μόναι, τὸ σῶμα δὲ πρὸς μηδὲν ἡμῖν διώχλει,
καλῶς (ἂν) εἶχεν ἕνα τινὰ τοῖς ἱερεῦσιν ἀφορίζειν
βίον· ἐπεὶ δὲ οὐχ ἱερεῦσιν ἁπλῶς, ἀλλὰ καὶ ὡς
ἱερεῖ προσήκει μόνον, ὃ δὴ κατὰ τὸν καιρὸν τῆς
λειτουργίας ἐπιτηδευτέον. τί δὲ ὡς ἱερατεύειν ἀν-
θρώπῳ λαχόντι συγχωρητέον, ὅταν ἐκτὸς ᾖ τῆς ἐν
τοῖς ἱεροῖς λειτουργίας; οἶμαι δὲ χρῆναι τὸν ἱερέα D

4 ὑφ' αὐτῶν V, ὑφ' αὐτῶν v 10 ὄρθρου τε] ὄρθρου γε? 18 αὐτῶν Rsk. et Horkelius] αὐτόν | τὰ Cob.] ταῦτα 22 ἂν add. H 23 ἐπεὶ δὲ οὐχ ἱερ. κτλ.] „Mendosus locus.“ Pet. 24 et 25 τῆς λειτουργίας] λειτουργιῶν pet. 25 ὡς] τῷ H

πάντων ἁγνεύσαντα νύκτα καὶ ἡμέραν, εἶτα ἄλλην
ἐπ' αὐτῇ νύκτα καθηράμενον οἷς διαγορεύουσιν οἱ
θεσμοὶ καθαρμοῖς οὕτως εἴσω φοιτῶντα τοῦ ἱεροῦ
μένειν ὅσας ἂν ἡμέρας ὁ νόμος κελεύῃ. τριάκοντα
μὲν γὰρ αἱ παρ' ἡμῖν εἰσιν ἐν Ῥώμῃ, παρ' ἄλλοις
δὲ ἄλλως. εὔλογον οὖν οἶμαι μένειν ἁπάσας ταύτας
τὰς ἡμέρας ἐν τοῖς ἱεροῖς φιλοσοφοῦντα, καὶ μήτε
303 εἰς οἰκίαν βαδίζειν μήτε εἰς ἀγοράν, ἀλλὰ μηδὲ
ἄρχοντα πλὴν ἐν τοῖς ἱεροῖς ὁρᾶν, ἐπιμελεῖσθαι δὲ
τῆς περὶ τὸ θεῖον θεραπείας αὐτὸν ἐφορῶντα πάντα
καὶ διατάττοντα, πληρώσαντα δὲ τὰς ἡμέρας εἶτα
ἑτέρῳ παραχωρεῖν τῆς λειτουργίας. ἐπὶ δὲ τὸν ἀν-
θρώπινον τρεπομένῳ βίον ἐξέστω καὶ βαδίζειν εἰς
οἰκίαν φίλου καὶ εἰς ἑστίασιν ἀπαντᾶν παρακληθέντα,
B μὴ πάντων, ἀλλὰ τῶν βελτίστων· ἐν τούτῳ δὲ καὶ
εἰς ἀγορὰν παρελθεῖν οὐκ ἄτοπον ὀλιγάκις, ἡγεμόνα
τε προσειπεῖν καὶ ἔθνους ἄρχοντα, καὶ τοῖς εὐλόγως
δεομένοις ὅσα ἐνδέχεται βοηθῆσαι. πρέπει δὲ οἶμαι
τοῖς ἱερεῦσιν ἔνδον μέν, ὅτε λειτουργοῦσιν, ἐσθῆτι
χρῆσθαι μεγαλοπρεπεστάτῃ, τῶν ἱερῶν δὲ ἔξω τῇ
συνήθει δίχα πολυτελείας· οὐδὲ γὰρ εὔλογον τοῖς
δεδομένοις ἡμῖν ἐπὶ τιμῇ θεῶν εἰς κενοδοξίαν κατα-
χρῆσθαι καὶ τύφον μάταιον. ὅθεν ἀφεκτέον ἡμῖν
C ἐσθῆτος πολυτελεστέρας ἐν ἀγορᾷ καὶ κόμπου [ἢ]
καὶ πάσης ἁπλῶς ἀλαζονείας. οἱ γοῦν θεοὶ τὴν
τοσαύτην ἀγασθέντες Ἀμφιαράου σωφροσύνην, ἐπειδὴ
τοῦ στρατεύματος ἐκείνου κατεδίκασαν φθορὰν εἰδὼς

1 νύκτα H] νύκτωρ 5 αἱ H] ἃ V, om. v 9 ὁρᾶν H] ἐφορᾶν. cf. 431 C 12 παραχωρεῖν H] παραχωροῦντα 14 φίλου V] φίλων 18 πρέπει Cob.] πρέποι | οἶ... V 24 ἢ delevit Cob.

τε αὐτὸς συνεστρατεύετο καὶ ἦν ἄφευκτον αὐτῷ διὰ
τοῦτο τὸ πεπρωμένον, ἀπέφηναν αὐτὸν ἄλλον ἐξ
ἄλλου καὶ μετέστησαν εἰς λῆξιν θείαν. πάντων γοῦν
τῶν ἐπιστρατευσάντων ταῖς Θήβαις ἐπὶ τῶν ἀσπίδων D
πρὶν κατεργάσασθαι σήματα γραφόντων καὶ ἐγειρόν-
των τὰ τρόπαια καὶ τὰς συμφορὰς τῶν Καδμείων,
ὁ τῶν θεῶν ὁμιλητὴς ἄσημα μὲν ἐπεστράτευεν ἔχων
ὅπλα, πρᾳότητα δὲ καὶ σωφροσύνην ὑπὸ τῶν πολε-
μίων ἐμαρτυρεῖτο. διόπερ οἶμαι χρὴ καὶ τοὺς ἱερέας
. . . ., ἵνα τυγχάνωμεν εὐμενῶν τῶν θεῶν· ὡς οὐ
μικρά γε εἰς αὐτοὺς ἐξαμαρτάνομεν δημούμενοι τὰς
ἱερὰς ἐσθῆτας καὶ δημοσιεύοντες καὶ παρέχοντες 304
ἁπλῶς περιβλέπειν τοῖς ἀνθρώποις ὥσπερ τι θαυμα-
στόν. εἴπερ ἐκ τούτου συμβαίνει, πολλοὶ πελάζουσιν
ἡμῖν οὐ καθαροί, καὶ διὰ τοῦτο χραίνεται τὰ τῶν
θεῶν σύμβολα. τὸ δὲ καὶ ἡμᾶς αὐτοὺς οὐχ ἱερατι-
κῶς ζῶντας ἱερέων ἐσθῆτα περικεῖσθαι πόσης ἐστὶ
παρανομίας καὶ καταφρονήσεως εἰς τοὺς θεούς; εἰρή-
σεται μὲν οὖν ἡμῖν καὶ περὶ τούτων δι᾽ ἀκριβείας·
νυνὶ δὲ ὡς τύπῳ πρὸς σὲ γράφω περὶ αὐτῶν. τοῖς B
ἀσελγέσι τούτοις θεάτροις τῶν ἱερέων μηδεὶς μηδαμοῦ
παραβαλλέτω μηδὲ εἰς τὴν οἰκίαν εἰσαγέτω τὴν ἑαυ-

2 ἀπέφηναν αὐτὸν V] ἀπέφηνε pet., ἀπέφηνεν αὐτὸν spanh. 5 σήματα Cob.] σύμπαντα 6 καὶ τὰς συμφορὰς] κατὰ τῆς συμφορᾶς H 7 μὲν e V adjecimus 8 Ante ὑπὸ mihi ὡς καὶ excidisse videtur 10 Lacunae signum posui; nam locum mutilum esse recte iudicavit Petavius. Cobetus haec fere Iulianum scripsisse putat: χρὴ καὶ τοὺς ἱερέας ἡμᾶς τὰ περὶ τὰς ἐσθῆτας σωφρονεῖν, ἵνα τυγχάνωμεν 11 δημούμενοι] δηλούμενοι Rsk. 14 εἰ γὰρ τοῦτο συμβαίνει H 16 καὶ add. V 17 πόσης Cob.] πάσης. cf. ad 213 D 19 ἐν ἄλλοις add. Rsk. ante δι᾽ ἀκριβείας, Cobetus ἐν ἑτέροις post δι᾽ ἀκριβείας 20 νυνὶ — γράφω cit. Suidas v. νυνί 22 μηδὲ H] μήτε

τοῦ· πρέπει γὰρ οὐδαμῶς. καὶ εἰ μὲν οἷόν τε ἦν
ἐξελάσαι παντάπασιν αὐτὰ τῶν θεάτρων, ὥστε αὐτὰ
πάλιν ἀποδοῦναι τῷ Διονύσῳ καθαρὰ γενόμενα,
πάντως ἂν ἐπειράθην αὐτὸ προθύμως κατασκευάσαι.
C νυνὶ δὲ οἰόμενος τοῦτο οὔτε δυνατὸν οὔτε ἄλλως,
εἰ καὶ δυνατὸν φανείη, συμφέρον (ἂν) αὐτὸ γενέ-
σθαι, ταύτης μὲν ἀπεσχόμην παντάπασι τῆς φιλοτι-
μίας· ἀξιῶ δὲ τοὺς ἱερέας ὑποχωρῆσαι καὶ ἀποστῆναι
τῷ δήμῳ τῆς ἐν τοῖς θεάτροις ἀσελγείας. μηδεὶς
οὖν ἱερεὺς εἰς θέατρον εἰσίτω, μηδὲ ..... φίλον
θυμελικὸν μηδὲ ἁρματηλάτην, μηδὲ ὀρχη(στὴς) μηδὲ
(μῖμος αὐτοῦ) τῇ θύρᾳ προσίτω· τοῖς ἱεροῖς ἀγῶσιν
D ἐπιτρέπω μόνον τῷ βουλομένῳ παραβάλλειν, ὧν
ἀπηγόρευται μετέχειν οὐκ ἀγωνίας μόνον, ἀλλὰ καὶ
θέας ταῖς γυναιξίν. ὑπὲρ δὲ τῶν κυνηγεσίων τί
δεῖ καὶ λέγειν, ὅσα ταῖς πόλεσιν εἴσω τῶν θεάτρων
συντελεῖται, ὡς ἀφεκτέον τούτων ἐστὶν οὐχ ἱερεῦσι
μόνον, ἀλλὰ καὶ παισὶν ἱερέων;

Ἦν μὲν οὖν ἴσως πρὸ τούτων εἰρῆσθαι καλόν,
ὅθεν καὶ ὅπως χρὴ τοὺς ἱερέας ἀποδεικνύειν· οὐδὲν
δὲ ἄτοπον εἰς τοῦτό μοι τοὺς λόγους λῆξαι. ἐγώ
305 b φημι τοὺς ἐν ταῖς πόλεσι βελτίστους καὶ μάλιστα
μὲν φιλοθεωτάτους, ἔπειτα φιλανθρωποτάτους, ἐάν τε

4 ἐπειράθην V] ἐπειράσθην | αὐτὸ H] αὐτῷ 5 et 6 οἰόμενος — γενέσθαι cit. Suidas v. ἄλλως 5 οὐ δυνατόν Suid. | οὔτε ἄλλως Pet.] εἴτε ἄλλως 6 εἴτε καὶ Suid. | ἂν add. H | αὐτὸ] αὐτῷ Suid. 10 εἰσίτω Cob.] ...τω V, ἐξίτω v | μηδὲ ..... φίλον] Ad explendam lacunam Petavius addebat vel ποιείτω (ποιείσθω volebat) vel ἐχέτω 11 ὀρχη.... V 12 μῖμος spanh.] ..... V pet. | αὐτοῦ Cob.] αὐτῶν spanh., ... V pet. | ἀγῶσιν V] ἀγῶσι 13 παραβάλλειν V] παραβαλεῖν 18 ἱερῶν pet. 23 τοὺς φιλοθεωτάτους pet.

πένητες ὦσιν ἐάν τε πλούσιοι· διάκρισις ἔστω πρὸς τοῦτο μηδ' ἡτισοῦν ἀφανοῦς καὶ ἐπιφανοῦς· ὁ γὰρ διὰ πρᾳότητα λεληθὼς οὐ διὰ τὴν τοῦ ἀξιώματος ἀφάνειαν δίκαιός ἐστι κωλύεσθαι. κἂν πένης οὖν ᾖ τις κἂν δημότης ἔχων ἐν ἑαυτῷ δύο ταῦτα, τό τε φιλόθεον καὶ τὸ φιλάνθρωπον, ἱερεὺς ἀποδεικνύσθω. δεῖγμα δὲ τοῦ φιλοθέου μέν, εἰ τοὺς οἰκείους B ἅπαντας εἰς τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν εἰσαγάγοι, τοῦ φιλανθρώπου δέ, εἰ καὶ ἐξ ὀλίγων εὐκόλως κοινωνεῖ τοῖς δεομένοις καὶ μεταδίδωσι προθύμως, εὖ ποιεῖν ἐπιχειρῶν ὅσους ἂν οἷός τε ᾖ. προσεκτέον γὰρ μάλιστα τῷ μέρει τούτῳ, καὶ τὴν ἰατρείαν ἐντεῦθεν ποιητέον. ἐπειδὴ γὰρ οἶμαι συνέβη τοὺς πένητας ἀμελεῖσθαι παρορωμένους ὑπὸ τῶν ἱερέων, οἱ δυσσεβεῖς Γαλιλαῖοι κατανοήσαντες ἐπέθεντο C ταύτῃ τῇ φιλανθρωπίᾳ, καὶ τὸ χείριστον τῶν ἔργων διὰ τοῦ δοκοῦντος τῶν ἐπιτηδευμάτων ἐκράτυναν. ὥσπερ οἱ τὰ παιδία διὰ τοῦ πλακοῦντος ἐξαπατῶντες τῷ καὶ δὶς καὶ τρὶς προέσθαι πείθουσιν ἀκολουθεῖν ἑαυτοῖς, εἶθ', ὅταν ἀποστήσωσι πόρρω τῶν οἰκείων, ἐμβάλλοντες εἰς ναῦν ἀπέδοντο, καὶ γέγονεν εἰς ἅπαντα τὸν ἑξῆς βίον πικρὸν τὸ δόξαν πρὸς ὀλίγον γλυκύ, τὸν αὐτὸν καὶ αὐτοὶ τρόπον D

2 μηδ' ἡτισοῦν H et Cob.] μηδέ τις οὖν 5 δύο ταῦτα] τὰ δύο ταῦτα Cob. Sic 218 C τοῖν δυοῖν τούτοιν. Aliter vero 160 D 188 A 215 D 218 A fragm. min. 1. Cf. Xen. C. D. I, 6, 20 Plat. Soph. 228 D Legg. II 669 A VI 751 A Demosth. 5, 9 et supra ad 139 D 10 κοινωνεῖ] Vid. ad 17 B 11 ᾖ Rsk. H Cob.] ἦν 13 ἐντεῦθεν H] ὅθεν (ἔνθεν Wytt.; vid. ad 132 B) 16 τῇ om. pet. 17 δοκοῦντος] εὐδοκιμοῦντος H, καλλίστου δοκοῦντος Rsk. 18 ὥσπερ] ὥσπερ γάρ? | διὰ add. Pet. spanh. 21 οἰκείων Cob.] οἰκιῶν

ἀρξάμενοι διὰ τῆς λεγομένης παρ' αὐτοῖς ἀγάπης καὶ ὑποδοχῆς καὶ διακονίας τραπεζῶν· ἔστι γὰρ ὥσπερ τὸ ἔργον, οὕτω δὲ καὶ τοὔνομα παρ' αὐτοῖς πολύ· πλείστους ἐνήγαγον εἰς τὴν ἀθεότητα. * * *

1 αὐτοῖς] αὐτῆς pet. 3 τοὔνομα H] ὄνομα 4 πλείστους Rsk.] πιστοὺς

ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ 306

ΣΥΜΠΟΣΙΟΝ Η ΚΡΟΝΙΑ.

Ἐπειδὴ δίδωσιν ὁ θεὸς παίζειν· ἔστι γὰρ Κρόνια· γελοῖον δὲ οὐδὲν οὐδὲ τερπνὸν οἶδα ἐγώ, τὸ μὴ καταγέλαστα φράσαι φροντίδος ἔοικεν εἶναι ἄξιον, ὦ φιλότης.

Εἶτα τίς οὕτω παχύς ἐστι καὶ ἀρχαῖος, ὦ καῖσαρ, ὥστε καὶ παίζειν πεφροντισμένα; ἐγὼ ᾤμην τὴν παιδιὰν ἄνεσίν τε εἶναι ψυχῆς καὶ ἀπαλλαγὴν τῶν φροντίδων.

Ὀρθῶς γε σὺ τοῦτο ὑπολαμβάνων, ἐμοὶ δὲ οὐ B
ταύτῃ ἔοικεν ἀπαντᾶν τὸ χρῆμα. πέφυκα γὰρ οὐδαμῶς ἐπιτήδειος οὔτε σκώπτειν οὔτε παρῳδεῖν οὔτε γελοιάζειν. ἐπεὶ δὲ χρὴ τῷ νόμῳ πείθεσθαι τοῦ θεοῦ, βούλει σοι ἐν παιδιᾶς μέρει μῦθον διεξέλθω πολλὰ ἴσως ἔχοντα ἀκοῆς ἄξια;

Λέγοις ἂν καὶ μάλα ἀσμένῳ, ἐπεὶ καὶ αὐτὸς οὐκ ἀτιμάζω τοὺς μύθους οὐδὲ παντάπασιν ἐξελαύνω C

1 et 2 *Ἰουλιανοῦ αὐτοκράτορος συμπόσιον ἢ κρόνια* VM, *τοῦ θεοστυγοῦς Ἰουλιανοῦ συμπόσιον ἢ κρόνια* Aug., *Ἰουλιανοῦ αὐτοκράτορος Καίσαρες* v 4 *οἶδ' ἐγὼ* pet. 5 *ἔοικεν εἶναι ἄξιον* V Aug.] *εἶναι ἄξιον ἔοικεν* 8 *ἐγὼ* V Aug.] *ἐγὼ δὲ* 9 *ψυχῆς* VM] om. Aug., *τῆς ψυχῆς* v | *ἀπαλλαγὴν* VM] *ἀνάπαυσιν* 11 *ὑπολαμβάνων* VM Aug.] *ὑπολαμβάνεις* | *ἐμοὶ δὲ* VM] *ἀλλ' ἐμοὶ δὲ* 17 *ἀσμένῳ* Cunaeus] *ἀσμένως*

τοὺς ὀρθῶς ἔχοντας, ἀκόλουθα σοί τε καὶ φίλῳ τῷ σῷ, μᾶλλον δὲ τῷ κοινῷ, Πλάτωνι διανοούμενος, ἐπεὶ καὶ αὐτῷ πολλὰ ἐν μύθοις ἐσπούδασται.

Λέγεις ναὶ μὰ Δία ταῦτα ἀληθῆ.

Τίς δὲ καὶ ποταπὸς ὁ μῦθος;

Οὐ τῶν παλαιῶν τις, ὁποίους Αἴσωπος ἐποίησεν,
307 *ἀλλ' εἴτε πλάσμα λέγοις Ἑρμοῦ· πεπυσμένος γὰρ αὐτὸν ἐκεῖθέν σοι φράσω· εἴτε καὶ τἀληθὲς οὕτως ἔχει εἴτε μίξις τίς ἐστιν ἀμφοῖν, [ἀληθοῦς καὶ ψεύδους,] αὐτὸ . . . δείξει τὸ πρᾶγμα.*

Τουτὶ μὲν οὖν ἤδη μυθικῶς ἅμα καὶ ῥητορικῶς ἐξείργασταί σοι τὸ προοίμιον· ἀλλά μοι τὸν λόγον αὐτόν, ὁποῖός ποτέ ἐστιν, ἤδη διέξελθε.

Μανθάνοις ἄν.

B *Θύων ὁ Ῥωμύλος τὰ Κρόνια πάντας ἐκάλει τοὺς θεούς, καὶ δὴ καὶ αὐτοὺς τοὺς καίσαρας. κλῖναι δὲ ἐτύγχανον παρεσκευασμέναι τοῖς μὲν θεοῖς ἄνω κατ' αὐτό, φασίν, οὐρανοῦ τὸ μετέωρον,*

Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεί.

λέγεται γὰρ μεθ' Ἡρακλέα παρελθεῖν ἐκεῖσε καὶ ὁ Κυρῖνος, ᾧ δὴ χρὴ καλεῖν αὐτὸν ὀνόματι, τῇ θείᾳ

1 *σοί τε*] *σύ γε* Aug., *σοί γε* pet. | *φίλῳ* Rsk. H Cob.] *φίλα* 5 *ποταπὸς* Aug.] *ποδαπὸς* 7 *λέγοις* V Aug.] *λέγεις* | *αὐτὸν* om. pet. 8 *ὃ* post *φράσω* add. pet. | *καὶ τἀληθὲς* VM] *τἀληθὲς* Aug., *ἀληθὲς* v 9 *ἀληθείας ἀμφοῖν* V. Verba uncis inclusa delevit Cob. 10 ... *δείξει* V] *ἐπιδείξει*. In hac vero similibusque formulis quum verbum simplex usurpari soleat (ut 20 C 21 D 23 A 39 B) Hemsterhusius *αὐτό σοι δείξει*, Cobetus *αὐτό, φασί, δείξει* (ut Epist. 59 p. 112, 4 Heyl.) vel *αὐτὸ τάχα δείξει* suspicati sunt. Ac nescio an *ἐπέδειξεν* et *ἐνδείκνυσθαι* etiam 275 B et 342 B corrigenda sint, quamvis Sophocles Electr. 1453 *οὐκ, ἀλλὰ κἀπέδειξαν, οὐ λόγῳ μόνον* scripserit 12 *ἐξειργα.... τὸ* V 16 *αὐτοὺς* mihi suspectum est 18 *φασὶν* VM] *φησὶν* 19 Odyss. ζ, 42

πειθομένους φήμῃ. τοῖς μὲν οὖν θεοῖς ἐκεῖσε παρ- C
εσκεύαστο τὸ συμπόσιον· ὑπ' αὐτὴν δὲ τὴν σελήνην
ἐπὶ μετεώρου τοῦ ἀέρος ἐδέδοκτο τοὺς καίσαρας
δειπνεῖν. ἀνεῖχε δὲ αὐτοὺς ἥ τε τῶν σωμάτων κουφό-
της, ἅπερ ἐτύγχανον ἠμφιεσμένοι, καὶ ἡ περιφορὰ
τῆς σελήνης. κλῖναι μὲν οὖν ἔκειντο τέτταρες, εὐτρε-
πεῖς τοῖς μεγίστοις θεοῖς. ἐβένου μὲν ἦν ἡ τοῦ
Κρόνου στιλβούσης καὶ πολλὴν ἐν τῷ μέλανι καὶ
θείαν αὐγὴν κρυπτούσης, ὥστε οὐδεὶς οἷός τε ἦν
ἀντιβλέπειν. ἔπασχε δὲ ταὐτὸ πρὸς τὴν ἔβενον D
ἐκείνην τὰ ὄμματα δι' ὑπερβολὴν τῆς λαμπεδόνος,
ὅπερ οἶμαι πρὸς ἥλιον, ὅταν αὐτοῦ τῷ δίσκῳ τις
ἀτενέστερον προσβλέπῃ. ἡ δὲ τοῦ Διὸς ἦν ἀργύρου
μὲν στιλπνοτέρα, χρυσίου δὲ λευκοτέρα. τοῦτο εἴτε
ἤλεκτρον χρὴ καλεῖν εἴτε ἄλλο τι λέγειν, οὐ σφόδρα
εἶχέ μοι γνωρίμως [ἐκ τῶν μεταλλευομένων] ὁ Ἑρμῆς
φράσαι. χρυσοθρόνω δὲ παρ' ἑκάτερον ἐκαθιζέτην
ἥ τε μήτηρ καὶ ἡ θυγάτηρ, Ἥρα μὲν παρὰ τὸν Δία, 308
Ῥέα δὲ παρὰ τὸν Κρόνον. τὸ δὲ τῶν θεῶν κάλλος
οὐδὲ ἐκεῖνος ἐπεξῄει τῷ λόγῳ, μεῖζον εἶναι λέγων
αὐτὸ καὶ νῷ θεατόν, ἀκοῇ δὲ καὶ ῥήμασιν οὔτε
προοισθῆναι ῥᾴδιον οὔτε παραδεχθῆναι δυνατόν. οὐχ
οὕτω τις ἔσται καὶ φανεῖται μεγαλόφωνος, ὥστε τὸ

5 ἅτεπερ V, ὥσπερ Aug. 6 εὐτρεπεῖς V] εὐπρεπεῖς 7 ἐβέννου V | μὲν ἦν V] μὲν Aug., μὲν οὖν ἦν v 9 οὐθεὶς VM Aug. 10 ταὐτὸ Hemsterhusius] τοῦτο | ἔβεννον V 13 προσβλέπῃ VM] προσβλέπει 15—17 οὐ σφόδρα εἶχέ μοι γνωρίμως (γνωρίμῳ V) ἐκ τῶν μεταλλευομένων ὁ ἑρμῆς φράσαι VM, οὐ σφόδρα ἐκ τῶν μεταλλευομένων εἶχέ μοι γνωρίμως ὁ Ἑρμῆς φράσαι v, οὐ σφόδρα τί μοι γνωρίμως ὁ ἑρμῆς φράσαι Aug. 17 χρυσῷ θρόνῳ V | ἐκαθέζετον VM, unde ἐκαθεζέσθην scribendum esse suspiceris 22 προοισθῆναι VM] προσιέναι (προσεῖναι Aug.) | παραδειχθῆναι Aug. 23 καὶ φανεῖται VM] κἂν ἐπαινῆται

μέγεθος ἐκεῖνο φράσαι τοῦ κάλλους, ὁπόσον ἐπι-
B πρέπει τῇ τῶν θεῶν ὄψει. παρεσκεύαστο δὲ καὶ τοῖς ἄλλοις θεοῖς ἑκάστῳ θρόνος ἢ κλίνη κατὰ πρεσβείαν. ἤριζε δὲ οὐδείς, ἀλλ' ὅπερ Ὅμηρος ὀρθῶς ποιῶν ἔφη, δοκεῖν μοι παρὰ τῶν Μουσῶν αὐτῶν ἀκηκοώς, ἔχειν ἕκαστον τῶν θεῶν θρόνον, ἐφ' οὗ πάντως αὐτῷ θέμις καθῆσθαι στερεῶς καὶ ἀμετακινήτως· ἐπεὶ καὶ πρὸς τὴν παρουσίαν τοῦ πατρὸς ἐξανιστάμενοι ταράττουσιν οὐδαμῶς τὰς καθέδρας οὐδὲ
C μεταβαίνουσιν οὐδὲ ὑφαρπάζουσιν ἀλλήλων, γνωρίζει δὲ ἕκαστος τὸ προσῆκον αὑτῷ. πάντων οὖν κύκλῳ τῶν θεῶν καθημένων, ὁ Σειληνὸς ἐρωτικῶς ἔχειν μοι δοκῶν τοῦ Διονύσου καλοῦ καὶ νέου καὶ τῷ πατρὶ τῷ Διὶ παραπλησίου πλησίον αὐτοῦ, τροφεύς
D τις οἷα καὶ παιδαγωγός, καθῆστο, τά τε ἄλλα φιλοπαίγμονα καὶ φιλόγελων καὶ χαριδότην ὄντα τὸν θεὸν εὐφραίνων καὶ δὴ καὶ τῷ σκώπτειν τὰ πολλὰ καὶ γελοιάζειν.

Ὡς δὲ καὶ τὸ τῶν καισάρων συνεκροτεῖτο συμπόσιον, εἰσῄει πρῶτος Ἰούλιος Καῖσαρ, ὑπὸ φιλοτιμίας αὑτῷ βουλόμενος ἐρίσαι τῷ Διὶ περὶ τῆς μοναρχίας. εἰς ὃν ὁ Σειληνὸς βλέψας, Ὅρα, εἶπεν, ὦ Ζεῦ, μή σε ὁ ἀνὴρ οὗτος ὑπὸ φιλαρχίας ἀφελέσθαι καὶ τὴν βασιλείαν διανοηθῇ. καὶ γάρ, ὡς ὁρᾷς, ἐστὶ μέγας

1 ἐκεῖνο] ἐκείνου Rsk. 2 τῇ — ὄψει] τῆς — ὄψεως V Aug. 4 οὐθεὶς VM Aug. | ὅπερ VM] ὥσπερ 5 δοκεῖν Cob.] δοκεῖ. cf. ad 63 B 10 ἀλλήλων VM] ὑπ' ἀλλήλων 11 αὐτῷ VM 11 et 12 κύκλω τῶν θεῶν καθ. VM] τῶν θεῶν κύκλῳ καθ. 13 μοι δοκῶν VM] δοκῶν μοι 14 τῷ Διὶ] Διὶ Aug. 16 φιλόγελων VM Aug.] φιλογέλωτα | χαριδότην VM Aug.] χαριτοδότην. cf. 148 D 17 τῷ] τὸ M Aug. 19 συνεκεκρότητο H 20 πρῶτον V 22 et 23 μή τι σε MPabd Bav. 24 διανοηθῇ Sylburgius] διανοηθείη. vid. ad 231 D

καὶ καλός· ἐμοὶ γοῦν, εἰ καὶ μηδὲν ἄλλο, τὰ γοῦν 309
περὶ τὴν κεφαλήν ἐστι προσόμοιος. παίζοντος ἔτι
τοιαῦτα τοῦ Σειληνοῦ καὶ τῶν θεῶν οὐ σφόδρα
προσεχόντων αὐτῷ, Ὀκταβιανὸς ἐπεισέρχεται πολλὰ
ἀμείβων, ὥσπερ οἱ χαμαιλέοντες, χρώματα καὶ νῦν
μὲν ὠχριῶν, αὖθις δὲ ἐρυθρὸς γινόμενος, εἶτα μέλας
καὶ ζοφώδης καὶ συννεφής· ἀνίετο δ' αὖθις εἰς
Ἀφροδίτην καὶ Χάριτας, εἶναί τε ἤθελε τὰς βολὰς B
τῶν ὀμμάτων ὁποῖός ἐστιν ὁ μέγας Ἥλιος· οὐδένα
γάρ οἱ τῶν πάντων ἀντιβλέπειν ἠξίου. καὶ ὁ Σειλη-
νός, Βαβαί, ἔφη, τοῦ παντοδαποῦ τούτου θηρίου·
τί ποτ' ἄρα δεινὸν ἡμᾶς ἐργάσεται; Παῦσαι, εἶπε,
ληρῶν, ὁ Ἀπόλλων· ἐγὼ γὰρ αὐτὸν τουτῳὶ Ζήνωνι
παραδοὺς αὐτίκα ὑμῖν ἀποφανῶ χρυσὸν ἀκήρατον.
ἀλλ' ἴθι, εἶπεν, ὦ Ζήνων, ἐπιμελήθητι τοὐμοῦ θρέμμα- C
τος. ὁ δὲ ὑπακούσας, εἶτα ἐπᾴσας αὐτῷ μικρὰ τῶν
δογμάτων, ὥσπερ οἱ τὰς Ζαμόλξιδος ἐπῳδὰς θρυλοῦν-
τες, ἀπέφηνεν ἄνδρα ἔμφρονα καὶ σώφρονα. τρίτος
ἐπεισέδραμεν αὐτοῖς Τιβέριος σεμνὸς τὰ πρόσωπα
καὶ βλοσυρός, σῶφρόν τε ἅμα καὶ πολεμικὸν βλέπων.
ἐπιστραφέντος δὲ πρὸς τὴν καθέδραν ὤφθησαν ὠτειλαὶ
κατὰ τὸν νῶτον μυρίαι, καυτῆρές τινες καὶ ξέσματα

1 μηδὲν Heusingerus] μηθὲν 3 τοιαῦτα VM] ταῦτα 4 Spectat huc Grammaticus Hermanni de emend. rat. Gr. gr. p. 357 et Grammaticus apud Osannum ad Philem. p. 232 6 γινόμενος VM] γενόμενος 7 συνεφὴς V | δ' αὖθις VM] δὲ αὖθις | εἰς] πρὸς M Aug. 8 εἶναί τε ἤθελε VM] εἶναι ἤθελέ τε Aug., εἶναι δὲ ἤθελε v 10 γάρ οἱ Aug.] γὰρ οἱ 12 ποτε VM Aug. | παύσαι V pet. | εἶπε VM] εἶπεν 13 τουτῳὶ Cob.] τούτῳ 15 ἀλλὰ VM Aug. | ὦ VM Aug.] ὁ | τοὐμοῦ VM, τοῦ 'μοῦ Aug., τοῦ ἐμοῦ v 16 ὑπακούσας
λ
VM Aug.] ἐπακούσας 17 ζαλμόξιδος Aug. | θρυλοῦντες Aug.] θρυλλοῦντες 19 σεμνὸς] ..... V 20 σῶφρον M pet.] σώφρων | τὲ ἅμα (non τι ἅμα) etiam Aug. 22 τῶν νώ-

D καὶ πληγαὶ χαλεπαὶ καὶ μώλωπες ὑπό τε ἀκολασίας καὶ ὠμότητος ψῶραί τινες καὶ λειχῆνες οἷον ἐγκεκαυμέναι. εἶθ' ὁ Σειληνὸς

Ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἢ τὸ πάροιθεν

εἰπὼν ἔδοξεν αὐτοῦ φαίνεσθαι σπουδαιότερος. καὶ ὁ Διόνυσος πρὸς αὐτόν, Τί δῆτα, εἶπεν, ὦ παππίδιον σπουδάζεις; καὶ ὅς, Ἐξέπληξέ με ὁ γέρων οὑτοσί, ὁ Σάτυρος, ἔφη, καὶ πεποίηκεν ἐκλαθόμενον
310 ἐμαυτοῦ τὰς Ὁμηρικὰς προβαλέσθαι μούσας. Ἀλλά σε, εἶπεν, ἕλξει τῶν ὤτων· λέγεται γὰρ αὐτὸς καὶ γραμματιστήν τινα τοῦτο ἐργάσασθαι. Οἰμώζων μὲν οὖν, εἶπεν, ἐν τῷ νησυδρίῳ· τὰς Καπρέας αἰνιττόμενος· τὸν ἄθλιον ἁλιέα ψηχέτω. ταῦτα ἔτι παιζόντων αὐτῶν, ἐπεισέρχεται θηρίον πονηρόν. εἶτα οἱ θεοὶ πάντες ἀπέστρεψαν τὰ ὄμματα, κᾆτα αὐτὸν
B δίδωσιν ἡ Δίκη ταῖς Ποιναῖς, αἱ δὲ ἔρριψαν εἰς Τάρταρον. οὐδὲν οὖν ἔσχεν ὁ Σειληνὸς ὑπὲρ αὐτοῦ φράσαι. τοῦ Κλαυδίου δὲ ἐπεισελθόντος, ὁ Σειληνὸς ἄρχεται τοὺς Ἀριστοφάνους Ἱππέας ᾄδειν, ἀντὶ τοῦ δήμου κολακεύων δῆθεν τὸν Κλαύδιον. εἶτα πρὸς τὸν Κυρῖνον ἀπιδών, Ἀδικεῖς, εἶπεν, ὦ Κυρῖνε, τὸν

των MPabdBav. 1 ὑπό τε] ὑπὸ τῆς pet. 2 λιχῆνες Aug. et edd. ante Lipsiensem | ἐγκεκαυμέναι libri (etiam Aug.) et spanh.] ἐκκεκαυμέναι 3 εἶθ' libri] εἶτα 4 Odyss. π, 181 5 αὐτοῦ VMAug. 6 πρὸς αὐτὸν om. edd. ante spanh. 8 ἐκλαθόμενον libri] λαθόμενον 9 προβαλέσθαι V] προβάλλεσθαι 10 αὐτὸς] αὖ VAug. 11 ἐργάζεσθαι pet. 12 ἐν τῷ νησυδρίῳ VM, ἐν μονῇ συνεδρίῳ Aug., ἐν μονῇ νησιδίου v | αἰνισσόμενος Aug. 13 ψωχέτω V, ψυχέτω Aug. 14 μετεισέρχεται edd. ante spanh. 15 αὐτὸν VMAug.] αὐτὸν μὲν 16 δίδωσιν ἡ δίκη V] ἡ δίκη δίδωσι 17 οὐδὲν Heusingerus] οὐθὲν 19 Ἱππέας] vs. 1111. vid. Hemsterhusii Anecd. p. 276 ss. 20 δήμου] Δημοσθένους spanh. e D. Heinsii conjectura (de satira Horat. p. 34)

*ἀπόγονον ἄγων εἰς τὸ συμπόσιον δίχα τῶν ἀπελευ-
θέρων Ναρκίσσου καὶ Πάλλαντος. ἀλλ᾽ ἴθι, εἶπε,
πέμψον ἐπ᾽ ἐκείνους, εἰ βούλει δέ, καὶ (ἐπὶ) τὴν
γαμετὴν Μεσσαλίναν. ἔστι γὰρ ἐκείνων δίχα τουτὶ* C
*τῆς τραγῳδίας τὸ δορυφόρημα, μικροῦ δέω φάναι,
καὶ ἄψυχον. ἐπεισέρχεται λέγοντι τῷ Σειληνῷ Νέ-
ρων μετὰ τῆς κιθάρας καὶ τῆς δάφνης. εἶτα ἀπο-
βλέψας ἐκεῖνος πρὸς τὸν Ἀπόλλωνα, Οὗτος, εἶπεν,
ἐπὶ σὲ παρασκευάζεται. καὶ ὁ βασιλεὺς Ἀπόλλων,
Ἀλλ᾽ ἔγωγε αὐτόν, εἶπεν, ἀποστεφανώσω ταχέως, ὅτι
με μὴ πάντα μιμεῖται μηδὲ ἐν οἷς με μιμεῖται γίγνε-* D
*ταί μου μιμητὴς δίκαιος. ἀποστεφανωθέντα δὲ αὐ-
τὸν ὁ Κωκυτὸς εὐθέως ἥρπασεν. ἐπὶ τούτῳ πολλοὶ
καὶ παντοδαποὶ συνέτρεχον, Βίνδικες, Γάλβαι, Ὄθω-
νες, Βιτέλλιοι. καὶ ὁ Σειληνός, Τούτων, εἶπε, τῶν
μονάρχων τὸν δῆμον πόθεν ἐξηυρήκατε, ὦ θεοί;
τυφόμεθα γοῦν ὑπὸ τοῦ καπνοῦ· φείδεται γὰρ οὐδὲ
τῶν ἀνακτόρων ταυτὶ τὰ θηρία. καὶ ὁ Ζεὺς ἀπι-
δὼν πρὸς τὸν ἀδελφὸν αὐτοῦ Σάραπιν καὶ τὸν* 311
*Οὐεσπασιανὸν δείξας, Πέμπε, εἶπε, τὸν σμικρίνην
τοῦτον ἀπὸ τῆς Αἰγύπτου ταχέως, ἵνα τὴν φλόγα
ταύτην κατασβέσῃ· τῶν παίδων δὲ τὸν πρεσβύτερον
μὲν παίζειν κέλευε μετὰ τῆς Ἀφροδίτης τῆς πανδή-*

3 *ἐπὶ* add. Cob. 5 *φᾶναι* VM 9 *ἐπὶ σὲ* VM Aug.] *ἐπί σε* 11 *γίγνεται* VM] *γίνεται* 12 *ἀποστεφανούμενον* edd. Lipsiensi priores 13 *τούτῳ* libri] *τούτῳ δὲ* 14 *συνέτρεχον* VM] *συνέδραμον* | *Βίνδικες*] .... V | *χάλβαι* (γ supra) V 15 *βιτέλλιοι* VM 16 *μονάρχων τὸν*] ...αρ..... V | *τὸν δῆμον*] Malim *τὸ σμῆνος* coll. Plat. Menon. 72 A | *ἐξηυρήκατε* H] *ἐξεύρατε* (*ἐξεύρετε* Cob.) 17 *τυφόμεθα* VM] *τυφούμεθα* | *καπνοῦ*] ..... V 18 *ἀναγκαιοτέρων* M et edd. ante Lips. 20 *τὸν* ...*κρίνην* V, *τὸν σμικρίνον* Aug. m. s., *τὸν σμικρίνην* fortasse m. pr., *τὸν σμικρῖνον* cant. pet. 22 *κατασβέσῃ* VM] *κατασβέσαι*

μου, τὸν νεώτερον δὲ τῷ Σικελικῷ θηρίῳ παρα-
πλησίως κλοιῷ δῆσον. παρῆλθεν ἐπί τούτοις γέρων
ὀφθῆναι καλός· λάμπει γάρ ἔστιν ὅτε καὶ ἐν τῷ
B γήρᾳ τὸ κάλλος· ἐντυχεῖν πρᾳότατος, χρηματίσαι
δικαιότατος. ᾐδέσθη τοῦτον ὁ Σειληνὸς καὶ ἀπεσιώ-
πησεν. εἶτα ὁ Ἑρμῆς, Ὑπὲρ δὲ τούτου, εἶπεν, οὐδὲν
ἡμῖν λέγεις; Ναὶ μὰ Δί', ἔφη, μέμφομαί γε ὑμῖν
τῆς ἀνισότητος. τῷ γὰρ φονικῷ θηρίῳ τρὶς πέντε
νείμαντες ἐνιαυτοὺς ἕνα μόλις ἐδώκατε τούτῳ βασι-
λεῦσαι. Ἀλλὰ μὴ μέμφου, εἶπεν ὁ Ζεύς· εἰσάξω γὰρ
C ἐπὶ τούτῳ πολλοὺς κἀγαθούς. εὐθέως οὖν ὁ Τραϊα-
νὸς εἰσήρχετο φέρων ἐπὶ τῶν ὤμων τὰ τρόπαια, τό
τε Γετικὸν καὶ (τὸ) Παρθικόν. ἰδὼν δὲ αὐτὸν ὁ
Σειληνὸς ἔφη, λανθάνειν τε ἅμα καὶ ἀκούεσθαι
βουλόμενος, Ὥρα νῦν τῷ δεσπότῃ Διὶ σκοπεῖν, ὅπως
ὁ Γανυμήδης αὐτῷ φρουρήσεται. μετὰ τοῦτον ἐπεισ-
D έρχεται βαθεῖαν ἔχων τὴν ὑπήνην ἀνὴρ σοβαρὸς
τά τε ἄλλα καὶ δὴ καὶ μουσικὴν ἐργαζόμενος, εἴς τε
τὸν οὐρανὸν ἀφορῶν πολλάκις καὶ πολυπραγμονῶν
τὰ ἀπόρρητα. τοῦτον δὲ ἰδὼν ὁ Σειληνὸς ἔφη, Τί
δὲ ὑμῖν οὗτος ὁ σοφιστὴς δοκεῖ; μῶν Ἀντίνοον τῇδε
περισκοπεῖ; φρασάτω τις αὐτῷ μὴ παρεῖναι τὸ μειρά-
κιον ἐνθαδὶ καὶ παυσάτω τοῦ λήρου καὶ τῆς φλυα-
312 ρίας αὐτόν. ἐπὶ τούτοις ἀνὴρ εἰσέρχεται σώφρων,

1 τῷ Σικελικῷ θηρίῳ] Vid. schol. ad Aeschin. or. 2, 10 3 ἔστιν Aug.] ἐστὶν 5 ᾐδέσθη pet. spanh. | τοῦτον VMAug.] τούτου cant. pet., τούτῳ spanh. 6 οὐθὲν VM 7 δί' VMAug.] Δία | γε VMAug.] γὰρ | ὑμῖν VAug.] ὑμᾶς 8 φοινικῷ V 10 εἰτάξω V, ἐπάξω Cob. 11 κἀγαθοὺς M] καὶ ἀγαθοὺς 13 τὸ Παρθικόν Cob.] Παρθικόν 16 γαννυμήδης VMAug. 17 τὴν ὑπήνην VMAug.] ὑπήνην 18 et 19 εἴς τε τὸν οὐρανὸν ἀφορῶν. cf. Suidas v. παιδικά 20 δὲ ἰδὼν MPabd, δὴ ἰδὼν V spanh., ἰδὼν Aug. et edd. ante spanh. 21 ἀντίνον Aug.

οὐ τὰ ἐς Ἀφροδίτην, ἀλλὰ τὰ ἐς τὴν πολιτείαν. ἰδὼν αὐτὸν ὁ Σειληνὸς ἔφη, Βαβαὶ τῆς σμικρολογίας, εἷς εἶναί μοι δοκεῖ τῶν διαπριόντων τὸ κύμινον ὁ πρεσβύτης οὗτος. ἐπεισελθούσης δὲ αὐτῷ τῆς τῶν ἀδελφῶν ξυνωρίδος, Βήρου καὶ Λουκίου, δεινῶς ὁ Σειληνὸς συνεστάλη. παίζειν γὰρ οὐκ εἶχεν οὐδ' ἐπισκώπτειν, μάλιστα τὸν Βῆρον, καίτοι καὶ τούτου τὰ περὶ τὸν υἱὸν καὶ τὴν γυναῖκα πολυπραγμονῶν ἁμαρτήματα, τὴν μὲν ὅτι πλέον ἢ προσῆκεν ἐπένθησεν, B ἄλλως τε οὐδὲ κοσμίαν οὖσαν, τῷ δὲ ὅτι τὴν ἀρχὴν συναπολλυμένην περιεῖδεν, ἔχων καὶ ταῦτα σπουδαῖον κηδεστήν, ὃς τῶν τε κοινῶν ἂν προύστη κρεῖττον καὶ δὴ καὶ τοῦ παιδὸς αὐτοῦ βέλτιον ἂν ἐπεμελήθη ἢ αὐτὸς αὐτοῦ. καίπερ οὖν ταῦτα πολυπραγμονῶν ᾐδεῖτο τὸ μέγεθος αὐτοῦ τῆς ἀρετῆς· τόν γε μὴν υἱέα οὐδὲ τοῦ σκωφθῆναι νομίσας ἄξιον C ἀφῆκεν· ἔπιπτε γὰρ καὶ αὐτὸς εἰς γῆν οὐ δυνάμενος ἵπτασθαι καὶ παρομαρτεῖν τοῖς ἥρωσιν. ἐπεισέρχεται Περτίναξ [ἐν] τῷ συμποσίῳ τὴν σφαγὴν ὀδυρόμενος. ἡ Δίκη δὲ αὐτὸν κατελεήσασα, Ἀλλ' οὐ χαιρήσουσιν, εἶπεν, οἱ τούτων αἴτιοι· καὶ σὺ δέ, ὦ Περτίναξ, ἠδίκεις κοινωνῶν τῆς ἐπιβουλῆς, ὅσον ἐπὶ τοῖς σκέμμασιν, ἣν ὁ Μάρκου παῖς ἐπεβουλεύθη. μετὰ τοῦ- D τον ὁ Σεβῆρος, ἀνὴρ πικρίας γέμων κολαστικός.

1 ἐς VM] εἰς | ἐς VM] εἰς | τὴν πολιτείαν] πολιτείαν V spanh. (non Aug.) 2 σμικρολογίας V] μικρολογίας 6 οὐδ' M] οὐδὲ 7 μάλιστα VM spanh.] μάλιστα δὲ 8 υἱὸν] ..... V 10 τῶ δὲ VM, τὸ δὲ Aug., cant. pet., τὸν δὲ spanh. 12 προύστη H] προέστη. cf. 365 C 14 αὐτοῦ VMAug. 18 ἵπτασθαι Aug.] ἵστασθαι | παρομαρτεῖν VM] συνομαρτεῖν | ἐπεισέρχεται VM spanh.] προσέρχεται 19 ἐν om. MPab 22 ἀδικεῖς MPabd | ὅσον om. V 22 et 23 σκέμμασιν, ἣν VMAug.] σκέμμασι ἧς 24 σεβῆρος MAug., σευῆρος V, σέβηρος v | κολαζόμενος edd. ante spanh. Ego

Ὑπὲρ τούτου δέ, εἶπεν ὁ Σειληνός, οὐδὲν λέγω· φοβοῦμαι γὰρ αὐτοῦ τὸ λίαν ἀπηνὲς καὶ ἀπαραίτητον. ὡς δὲ ἔμελλεν αὐτῷ καὶ τὰ παιδαρίδια συν(εισ)ιέναι, πόρρωθεν αὐτὰ διεκώλυσεν ὁ Μίνως. ἐπιγνοὺς δὲ σαφῶς τὸν μὲν νεώτερον ἀφῆκε, τὸν δὲ
313 πρεσβύτερον τιμωρίαν ἔπεμψε τίσοντα. Μακρῖνος ἐνταῦθα φυγὰς μιαιφόνος· εἶτα τὸ ἐκ τῆς Ἐμέσης παιδάριον πόρρω που τῶν ἱερῶν ἀπηλαύνετο περιβόλων. ὅ γε μὴν Σύρος Ἀλέξανδρος ἐν ἐσχάτοις που καθῆστο τὴν αὑτοῦ συμφορὰν ποτνιώμενος. καὶ ὁ Σειληνὸς ἐπισκώπτων αὐτὸν ἐπεῖπεν, Ὦ μῶρε καὶ μέγα νήπιε, τηλικοῦτος ὢν οὐκ αὐτὸς ἦρχες τῶν σεαυτοῦ, τὰ χρήματα δὲ ἐδίδους τῇ μητρὶ καὶ οὐκ
B ἐπείσθης, ὅσῳ κρεῖττον ἀναλίσκειν ἦν αὐτὰ τοῖς φίλοις ἢ θησαυρίζειν. Ἀλλ' ἔγωγε, εἶπεν ἡ Δίκη, πάντας αὐτούς, ὅσοι μεταίτιοι γεγόνασι τούτων, κολασθησομένους παραδώσω. καὶ οὕτως ἀνείθη τὸ μειράκιον. ἐπὶ τούτῳ παρῆλθεν εἴσω Γαλλιῆνος μετὰ τοῦ πατρός, ὁ μὲν τὰ δεσμὰ τῆς αἰχμαλωσίας ἔχων, ὁ
C δὲ στολῇ τε καὶ κινήσει χρώμενος μαλακωτέρᾳ ὥσπερ αἱ γυναῖκες. καὶ ὁ Σειληνὸς πρὸς μὲν ἐκεῖνον,

Τίς οὗτος ὁ λευκολόφας,
Πρόπαρ ὃς ἡγεῖται στρατοῦ;

ἔφη, πρὸς δὲ τὸν Γαλλιῆνον,

cum Sylburgio καὶ κολαστικός legendum esse censeo 1 δὲ add. VMAug. 3 καὶ om. cant. pet. | παιδαρίδια VM] παιδάρια 4 συνεισιέναι H] συνιέναι 5 μὲν om. cant. pet. 7 ἐμίσης Aug. spanh. 8 που] ποι? 10 αὐτοῦ VMAug. 11 αὐτὸν] αὐτῷ M cant. pet. | ἐπεῖπεν] εἶπεν H | μῶρε H] μωρὲ 13 δὲ ἐδίδους VAug., δὲ ἐδίδως M, διδοὺς v 15 εἶπεν ἡ Δίκη Sylburgius] εἶπε ἡ Δίκη v, εἶπε τῇ δίκῃ libri 16 αὐτοῦ V 22 Eur. Phoen. 120 23 τοῦ στρατοῦ pet.

Ὃς καὶ χρυσὸν ἔχων πάντη τρυφᾷ ἠύτε κούρη·

τούτω δὲ ὁ Ζεὺς εἶπε τῆς ἐκεῖσε θοίνης ἐκβῆναι.
τούτοις ἐπεισέρχεται Κλαύδιος, εἰς ὃν ἀπιδόντες οἱ D
θεοὶ πάντες ἠγάσθησάν τε αὐτὸν τῆς μεγαλοψυχίας
καὶ ἐπένευσαν αὐτοῦ τῷ γένει τὴν ἀρχήν, δίκαιον
εἶναι νομίσαντες οὕτω φιλοπάτριδος ἀνδρὸς ἐπὶ
πλεῖστον εἶναι τὸ γένος ἐν ἡγεμονίᾳ. τούτοις ἐπεισέ-
δραμεν Αὐρηλιανὸς ὥσπερ ἀποδιδράσκων τοὺς εἴργον-
τας αὐτὸν παρὰ τῷ Μίνωι· πολλαὶ γὰρ αὐτῷ συνί-
σταντο δίκαι τῶν ἀδίκων φόνων, καὶ ἔφευγε τὰς
γραφὰς κακῶς ἀπολογούμενος. Ἥλιος δὲ οὑμὸς δεσπό- 314
της αὐτῷ πρός τε τὰ ἄλλα βοηθῶν, οὐχ ἥκιστα δὲ
καὶ πρὸς τοῦτο αὐτὸ συνήρατο, φράσας ἐν τοῖς θεοῖς,
Ἀλλ' ἀπέτισε τὴν δίκην, ἢ λέληθεν ἡ δοθεῖσα Δελ-
φοῖς μαντεία

Αἴκε πάθη τά τ' ἔρεξε, δικη κ' ἰθεῖα γένοιτο;

τούτῳ συνεισέρχεται Πρόβος, (ὃς) ἑβδομήκοντα πόλεις
ἀναστήσας ἐν οὐδὲ ὅλοις ἐνιαυτοῖς ἑπτὰ καὶ πολλὰ B
πάνυ σωφρόνως οἰκονομήσας, ἄδικα δὲ πεπονθὼς
ὑπὸ τῶν ἀθέων, ἐτιμᾶτο τά τε ἄλλα καὶ τῷ τοὺς

1 Imitatur Hom. Iliad. β, 872 2 τούτῳ pet. | ὁ ζεὺς ὥσπερ τῆς ἐκεῖσε θοίνης ἐξεβάτην VMAug.Bav., τούτω δέ, ὁ Ζεὺς ὥσπερ εἶπε, τῆς ἐκεῖσε θοίνης ἐξεβάτην Heusingerus

10 et 11 τὰς γραφὰς] πρὸς γραφὰς Aug. 11 οὑμὸς VM, οὗμος Aug., ὁ ἐμὸς v 12 αὐτῷ add. VM 13 αὐτὸ MPd] αὐτῷ 14 καὶ ἐλήλυθεν pet. | Δελφοῖς VM spanh.] ἐν Δελφοῖς 16 αἴκε VMPabcd Suidas i. v., qui hunc locum spectat, ἅκε Aug., εἴ κε v | πάθη MPabd] πάθοι add. τά τ' Schneidewinus (vid. Paroemiogr. Gr. I p. 396) et Bernhard. ad Suid., τά κ' v | δίκη κ' Aristot. Eth. Nicom. V, 8 (5), 3, δίκη δ' VMAug., δίκη τ' v 17 συνέρχεται Aug. pet. | ὁ Πρόβος pet. | ὃς add. Sylburgius 19 δὲ] μὲν Aug. pet. 20 ἀθέων VMAug.] θεῶν | τῶ M] τὸ

φονέας αὐτῷ τὴν δίκην ἐκτῖσαι. σκώπτειν δὲ αὐτὸν ὅμως ὁ Σειληνὸς ἐπειρᾶτο, καίτοι πολλῶν αὐτῷ σιωπᾶν παρακελευομένων· ἀλλ', Ἐᾶτε, ἔφη, νῦν γοῦν δι' αὐτοῦ τοὺς ἑξῆς φρενωθῆναι. οὐκ οἶσθα, ὦ
C Πρόβε, ὅτι τὰ πικρὰ φάρμακα μιγνύντες οἱ ἰατροὶ τῷ μελικράτῳ προσφέρουσι; σὺ δὲ αὐστηρὸς ἦσθα λίαν καὶ τραχὺς ἀεὶ εἴκων τε οὐδαμοῦ· πέπονθας οὖν ἄδικα μέν, εἰκότα δὲ ὅμως. οὐ γάρ ἔστιν οὔτε ἵππων οὔτε βοῶν ἄρχειν οὔτε ἡμιόνων, ἥκιστα δὲ ἀνθρώπων, μή τι καὶ τῶν κεχαρισμένων αὐτοῖς ξυγχωροῦντα, ὥσπερ ἔσθ' ὅτε τοῖς ἀσθενοῦσιν οἱ
D ἰατροὶ μικρὰ ἐνδιδόασιν, ἵν' ἐν τοῖς μείζοσιν ἔχωσιν αὐτοὺς πειθομένους. Τί τοῦτο, εἶπεν ὁ Διόνυσος, ὦ παππία; φιλόσοφος ἡμῖν ἀνεφάνης; Οὐ γάρ, ὦ παῖ, ἔφη, καὶ σὺ φιλόσοφος ὑπ' ἐμοῦ γέγονας; οὐκ οἶσθα, ὅτι καὶ ὁ Σωκράτης, ἐοικὼς ἐμοί, τὰ πρωτεῖα κατὰ τὴν φιλοσοφίαν ἀπηνέγκατο τῶν καθ' ἑαυτὸν ἀνθρώπων, εἰ τἀδελφῷ πιστεύεις ὅτι ἐστὶν ἀψευδής; ἔα τοίνυν ἡμᾶς μὴ πάντα γελοῖα λέγειν, ἀλλὰ καὶ
315 σπουδαῖα. ἔτι διαλεγομένων αὐτῶν πρὸς ἀλλήλους, ὅ τε Κᾶρος ἅμα τοῖς παισὶν εἰσφρῆσαι βουληθεὶς εἰς τὸ συμπόσιον ἀπελήλατο παρὰ τῆς Δίκης, καὶ ὁ Διοκλητιανός, ἄγων μεθ' ἑαυτοῦ Μαξιμιανώ τε τὼ δύο καὶ τὸν ἐμὸν πάππον Κωνστάντιον, ἐν κόσμῳ προῆγεν. εἴχοντο δὲ ἀλλήλων τὼ χεῖρε, καὶ ἐβάδιζον

1 ἐκτῖσαι H] ἐκτίσαι 1 et 2 αὐτὸν ὅμως V Aug.] ὅμως αὐτὸν 2 ὁ Σειληνὸς V M Aug.] ὁ μὲν Σειληνὸς 5 μιγνύντες V M Aug.] καταμιγνύντες 7 τε V M] δὲ 8 γάρ ἔστιν H] γάρ ἐστιν V, γὰρ ἐστὶν v 11 ξυγχωροῦντα V M] συγχωροῦντα | ἀσθενοῦσιν V M Aug.] ἀσθενοῦσι 14 παππία Cob.] παπία V Aug., παππίδιον v 18 τἀδελφῷ Cob.] τῷ ἀδελφῷ P a, τῶ 'δελφῶ V M m. s., τῷ Δελφῷ v 21 ὅ, δὲ pet. | κάρος *V M* 24 δύο M] δύω | κωνσταντῖνον V

οὐκ ἐξ ἴσης, ἀλλ' οἷα χορός τις ἦν περὶ αὐτόν, τῶν
μὲν ὥσπερ δορυφορούντων καὶ προθεῖν αὐτοῦ βουλο- B
μένων, τοῦ δὲ εἴργοντος· οὐδὲν γὰρ ἠξίου πλεονεκτεῖν.
ὡς δὲ ξυνίει κάμνοντος ἑαυτοῦ, δοὺς αὐτοῖς ἅπαντα,
ὅσα ἔφερεν ἐπὶ τῶν ὤμων, αὐτὸς εὔλυτος ἐβάδιζεν.
ἠγάσθησαν οἱ θεοὶ τῶν ἀνδρῶν τὴν ὁμόνοιαν, καὶ
ἐπέτρεψαν αὐτοῖς πρὸ πολλῶν πάνυ καθῆσθαι. δεινῶς
δὲ ὄντα τὸν Μαξιμιανὸν ἀκόλαστον ὁ Σειληνὸς ἐπι-
σκώπτειν μὲν οὐκ ἠξίου, τὸ δὲ τῶν βασιλέων οὐκ C
εἰσεδέχετο συσσίτιον. οὐ γὰρ μόνον τὰ εἰς Ἀφρο-
δίτην ἦν παντοίαν (ἀσέλγειαν) ἀσελγής, ἀλλὰ καὶ
φιλοπράγμων καὶ ἄπιστος καὶ οὐ τὰ πάντα τῷ τετρα-
χόρδῳ συνῳδῶν. ἐξήλασεν οὖν αὐτὸν ἡ Δίκη ταχέως.
εἶτα ἀπῆλθεν οὐκ οἶδα ὅποι γῆς· ἐπελαθόμην γὰρ
αὐτὸ παρὰ τοῦ Ἑρμοῦ πολυπραγμονῆσαι. τούτῳ δὲ
τῷ παναρμονίῳ τετραχόρδῳ παραφύεται δεινὸν καὶ
τραχὺ καὶ ταραχῶδες σύστημα. τοὺς μὲν οὖν δύο D
οὐδὲ τῶν προθύρων ἅψασθαι τῆς τῶν ἡρώων ἀγο-
ρᾶς ἡ Δίκη ξυνεχώρησε, Λικίνιον δὲ μέχρι τῶν
προθύρων ἐλθόντα, πολλὰ καὶ ἄτοπα πλημμελοῦντα
ταχέως ὁ Μίνως ἐξήλασεν. ὁ Κωνσταντῖνος δὲ
παρῆλθεν εἴσω καὶ πολὺν ἐκαθέσθη χρόνον, εἶτα
μετ' αὐτὸν τὰ παιδία. Μαγνεντίῳ γὰρ οὐκ ἦν εἴσο-
δος, ὅτι μηδὲν ὑγιὲς ἐπεπράχει, καίτοι πολλὰ ἐδόκει 316
πεπρᾶχθαι τῷ ἀνδρὶ καλά· οἱ θεοὶ δὲ ὁρῶντες, ὅτι

2 προθεῖν Cob.] προθέειν 4 συνίει Aug., σύνιε pet. | δοὺς αὐτοῖς VMAug.] αὐτοῖς διδοὺς 5 ὅσα] ἃ pet. | εὐαπόλυτος pet. 11 παντοίαν VMAug., παντοίως v, ἀσέλγειαν nos addidimus 12 ἄπιστος] ἀκόλαστος V 14 ὅποι VM] ὅπῃ 15 δὲ H] δὴ 17 τοὺς μὲν VAug.] τὰς μὲν M, τὼ μὲν v | δύο VMAug.] δύω 19 ξυνεχώρησε VM] συνεχώρησεν 24 μηδὲν Heusingerus] μηθὲν | ἐπεπράχει VAug.] ἐπεπράγει

μὴ ταῦτα ἐκ καλῆς αὐτῷ πεποίηται διαθέσεως, εἴων αὐτὸν οἰμώζειν ἀποτρέχοντα.

Οὔσης δὴ τοιαύτης τῆς ἀμφὶ τὸ δεῖπνον παρασκευῆς, ἐπόθουν μὲν οὐδὲν οἱ θεοί, πάντα γὰρ ἔχουσιν, αὐτῶν δὲ τῶν ἡρώων ἐδόκει τῷ Ἑρμῇ διαπειρᾶσθαι, καὶ τῷ Διὶ τοῦτο οὐκ ἄπο γνώμης ἦν. ἐδεῖτο δὲ καὶ ὁ Κυρῖνος ἤδη τινὰ μετάγειν B ἐκεῖθεν παρ' ἑαυτόν. Ἡρακλῆς δὲ εἶπεν, Οὐκ ἀνέξομαι, ὦ Κυρῖνε· διὰ τί γὰρ οὐχὶ καὶ τὸν ἐμὸν Ἀλέξανδρον ἐπὶ τὸ δεῖπνον παρεκάλεις; σοῦ τοίνυν, εἶπεν, ὦ Ζεῦ, δέομαι, εἴ τινα τούτων ἔγνωκας ἄγειν πρὸς ἡμᾶς, ἥκειν τὸν Ἀλέξανδρον κέλευε. τί γὰρ οὐχὶ κοινῇ τῶν ἀνδρῶν ἀποπειρώμενοι τῷ βελτίονι τιθέμεθα; δίκαια λέγειν ὁ τῆς Ἀλκμήνης ἐδόκει τῷ C Διί. καὶ ἐπεισελθόντος αὐτοῦ τοῖς ἥρωσιν οὔτε ὁ Καῖσαρ οὔτε ἄλλος τις ὑπανίστατο· καταλαβὼν δὲ σχολάζουσαν καθέδραν, ἣν ὁ τοῦ Σεβήρου παῖς ἐπεποίητο ἑαυτῷ, ἐκεῖνος γὰρ ἀπελήλατο διὰ τὴν ἀδελφοκτονίαν, ἐνεκάθισε. καὶ ὁ Σειληνὸς ἐπισκώπτων τὸν Κυρῖνον, Ὅρα, εἶπε, μή ποτε οὗτοι ἑνὸς ὦσιν οὐκ ἀντάξιοι τουτουὶ τοῦ Γραικοῦ. Μὰ Δία, εἶπεν ὁ Κυρῖνος, οἶμαι πολλοὺς εἶναι μὴ χείρονας. οὕτω D δὲ αὐτὸν οἱ ἐμοὶ τεθαυμάκασιν ἔγγονοι, ὥστε μόνον αὐτὸν ἐκ πάντων, ὅσοι γεγόνασιν ἡγεμόνες ξένοι, ὀνομάζουσι καὶ νομίζουσι μέγαν. οἱ μὴν ἔτι καὶ

3 δή V] δὲ 4 οὐθὲν V 6 ἄπο Aug.] ἀπὸ 8 ἐκεῖθεν om. V | εἶπεν· οὐκ ἀνέξομαι V] οὐκ ἀνέξομαι, εἶπεν 10 σὺ VMAug. 13 et 14 ἀποπειρώμενοι τῷ βελτίονι τιθέμεθα VM, ἀποπειρώμενοι τῷ βελτίονι δεόμεθα Aug., ἀποπειρασόμενοι τοῦ βελτίονος δεόμεθα v 16 ὑπανίστατο Cob.] ἐπανίστατο 17 σευήρου V 21 οὐκ om. V | μὰ VMAug.] νὴ μὰ 23 ἔγγονοι V] ἔκγονοι 24 ὅσοι γεγόν. ἡγεμόνες ξένοι V spanh.] ὅσοι ξένοι γεγόν. ἡγεμόνες 25 ἔτι] ὅτι pet.

τῶν παρ' ἑαυτοῖς γεγονότων οἴονται μείζονα τοῦτον, ἴσως μὲν ὑπὸ φιλαυτίας (τι) παθόντες, ἴσως δὲ καὶ οὕτως ἔχον· εἰσόμεθα δὲ αὐτίκα μάλα τῶν ἀνδρῶν ἀποπειρώμενοι. ταῦτα μάλιστα λέγων ὁ Κυρῖνος ἠρυθρία, καὶ δῆλος ἦν ἀγωνιῶν ὑπὲρ τῶν ἀπογόνων τῶν ἑαυτοῦ, μή που τὰ δευτερεῖα λαβόντες οἴχωνται.

Μετὰ τοῦτο ὁ Ζεὺς ἤρετο τοὺς θεούς, πότερον 317 *χρὴ πάντας ἐπὶ τὸν ἀγῶνα καλεῖν ἤ, καθάπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσι γίνεται, ὁ τοῦ πολλὰς ἀνελομένου νίκας κρατήσας, ἑνὸς περιγενόμενος, οὐδὲν ἔλαττον δοκεῖ κἀκείνων γεγονέναι κρείσσων, οἳ προσεπάλαισαν μὲν οὐδαμῶς αὐτῷ, τοῦ κρατηθέντος δὲ ἥττους ἐγένοντο. καὶ ἐδόκει πᾶσιν ἡ τοιαύτη σφόδρα* B *ἐμμελῶς ἔχειν ἐξέτασις. ἐκήρυττεν οὖν ὁ Ἑρμῆς παριέναι Καίσαρα καὶ τὸν Ὀκταβιανὸν ἐπὶ τούτῳ, Τραϊανὸν δὲ ἐκ τρίτων, ὡς πολεμικωτάτους. εἶτα γενομένης σιωπῆς ὁ βασιλεὺς Κρόνος βλέψας εἰς τὸν Δία θαυμάζειν ἔφη, πολεμικοὺς μὲν αὐτοκράτορας ὁρῶν ἐπὶ τὸν ἀγῶνα τουτονὶ καλουμένους, οὐδένα μέντοι φιλόσοφον. Ἐμοὶ δέ, εἶπεν, οὐχ ἧττόν εἰσιν οἱ τοιοῦτοι φίλοι. καλεῖτε οὖν εἴσω καὶ τὸν Μάρκον.* C *ἐπεὶ δὲ καὶ ὁ Μάρκος κληθεὶς παρῆλθε, σεμνὸς ἄγαν, ὑπὸ τῶν πόνων ἔχων τά τε ὄμματα καὶ τὸ πρόσωπον ὑπό τι συνεσταλμένον, κάλλος δὲ ἀμήχανον ἐν αὐτῷ τούτῳ δεικνύων, ἐν ᾧ παρεῖχεν ἑαυτὸν ἀκομ-*

1 *οἴονται*] *οἷόν τε* V 2 *τι* add. Cob. 3 *ἔχον* Aug.] *εἶχον* V, *ἔχοντες* v 10 *γίγνεται* Aug. | *τοῦ τὰς πολλὰς* Aug. pet. 16 *παριέναι* Cob.] *παρεῖναι* 17 *ἐκ τρίτων* V Aug.] *ἐκ τρίτου* | *πολεμικωτάτους* H] *πολεμικωτέρους* 20 *οὐδένα* Heusingerus] *οὐθένα* 23 *ἐπεὶ δὲ*] *ἐπεὶ* V 25 *ἄμαχον* Aug.

ψον καὶ ἀκαλλώπιστον· ἥ τε γὰρ ὑπήνη βαθεῖα παντάπασιν ἦν αὐτῷ καὶ τὰ ἱμάτια λιτὰ καὶ σώφρονα, καὶ ὑπὸ τῆς ἐνδείας τῶν τροφῶν ἦν αὐτῷ
D τὸ σῶμα διαυγέστατον καὶ διαφανέστατον ὥσπερ αὐτὸ οἶμαι τὸ καθαρώτατον καὶ εἰλικρινέστατον φῶς· ἐπεὶ καὶ οὗτος ἦν εἴσω τῶν ἱερῶν περιβόλων, ὁ Διόνυσος εἶπεν, Ὦ βασιλεῦ Κρόνε καὶ Ζεῦ πάτερ, ἆρα ἄξιον ἐν θεοῖς ἀτελὲς εἶναί τι; τῶν δὲ οὐ φαμένων, Εἰσάγωμεν οὖν τινα καὶ ἀπολαύσεως ἐραστὴν ἐνθαδί. καὶ ὁ Ζεύς, Ἀλλ' οὐ θεμιτὸν εἴσω φοιτᾶν, εἶπεν, ἀνδρὶ μὴ τὰ ἡμέτερα ζηλοῦντι. Γιγνέσθω τοίνυν, εἶπεν, ἐπὶ τῶν προθύρων, ὁ Διόνυσος,
318 αὐτοῖς ἡ κρίσις. ἀλλ', εἰ τοῦτο δοκεῖ ταύτῃ, καλῶμεν ἄνδρα οὐκ ἀπόλεμον μέν, ἡδονῇ δὲ καὶ ἀπολαύσει χειροηθέστερον. ἡκέτω οὖν ἄχρι τῶν προθύρων ὁ Κωνσταντῖνος. ἐπεὶ δὲ ἐδέδοκτο καὶ τοῦτο, τίνα χρὴ τρόπον αὐτοὺς ἁμιλλᾶσθαι, γνώμη προυτέθη. καὶ ὁ μὲν Ἑρμῆς ἠξίου λέγειν ἕκαστον ἐν μέρει περὶ τῶν ἑαυτοῦ, τίθεσθαι δὲ τοὺς θεοὺς τὴν ψῆφον. οὐ μὴν
B ἐδόκει ταῦτα τῷ Ἀπόλλωνι καλῶς ἔχειν· ἀληθείας γὰρ εἶναι, καὶ οὐ πιθανότητος οὐδ' αἱμυλίας ἐν θεοῖς ἔλεγχον καὶ ἐξέτασιν. βουλόμενος δὲ ὁ Ζεὺς ἀμφοτέροις χαρίζεσθαι καὶ ἅμα προάγειν ἐπὶ πλέον αὐτοῖς τὴν συνουσίαν, Οὐδέν, εἶπε, κωλύει λέγειν μὲν αὐτοῖς ἐπιτρέψαι, μικρὰ τοῦ ὕδατος ἐπιμετρή-

4 διαυγέστερον MAug. 6 ἐπεὶ καὶ] ἐπεὶ δὲ pet., ἐπεὶ δὲ καὶ Rsk. 8 οὗ Aug. 9 εἰσάγωμεν VM] εἰσαγάγωμεν 11 γιγνέσθω VAug.] γινέσθω 12 εἶπεν ἐπὶ τῶν προθ. V] ἐπὶ τῶν προθ. εἶπεν 13 αὐτοῖς VMAug.] αὐτῷ | ταύτῃ add. VAug. 15 ἧκετο pet. 16 τίνα χρὴ VMAug.] τίνα γὰρ ἔχρη 21 οὐδ' αἱμ. M] οὐδὲ αἱμ. 23 προάγειν MPabd] προσάγειν 24 οὐδὲν Heusingerus] οὐθὲν 25 μὲν scripsi *pro vulgato* τε. idem vel γε volebat etiam Reiskius | ἐπιμε-

σαντας, εἶτα ὕστερον ἀνερωτᾶν καὶ ἀποπειρᾶσθαι τῆς ἑκάστου διανοίας. καὶ ὁ Σειληνὸς ἐπισκώπτων, C Ἀλλ' ὅπως μή, νομίσαντες αὐτὸ νέκταρ εἶναι, Τραϊανός τε καὶ Ἀλέξανδρος ἅπαν ἐκροφήσωσι τὸ ὕδωρ, εἶτα ἀφέλωνται τοὺς ἄλλους. καὶ ὁ Ποσειδῶν, Οὐ τοὐμοῦ ὕδατος, εἶπεν, ἀλλὰ τοῦ ὑμετέρου πώματος ἐρασταὶ τὼ ἄνδρε ἐγενέσθην. ὑπὲρ τῶν σεαυτοῦ τοιγαροῦν ἀμπέλων μᾶλλον ἢ τῶν ἐμῶν πηγῶν ἄξιόν D ἐστί σοι δεδιέναι. καὶ ὁ Σειληνὸς δηχθεὶς ἐσιώπα, καὶ τοῖς ἀγωνιζομένοις ἐκ τούτου τὸν νοῦν προσεῖχεν. Ἑρμῆς δὲ ἐκήρυττεν·

Ἄρχει μὲν ἀγὼν
τῶν καλλίστων
ἄθλων ταμίας,
καιρὸς δὲ καλεῖ
μηκέτι μέλλειν.
ἀλλὰ κλύοντες
τὰν ἁμετέραν
κήρυκα βοὰν 319
οἱ πρὶν βασιλῆς,
ἔθνεα πολλὰ

τρήσασιν V 1 ἡμᾶς ante εἶτα vulgo additum cum libris expulimus 3 ὅπως μὴ libri] ὅρα, ὦ Πόσειδον, μὴ 4 ἐκροφήσωσι V M Aug.] ἐκροφήσωσιν. Scribendum autem videtur ἐκροφήσουσι et ἀφελοῦνται 6 τοῦ 'μου V | ἡμετέρου pet. Pb | πώματος Cob.] πόματος 7 ἐραστὰ Cob. | ἐγένεσθον MPabd 8 τοιγαροῦν VMAug.] τοι γὰρ οὖν | πηγῶν] κρηνῶν MPabd 12 et 13 ἀγὼν τῶν] ἀγώνων τῶν VMAug., ἀγὼν ὁ τῶν spanh., ἀγώνων pet. cf. Luciani Demon. 65 17 ἀλλὰ κλύοντες Cob.] ἀλλ' ἀκούοντες VM spanh., ἀλλ' ἀκόοντες cant. pet. 18 ἁμετέραν MPab] ἡμετέραν. Utrum in Aug. sit, ὑμετέραν an ἁμετέραν, non liquet 20 οἱ πρὶν Cunaeus] οἱ τὸ πριν | βασιλῆς Cob.] βασιλῆες libri, βασιλεῖς v

δουλωσάμενοι
καὶ πολέμοισι
δάιον ἔγχος
ϑήξαντες, ὁμοῦ
γνώμης τε μέγαν
πινυτόφρονα νοῦν,
ἴτ', ἐς ἀντίπαλον
B ἵστασϑε κρίσιν,
οἷς τε φρόνησιν
τέλος ὀλβίστης
ϑέσϑαι βιοτῆς,
οἷς τ' ἀντιβίους
κακὰ πόλλ' ἔρξαι
καὶ χρηστὰ φίλους
τέκμαρ βιότου
νενόμιστο καλοῦ,
(οἷς) ϑ' ἡδίστην
ἀπόλαυσιν ἔχειν
C τέρματα μόχϑων
δαῖτάς τε γάμους τ',
ὄμμασι τερπνά,
μαλακάς τε φέρειν
ἐσϑῆτας ὁμοῦ

2 πολέμοισι Aug., πτολέμοισι M, πολέμοισιν v 8 ἵστα-σ^{ε}ϑαι V 9 οἷς τε Cob.] οἵ τε 11 ϑέσϑαι Cob.] ϑέσϑε libri et cant. et pet., ϑέμενοι reliquae editiones 12 οἷσι τ' VM 13 πόλλ' ἐξέρξαι V, πόλλ' ἔρεξε Aug., πολλὰ ῥέξαι M 14 καὶ χρηστὰ Cunaeus et spanh.] χρηστὰ δὲ . 15 τέκμαρ Cunaeus et spanh.] τέρμα 16 καλοῦ om. pet. et Bav. 17 οἷς ϑ' Cob. et H] [illegible] ϑ' VMAug., καὶ ὅϑ v, καὶ οὖϑ' P a Bav. 20 δαῖτάς τε γάμους spanh., δαῖτας καὶ γάμους V Aug. pet., δαῖτας τε καὶ γάμους M, δαῖτάς τε γάμους τε Cantoclarus et Cunaeus

λιθοκολλήτοις
περὶ χεῖρας ἄκρας
ψελίοισι φάνη
μακαριστότατον.
νίκης δὲ τέλος
Ζηνὶ μελήσει. D

Τοιαῦτα τοῦ Ἑρμοῦ κηρύττοντος ἐκληροῦντο· καί πως συνέδραμε τῇ τοῦ Καίσαρος ὁ κλῆρος φιλοπρωτίᾳ. τοῦτο ἐκεῖνον μὲν ἐποίησε γαῦρον καὶ σοβαρώτερον· ἐδέησε δὲ διὰ τοῦτο μικροῦ καὶ φεύγειν τὴν κρίσιν ὁ Ἀλέξανδρος· ἀλλὰ παραθαρρύνων αὐτὸν ὁ μέγας Ἡρακλῆς ἐπέσχε. δεύτερος δὲ ἐπ' ἐκείνῳ λέγειν ἔλαχεν Ἀλέξανδρος· ἐπὶ δὲ τῶν ἑξῆς 320 *οἱ κλῆροι τοῖς ἑκάστου χρόνοις συμπροῆλθον. ἤρξατο οὖν ὁ Καῖσαρ ὡδί· Ἐμοὶ μέν, ὦ Ζεῦ καὶ θεοί, γενέσθαι ἐν τηλικαύτῃ συνέβη πόλει μετὰ τοσούτους ἄνδρας, ὥστε τὴν μὲν ὅσων οὐ πώποτε ἄλλη πόλις ἐβασίλευσε βασιλεύειν, ταῖς δὲ ἀγαπητὸν τὸ καὶ τὰ δεύτερα κομίσασθαι. τίς γὰρ πόλις ἀπὸ τρισχιλίων ἀνδρῶν ἀρξαμένη ἐν οὐδὲ ὅλοις ἔτεσιν ἑξακοσίοις* B *ἐπὶ γῆς ἦλθε πέρατα τοῖς ὅπλοις; ποῖα δὲ ἔθνη τοσούτους ἄνδρας ἀγαθούς τε καὶ πολεμικοὺς παρέσχετο καὶ νομοθετικούς; θεοὺς δὲ ἐτίμησαν οὕτω τίνες; ἐν δὴ τοσαύτῃ καὶ τηλικαύτῃ πόλει γενόμενος οὐ τοὺς κατ' ἐμαυτὸν μόνον, ἀλλὰ καὶ τοὺς πώποτε*

3 *ψελλίοισι* libri 10 *σοβαρώτατον* Pd | *μικροῦ*] [*τοῦ*] *μικροῦ* pet. 13 *ἀλέξανδρος* V] *ὁ Ἀλέξανδρος* 16 *γενέσθαι* libri] *γείνασθαι* 17 *ὅσων* MPab] *ὅσον* 19 *ἐβασίλευσε βασιλεύειν*] *βασιλεῦσαι* Cob. | *τὸ καὶ* VBav.] *καὶ τὸ* 20 *ἀρξαμένη ἀνδρῶν* VBav. 21 *ἔθνη* MPabd] *ἔθνη πολλὰ* 24 *ἐν δὴ τοσαύτῃ* VMAug.] *ἐν τῇ τοσαύτῃ* pet., *ἐν δὲ τῇ τοσαύτῃ* spanh. Pro *τοσαύτῃ* Cobetus requirit *τοιαύτῃ* | *γενόμενος* libri] *γεινάμενος*

*παρῆλθον τοῖς ἔργοις. καὶ τῶν ἐμῶν μὲν πολιτῶν
εὖ οἶδα ὡς οὐδεὶς ἀντιποιήσεταί μοι τῶν πρωτείων·
C εἰ δὲ Ἀλέξανδρος οὑτοσὶ τολμᾷ, τίνα τῶν ἔργων
τῶν ἑαυτοῦ τοῖς ἐμοῖς ἀξιοῖ παραβαλεῖν; ἴσως τὰ
Περσικά, ὥσπερ οὐχ ἑορακὼς ἐγηγερμένα μοι τοσαῦτα
κατὰ Πομπηίου τρόπαια; καίτοι τίς δεινότερος στρα-
τηγὸς γέγονε, Δαρεῖος ἢ Πομπήιος; ποτέρῳ δὲ ἀν-
δρειότερον ἠκολούθει στρατόπεδον; τὰ μὲν οὖν μαχι-
D μώτατα τῶν Δαρείῳ πρότερον ὑπακουόντων ἐθνῶν
ἐν τῇ Καρῶν μοίρᾳ Πομπήιος εἶχεν ἑπόμενα, τοὺς
δὲ ἐκ τῆς Εὐρώπης, οἳ τὴν Ἀσίαν πολλάκις πόλεμον
ἐπάγουσαν ἐτρέψαντο, καὶ τούτων αὐτῶν τοὺς ἀν-
δρειοτάτους, Ἰταλούς, Ἰλλυριούς, Κελτούς. ἀλλ' ἐπειδὴ
τῶν Κελτῶν ὑπεμνήσθην, ἆρα τοῖς Γετικοῖς ἔργοις
Ἀλεξάνδρου τὴν τῆς Κελτικῆς ἀντιτάττομεν καθαί-
ρεσιν; οὗτος ἅπαξ ἐπεραιώθη τὸν Ἴστρον, ἐγὼ δεύτε-
ρον τὸν Ῥῆνον· Γερμανικὸν αὖ τοῦτο τὸ ἐμὸν ἔργον.
τούτῳ δὲ ἀντέστη μὲν οὐδὲ εἷς, ἐγὼ πρὸς Ἀριόβι-
321 στον ἠγωνισάμην. πρῶτος ἐτόλμησα Ῥωμαίων ἐπι-
βῆναι τῆς ἐκτὸς θαλάσσης. καὶ τοῦτο ἦν ἴσως τὸ
ἔργον (οὐ) θαυμαστόν· καίτοι τὴν τόλμαν καὶ ταύ-
την ἄξιον θαυμάσαι· ἀλλὰ τὸ μεῖζόν μου, τὸ ἀπο-
βῆναι τῆς νεὼς πρῶτον. καὶ τοὺς Ἑλβετίους σιωπῶ
καὶ τὸ τῶν Ἰβήρων ἔθνος. οὐδενὸς ἔτι τῶν Γαλα-*

2 *οὐδεὶς* Heusingerus] *οὐθεὶς* 3 *τίνα* libri] *τί* 4 *ἀξιοῖς* VBav. | *παραβαλεῖν* libri] *παραβάλλειν* 5 *ἑορακὼς* scripsi pro *ἑωρακὼς* 9 *τῶν* MAug.] *τῷ* 10 *τοὺς*] *τῶν* pet. 11 *οἳ* M] *οἱ* 12 *ἐτρέποντο* Aug. 13 *Ἰταλούς* om. V 14 *κελτῶν* M] *Κελτικῶν* | *ἐπεμνήσθην* pet. 16 *ἐγὼ* VMAug.] *ἐγὼ δὲ* 17 *τὸ ἐμὸν*] *τε ἐμὸν* VBav., *ἐμὸν* M, *τοῦτο ἐμὸν τὸ ἔργον* Rsk. 18 *τούτῳ δὲ*] *τούτῳ γὰρ* Rsk. | *ἐγὼ* VBav.] *ἐγὼ δὲ* | *ἀριόξβιτον* V, *ἀριώβιξτον* M, *ἀριόβιξτον* Aug. 21 *οὐ* addidit H 22 *μου* VM] *μοι* 23 *ἐλβεστίους* VMAug. 24 *Ἰβήρων*] *ἐβραίων* VM

τικῶν ἐπεμνήσθην, πλέον ἢ τριακοσίας ὑπαγαγόμενος
πόλεις, ἀνδρῶν δὲ οὐκ ἐλάσσους ἢ διακοσίας μυριά-
δας. ὄντων δὲ τούτων μοι τοιούτων ἔργων, ἐκεῖνο B
μεῖζον ἦν καὶ τολμηρότερον. ἐχρῆν γάρ με καὶ πρὸς
αὐτοὺς διαγωνίζεσθαι τοὺς πολίτας καὶ κρατεῖν τῶν
ἀμάχων καὶ ἀνικήτων Ῥωμαίων. εἴτε οὖν πλήθει
τις κρίνει παρατάξεων, τρὶς τοσαυτάκις παρεταξάμην,
ὁσάκις ὑπὲρ Ἀλεξάνδρου κομπάζουσιν οἱ τὰ περὶ
αὐτοῦ σεμνοποιοῦντες, εἴτε πλήθει πόλεων αἰχμαλώ-
των, οὐ τῆς Ἀσίας μόνον, ἀλλὰ καὶ τῆς Εὐρώπης C
τὰ πλεῖστα κατεστρεψάμην. Ἀλέξανδρος Αἴγυπτον
περιῆλθε θεωρῶν, ἐγὼ δὲ συμπόσια συγκροτῶν κατε-
πολέμησα. τὴν δὲ μετὰ τὸ κρατῆσαι πρᾳότητα βού-
λεσθε ἐξετάσαι τὴν παρ' ἑκατέρῳ; ἐγὼ καὶ τοῖς
πολεμίοις συνέγνων· ἔπαθον γοῦν ὑπ' αὐτῶν ὅσα
ἐμέλησε τῇ Δίκῃ· ὁ δὲ πρὸς τοῖς πολεμίοις οὐδὲ
τῶν φίλων ἀπέσχετο. ἔτι οὖν μοι περὶ τῶν πρω- D
τείων ἀμφισβητεῖν οἷός τε ἔσῃ; καὶ οὐκ αὐτόθεν
καὶ σὺ παραχωρήσεις μετὰ τῶν ἄλλων, ἀλλὰ ἀνα-
γκάσεις με λέγειν, ὅπως (σὺ) μὲν ἐχρήσω πικρῶς
Θηβαίοις, ἐγὼ δὲ τοῖς Ἐλβετίοις φιλανθρώπως; σὺ
μὲν γὰρ ἐκείνων κατέκαυσας τὰς πόλεις, ἐγὼ δὲ τὰς
ὑπὸ τῶν οἰκείων πολιτῶν κακαυμένας πόλεις ἀνέ-
στησα. καίτοι τί τοσοῦτον ἦν μυρίων Γραικῶν

3 ἔργων VM] τῶν ἔργων 12 περιῆλθε Cob.] παρῆλθε. Malim ἐπῆλθε. cf. 8 A 107 B 15 γοῦν VM] οὖν 17 ἀπέσχετο libri] ἀπείχετο | ἔτι VM] τί Aug., ὅτι v | οὖν μοι π. τ. πρ. VM] οὖν π. τ. πρ. μοι 19 καὶ σὺ VMAug.] σὺ | ἀναγκάσεις VMAug. pet.] ἀναγκάζεις 20 σὺ add. Horkelius 21 ἐλβεστίοις VMAug. 22 γὰρ] καὶ pet., om. Aug. | κατέπαυσας Bav., et hoc habuisse videtur V | τὰς πόλεις] τὴν πόλιν H 24 καίτοι ἢ τί spanh. Malim καίτοι οὔτι ταὐτὸν ἦν

κρατῆσαι καὶ πεντεκαίδεκα μυριάδας ἐπιφερομένας
322 *ὑποστῆναι; πολλὰ εἰπεῖν ἔχων ἔτι περὶ ἐμαυτοῦ καὶ τοῦδε, τῷ μὴ σχολὴν ἄγειν ἥκιστα τὸ λέγειν ἐξεμελέτησα. διόπερ χρὴ συγγνώμην ὑμᾶς ἔχειν, ἐκ δὲ τῶν εἰρημένων καὶ περὶ τῶν μὴ ῥηθέντων τὴν ἴσην καὶ δικαίαν ἐξέτασιν ποιουμένους ἀποδιδόναι μοι τὸ πρωτεῖον.*

Τοιαῦτα εἰπόντος τοῦ Καίσαρος καὶ λέγειν ἔτι βουλομένου, μόγις καὶ πρότερον ὁ Ἀλέξανδρος καρτερῶν οὐκέτι κατέσχεν, ἀλλὰ μετά τινος ταραχῆς καὶ
B *ἀγωνίας, Ἐγὼ δέ, εἶπεν, ὦ Ζεῦ καὶ θεοί, μέχρι τίνος ἀνέξομαι σιωπῇ τῆς θρασύτητος τῆς τούτου; πέρας γὰρ οὐδέν ἐστιν, ὡς ὁρᾶτε, οὔτε τῶν εἰς αὐτὸν ἐπαίνων οὔτε τῶν εἰς ἐμὲ βλασφημιῶν. ἐχρῆν δὲ ἴσως μάλιστα μὲν ἀμφοῖν φείδεσθαι· καὶ γὰρ εἶναί πως ἀμφότερα δοκεῖ παραπλησίως ἐπαχθῆ· πλέον δὲ τοῦ τἀμὰ διασύρειν ἄλλως τε καὶ μιμητὴν αὐτῶν*
C *γενόμενον. ὁ δὲ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε τολμῆσαι τὰ ἀρχέτυπα κωμῳδεῖν τῶν ἑαυτοῦ ἔργων. ἐχρῆν δέ, ὦ Καῖσαρ, ὑπομνησθῆναί σε τῶν δακρύων ἐκείνων, ἃ τότε ἀφῆκας, ἀκροώμενος τῶν ὑπομνημάτων, ὅσα πεποίηται περὶ τῶν ἐμῶν πράξεων. ἀλλ' ὁ Πομπήιος ἐπῆρέ σε μετὰ τοῦτο, κολακευθεὶς μὲν παρὰ τῶν πολιτῶν τῶν ἑαυτοῦ, γενόμενος δὲ οὐδεὶς*
D *οὐδαμοῦ. τὸ μὲν γὰρ ἀπὸ Λιβύης θριαμβεῦσαι, οὐ μέγα ἔργον, ὀνομαστότατον ἐποίησεν ἡ τῶν τότε ὑπάτων μαλακία. τὸν δουλικὸν δὲ ἐκεῖνον πόλεμον,*

12 *τῆς τούτου*] *τούτου* M Aug. 13 *οὐδὲν* M] *οὐθὲν* | *αὐτὸν* Aug. pet. 17 *τοῦ* Cob.] *τὸ* | *τὰ 'μὰ* Aug. 18 *τοῦτο*] *τοσοῦτον* in Aug. supra scriptum alia manu 21 *ἃ*] *ὧν* MPabd | *τότε* VMAug. cant.] *πότε* pet. spanh. 24 *οὐδεὶς* Heusingerus] *οὐθεὶς*

οὐδὲ πρὸς ἄνδρας γενόμενον, ἀλλὰ πρὸς τοὺς χειρίστους τῶν οἰκετῶν, ἄλλοι μὲν κατειργάσαντο, Κράσσοι καὶ Λούκιοι, τοὔνομα δὲ καὶ τὴν ἐπιγραφὴν ἔσχε Πομπήιος. Ἀρμενίαν δὲ καὶ τὰ πρόσοικα ταύτης κατεπολέμησε Λούκουλλος, ἐθριάμβευσε δὲ ἀπὸ τούτων Πομπήιος. εἶτ' ἐκολάκευσαν αὐτὸν οἱ πο- 323 *λῖται καὶ Μέγαν ὠνόμασαν, ὄντα τίνος τῶν πρὸ ἑαυτοῦ μείζονα; τί γὰρ ἐκείνῳ τοσοῦτον ἐπράχθη, ἡλίκον Μαρίῳ ἢ Σκηπίωσι τοῖς δύο ἢ τῷ παρὰ τὸν Κυρῖνον τουτονὶ Φουρίῳ, ὃς μικροῦ συμπεσοῦσαν τὴν τούτου πόλιν ἀνέστησεν; οὗτοι γὰρ οὐκ ἀλλοτρίοις ἔργοις, ὥσπερ ἐν πολιτικαῖς οἰκοδομίαις καὶ δαπανήμασιν ὑπ' ἄλλων καταβληθείσαις καὶ ἐπιτελεσθείσαις ἕτερος ἄρχων ἐπεγράφη μικρὰ κονιάσας τὸν τοῖχον,* B *οὕτω ταῖς ἀλλοτρίαις ἐπεγράφησαν πράξεσιν· ἀρχιτέκτονες δὲ αὐτοὶ καὶ δημιουργοὶ γενόμενοι τῶν καλλίστων ἠξιώθησαν ὀνομάτων. οὐδὲν οὖν θαυμαστόν, εἰ κεκράτηκας Πομπηίου δακτύλῳ κνωμένου καὶ τἆλλα ἀλώπεκος μᾶλλον ἢ λέοντος. ἐπειδὴ γὰρ αὐτὸν ἡ τύχη προύδωκεν, ἣ τὸν ἔμπροσθεν χρόνον αὐτῷ παρειστήκει, ταχέως ἐκράτησας μόνου. καὶ ὅτι δεινότητι μὲν οὐδεμιᾷ κρείττων ἐγένου, φανερόν·* C *καὶ γὰρ ἐν ἐνδείᾳ γέγονας τῶν ἐπιτηδείων· ἔστι δὲ*

2 et 3 *κράσσοι καὶ λούκιοι* VMAug.] *Κρᾶσσος καὶ Λούκιος* 3 *ὑπογραφὴν* VAug. Bav. spanh. 5 *λούκουλος* V, *λεύκολλος* M, *Λούκολλος* pet. 6 *εἶτ'* VMAug.] *εἶτα* 8 *ἐκείνω τοσοῦτον* VM] *τοσοῦτον ἐκείνω* 9 *σκηπίωσι* VM] *Σκιπίωσι.* cf. 244 CD 245 C | *δύο* VAug., *δυσὶν* M, *δύω* v 10 *φρουρίω* VMAug. 11 *πόλιν τούτου* VBav. 12 *οὐχ ὥσπερ*, deletis verbis *ἀλλοτρίοις ἔργοις*, Rsk. Pro *οὐκ* V *ἐπ'* habere videtur | *καὶ*] *κοινοῖς* H 12 et 13 *δαπανήμ.... ὑπ'* V 15 *οὕτω* VMAug.] *οὕτως* 19 *τἆλλα* vel *τἄλλα* libri] *τὰ ἄλλα* 20 et 21 *αὐτῶ χρόνον* MAug. 23 *γεγονὼς* cant. 2 pet. | *ἔστι δὲ* Aug.] *ἐστὶ δὲ*

οὐ μικρόν, ὡς οἶσθα, τοῦτο ἁμάρτημα στρατηγοῦ·
καὶ μάχῃ συμβαλὼν ἡττήθης. εἰ δὲ Πομπήιος ὑπ'
ἀφροσύνης τε καὶ ἀνοίας ἢ τοῦ μὴ δύνασθαι τῶν
πολιτῶν ἄρχειν οὔτε, ἡνίκα ἔδει τρίβειν τὸν πόλεμον,
ὑπερετίθετο τὴν μάχην οὔτε νικῶν ἐπεξῄει, ὑπὸ τοῖς
D οἰκείοις ἁμαρτήμασι καὶ οὐχ ὑπὸ τοῖς σοῖς ἐσφάλη
στρατηγήμασι. Πέρσαι δὲ πανταχοῦ καλῶς καὶ φρονί-
μως παρεσκευασμένοι πρὸς τὴν ἡμετέραν ἀλκὴν ἐνέ-
δοσαν. ἐπεὶ δὲ οὐ τοῦ πράττειν ἁπλῶς, ἀλλὰ καὶ
τοῦ τὰ δίκαια πράττειν ἄνδρα ἄριστον καὶ βασιλέα
προσήκει μεταποιεῖσθαι, ἐγὼ μὲν ὑπὲρ τῶν Ἑλλήνων
τοὺς Πέρσας ἀπῄτησα δίκην, καὶ τοὺς Ἑλληνικοὺς
πολέμους ἐπανειλόμην, οὐχὶ τὴν Ἑλλάδα λυπεῖν
βουλόμενος, ἀλλὰ τοὺς κωλύοντάς με διαβαίνειν καὶ
324 δίκας ἀπαιτεῖν τὸν Πέρσην ἐπικόπτων. σὺ δὲ τοὺς
Γερμανοὺς καὶ Γαλάτας κατεπολέμησας, ἐπὶ τὴν
πατρίδα τὴν σεαυτοῦ παρασκευαζόμενος, οὗ τί γένοιτ'
ἂν χεῖρον ἢ μιαρώτερον; ἐπεὶ δὲ ὥσπερ διασύρων
τῶν μυρίων ἐμνημόνευσας Γραικῶν, ὅτι μὲν καὶ
ὑμεῖς ἐντεῦθεν γεγόνατε καὶ τὰ πλεῖστα τῆς Ἰταλίας
ᾤκησαν οἱ Γραικοί, καίπερ εἰδὼς ὅμως οὐ παρα-
δέχομαι. τούτων δὲ αὐτῶν ὀλίγου ἔθνος, Αἰτωλοὺς
B λέγω τοὺς παροικοῦντας ἡμῖν, οὐ φίλους μὲν ἔχειν
καὶ συμμάχους ἐποιήσασθε περὶ πολλοῦ, πολεμωθέν-
τας δὲ ὑμῖν ὕστερον δι' ἀσδήποτε αἰτίας οὐκ ἀκιν-
δύνως ὑπακούειν ὑμῖν ἠναγκάσατε; οἱ δὲ πρὸς τὸ

4 οὔτε V (non Aug.)] οὐδὲ 5 νικῶν] τῇ νίκῃ νικῶν H. cf. 59 D 7 πανταχοῦ καλῶς καὶ φρ. VM] καλῶς καὶ φρ. πανταχοῦ 11 προσήκει H] προσῆκε 15 ἐπισκώπτων V, ἐπισκόπτων M, ἐπισκώπτειν Aug. 21 ᾤκισαν Rsk. 23 ἡμῖν Cob. et H] ὑμῖν | οὐ H] οἳ VBav., οὓς MAug.v | μὲν add. V 24 πολεμηθέντας V 25 ἀσδήποτε V] ἃς δή ποτε 26 οἱ δὲ VMAug.Bav.] εἰ δὲ

γῆρας, ὡς ἂν εἴποι τις, τῆς Ἑλλάδος, καὶ οὐδὲ πάσης, ἀλλ' ἔθνους μικροῦ, ἡνίκα ἤκμαζε τὸ Ἑλληνικόν, οὐδ' ὅτι ἔστι γιγνωσκομένου, μικροῦ δέω φάναι, μόγις ἀρκέσαντες, τίνες ἂν ἐγένεσθε, εἰ πρὸς C *ἀκμάζοντας καὶ ὁμονοοῦντας τοὺς Ἕλληνας πολεμεῖν ὑμᾶς ἐδέησεν; ἐπεὶ καὶ Πύρρου διαβάντος ἐφ' ὑμᾶς ἴστε ὅπως ἐπτήξατε. εἰ δὲ τὸ Περσῶν κρατῆσαι μικρὸν νομίζεις καὶ τὸ τηλικοῦτον ἔργον διασύρεις, ὀλίγης πάνυ τῆς ὑπὲρ τὸν Τίγρητα ποταμὸν ὑπὸ Παρθυαίων βασιλευομένης χώρας, ἔτη πλέον ἢ τριακόσια πολεμοῦντες, λέγε μοι, δι' ἣν αἰτίαν οὐκ* D *ἐκρατήσατε; βούλει σοι φράσω; τὰ Περσῶν ὑμᾶς εἶρξε βέλη. φρασάτω δέ σοι περὶ αὐτῶν Ἀντώνιος ὁ παιδοτριβηθεὶς ἐπὶ στρατηγίᾳ παρὰ σοῦ. ἐγὼ δὲ ἐν οὐδὲ ὅλοις ἐνιαυτοῖς δέκα πρὸς τούτοις καὶ Ἰνδῶν γέγονα κύριος. εἶτ' ἐμοὶ τολμᾷς ἀμφισβητεῖν, ὃς ἐκ παιδαρίου στρατηγῶν ἔργα ἔπραξα τηλικαῦτα, ὥστε τὴν μνήμην, καίπερ οὐκ ἀξίως ὑπὸ τῶν συγγραφέων ὑμνηθέντων, ὅμως δὲ συμπαραμένειν τῷ βίῳ,* 325 *καθάπερ τῶν τοῦ Καλλινίκου, τοὐμοῦ βασιλέως, οὗ θεράπων ἐγὼ καὶ ζηλωτὴς ἐγενόμην, Ἀχιλλεῖ μὲν ἁμιλλώμενος τῷ προγόνῳ, Ἡρακλέα δὲ θαυμάζων καὶ ἑπόμενος, ἅτε δὴ κατ' ἴχνος θεοῦ ἄνθρωπος. ὅσα μὲν οὖν ἐχρῆν, ὦ θεοί, πρὸς τοῦτον ἀπολογήσασθαι· καίτοι κρεῖττον ἦν ὑπεριδεῖν αὐτοῦ· εἴρηται. εἰ δέ* B

1 et 2 *Ἑλλάδος — πάσης*] *ἑλλ.... οὐδ.....* V 2 *ἀλλὰ* M Aug. 3 *ἔστιν* Sylburgius] *ἐστὶ* | *γιγνωσκόμενοι*, ut videtur, V (sed *οι* potest etiam *ον* aut *ου* esse), *γινωσκόμενον* M, *γινωσκομένου* v 9 *τὸν τίγρητα* VM] *Τίγρητα* 11 et 12 *οὐκ ἐκρατήσατε* VM] *οὐ κατεκρατήσατε* 15 *ἐν οὐδὲ* M] *οὐδὲ ἐν* 16 *εἶτ' ἐμοὶ* Cob.] *εἶτά μοι* 19 *ὑπομνησθέντων* V | *ὅμως δὲ* om. Aug. pet., *δὲ* delebat Cob. 20 *τοῦ 'μοῦ* V Aug.

τι πικρὸν ὑφ' ἡμῶν ἐπράχθη, οὔτι παντάπασιν εἰς
ἀναιτίους ἀνθρώπους, ἀλλὰ ἢ πολλάκις καὶ ἐπὶ πολ-
λοῖς προσκρούσαντας ἢ τῷ καιρῷ μὴ καλῶς μηδὲ
πρεπόντως χρησαμένους, ἠκολούθησε γοῦν ἐπὶ μὲν
τοῖς διὰ τὸν καιρὸν ἐξαμαρτηθεῖσιν ἡ μεταμέλεια,
σώφρων πάνυ καὶ τῶν ἐξημαρτηκότων σώτειρα δαί-
C μων, τοὺς δὲ ὥσπερ φιλοτιμουμένους ἐπὶ τῷ πολλάκις
ἀπεχθάνεσθαι καὶ προσκρούειν οὐδὲν ᾤμην ἄδικον
ποιεῖν κολάζων.

Ἐπεὶ δὲ εἴρητο καὶ τούτῳ στρατιωτικώτερον ὁ
λόγος, ἐπὶ τὸν Ὀκταβιανὸν τὴν ὑδρίαν ἔφερεν ὁ
τοῦ Ποσειδῶνος θεράπων, ἐπιμετρῶν αὐτῷ τοῦ ὕδα-
τος ἔλασσον διὰ τὸν καιρόν, ἄλλως τε καὶ μνησι-
D κακῶν αὐτῷ τῆς εἰς τὸν θεὸν ὑπερηφανίας. καὶ ὃς
ἐπειδὴ συνῆκεν ὑπὸ ἀγχινοίας, ἀφεὶς τὸ λέγειν τι
περὶ τῶν ἀλλοτρίων, Ἐγὼ δέ, εἶπεν, ὦ Ζεῦ καὶ
θεοί, τοῦ διασύρειν μὲν τὰ τῶν ἄλλων ἔργα καὶ
μικρὰ ποιεῖν ἀφέξομαι, περὶ δὲ τῶν ἐμαυτοῦ τὸν
πάντα ποιήσομαι λόγον. νέος προύστην τῆς ἐμαυτοῦ
πόλεως ὥσπερ οὗτος ὁ γενναῖος Ἀλέξανδρος, κατώρ-
θωσα δὲ Γερμανικοὺς πολέμους ὥσπερ ὁ ἐμὸς πατὴρ
326 οὑτοσὶ Καῖσαρ. συμπλακεὶς δὲ τοῖς ἐμφυλίοις ἀγῶσιν
Αἴγυπτον μὲν περὶ τὸ Ἄκτιον κατεναυμάχησα, Βροῦ-
τον δὲ καὶ Κάσσιον περὶ τοὺς Φιλίππους κατεπολέ-
μησα, καὶ τὸν Πομπηίου παῖδα Σέξτον πάρεργον
ἐθέμην τῆς ἐμαυτοῦ στρατηγίας. οὕτω δὲ παρέσχον

8 οὐδὲν Heusingerus] οὐθὲν 10 στρατιωτικώτερον VMAug.] στρατιωτικώτερος 11 et 12 ὁ τοῦ libri] τοῦ 15 τι delebat Cob. cf. vero 329 B 16 ἀλλ..ρι.. V | δὲ adjecimus e VMBav. 18 δὲ om. VBav. 19 προύστην H] προέστην. vid. ad 312 B | ἐμαυτοῦ] αὐτοῦ M 20 οὗτος ὁ γενναῖος VBav.] ὁ γενναῖος οὗτος 23 Ἄκτιον Sylburgius] Ἀκτικὸν 25 σέξστον V

ἐμαυτὸν τῇ φιλοσοφίᾳ χειροήθη, ὥστε καὶ τῆς Ἀθηνο-
δώρου παρρησίας ἠνεσχόμην, οὐκ ἀγανακτῶν, ἀλλ'
εὐφραινόμενος ἐπ' αὐτῇ, καὶ τὸν ἄνδρα καθάπερ B
παιδαγωγὸν ἢ πατέρα μᾶλλον αἰδούμενος. Ἄρειον
δὲ καὶ φίλον καὶ συμβιωτὴν ἐπιγράφομαι, καὶ ὅλως
οὐδέν ἐστιν ὑφ' ἡμῶν εἰς τὴν φιλοσοφίαν ἁμαρτη-
θέν. ὑπὸ δὲ τῶν ἐμφυλίων στάσεων τὴν Ῥώμην
ὁρῶν εἰς ἔσχατον ἐλαύνουσαν πολλάκις κίνδυνον
οὕτω διεθέμην τὰ περὶ αὐτήν, ὥστε εἶναι, (εἰ μὴ)
δι' ὑμᾶς, ὦ θεοί, τὸ λοιπὸν ἀδαμαντίνην. οὐ γὰρ C
ταῖς ἀμέτροις ἐπιθυμίαις εἴκων ἐπικτᾶσθαι πάντως
αὐτῇ διενοήθην, ὅρια δὲ διττά, ὥσπερ ὑπὸ τῆς
φύσεως ἀποδεδομένα, Ἴστρον καὶ Εὐφράτην ποτα-
μοὺς ἐθέμην. εἶτα ὑποτάξας τὸ Σκυθῶν καὶ Θρα-
κῶν ἔθνος, ἐπιμετρούντων ὑμῶν τῆς βασιλείας μοι
τὸν χρόνον, οὐ πόλεμον ἄλλον ἐξ ἄλλου περιεσκό-
πουν, ἀλλὰ εἰς νομοθεσίαν καὶ τῶν ἐκ τοῦ πολέμου
συμφορῶν ἐπανόρθωσιν τὴν σχολὴν διετιθέμην, οὐδ- D
ενὸς νομίζων τῶν πρὸ ἐμαυτοῦ χεῖρον βεβουλεῦσθαι,
μᾶλλον δέ, εἰ χρὴ θαρρήσαντα φάναι, κρεῖσσον τῶν
πώποτε τηλικαύτας ἡγεμονίας ἐπιτροπευσάντων. οἱ
μὲν γὰρ ταῖς στρατηγίαις ἐναπέθανον, ἐξὸν λοιπὸν
καὶ μὴ στρατεύεσθαι, πολέμους ἐκ πολέμων ἑαυτοῖς,
ὥσπερ οἱ φιλοπράγμονες δίκας [μελετῶσι], κατασκευά-
ζοντες· οἱ δὲ καὶ πολεμούμενοι τῇ τρυφῇ προσεῖχον, 327

4 ἄρειον libri] Ἀρεῖον 8 Malim aut εἰς τὸν ἔσχατον — κίνδυνον aut εἰς ἔσχατον — κινδύνου 9 εἰ μὴ add. Rsk. 10 δι' ἡμᾶς MPa 11 Post ἐπικτᾶσθαι Cobetus τι addidit. Abest vero etiam 85 A 13 ἀποδεδομένα] ἀποδεδειγμένα Cob. 18 οὐθενὸς M 19 ἐμαυτοῦ] ἑαυτοῦ Aug. | βεβουλεῦσθαι libri] βεβουλεῦθαι 22 „Post λοιπὸν videtur ἡσυχάζειν aut ἠρεμεῖν aut tale quid deesse.“ Rsk. 24 φιλοπραγμονοῦντες M | μελετῶσι delevit Cob.

οὐ μόνον τῆς μετὰ ταῦτα εὐκλείας τὴν αἰσχρὰν τρυφὴν προτιμῶντες, ἀλλὰ καὶ τῆς σωτηρίας αὐτῆς. ἐγὼ μὲν οὖν ταῦτα διανοούμενος οὐκ ἀξιῶ τῆς χείρονος ἐμαυτὸν μερίδος· ὅ,τι δ' ἂν ὑμῖν, ὦ θεοί, φαίνηται, τοῦτο εἰκός ἐστιν ἐμὲ δήπουθεν στέργειν.

Δίδοται μετὰ τοῦτον τῷ Τραϊανῷ τοῦ λέγειν ἐξουσία. ὁ δέ, καίπερ δυνάμενος λέγειν, ὑπὸ ῥαθυ- B *μίας· ἐπιτρέπειν γὰρ εἰώθει τὰ πολλὰ τῷ Σούρᾳ γράφειν ὑπὲρ αὐτοῦ· φθεγγόμενος μᾶλλον ἢ λέγων, ἐπεδείκνυεν αὐτοῖς τό τε Γετικὸν καὶ τὸ Παρθικὸν τρόπαιον. ᾐτιᾶτο δὲ τὸ γῆρας ὡς οὐκ ἐπιτρέψαν αὐτῷ τοῖς Παρθικοῖς πράγμασιν ἐπεξελθεῖν. καὶ ὁ Σειληνός, Ἀλλ', ὦ μάταιε, ἔφη, εἴκοσι βεβασίλευκας ἔτη, Ἀλέξανδρος δὲ οὑτοσὶ δώδεκα. τί οὖν ἀφεὶς αἰτιᾶσθαι τὴν σαυτοῦ τρυφὴν τὴν τοῦ χρόνου μέμφῃ* C *στενότητα; παροξυνθεὶς οὖν ὑπὸ τοῦ σκώμματος, οὐδὲ γὰρ ἦν ἔξω τοῦ δύνασθαι ῥητορεύειν, ὑπὸ δὲ τῆς φιλοποσίας ἀμβλύτερος ἑαυτοῦ πολλάκις ἦν, Ἐγὼ δέ, εἶπεν, ὦ Ζεῦ καὶ θεοί, τὴν ἀρχὴν παραλαβὼν ναρκῶσαν ὥσπερ καὶ διαλελυμένην ὑπό τε τῆς οἴκοι πολὺν χρόνον ἐπικρατησάσης τυραννίδος καὶ τῆς τῶν* D *Γετῶν ὕβρεως, μόνος ὑπὲρ τὸν Ἴστρον ἐτόλμησα προσλαβεῖν ἔθνη, καὶ τὸ Γετῶν ἔθνος ἐξεῖλον, οἳ τῶν πώποτε μαχιμώτατοι γεγόνασιν, οὐχ ὑπὸ ἀνδρείας μόνον τοῦ σώματος, ἀλλὰ καὶ ὧν ἔπεισεν αὐτοὺς ὁ τιμώμενος παρ' αὐτοῖς Ζάμολξις. οὐ γὰρ ἀποθνή-*

6 *τοίνυν* post *δίδοται* add. Aug. pet. | *τοῦτον*] *τοῦτο* cant. pet. 9 .˙.*τοῦ* V 11 *τρόπ*.... V 12 *παρθι*.... V | *ἐξελθεῖν* Aug. 15 *αἰτιᾶσθαι* libri] *αἰτιᾶσαι* 18 *πολυποσίας* M 20 *ὑπό τε* libri] *ὑπὸ δὲ* 22 *ὑπὲρ*] *τὰ ὑπὲρ* Sylburgius et Rsk. 23 *προσλαβεῖν* VMAug.] *προσβάλλειν*

σκειν, ἀλλὰ μετοικίζεσθαι νομίζοντες ἑτοιμότερον αὐτὸ ποιοῦσιν ἢ τὰς ἀποδημίας ὑπομένουσιν. ἐπράχθη δέ μοι τὸ ἔργον τοῦτο ἐν ἐνιαυτοῖς ἴσως που πέντε.
πάντων δὲ ὅτι τῶν πρὸ ἐμοῦ γεγονότων αὐτοκρα- 328
τόρων ὤφθην τοῖς ὑπηκόοις πρᾳότατος καὶ οὔτε Καῖσαρ οὑτοσὶ περὶ τούτων ἀμφισβητήσειεν ἄν μοι οὔτ' ἄλλος οὐδὲ εἷς, εὔδηλόν ἐστί που. πρὸς Παρθυαίους δέ, πρὶν μὲν ἀδικεῖσθαι παρ' αὐτῶν, οὐκ ᾤμην δεῖν χρῆσθαι τοῖς ὅπλοις· ἀδικοῦσι δὲ ἐπεξῆλθον οὐδὲν ὑπὸ τῆς ἡλικίας κωλυθείς, καίτοι διδόντων μοι τῶν νόμων τὸ μὴ στρατεύεσθαι. τούτων B
δὴ τοιούτων ὄντων, ἆρ' οὐχὶ καὶ τιμᾶσθαι πρὸ τῶν ἄλλων εἰμὶ δίκαιος, πρᾷος μὲν πρὸς τοὺς ὑπηκόους, φυβερὸς δὲ πρὸς τοὺς πολεμίους διαφερόντως γενόμενος, αἰδεσθεὶς δὲ καὶ τὴν ὑμετέραν ἔγγονον φιλοσοφίαν; τοιαῦτα ὁ Τραϊανὸς εἰπὼν ἐδόκει τῇ πρᾳότητι πάντων κρατεῖν, καὶ δῆλοί πως ἦσαν οἱ θεοὶ μάλιστα ἡσθέντες ἐπὶ τούτῳ.

Τοῦ Μάρκου δὲ ἀρχομένου λέγειν, ὁ Σειληνὸς ἠρέμα πρὸς τὸν Διόνυσον, Ἀκούσωμεν, ἔφη, τοῦ C
Στωικοῦ τουτουί, τί ποτε ἄρα τῶν παραδόξων ἐκείνων ἐρεῖ καὶ τεραστίων δογμάτων. ὁ δὲ ἀποβλέψας πρὸς τὸν Δία καὶ τοὺς θεούς, Ἀλλ' ἔμοιγε, εἶπεν, ὦ Ζεῦ καὶ θεοί, λόγων οὐδὲν δεῖ καὶ ἀγῶνος. εἰ

1 et 2 ἑτοιμοτέρους αὐτοὺς ποιοῦσιν cant. spanh. Spectat hunc locum Eustathius ad Dionys. Perieg. v. 304 2 „Post ἢ videtur ἄλλοι deesse.“ Rsk. 4 ἐμοῦ] ἐμαυτοῦ malim. Ἐμοῦ supra 287 C et rursus 351 B ἐμαυτοῦ librorum ope correxi 6 δὲ τούτων] πάντων Aug. pet. 7 οὔτ' VMAug.] οὔτε 8 μεν πρὶν μὲν V 9 ᾤμην MPd] ᾠόμην 10 οὐδ' ὑπὸ V, οὐδὲ ὑπὸ Aug. 12 καὶ τιμᾶσθαι VBav.] τιμᾶσθαι καὶ 19 ἐρχομένου pet. 24 οὐθὲν VM

μὲν γὰρ ἠγνοεῖτε τἀμά, προσῆκον ἦν ἐμοὶ διδάσκειν
ὑμᾶς· ἐπεὶ δὲ ἴστε καὶ λέληθεν ὑμᾶς τῶν ἁπάντων
D οὐδέν, αὐτοί μοι τιμᾶτε τῆς ἀξίας. ἔδοξε δὴ οὖν
ὁ Μάρκος τά τε ἄλλα θαυμάσιός τις εἶναι καὶ σοφὸς
διαφερόντως ἅτε οἶμαι διαγινώσκων

Λέγειν θ' ὅπου χρὴ καὶ σιγᾶν ὅπου καλόν.

Τῷ Κωνσταντίνῳ μετὰ τοῦτον λέγειν ἐπέτρεπον.
ὁ δὲ πρότερον μὲν ἐθάρρει τὴν ἀγωνίαν, ὡς δὲ
ἀπέβλεπεν εἰς τὰ τῶν ἄλλων ἔργα, μικρὰ παντάπασιν
εἶδε τὰ ἑαυτοῦ. δύο γὰρ τυράννους, εἴ γε χρὴ τἀληθῆ
329 φάναι, καθῃρήκει, τὸν μὲν ἀπόλεμόν τε καὶ μαλακόν, τὸν δὲ ἄθλιόν τε καὶ διὰ τὸ γῆρας, ἀμφοτέρω
δὲ θεοῖς τε καὶ ἀνθρώποις ἐχθίστω. τά γε μὴν εἰς
τοὺς βαρβάρους ἦν γελοῖα αὐτῷ· φόρους γὰρ ὥσπερ
ἐτετελέκει, καὶ πρὸς τὴν Τρυφὴν ἀφεώρα· πόρρω
δὲ εἱστήκει τῶν θεῶν αὕτη περὶ τὰ πρόθυρα τῆς
Σελήνης· ἐρωτικῶς τε οὖν εἶχεν αὐτῆς, καὶ ὅλος
B πρὸς ἐκείνην βλέπων οὐδὲν ἔμελεν αὐτῷ περὶ τῆς
δίκης. ἐπεὶ δὲ ἐχρῆν καὶ αὐτὸν εἰπεῖν τι, Ταύτῃ
τούτων κρείττων, ἔφη, εἰμί, τοῦ Μακεδόνος μέν, ὅτι
πρὸς Ῥωμαίους καὶ τὰ Γερμανικὰ καὶ Σκυθικὰ γένη

1 τὰ 'μὰ Aug. | ἐμοὶ VMAug.] ἐμὲ 3 οὐθὲν VM 5 διαγιγνώσκειν Aug. 6 τε ὅπου VAug. Versum Euripidis (Fragm. 417 Nauck.) ab Iuliano paulo immutatum Cobetus ita scripsit: σιγᾶν θ' ὅπου χρὴ καὶ λέγειν ὅπου καλόν. vulgo ὅπη pro altero ὅπου legitur 9 ἀπέβλεπεν Sylburgius] ἀποβλέπων 10 εἰ χρὴ τἀληθὲς M 12 Post γῆρας excidisse vel ἀσθενῆ vel simile quid vidit Sylburgius 13 ἐς Aug. 14 γελοῖα αὐτῶ VBav.] αὐτῷ γελοῖα 15 Post ἐτετελέκει excidisse nonnulla animadvertit Cobetus 16 αὕτη Cob.] αὐτοῦ 17 ὅλος V] ὅλως v, om. M 18 βλέποντι Aug. De nominativo βλέπων vid. ad 19 C | οὐθὲν VMAug. | ἔμελε V cant., ἔμελλεν MAug., ἔμελλε pet. spanh. 19 δίκης VMAug.] νίκης | εἰπεῖν καὶ αὐτόν τι M

καὶ οὐχὶ πρὸς τοὺς Ἀσιανοὺς βαρβάρους ἠγωνισάμην, Καίσαρος δὲ καὶ Ὀκταβιανοῦ τῷ μή, καθάπερ οὗτοι, πρὸς καλοὺς κἀγαθοὺς πολίτας στασιάσαι, τοῖς μιαρωτάτοις δὲ καὶ πονηροτάτοις τῶν τυράννων ἐπεξελθεῖν. Τραϊανοῦ δὲ τοῖς μὲν κατὰ τῶν τυράννων C ἀνδραγαθήμασιν εἰκότως ἂν προτιμηθείην, τῷ δὲ ἣν οὗτος προσεκτήσατο χώραν ἀναλαβεῖν ἴσος ἂν οὐκ ἀπεικότως νομιζοίμην, εἰ μὴ καὶ μεῖζόν ἐστι τὸ ἀνακτήσασθαι τοῦ κτήσασθαι. Μάρκος δὲ οὑτοσὶ σιωπῶν ὑπὲρ αὑτοῦ πᾶσιν ἡμῖν τῶν πρωτείων ἐξίσταται. καὶ ὁ Σειληνός, Ἀλλ' ἦ τοὺς Ἀδώνιδος κήπους ὡς ἔργα ἡμῖν, ὦ Κωνσταντῖνε, σεαυτοῦ προφέρεις; Τί δέ, εἶπεν, εἰσὶν οὓς λέγεις Ἀδώνιδος κήπους; (Οὓς) αἱ γυναῖκες, ἔφη, τῷ τῆς Ἀφροδίτης D ἀνδρὶ φυτεύουσιν ὀστρακίοις ἐπαμησάμεναι γῆν λαχανίαν· χλοήσαντα δὲ ταῦτα πρὸς ὀλίγον αὐτίκα ἀπομαραίνεται. καὶ ὁ Κωνσταντῖνος ἠρυθρίασεν, ἄντικρυς ἐπιγνοὺς τοιοῦτον τὸ ἑαυτοῦ ἔργον.

Ἡσυχίας δὲ γενομένης οἱ μὲν ἐῴκεσαν περιμένειν, ὅτῳ θήσονται τὴν ὑπὲρ τῶν πρωτείων οἱ θεοὶ ψῆφον· οἱ δ' ᾤοντο δεῖν τὰς προαιρέσεις εἰς τοὐμφανὲς τῶν ἀνδρῶν προάγειν καὶ οὐκ ἐκ τῶν πεπρα- 330 γμένων αὐτοῖς, ὧν ἡ Τύχη μετεποιεῖτο τὸ πλεῖστον

3 κἀγαθοὺς M] καὶ ἀγαθοὺς 4 τῶν add. VMAug. 7 προσεκτήσατο VMAug.] προεκτήσατο (ο supra lineam) | ἴσος cant., ἴσως Bav., ἴσως v | ἂν οὐκ VMAug.] οὐκ ἂν 9 οὑτοσὶ VMAug.] οὗτος 11 ἀλλ' ἦ VM] ἀλλ' ἢ 12 ὦ Κωνσταντῖνε, σεαυτοῦ H] ὦ κωνσταντῖνος ἑαυτοῦ VAug. Bav., ὦ Κωνσταντῖνε, ἑαυτοῦ v | προφέρεις V] προσφέρεις 14 οὓς add. Toupius ad Theocrit. p. 356 Heind. 15 φυτεύουσιν VMAug.] φυτεύουσι 16 χλοήσαντα VAug., χλοΐσαντα M, χλωρήσαντα v | ἀπομ..αίνεται V 21 τὸ ἐμφανὲς VM. cf. 103 D 115 D 22 et 23 ἐκ τῶν πεπραγμένων αὐτοῖς] Ante haec aliquid videtur excidisse, velut κρίνειν

καὶ πάντων αὐτῶν καταβοῶσα παρειστήκει πλὴν Ὀκταβιανοῦ μόνου· τοῦτον δὲ εὐγνώμονα πρὸς ἑαυτὴν εἶναι ἔλεγεν. ἔδοξεν οὖν τοῖς θεοῖς ἐπιτρέψαι καὶ τοῦτο τῷ Ἑρμῇ, καὶ ἔδοσαν αὐτῷ πρῶτον Ἀλεξάν-
B *δρου πυθέσθαι, τί νομίσειε κάλλιστον καὶ πρὸς τί βλέπων ἐργάσαιτο καὶ πάθοι πάντα ὅσαπερ δεδράκοι τε καὶ πεπόνθοι. ὁ δὲ ἔφη, Τὸ πάντα νικᾶν. Εἶτα, εἶπεν ὁ Ἑρμῆς, οἴει σοι τοῦτο πεποιῆσθαι; Καὶ μάλα, ἔφη ὁ Ἀλέξανδρος. ὁ δὲ Σειληνὸς τωθαστικῶς μάλα γελάσας, Ἀλλὰ ἐκράτουν γέ σου πολλάκις αἱ ἡμέτεραι θυγατέρες, αἰνιττόμενος τὰς ἀμπέλους, τὸν*
C *Ἀλέξανδρον οἷα δή τινα μέθυσον καὶ φίλοινον σκώπτων. καὶ ὁ Ἀλέξανδρος ἅτε δὴ γέμων Περιπατητικῶν παρακουσμάτων, Οὐ τὰ ἄψυχα, ἔφη, νικᾶν· οὐδὲ γὰρ ἀγὼν ἡμῖν ἐστι πρὸς ταῦτα· ἀλλὰ πᾶν μὲν ἀνθρώπων, πᾶν δὲ θηρίων γένος. καὶ ὁ Σειληνὸς ὥσπερ οἱ θαυμάζοντες εἰρωνικῶς μάλα, Ἰού,*
D *ἰού, ἔφη, τῶν διαλεκτικῶν κιγκλίδων. αὐτὸς δὲ ἡμῖν ἐν ποτέρῳ σαυτὸν θήσεις γένει, τῶν ἀψύχων ἢ τῶν ἐμψύχων τε καὶ ζώντων; καὶ ὃς ὥσπερ ἀγανακτήσας, Εὐφήμει, ἔφη· ὑπὸ γὰρ μεγαλοψυχίας, ὅτι δὴ καὶ θεὸς γενοίμην, μᾶλλον δ' εἴην, ἐπεπείσμην. Αὐτὸς οὖν, εἶπεν, ἡττήθης σεαυτοῦ πολλάκις [ὀργῆς ἢ λύπης ἤ τινος τοιούτου τὸν νοῦν καὶ τὰς φρένας ἥττω καὶ χείρω ποιήσας]. Ἀλλ' αὐτὸν ἑαυτοῦ, εἶπεν ὁ Ἀλέξανδρος, κρατεῖν καὶ ἡττᾶσθαι ὁμωνύμως*
331 *⟨λέγεται⟩· ἐμοὶ δὲ ἦν ὑπὲρ τῶν πρὸς ἄλλους ὁ λόγος.*

2 *ἑαυτὴν* V spanh.] *αὐτὴν* 6 *ὅσαπερ* VM] *ὅσα* 6 et 7 *δεδράκοι τε καὶ πεπόνθοι* MPab, *δεδράκει τε καὶ πεπόνθει* VAug., *ἐδεδράκει τε καὶ ἐπεπόνθει* v 9 *τωθαστικὸν* Aug. 13 *ἅτε*] *οἷα* M 15 *ἐστι* add. VMAug. 22 *μᾶλλον δὲ* *VMAug.* 23—25 Verba seclusa delevit Cobetus 27 *λέγεται*

Βαβαὶ τῆς διαλεκτικῆς, εἶπεν, ὅπως ἡμῶν τὰ σοφίσματα διελέγχεις. ἀλλ' ἡνίκα, εἶπεν, ἐν Ἰνδοῖς ἐτρώθης καὶ ὁ Πευκέστης ἔκειτο παρὰ σέ, σὺ δὲ ἐξήγου ψυχορραγῶν τῆς πόλεως, ἆρα ἥττων ἦσθα τοῦ τρώσαντος, ἢ καὶ ἐκεῖνον ἐνίκας; Οὐκ ἐκεῖνον, ἔφη, μόνον, ἀλλὰ καὶ αὐτὴν ἐξεπόρθησα τὴν πόλιν. Οὐ σύ γε, εἶπεν, ὦ μακάριε· σὺ μὲν γὰρ ἔκεισο κατὰ τὸν Ὁμηρικὸν Ἕκτορα ὀλιγοδρανέων καὶ ψυχορραγῶν· οἱ B δὲ ἠγωνίζοντο καὶ ἐνίκων. Ἡγουμένων (γ') ἡμῶν, εἶπεν ὁ Ἀλέξανδρος. καὶ ὁ Σειληνός, Πῶς; οἵ γε ἐφέρεσθε μικροῦ νεκροί; εἶτα ᾖδε τῶν ἐξ Εὐριπίδου

Οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται,
Ὅταν τρόπαιον πολεμίων στήσῃ στρατός.

καὶ ὁ Διόνυσος, Παῦσαι, εἶπεν, ὦ παππίδιον, τοιαῦτα C λέγων, μή σε οὗτος ὁποῖα τὸν Κλεῖτον ἔδρασεν ἐργάσηται. καὶ ὁ Ἀλέξανδρος ἐρυθριάσας τε ἅμα καὶ ὥσπερ συγχυθεὶς ὑπὸ τῶν δακρύων τὰ ὄμματα ἐσιώπα. καὶ ὅδε μὲν ὧδε ἔληξεν ὁ λόγος.

Ὁ δὲ Ἑρμῆς ἤρετο πάλιν τὸν Καίσαρα, Σοὶ δέ, εἶπεν, ὦ Καῖσαρ, τίς ἐγένετο σκοπὸς τοῦ βίου; Τὸ πρωτεύειν, ἔφη, τῆς ἐμαυτοῦ καὶ μηδενὸς εἶναι μηδὲ D

add. homo quidam doctus apud Heusingerum 3 παρὰ VM et, ut videtur. Aug.] περὶ 4 ἥττω..῾σθα V 6 ἐξεπόρθησα VM] ἐξεπόρθουν 8 ὀλιγοδρανέων] Iliad. ο, 246 9 γ' addidit Cob. 10 et 11 πῶς; οἵ γε ἐφέρεσθε μικροῦ νεκροί; VMAug.] πῶς σοί γε ἐφέπεσθαι μικροῦ νεκρῷ cant., πῶς οἵ γε ἐφέρεσθαι μικροῦ νεκροί; pet., πῶς σοί γε ἐφέπεσθαι μικροῦ νεκρῷ; πῶς οἵ γε φέρεσθαι μικροῦ νεκροί; spanh. 11 Εὐριπίδου] Andromach. 693 13 Ἑλλάδα VMAug. vulg. 16 λέγον V | κλίτον VAug. | ἔδρασεν fortasse delendum 17 τε] δὲ pet. 22 τῆς VM pet.] τοῖς Aug., τῶν spanh. | μηθενὸς VM | μηδὲ H] μήτε. nisi potius legendum est μηδενὸς μήτε εἶναι μήτε νομίζεσθαι

νομίζεσθαι δεύτερον. Τοῦτο, εἶπεν ὁ Ἑρμῆς, ἀσαφές ἐστι· πότερον γάρ, εἶπε, κατὰ σοφίαν ἢ τὴν ἐν τοῖς λόγοις δεινότητα ἢ πολεμικὴν ἐμπειρίαν ἢ πολιτικὴν δύναμιν; Ἦν μὲν οὖν, ἔφη ὁ Καῖσαρ, ἡδύ μοι τῶν πάντων ἐν πᾶσιν εἶναι πρώτῳ· τούτου δὲ οὐ δυνάμενος ἐπιτυχεῖν τὸ δύνασθαι μέγιστον παρὰ
332 τοῖς ἐμαυτοῦ πολίταις ἐζήλωσα. Σὺ δέ, εἶπεν, ἐδυνήθης μέγα; πρὸς αὐτὸν ὁ Σειληνός. καὶ ὅς, Πάνυ γε, ἔφη· κύριος γοῦν αὐτῶν ἐγενόμην. Ἀλλὰ τοῦτο μέν, εἶπεν, ἐδυνήθης· ἀγαπηθῆναι δὲ ὑπ' αὐτῶν οὐχ οἷός τε ἐγένου, καὶ ταῦτα πολλὴν μὲν ὑποκρινάμενος ὥσπερ ἐν δράματι καὶ σκηνῇ φιλανθρωπίαν, αἰσχρῶς
B δὲ αὐτοὺς πάντας κολακεύων. Εἶτα οὐκ ἀγαπηθῆναι δοκῶ, εἶπεν, ὑπὸ τοῦ δήμου τοῦ διώξαντος Βροῦτον καὶ Κάσσιον; Οὐκ ἐπειδή σε ἀπέκτειναν, ἔφη· διὰ τοῦτο μὲν γὰρ αὐτοὺς ὁ δῆμος ἐψηφίσατο εἶναι ὑπάτους· ἀλλὰ διὰ τὸ ἀργύριον, ἐπειδὴ τῶν διαθηκῶν ἀκροασάμενοι μισθὸν ἑώρων τῆς ἀγανακτήσεως αὐτοῖς οὔτι τὸν τυχόντα προσεγγεγραμμένον.

C Λήξαντος δὲ καὶ τοῦδε τοῦ λόγου, τὸν Ὀκταβιανὸν αὖθις ὁ Ἑρμῆς ἐκίνει. Σὺ δέ, εἶπεν, οὐκ ἐρεῖς ἡμῖν, τί κάλλιστον ἐνόμιζες εἶναι; καὶ ὅς, Βασιλεῦσαι, ἔφη, καλῶς. Τί δέ ἐστι τὸ καλῶς, ὦ Σεβαστέ, φράσον, ἐπεὶ τοῦτό γε ἔστι καὶ τοῖς πονη-

2 πότερον γὰρ εἶπε VM, πότερον εἶπε Aug., πότερον v. Malim vero et hoc loco et 333 D εἰπέ 4 οὖν om. MAug. 7 ἐδυνήθης M] ἠδυνήθης 8 μέγα H] τί μέγα VAug. spanh., τὸ μέγα Bav. pet., om. M | πρὸς αὐτὸν VMAug.] πρὸς αὐτοὺς 10 εἶπεν om. V | ἐδυνήθης MPad] ἐδυνάσθης 11 μὲν om. Aug. pet. 16 μὲν γὰρ VBav.] γὰρ 19 οὔτι H] οὔτοι VM, ὅτι Aug., οὐ v | προσεγγεγραμμένον VBav., ἐγγεγραμμένον M, προσγεγραμμένον v 23 ἔφη VM] εἶπεν (εἶπε Aug.) | ἐστὶ VM] ἐστιν | ὦ om. V 24 ἔστι *Sylburgius*] ἐστι

ροτάτοις λέγειν. ᾤετο γοῦν καὶ Διονύσιος καλῶς βασιλεύειν καὶ ὁ τούτου μιαρώτερος Ἀγαθοκλῆς. Ἀλλ' ἴστε, εἶπεν, ὦ θεοί, ὡς προπέμπων τὸν θυγατριδοῦν D ηὐξάμην ὑμῖν τόλμαν μὲν αὐτῷ δοῦναι τὴν Καίσαρος, δεινότητα δὲ τὴν Πομπηίου, τύχην δὲ τὴν ἐμήν. Πολλά, εἶπεν ὁ Σειληνός, καὶ θεῶν ὄντως σωτήρων ἔργα δεόμενα συνεφόρησεν οὗτος ὁ κοροπλάθος. Εἶτα διὰ τί τοῦτο, ἔφη, τὸ ὄνομά μοι γελοῖον οὕτως ἔθου; Ἦ γὰρ οὐκ ἔπλαττες ἡμῖν, εἶπεν, ὥσπερ ἐκεῖνοι τὰς νύμφας, ὦ Σεβαστέ, θεούς, ὧν ἕνα καὶ πρῶτον τουτονὶ Καίσαρα; καὶ ὁ μὲν Ὀκταβιανὸς ὥσπερ δυσ- 333 ωπούμενος ἀπεσιώπησεν.

Ὁ δὲ Ἑρμῆς πρὸς τὸν Τραϊανὸν βλέψας, Σὺ δέ, εἶπε, τί διανοούμενος ἔπραττες ὅσαπερ ἔπραξας; Τῶν αὐτῶν Ἀλεξάνδρῳ σωφρονέστερον, εἶπεν, ὠρέχθην. καὶ ὁ Σειληνός, Ἡττήθης οὖν, εἶπε, σὺ τῶν ἀγεννεστέρων. ὁ μὲν γὰρ θυμοῦ τὸ πλεῖστον ἥττων ἦν, σὺ δὲ αἰσχρᾶς ἡδονῆς καὶ ἐπονειδίστου. Βάλλ' εἰς B μακαρίαν, εἶπεν ὁ Διόνυσος, ἐπεὶ σκώπτεις σὺ πάντας αὐτοὺς καὶ ποιεῖς οὐδὲν ὑπὲρ ἑαυτῶν λέγειν. ἀλλ' ἐπ' ἐκείνων εἶχέ σοι χώραν τὰ σκώμματα· πρόσεχε δὲ νῦν, ὅπως ἀντιλήψῃ τοῦ Μάρκου. δοκεῖ

1 γοῦν] οὖν VM | καὶ ....ος (cum lineola supra versum nomen proprium indicante) V, καὶ διονύσιος M, καὶ ὁ Διονύσιος v 2 ἀλλὰ VMAug. 3 ὡς] .. V 7 δεόμενα VMAug.] δέοντα | κοροπλάθος VM, κυροπλάθος Aug., κοροπλάστης v 8 ἔφη vulgo post εἶτα positum cum VM post τοῦτο transposui 9 ἦ γὰρ VMAug.] ἡ γὰρ 12 ἀπεσιώπησεν VM] ἐσιώπησεν 15 σωφρονέστερον δ' Rsk. malit 16 οὖν] μὲν οὖν H | ἀγεννεστέρων Cob.] ἀγενεστέρων 18 ἐς M 19 ἐπεὶ σκώπτεις VMAug.] ἐπισκώπτεις | σὺ πάντας] συμπάντας M 20 αὐτοὺς deleam | οὐθὲν VMAug. 21 ἀλλὰ ἐπ' ἐκείνων εἶχέ σοι χώραν VMAug.] ἀλλ' ἀπ' ἐκείνων ἔχε σὺ κατὰ χώραν 22 νῦν VMAug.] νοῦν

γὰρ εἶναί μοί πως ἀνὴρ κατὰ τὸν Σιμωνίδην τετράγωνος ἄνευ ψόγου τετυγμένος. ὁ Ἑρμῆς δὲ βλέψας εἰς τὸν Μάρκον, Σοὶ δέ, εἶπεν, ὦ Βῆρε, τί κάλλι-
C στον ἐδόκει τοῦ βίου τέλος εἶναι; καὶ ὃς ἠρέμα καὶ σωφρόνως, Τὸ μιμεῖσθαι, ἔφη, τοὺς θεούς. ἔδοξε μὲν οὖν εὐθέως ἡ ἀπόκρισις οὐκ ἀγεννής, ἀλλὰ καὶ τοῦ παντὸς ἀξία. ἀλλὰ καὶ ὁ Ἑρμῆς οὐκ ἐβούλετο πολυπραγμονεῖν πεπεισμένος, ὅτι πάντα ὁ Μάρκος ἀκολούθως ἐρεῖ. τοῖς μὲν οὖν ἄλλοις θεοῖς ἐδόκει ταύτῃ· μόνος δὲ ὁ Σειληνός, Ἀλλ' οὐ μὰ τὸν Διόνυσον ἀνέξομαι τούτου τοῦ σοφιστοῦ. τί δήποτε
D γὰρ ἤσθιες, εἶπε, καὶ ἔπινες οὐχ ὥσπερ ἡμεῖς ἀμβροσίας τε καὶ νέκταρος, ἄρτου δὲ καὶ οἴνου; Ἀλλ' ἔγωγε, εἶπεν, οὐχ ᾗπερ οὖν ᾤμην τοὺς θεοὺς μιμεῖσθαι, ταύτῃ προσεφερόμην σιτία καὶ ποτά· τὸ σῶμα δὲ ἔτρεφον, ἴσως μὲν ψευδῶς, πειθόμενος δέ, ὅτι καὶ τὰ ὑμέτερα σώματα δεῖται τῆς ἐκ τῶν ἀναθυμιάσεων τροφῆς. πλὴν οὐ κατὰ ταῦτά γε ὑμᾶς εἶναι
334 μιμητέους, ἀλλὰ κατὰ τὴν διάνοιαν ὑπέλαβον. ὀλίγον ὁ Σειληνὸς ὥσπερ ὑπὸ πύκτου δεξιοῦ πληγείς, Εἴρηται μέν σοι τοῦτο, εἶπε, τυχὸν οὐκ ἀτόπως, ἐμοὶ δέ, ἔφη, [τοῦτο] φράσον, τί ποτε ἐνόμιζες εἶναι τὴν τῶν θεῶν μίμησιν; καὶ ὅς, Δεῖσθαι μὲν ὡς ἐλαχίστων, εὖ ποιεῖν δὲ ὡς ὅ,τι μάλιστα πλείστους. Μῶν οὖν, εἶπεν, οὐδενὸς ἐδέου; καὶ ὁ Μάρκος, Ἐγὼ μὲν

1 Σιμωνίδην] Fragm. 5 Bergk. 2 ὁ ἑρμῆς δὲ VBav.] καὶ ὁ Ἑρμῆς 3 εἰς VM] πρὸς | σοὶ] σὺ M | ὦ βῆρε VM] σεβῆρε Aug., ὦ σοβαρὲ v 5 ἔδοξε VMAug.] ἔδοξεν 12 εἶπε] εἰπέ? cf. ad 331 D 20 „Post ὁ Σειληνὸς deesse videtur διαπορήσας aut ἐπιστήσας vel tale quid. vid. B ἀπορούμενος.“ Rsk. 22 τοῦτο om. VBav. 23 ὡς ἐλαχίστων VAug. Bav.] ἐλαχίστων 24 et 25 μῶν οὖν] σὺ μὲν οὖν cant. pet. 25 οὐθενὸς VMAug.

οὐδενός, ἴσως δὲ τὸ σωμάτιόν μου μικρόν. δόξαν-
τος οὖν καὶ τοῦτο ὀρθῶς εἰρηκέναι τοῦ Μάρκου, B
τὸ τέλος ἀπορούμενος ὁ Σειληνὸς ἐπιφύεται τοῖς
περὶ τὸν παῖδα καὶ τὴν γαμετὴν αὐτῷ δοκοῦσιν οὐκ
ὀρθῶς οὐδὲ κατὰ λόγον πεποιῆσθαι, τὴν μὲν ὅτι ταῖς
ἡρωίναις ἐνέγραψε, τῷ δὲ ὅτι τὴν ἡγεμονίαν ἐπέ-
τρεψεν. Ἐμιμησάμην, εἶπε, καὶ κατὰ τοῦτο τοὺς
θεούς· Ὁμήρῳ μὲν γὰρ ἐπειθόμην λέγοντι περὶ τῆς
γαμετῆς, ὅτι ἄρα, ὅστις ἀγαθὸς καὶ ἐχέφρων, τὴν C
αὐτοῦ φιλέει καὶ κήδεται· περὶ δὲ τοῦ παιδὸς αὐτοῦ
τοῦ Διὸς ἀπόφασιν ἔχω· αἰτιώμενος γὰρ τὸν Ἄρεα,
Πάλαι ἄν, εἶπεν, ἐβέβλησο τῷ κεραυνῷ, εἰ μὴ διὰ
τὸ παῖδά σε εἶναι ἠγάπων. ἄλλως τε καὶ οὐδὲ
ᾤμην ἐγὼ τὸν παῖδα πονηρὸν οὕτως ἔσεσθαι. εἰ δὲ
ἡ νεότης ἐφ᾽ ἑκάτερα μεγάλας ποιουμένη ῥοπὰς ἐπὶ
τὸ χεῖρον ἠνέχθη, οὐχὶ πονηρῷ τὴν ἡγεμονίαν ἐπέ-
τρεψα, συνηνέχθη δὲ τὸν λαβόντα πονηρὸν γενέσθαι. D
τά τε οὖν περὶ τὴν γυναῖκα πεποίηταί μοι κατὰ
ζῆλον Ἀχιλλέως τοῦ θείου, καὶ τὰ περὶ τὸν παῖδα
κατὰ μίμησιν τοῦ μεγίστου Διός, ἄλλως τε καὶ οὐδὲν
καινοτομήσαντι. παισί τε γὰρ νόμιμον ἐπιτρέπειν
τὰς διαδοχάς, καὶ τοῦτο ἅπαντες εὔχονται, τήν τε
γαμετὴν οὐκ ἐγὼ πρῶτος, ἀλλὰ μετὰ πολλοὺς ἄλλους
ἐτίμησα. ἴσως δὲ τὸ μὲν ἄρξασθαι τῶν τοιούτων 335
οὐκ ἔστιν εὔλογον, τὸ δὲ ἐπὶ πολλῶν γενόμενον τοὺς
οἰκειοτάτους ἀποστερεῖν ἐγγὺς ἀδικίας. ἀλλ᾽ ἔλαθον

1 οὐθενὸς M 8 Ὁμήρῳ] Iliad. ι, 341 et ε, 897 11 ἔχω MPa] ἔχων 12 ἐβέβλησο VMAug.] ἐβεβλήμην σε 13 καὶ οὐδὲ VMPad spanh.] οὐδὲ 18 τά τε οὖν VMAug.] τὰ οὖν 20 οὐθὲν VMAug. 21 παισὶ] πᾶσι VMAug. 22 et 23 τήν τε γαμ. VMAug.] τὴν δὲ γαμ. 25 οὐκ ἔστιν V] ἐστὶν οὐκ 25 τοῦ — γενομένου cant. pet.

ἐμαυτὸν ἐγὼ μακρότερα ἀπολογούμενος πρὸς εἰδότας
ὑμᾶς, ὦ Ζεῦ καὶ θεοί· διόπερ μοι τῆς προπετείας
ταυτησὶ συγγνώμονες γένοισθε.

Παυσαμένου δὲ καὶ τοῦδε τοῦ λόγου, τὸν Κων-
B σταντῖνον ὁ Ἑρμῆς ἤρετο, Σὺ δὲ τί καλὸν ἐνόμισας;
Πολλά, εἶπε, κτησάμενον πολλὰ χαρίσασθαι, ταῖς τ'
ἐπιθυμίαις ταῖς ἑαυτοῦ καὶ ταῖς τῶν φίλων ὑπουρ-
γοῦντα. ἀνακαγχάσας οὖν ὁ Σειληνὸς μέγα, Ἀλλ'
ἢ τραπεζίτης εἶναι, ἔφη, θέλων ἐλελήθεις σεαυτὸν
ὀψοποιοῦ καὶ κομμωτρίας βίον ἔχων; ᾐνίττετο δ'
αὐτὰ πάλαι μὲν ἥ τε κόμη τό τε εἶδος, ἀτὰρ νῦν
καὶ ἡ γνώμη σοῦ κατηγορεῖ. τούτου μὲν οὖν ὁ
Σειληνὸς πικρότερόν πως καθήψατο.

C Σιωπῆς δὲ γενομένης ἔφερον οἱ θεοὶ λάθρᾳ
τὰς ψήφους. εἶτα ἐγένοντο πολλαὶ τῷ Μάρκῳ. κοινο-
λογησάμενος δὲ ὁ Ζεὺς ἰδίᾳ πρὸς τὸν πατέρα
προσέταξε κηρῦξαι τῷ Ἑρμῇ. ὁ δὲ ἐκήρυττεν, Ἄνδρες
οἱ παρελθόντες ἐπὶ τουτονὶ τὸν ἀγῶνα, νόμοι παρ'
ἡμῖν εἰσι καὶ κρίσεις τοιαῦται γίνονται, ὥστε καὶ
τὸν νικῶντα χαίρειν καὶ τὸν ἡττώμενον μὴ μέμφε-
σθαι. πορεύεσθε οὖν, εἶπεν, ὅποι φίλον ἑκάστῳ,
D ὑπὸ θεοῖς ἡγεμόσι βιωσόμενοι τὸ ἐντεῦθεν· ἑλέσθω
δ' ἕκαστος ἑαυτῷ τὸν προστάτην τε καὶ ἡγεμόνα.

1 μακρότερον M 3 γένοισθε VBav.] γένεσθε 6 πολλὰ κτλ.] Respicit hunc locum Zonaras 13, 4 (Vol. III p. 187, 15 Dind.) | ταῖς τ' MBav.] ταῖς τε 7 καὶ τῶν φίλων VMBav. 8 ὁ σειληνὸς μέγα VM] μέγα ὁ Σειληνὸς 9 ἢ MBav.] ἢ | εἶναι, ἔφη, θέλων V] ἔφη θέλων εἶναι v, ἔφη om. MAug. Bav. Pad cant. pet. | σεαυτὸν VMBav.] σεαυτοῦ 10 βίον ἔχων] β. ἄγων Rsk., β. ζῶν Cob. | δ' V] δὲ 11 τό τε VMBav.Pd] καὶ τὸ. vid. Iliad. γ, 55 14 γινομένης VAug. 15 ἐγίγνοντο V, ἐγίνοντο MAug. 17 κηρῦξαι scripsi pro κηρύξαι 21 ὅποι] οἷ M, ᾗ Aug. cant. pet. 22 βιωσόμενοι VAug.] καὶ βιωσόμενοι 23 δ' V] δὲ

μετὰ τὸ κήρυγμα τοῦτο ὁ μὲν Ἀλέξανδρος ἔθει πρὸς τὸν Ἡρακλέα, Ὀκταβιανὸς δὲ πρὸς τὸν Ἀπόλλωνα, ἀμφοῖν δὲ ἀπρὶξ εἴχετο τοῦ Διὸς καὶ Κρόνου Μάρκος. πλανώμενον δὲ πολλὰ καὶ περιτρέχοντα τὸν Καίσαρα κατελεήσας ὁ μέγας Ἄρης ἥ τε Ἀφροδίτη παρ' ἑαυτοὺς ἐκαλεσάτην· Τραϊανὸς δὲ παρὰ τὸν Ἀλέξανδρον ἔθει ὡς ἐκείνῳ συγκαθεδούμενος. ὁ δὲ 336 Κωνσταντῖνος, οὐχ εὑρίσκων ἐν θεοῖς τοῦ βίου τὸ ἀρχέτυπον, ἐγγύθεν τὴν Τρυφὴν κατιδὼν ἔδραμε πρὸς αὐτήν· ἡ δὲ ὑπολαβοῦσα μαλακῶς καὶ περιβαλοῦσα τοῖς πήχεσι πέπλοις τε αὐτὸν ποικίλοις ἀσκήσασα καὶ καλλωπίσασα πρὸς τὴν Ἀσωτίαν ἀπήγαγεν, ἵνα καὶ τὸν Ἰησοῦν εὑρὼν ἀναστρεφόμενον καὶ προαγορεύοντα πᾶσιν, „Ὅστις φθορεύς, ὅστις μιαιφόνος, ὅστις ἐναγὴς καὶ βδελυρός, ἴτω θαρρῶν· B ἀποφανῶ γὰρ αὐτὸν τουτῳὶ τῷ ὕδατι λούσας αὐτίκα καθαρόν, κἂν πάλιν ἔνοχος τοῖς αὐτοῖς γένηται, δώσω τὸ στῆθος πλήξαντι καὶ τὴν κεφαλὴν πατάξαντι καθαρῷ γενέσθαι", σφόδρα ἄσμενος ἐνέτυχεν αὐτῷ, συνεξαγαγὼν τῆς τῶν θεῶν ἀγορᾶς τοὺς παῖδας. ἐπέτριβον δ' αὐτόν τε κἀκείνους οὐχ ἧττον τῆς ἀθεότητος οἱ παλαμναῖοι δαίμονες, αἱμάτων συγγενῶν τιννύμενοι δίκας, ἕως ὁ Ζεὺς διὰ τὸν Κλαύδιον καὶ

1 μετὰ] Post hoc vocabulum in V est lacuna decem fere versuum, tum pergitur 336 B ἐπέτριβον δ' αὐτὸν 6 ἑαυτοὺς H] ἑαυτοῖς 10 περιλαβοῦσα Aug. 12 καλλωπίσασα Aug.] καλλώπισα M, καλλωπήσασα v 13 Verba ἵνα καὶ ad vs. 19 γενέσθαι desunt in M Bav. Pad | Ἰησοῦν] ῖν Aug., υἱὸν v 14 προαγορεύοντα Aug.] προσαγορεύοντα 15 εὐαγὴς cant. pet. (In Aug. ἐναγής, non εὐαγὴς videtur esse) 16 τουτῳὶ τῷ ὕδατι] Cf. Iulian. apud. Cyrill. VII 245 CD 19 ὁ δὲ vulgo ante σφόδρα additum cum Augustano abjecimus | αὐτῷ Aug.] αὐτῇ 21 δ' αὐτὸν V] δὲ αὐτόν. Post haec verba in V est lacuna octo fere litterarum, tum sequitur ὡς αἴτιον τῆς ἀθεότητος. Cum M τε ante κἀκείνους addidi

C *Κωνστάντιον ἔδωκεν ἀναπνεῦσαι. Σοὶ δέ, πρὸς ἡμᾶς λέγων ὁ Ἑρμῆς, δέδωκα τὸν πατέρα Μίθραν ἐπιγνῶναι· σὺ δ' αὐτοῦ τῶν ἐντολῶν ἔχου, πεῖσμα καὶ ὅρμον ἀσφαλῆ ζῶντί τε σεαυτῷ παρασκευάζων, καὶ ἡνίκα ἂν ἐνθένδε ἀπιέναι δέῃ, μετὰ τῆς ἀγαθῆς ἐλπίδος ἡγεμόνα θεὸν εὐμενῆ καθιστὰς σεαυτῷ.*

1 σοὶ] σὺ V | ἡμᾶς VMBav.] ἐμὲ 3 δ' αὐτοῦ V] δὲ αὐτοῦ 4 σαυτῶ V 5 ἐνθένδε VMAug.Bav.] ἐντεῦθεν 6 καθιστὰς libri] καθίστα

CORRIGENDA.

P. 4 ann. 2 προαγορεύειν 8, 20 τὸ 91, 6 οὐκ 104, 25 μητέρες 133, 6 ὑποσχὼν recipiendum erat 143, 4 γελοιότερον 204, 2 λῷον scribendum erat 236, 6 ὑπὲρ 255, 22 ἔργον 264, 5 γίνεται 273, 13 δὲ 285, 13 ἐκεῖθεν 298, 4 ἐκ et 10 ἀνεψιοὺς 305, 24 οὐδὲν 306, 3 πλήρεις 322, 3 ἐννοοῦντες 326, 17 ἐπεὶ 354, 14 ἀνατείνων 356, 26 εἶξα 362, 2 ὀργὴν et 9 καταγελᾷ 391, 14 τῶν 400, 2 ἐπὶ

IULIANI IMPERATORIS

QUAE SUPERSUNT

PRAETER RELIQUIAS APUD CYRILLUM

OMNIA.

RECENSUIT

FRIDERICUS CAROLUS HERTLEIN.

VOL. II.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXVI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Ad ea, quae de libris manu scriptis Iuliani in praefatione voluminis I dixi, ut addere nonnulla possem, insigni Rudolphi Hercheri factum est benevolentia, qua apparatum suum criticum ad Iuliani epistolas e libris manu scriptis petitum liberaliter mecum communicavit.

Praeter Vossiani 77 collationem a Dübnero factam (V^d a nobis significatam) apparatus ille continet etiam

2) collationem ad Ep. 1. Vossiani Q. 64,400 foliorum, 8⁰ min. saeculi XVII. Qui cum nullius pretii sit, a nobis est neglectus.

Accedunt

3) Heidelbergensis 356 (apud Heylerum p. XXIV praefationis inter codices olim Palatino-Vaticanos), qui hoc ordine habet Epistolas 28, 57, 14, 18, 16. Ipse quoque hunc librum habeo collatum a Georgio filio suis literisque praematura morte erepto.

4) Monacensis 490. Hercheri collatio cum Reiskiana praeter pauca ac levia consentit.

5) Palatinus Rom. 134. bombycinus, saeculi XIV. Collatus est cum heyleriana ad Ep. 1, 2, 3, 16, 75.

6) Palatinus Rom. 146. foliorum 182, bombycinus, saeculi XV. Collatus est ad Ep. 75.

7) Ottobonianus 90, collatus ad Ep. 16, 46, 58, 65, 66.

8) Vaticanus 434, bombycinus, saeculi XIV, collatus ad Ep. 75.

9) Vaticanus 573, collatus ad Ep. 75. Cum hoc plane consentit Vaticanus 713, saeculi XIV, in quo initium epistolae a manu secunda recenti scriptum est.

10) Laurentianus XXXII, 37 unam tantum Iuliani Epistolam 34 continet.

11) Laurentianus LVIII, 16 ad unam Iuliani Epistolam 59 collatus est, neque aliam praeter hanc videtur continere.

12) Margo exempli ed. Genevensis (mrg. Gen.) Epistolarum Graecanicarum mutuarum, cui homo doctus (I. D. Lennepius, ut fertur, e codd. Palat. et codice antiquissimo Graevii) adscripsit varias lectiones, quibus Hercherus usus est duobus locis litera *G* insignitis ad Ep. 21 et 22 (20 et 21 Epistologr.). Ego integram huius marginis scripturam annotavi.

Ineditam prius epistolam (septuagesimam octavam nostrae editionis) C. Henningius in Hermae Vol. IX. p. 257—266 edidit e libro Harleiano 5610 saeculi XIV, foliorum 33. Insunt in hoc libro praeter multas aliorum epistolas Iuliani Epistolae 26, 7, 8, 50, 6, 9, 22, 12—21, 51, tum epistola inedita, Ep. 76 (Heyl.) et post quinque hexametros Ep. 43.

Nunc utar hac praefandi opportunitate ad addenda quaedam ad Volumen primum ac pauca retractanda.

P. 14,24 *ἠθῶν καὶ νόμων καὶ ξένων ἐπιτηδευμάτων ἐμπειρίαν* et 15,3 *ποικίλων ἠθῶν ἐμπειρίας*. Tam constanter *ἔθη καὶ νόμοι* iungi solent, ut his quoque locis (ut 375,21) *ἐθῶν* suspicer.

20,17 *Πέρσαι . . . τῆς Εὐρώπης τὰ πολλὰ καταστρεψάμενοι*. Nisi rem nimis ac prorsus inepte auxit Iulianus, articulum ante *πολλά* tollendum esse censeo.

33,2 *Πέρσαι δὲ ἐξ ἐκείνου τὸν καιρὸν τοῦτον παραφυλάξαντες*. Pro *ἐξ ἐκείνου*, quod h. l. ineptum est, scribendum videtur *ἐξ ἱκανοῦ*.

62,12 *τυχὸν δὲ οὐδὲ ἐκείνης ἀπολύεται τῆς μέμψεως ὁ τῆς Θέτιδος*. Cum libri *τὸν τῆς Θέτιδος* legant, haud dubie scribendum est *ἀπολύετε* (an *ἀπολύσετε*?) *τὸν τῆς Θέτιδος*. Saepissime autem *αι* et *ε* in libris permutantur, ut 346,20 *παρείλεσθε* et *παρείλασθαι* et 444,1 *ἀναπίμπλατε* et *ἀναπίμπλανται*.

75,12 *ἐπανιτέον ὅθενπερ ἐξῆλθον*. Vossiani *ὅθεν παρεξῆλθον* recipiendum erat.

90,14 *θετέον δὲ ἐν ἀρετῆς μοίρᾳ τὴν εὐσέβειαν τὴν κρατίστην*. Non satis apte *τὴν κρατίστην* cum *τὴν εὐσέβειαν* coniungi puto. Nescio igitur an Iulianus *τῆς κρατίστης* ad *ἀρετῆς* referendum scripserit.

176,12 *Ὅμηρός τε καὶ Ἡσίοδος εἴθε καὶ νοοῦντες οὕτως εἴτε καὶ ἐπιπνοίᾳ θείᾳ καθάπερ οἱ μάντεις ἐνθουσιῶντες πρὸς τὴν ἀλήθειαν*. Excidit *αὐτοί* ante

νοοῦντες. Cf. 220,12 *οἱ παλαιοὶ τῶν ὄντων ἀεὶ τας αἰτίας ἤτοι τῶν θεῶν ὑφηγουμένων ἢ κατα σφᾶς αὐτοὺς διερευνώμενοι.*

270,8 *εἰ μήτε μαθεῖν ἐστι ῥᾴδιον διὰ τοῦ πλάσματος μήτε τῷ Κυνικῷ πρέπον πλάττειν τὰ τοιαῦτα.* Sicut 269,20 *ἀλλ' ἄμεινον ἄν τις διδαχθείη*; Iulianus comparativum *ἄμεινον* scripsit, ita hoc quoque loco *ῥᾷον* legendum est. *Ῥᾴδιον* autem et *ῥᾷον* confundi solent in libris, ut 292,19.

287,15 *ὡς ἂν μὴ πολὺν ἀβάκχευτοι χρόνον τῷ θεῷ μένοντες ὁπόσα ὁ Πενθεὺς ἔπαθε πάθωμεν.* Non minus suspectum est *ἔπαθε* h. l. quam *ἔδρασεν* 425,16 *μή σε οὗτος ὁποῖα τὸν Κλεῖτον ἔδρασεν ἐργάσηται.*

314,22 *χαλεπώτερον ἐφαίνετό μοι ὀρθῶς τὰ πολιτικὰ διοικεῖν.* Quanquam Plato ipse (Epist. VII. p. 325) *χαλεπώτερον* scripsit (*ὅσῳ μᾶλλον διεσκόπουν ἡλικίας τε εἰς τὸ πρόσθε προὔβαινον, τοσούτῳ χαλεπώτερον ἐφαίνετο ὀρθῶς εἶναί μοι τὰ πολιτικὰ διοικεῖν*), Iulianus tamen, qui verba *ὅσῳ μᾶλλον — τοσούτῳ* omiserit, non potest non scripsisse *χαλεπώτατον.*

323,4 *θάρσος δίδωσι.* Reponendum est *θάρσος ἐνδίδωσι*, quod recte legitur 158,7.

333,2 *οὐκ ἔστι θαυμαστὸν ἀντιτάξασθαι προσπολεμούσῃ μόνον αὐτῇ (τῇ τύχῃ), πολὺ δὲ θαυμασιώτερον τῶν ὑπαρξάντων παρ' αὐτῆς ἀγαθῶν ἄξιον φανῆναι.* Et hoc loco cum Cobeto *θαυμαστότερον* pro *θαυμασιώτερον* scripsi et p. 572,5 *θαυ-*

μαστόν suspicatus sum pro *θαυμάσιον*. Nunc vero vereor ne temere hoc fecerim. In formulis enim eiusmodi apud omnes tam multis locis atque tam constanter praegresso *θαυμαστόν* subiicitur *θαυμάσιον*, ut audacissimum sit haec omnia corrigere.

338,10 Aristotelis locus, qualis quidem a Iuliano affertur (*ὁ δὲ ἄνθρωπον κελεύων προστίθησι καὶ θηρία· ἥ τε γὰρ ἐπιθυμία τοιοῦτον* [sc. *θηρίον*] *καὶ ὁ θυμὸς διαστρέφει καὶ τοὺς ἀρίστους ἄνδρας*), manifesto corruptus est. Omnia vero recte procedent, ubi *ὃς* adieceris post *θυμός*.

345,11 *ἐγὼ γὰρ οὐδὲν ἐμαυτῷ συνειδὼς ἀγαθὸν πλὴν τοῦτο μόνον, ὅτι μηδὲ οἴομαι τὰ μέγιστα ἔχειν ἔχων γε οὐδέν, ὡς ὁρᾷς αὐτός, εἰκότως βοῶ καὶ μαρτύρομαι μὴ μεγάλα παρ' ἡμῶν ἀπαιτεῖν*. Asyndeton, quod ferri non potest, tolletur *ἔχων τε* scribendo pro *ἔχων γε*, nisi malis *εἰκότως τε βοῶ*.

354,5 *ἐβάδιζον δὲ οὐχ ὥσπερ ἐκεῖνοι περιβλέποντες καὶ σοβοῦντες, ἀλλ' εἰς γῆν βλέπων*. Hoc quomodo excusari possit, non video, neque dubito, quin aut *οἵ* post *ἐκεῖνοι* addendum, aut, quod malim, *περιβλέπων καὶ σοβῶν* scribendum sit.

412,21 *καὶ τοῦτο ἦν ἴσως τὸ ἔργον οὐ θαυμαστόν· καίτοι τὴν τόλμαν καὶ ταύτην ἄξιον θαυμάσαι*. Pro *οὐ*, quod ante *θαυμαστόν* inserui, poteram etiam *ἧττον* addere, quemadmodum Plutarchus scripsit De solert. animal. c. 21: *ἧττον δὲ ταῦτα θαυμαστά, καίπερ ὄντα θαυμάσια*. Sed *οὐ* facilius a librario omitti poterat quam *ἧττον*.

416,5 *οὔτε νικῶν ἐπεξῄει.* Vulgatum tueri videtur Plutarchus Mor. p. 206 E: *μάχης γενομένης νικῶν ὁ Πομπήιος οὐκ ἐπεξῆλθεν, ἀλλ' ἀνεχώρησεν εἰς τὸ στρατόπεδον.*

Werthemi
mense Aprili a. MDCCCLXXVI.

F. C. Hertlein.

ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΑΝΤΙΟΧΙΚΟΣ Η ΜΙΣΟΠΩΓΩΝ.

p. 337 Spanh.

*Ἀνακρέοντι τῷ ποιητῇ πολλὰ ἐποιήθη μέλη χα-
ρίεντα· τρυφᾶν γὰρ ἔλαχεν ἐκ μοιρῶν· Ἀλκαίῳ δ'
οὐκέτι οὐδ' Ἀρχιλόχῳ τῷ Παρίῳ τὴν μοῦσαν ἔδωκεν
ὁ θεὸς εἰς εὐφροσύνας καὶ ἡδονὰς τρέψαι· μοχθεῖν
γὰρ ἄλλοτε ἄλλως ἀναγκαζόμενοι τῇ μουσικῇ πρὸς
τοῦτο ἐχρῶντο, κουφότερα ποιοῦντες αὐτοῖς ὅσα ὁ* B
*δαίμων ἐδίδου τῇ εἰς τοὺς ἀδικοῦντας λοιδορίᾳ. ἐμοὶ
δὲ ἀπαγορεύει μὲν ὁ νόμος ἐπ' ὀνόματος [, ὥσπερ
οἶμαι καὶ ἅπασι τοῖς ἄλλοις,] αἰτιᾶσθαι τοὺς ἀδικου-
μένους μὲν οὐδέν, εἶναι δ' ἐπιχειροῦντας δυσμενεῖς,
ἀφαιρεῖται δὲ τὴν ἐν τοῖς μέλεσι μουσικὴν ὁ νῦν ἐπι-
κρατῶν ἐν τοῖς ἐλευθέροις τῆς παιδείας τρόπος.
αἴσχιον γὰρ εἶναι δοκεῖ νῦν μουσικὴν ἐπιτηδεύειν, ἢ
πάλαι ποτὲ ἐδόκει τὸ πλουτεῖν ἀδίκως. οὐ μὴν ἀφέξο-* C

1 *αὐτοκράτορος* V, *αὐτοκράτορος καίσαρος* MbE, *τοῦ αὐτο-κράτορος* v 2 *ἀντιοχικὸς ἢ μισοπώγων* VMbEF] *Μισοπώγων ἢ Ἀντιοχικός* 3 *χαρίεντα* VMbEFPg] *σεμνὰ καὶ χαρίεντα* | *μοιρῶν*] *μουσῶν* Pe mart. 4 et 5 *δὲ* et *οὐδὲ* VMb | *ἔδωκε θεὸς* MbEFPe 8 *αὑτοῖς* Mb] *αὐτοῖς* 10 *μὲν* vulgo omissum addidi cum libris | *ὥσπερ — τοῖς ἄλλοις* delet Cob. 12 *δὲ* VMb 13 *τὰ — μουσικὰ* MbEFPe mart. 14 *ἐλευθερίοις* mart. 15 *αἴσχιον* Rsk. H] *αἰσχρὸν* | *ἢ* Rsk. H] *ᾗ* v, *ἢ* mart., *ἣν* Mb 16 *ἐδόκει*] *ἀνετίθετο* Pef mart. | *τὸ πλουτεῖν*] *τοῖς πλουτεῖν* MbEF, *τοῖς πλουτοῦσιν* Pef mart., *τοῦ πλούτου* Pg

μαι διὰ τοῦτο τῆς ἐμοὶ δυνατῆς ἐκ μουσῶν ἐπικουρίας. ἐθεασάμην τοι καὶ τοὺς ὑπὲρ τὸν Ῥῆνον βαρβάρους ἄγρια μέλη λέξει πεποιημένα παραπλησίᾳ τοῖς κρωγμοῖς τῶν τραχὺ βοώντων ὀρνίθων ᾄδοντας καὶ εὐ-
338 φραινομένους ἐπὶ τοῖς μέλεσιν. εἶναι γὰρ οἶμαι συμβαίνει τοῖς φαύλοις τὴν μουσικὴν λυπηροῖς μὲν τοῖς θεάτροις, σφίσι δ' αὐτοῖς ἡδίστοις· ὃ δὴ καὶ αὐτὸς ξυννοήσας εἴωθα πρὸς ἐμαυτὸν λέγειν ὅπερ ὁ Ἰσμηνίας οὐκ ἀπὸ τῆς ἴσης μὲν ἕξεως, ἀπὸ δὲ τῆς ὁμοίας, ὡς ἐμαυτὸν πείθω, μεγαλοφροσύνης, ὅτι δῆτα ταῖς μούσαις ᾄδω καὶ ἐμαυτῷ. τὸ δ' ᾆσμα πεζῇ μὲν λέξει πεποίηται, λοιδορίας δ' ἔχει πολλὰς καὶ μεγάλας, οὐκ
B εἰς ἄλλους μὰ Δία· πῶς γάρ; ἀπαγορεύοντος τοῦ νόμου· εἰς δὲ τὸν ποιητὴν αὐτὸν καὶ τὸν ξυγγραφέα. τὸ γὰρ εἰς ἑαυτὸν γράφειν εἴτε ἐπαίνους εἴτε ψόγους εἴργει νόμος οὐδείς. ἐπαινεῖν μὲν δὴ καὶ σφόδρα ἐθέλων ἐμαυτὸν οὐκ ἔχω, ψέγειν δὲ μυρία, καὶ πρῶτον ἀρξάμενος ἀπὸ τοῦ προσώπου. τούτῳ γὰρ οἶμαι φύσει γεγονότι μὴ λίαν καλῷ μηδ' εὐπρεπεῖ μηδ' ὡραίῳ
C ὑπὸ δυστροπίας καὶ δυσκολίας αὐτὸς προστέθεικα τὸν βαθὺν τουτονὶ πώγωνα, δίκας αὐτὸ πραττόμενος, ὡς

1 ἐμοὶ] ἐμῆς Pef mart. 2 τοι] μέντοι mart. | ὑπὲρ ῥῆνον Pef mart. 3 παραπλησίᾳ Rsk. Cob. H] παραπλήσια | τοῖς κρωγμοῖς] ταῖς κλαγγαῖς Pef mart. pet. 4 ᾄδοντας] ᾀσμενίζοντας Pe mart. marg. Pf, ἀγονίζοντας Pf, om MbEF, συντιθέντας τε marg Mb 5 ἐπὶ H] ἐν v, del. Cob. cf 326 A 342 C 7 σφίσι Horkelius] φησὶ V, φύσει v | δὲ VMb | αὐτοῖς VMb | καὶ om. MbEFPef mart., in Mb add. s. m. s. v. 8 ξυννοήσας V] συννοήσας | ὅπερ — 10 πείθω om. Pe mart. 10 μετὰ ante μεγαλοφροσύνης add. Pe mart. 11 ᾄδω H] ᾄσω. Praesens recte legitur apud Dionem Chrys. or. 78 p. 420 R et Themist. p 366 B 11 δὲ VMb 12 δὲ VMb 14 ξυγγραφέα V] συγγραφέα 15 εἴτε — εἴτε Cob] οὔτε — οὔτε VMbEF, ἐπαίνους ἢ ψόγους v 16 νόμων Mb, νόμον EF 19 μὴ γεγονέτι λίαν MbEFPef | μὴ δὲ bis VMb 21 τοῦτον MbEFmart. | αὐτὸ Mb] αὐτὸν Pe mart. pet., αὐτῷ V spanh.

ἔοικεν, οὐδενὸς μὲν ἄλλου, τοῦ δὲ μὴ φύσει γενέσθαι καλόν. ταῦτά τοι διαθεόντων ἀνέχομαι τῶν φθειρῶν ὥσπερ ἐν λόχμῃ τῶν θηρίων. ἐσθίειν δὲ λάβρως ἢ πίνειν χανδὸν οὐ συγχωροῦμαι· δεῖ γὰρ οἶμαι προσέχειν, μὴ λάθω καὶ συγκαταφαγὼν τὰς τρίχας τοῖς ἄρτοις. ὑπὲρ δὲ τοῦ φιλεῖσθαι καὶ φιλεῖν ἥκιστα ἀλγῶ. D *καίτοι καὶ τοῦτο ἔχειν ἔοικεν ὁ πώγων ὥσπερ τὰ ἄλλα λυπηρόν, οὐκ ἐπιτρέπων καθαρὰ λείοις καὶ διὰ τοῦτο οἶμαι γλυκερώτερα χείλεσι χείλη προσμάττειν, ὅπερ ἤδη τις ἔφη τῶν ἐργασαμένων ξὺν τῷ Πανὶ καὶ τῇ Καλλιόπῃ εἰς τὸν Δάφνιν ποιήματα. ὑμεῖς δέ φατε δεῖν καὶ σχοινία πλέκειν ἐνθένδε· καὶ ἕτοιμος παρέχειν, ἢν μόνον ἕλκειν δυνηθῆτε καὶ μὴ τὰς ἀτρίπτους ὑμῶν καὶ μαλακὰς χεῖρας ἡ τραχύτης αὐτῶν δεινὰ ἐργάσηται. νομίσῃ δὲ μηδεὶς δυσχεραίνειν ἐμὲ τῷ σκώμματι. δίδωμι γὰρ αὐτὸς τὴν αἰτίαν ὥσπερ οἱ* 339 *τράγοι τὸ γένειον ἔχων, ἐξὸν οἶμαι λεῖον αὐτὸ ποιεῖν καὶ ψιλόν, ὁποῖον οἱ καλοὶ τῶν παίδων ἔχουσιν ἅπασαί τε αἱ γυναῖκες, αἷς φύσει πρόσεστι τὸ ἐράσμιον. ὑμεῖς δὲ καὶ ἐν τῷ γήρᾳ ζηλοῦντες τοὺς ὑμῶν αὐτῶν υἱέας καὶ τὰς θυγατέρας ὑπὸ ἁβρότητος βίου καὶ ἴσως*

2 *καλῷ* MbEF 3 Cf. Lexicon Vindobonense p. 177, 7 | *λαύρως* V Mb EF 5 *καὶ συγκαταφαγὼν*] *καὶ συγκαταφάγω* VMbEFPf, *συγκαταφαγὼν* v | *τὰς τρίχας τοῖς ἄρτοις* V] *τοῖς ἄρτοις τὰς τρίχας* 8 *καὶ διὰ τοῦτο — προσμάττειν* Lexic. Vindob. p. 32,18 9 *γλυκερώτερα* Meinekius e Theocriti Idyll. 12, 32] *γλυκερωτέροις* 10 *ξὺν* V] *σὺν* 11 *τὴν δάφνην* MbEF 12 *καὶ σχοινία δεῖν* MbEFPef mart. pet. | *ἕτοιμος* Cob.] *ἑτοίμως*| *ἔχω* post *παρέχειν* vulgo additum om. Cob. cum V 13 *μοῦνον* V | *ἕλκειν*] *πλέκειν* Rsk. | *δυνηθῆτε* Cob. H| *δυνηθείητε* 14 *καὶ μαλακὰς ὑμῶν* MbEEPef mart. Iulianus Homerum imitatur Odyss. φ, 151. Hnc spectat Zonaras 13,12. Vol. III. p. 213 Dind. 15 *νομίσει* MbEF 16 *ὥσπερ οἱ τράγοι — ἔχουσιν* Lex. Vind. 21 *ἁβρότητος* Rsk.] *λαβρότητος* v, *λαυρότητος* Mb, *λαυρότητα* EF, *λαβροτάτου* Pef mart.

ἀπαλότητος τρόπου λεῖον ἐπιμελῶς ἐργάζεσθε, τὸν
B ἄνδρα ὑποφαίνοντες καὶ παραδεικνύντες διὰ τοῦ μετ-
ώπου καὶ οὐχ ὥσπερ ἡμεῖς ἐκ τῶν γνάθων. ἐμοὶ δὲ
οὐκ ἀπέχρησε μόνον ἡ βαθύτης τοῦ γενείου, ἀλλὰ
καὶ τῇ κεφαλῇ πρόσεστιν αὐχμός, καὶ ὀλιγάκις κείρο-
μαι καὶ ὀνυχίζομαι, καὶ τοὺς δακτύλους ὑπὸ τοῦ κα-
λάμου τὰ πολλὰ ἔχω μέλανας. εἰ δὲ βούλεσθέ τι καὶ
τῶν ἀπορρήτων μαθεῖν, ἔστι μοι τὸ στῆθος δασὺ καὶ
λάσιον ὥσπερ τῶν λεόντων, οἵπερ βασιλεύουσι τῶν
θηρίων, οὐδὲ ἐποίησα λεῖον αὐτὸ πώποτε διὰ δυσκο-
C λίαν καὶ μικροπρέπειαν, οὐδὲ ἄλλο τι μέρος τοῦ σώ-
ματος εἰργασάμην λεῖον οὐδὲ μαλακόν. εἶπον γ' ἂν
ὑμῖν, εἴ τις ἦν μοι καὶ ἀκροχορδὼν ὥσπερ τῷ Κί-
μωνι· νυνὶ δ' οὐκ ἔστι. καὶ ἃ συγγινώσκετε, φράσω
μὲν ἕτερον. ἐμοὶ γὰρ οὐκ ἀπόχρη τὸ σῶμα εἶναι τοι-
οῦτο, πρὸς δὲ καὶ δίαιτα παγχάλεπος ἐπιτηδεύεται.
εἴργω τῶν θεάτρων ἐμαυτὸν ὑπ' ἀβελτηρίας, οὐδ' εἴσω
τῆς αὐλῆς παραδέχομαι τὴν θυμέλην ἔξω τῆς νουμη-
D νίας τοῦ ἔτους ὑπ' ἀναισθησίας, ὥσπερ τινὰ φόρον
ἢ δασμὸν εἰσφέρων καὶ ἀποδιδοὺς ἄγροικος ὀλίγα
ἔχων οὐκ ἐπιεικεῖ δεσπότῃ. καὶ τότε δὲ εἰσελθὼν τοῖς
ἀφοσιουμένοις ἔοικα. κέκτημαι δὲ οὐδένα, καὶ ταῦτα

1 *ἀπαλότητος* Rsk.] *ἀπλότητος* v, *ἀπλότητα* Mb p. m. (—*ότητος* m.s.) EF, *ἀπλουστάτου* Pef mart. | *λίαν* VMbEFPef 2 *ἀποφαίνοντες* MbEFPef mart. 3 *γναθίων* Pef mart. 6 *ὑπὸ τοῦ καλάμου* om. Pef, *ὑπὸ τοῦ πλοκάμου* Pg mart. 9 *ὥσπερ τὸ τῶν λεόντων* Cob. 10 *αὐτὸ λεῖον* Mb, *αὐτὸ λεῖον αὐτὸ* EF 11 *ἄλλο* VMbEF] *γὰρ ἄλλο* 12 *γ'* om. MbEFPe mart. pet. 14 *δὲ* VMbPe | *οὐκ ἔστι*] *οὐκέτι* EFPef mart. | *καὶ ἃ συγγινώσκετε* om. Pe mart., nec habet pet. nisi ad marginem. in Mb sub *ἃ* duo puncta sunt 15 *μὲν*] *μὴν* VMb, *μὴ* Pc. Reiskio legendum videtur *καὶ εἰ συγγινώσκετε, φράσω ὑμῖν καὶ ἕτερον* 17 *οὐδὲ* VMb 18 et 19 *νουμηνίας* H] *νεομηνίας*. cf. 155D 156AB 346B 21 *οὐκ* om. MbEFPef | *τότε δὴ* Pe mart. pet. 22 *οὐδένα* VMbEF] *οὐδέν*

βασιλεὺς ἀκούων μέγας, ὃς καθάπερ ὕπαρχος ἢ στρατηγὸς διὰ πάσης τῆς οἰκουμένης ἄρξει τῶν μίμων καὶ τῶν ἡνιόχων· ὅπερ ὑμεῖς ὁρῶντες ὀλίγῳ πρότερον ἀναμιμνήσκεσθε νῦν "ἥβης ἐκείνης νοῦ τ' ἐκείνου καὶ φρενῶν". ἦν μὲν οὖν ἴσως καὶ τοῦτο βαρὺ καὶ 340 δεῖγμα ἐναργὲς μοχθηρίας τρόπου· προστίθημι δὲ ἐγώ τι καινότερον ἀεί· μισῶ τὰς ἱπποδρομίας, ὥσπερ οἱ χρήματα ὠφληκότες τὰς ἀγοράς. ὀλιγάκις οὖν εἰς αὐτὰς φοιτῶ ἐν ταῖς ἑορταῖς τῶν θεῶν οὐδὲ διημερεύω, καθάπερ εἰώθεσαν ὅ τε ἀνεψιὸς ὁ ἐμὸς καὶ ὁ θεῖος καὶ ὁ ἀδελφὸς (ὁ) ὁμοπάτριος. ἓξ δὲ τοὺς πάντας θεώμενος δρόμους, οὐδ' αὐτοὺς ὡς ἄν τις ἐρῶν τοῦ πράγματος ἢ ναὶ μὰ Δία μὴ μισῶν αὐτὸ μηδὲ ἀποστρεφόμενος, B ἄσμενος ἀπαλλάττομαι. ἀλλὰ τὰ μὲν ἔξω ταῦτα· καίτοι πόστον εἴρηταί μοι μέρος τῶν ἐμῶν εἰς ὑμᾶς ἀδικημάτων; τὰ δὲ ἔνδον ἄγρυπνοι νύκτες ἐν στιβάδι, καὶ τροφὴ παντὸς ἥττων κόρου πικρὸν ἦθος ποιεῖ καὶ τρυφώσῃ πόλει πολέμιον. οὐ μὴν ὑμῶν γ' ἕνεκα τοῦτο ἐπιτηδεύεται παρ' ἐμοῦ· δεινὴ δέ τις ἐκ παιδαρίου με καὶ ἀνόητος ἀπάτη καταλαβοῦσα τῇ γαστρὶ πολεμεῖν ἔπεισεν, οὐδὲ ἐπιτρέπω πολλῶν ἐμπίμπλασθαι C σιτίων αὐτῇ. ὀλιγάκις οὖν ἐμοὶ τῶν πάντων ἐμέσαι

1 ὃς vulgo omissum addidit Mb m. s. s. v. 4 ἥβης — φρενῶν senarius est. Scripsi igitur τ' pro τε 5 οὖν om. MbEFPef mart. 7 μισῶ τὰς ἱπποδρομίας Lex. Vind. p. 103,11 | μισῶ καὶ τὰς Pe pet., μισῶ καὶ τοὺς ἱπποδρομέας mart. 8 τὰς] εἰς τὰς MbEF 9 φοιτῶ MbEFPef mart.] φοιτῶν | ἐν τῇ ἑορτῇ Pef mart. 10 ὁ ἐμὸς] ἐμὸς MbEF 11 ὁ ὁμοπάτριος Cob. H] ὁμοπάτριος 12 οὐδὲ VMb 13 μὴ VMbEF] καὶ | μηδὲ] μὴ δὲ VMb m. s., μὴ Mb m. pr. EF, καὶ v 14 ἀπαλάττομαι V 15 πόσον MbEFPef 17 τρυφὴ MbEFPe | ἥττων] κρείττων Rsk. 18 γ' V] γε 20 με] μὲν MbEF | καταλαβοῦσα Cob.] κατὰ προλαβοῦσα VMbEF, προλαβοῦσα v 21 οὐδὲ] οὐ γὰρ Pef mart. pet. | ἐμπίπλασθαι VMb 22 ὀλιγιστάκις H, Reiskius μόνῳ addit post ἐμοὶ

συνέβη. καὶ μέμνημαι αὐτὸ παθὼν ἐξ ὅτου καῖσαρ ἐγενόμην ἅπαξ ἀπὸ συμπτώματος, οὐ πλησμονῆς. ἄξιον δὲ ὑπομνησθῆναι διηγήματος οὐδὲ αὐτοῦ πάνυ χαρίεντος, ἐμοὶ δὲ διὰ τοῦτο μάλιστα οἰκείου. ἐτύγχανον
D ἐγὼ χειμάζων περὶ τὴν φίλην Λουκετίαν· ὀνομάζουσι δ' οὕτως οἱ Κελτοὶ τῶν Παρισίων τὴν πολίχνην· ἔστι δ' οὐ μεγάλη νῆσος ἐγκειμένη τῷ ποταμῷ, καὶ αὐτὴν κύκλῳ πᾶσαν [τὸ] τεῖχος καταλαμβάνει, ξύλιναι δ' ἐπ' αὐτὴν ἀμφοτέρωθεν εἰσάγουσι γέφυραι, καὶ ὀλιγάκις ὁ ποταμὸς ἐλαττοῦται καὶ μείζων γίνεται, τὰ πολλὰ δ' ἔστιν ὁποῖος ὥρᾳ θέρους καὶ χειμῶνος, ὕδωρ ἥδιστον καὶ καθαρώτατον ὁρᾶν καὶ πίνειν ἐθέλοντι παρέχων. ἅτε γὰρ νῆσον οἰκοῦντας ὑδρεύεσθαι μάλιστα ἐνθένδε χρή. γίνεται δὲ καὶ ὁ χειμὼν ἐκεῖ πρᾳότερος
341 εἴτε ὑπὸ τῆς θέρμης τοῦ ὠκεανοῦ· στάδια γὰρ ἀπέχει τῶν ἐννακοσίων οὐ πλείω, καὶ διαδίδοται τυχὸν λεπτή τις αὔρα τοῦ ὕδατος, εἶναι δὲ δοκεῖ θερμότερον τὸ θαλάττιον τοῦ γλυκέος· εἴτε οὖν ἐκ ταύτης εἴτε ἔκ τινος ἄλλης αἰτίας ἀφανοῦς ἐμοί, τὸ πρᾶγμά ἐστι τοιοῦτον, ἀλεεινότερον ἔχουσιν οἱ τὸ χωρίον οἰκοῦντες τὸν χειμῶνα, καὶ φύεται παρ' αὐτοῖς ἄμπελος ἀγαθή, καὶ συκᾶς ἤδη τινές εἰσιν οἳ ἐμηχανήσαντο, σκεπά-

2 ἀπὸ VMbEF] ὑπὸ | οὐ] οὐχὶ Pef mart. pet. 4 et 5 ἐτύγχανον — Λουκετίαν Lex. Vind. p. 193,7 5 περὶ V et Lex. Vind.] παρὰ | λουκετίαν Pe, δουκετίαν VMb Pf, δουλκιτίων Lex. Vind., λευκετίαν v 6 δ' οὕτως Mb] δὲ οὕτως 7 δὲ VMb 8 πᾶσαν τὸ τεῖχος καταλαμβάνει VMbEF, τὸ τεῖχος vulgo deest, τὸ Cob. delet et περιλαμβάνει scribit, ἐγκαταλαμβάνει conjecit L. Dindorfius ad Xen. H. G. p. XXVI ed. Lips. 9 δὲ VMb 11 δέ ἐστιν VMb | ὁμοῖος Cob., ὅμοιος ἑαυτῷ vel ὁποῖός ἐστι φύσει Rsk. 13 παρέχων VMbEF] παρέχον 14 ἐνθένδε H] ἔνθεν. vid. ad 132B | καὶ om. Pf mart. pet. | πραότατος Pe mart. 15 εἴτε add. VMbEF | τῆς θέρμης VMbEF] τῆς θέρμης, ὥς φασι 17 αὔρα v | Suidas s. Ἁλμυρόν: ὅτι τὸ ἁλμυρὸν ὕδωρ τοῦ γλυκέος θερμότερον 17 et τὸ] ἢ MbEF

ζοντες αὐτὰς τοῦ χειμῶνος ὥσπερ ἱματίοις τῇ καλάμῃ B τοῦ πυροῦ καὶ τοιούτοις τισίν, ὅσα εἴωθεν εἴργειν τὴν ἐκ τοῦ ἀέρος ἐπιγιγνομένην τοῖς δένδροις βλάβην. ἐγένετο δὴ οὖν ὁ χειμὼν τοῦ εἰωθότος σφοδρότερος, καὶ παρέφερεν ὁ ποταμὸς ὥσπερ μαρμάρου πλάκας· ἴστε δήπου τὸν Φρύγιον λίθον, ᾧ ἐῴκει μάλιστα τοῦ λευκοῦ τούτου τὰ κρύσταλλα, μεγάλα καὶ ἐπάλληλα φερόμενα· καὶ δὴ καὶ συνεχῆ ποιεῖν ἤδη τὸν πόρον ἔμελλε καὶ τὸ ῥεῦμα γεφυροῦν. ὡς οὖν ἐν τούτοις C ἀγριώτερος ἦν τοῦ συνήθους, ἐθάλπετο δὲ τὸ δωμάτιον οὐδαμῶς, οὗπερ ἐκάθευδον, ὅνπερ εἰώθει τρόπον ὑπὸ ταῖς καμίνοις τὰ πολλὰ τῶν οἰκημάτων ἐκεῖ θερμαίνεσθαι, καὶ ταῦτα ἔχον εὐτρεπῶς πρὸς τὸ παραδέξασθαι τὴν ἐκ τοῦ πυρὸς ἀλέαν· συνέβη δ' οἶμαι καὶ τότε διὰ σκαιότητα τὴν ἐμὴν καὶ τὴν εἰς αὐτὸν πρῶτον, ὡς εἰκός, ἀπανθρωπίαν· ἐβουλόμην γὰρ ἐθίζειν ἐμαυτὸν ἀνέχεσθαι τὸν ἀέρα ταύτης (ἀν)ενδεῶς ἔχοντα τῆς βοηθείας. ὡς δὲ ὁ χειμὼν ἐπεκράτει καὶ ἀεὶ μείζων ἐπεγίνετο, θερμῆναι μὲν οὐδ' ὣς ἐπέτρεψα D τοῖς ὑπηρέταις τὸ οἴκημα, δεδιὼς κινῆσαι τὴν ἐν τοῖς

2 πυρροῦ V 3 δένδροις V] δένδρεσι 4 σφοδρότερον V 6 ᾧ ἐῴκει — τοῦ λευκοῦ τούτου] Intercidisse nonnulla videntur Cobeto, nam pronomini relativo locum esse nullum. *Τοῦ λευκοῦ τούτου* uncis inclusit pet. Totus locus fortasse ita scribendus: ἴστε δήπου τὸν Φρύγιον λίθον τὸν λευκόν· τούτῳ ἐῴκει μάλιστα τὰ κρύσταλλα 8 ἤδη om. Pe mart. 9 οὖν om. VMb (in quo m. s. vel ἔθ' vel οὖθ' s. v. addidit) EF 10 τὸ om. VMbEF 11 ᾧπερ V spanh. 13 ἔχον VMb mart. pet.] ἔχων spanh. operarum, ut videtur, errore | εὐτρεπῶς Cob.] εὐπρεπῶς 14 τοῦ om. Pe mart. pet. | δὲ VMb 15 αὐτὸν VMb] ἑαυτὸν v, ἐμαυτὸν H 16 ἐβουλόμην — τὸν ἀέρα Lex. Vind. p. 17,9 | ἐθίζειν ἐμαυτὸν VMbEF Lex. Vind.] ἐμαυτὸν ἐθίζειν 17 ἀνενδεῶς Cob.] ἐνδεῶς 18 ὡς δὲ ὁ χειμὼν — τὸ οἴκημα Lex. Vind. p. 101,14 19 οὐδ' ὣς] οὐδαμῶς Lex. Vind.

τοίχοις ὑγρότητα, κομίσαι δ' ἔνδον ἐκέλευσα πῦρ κεκαυμένον καὶ ἄνθρακας λαμπροὺς ἀποθέσθαι παντελῶς μετρίους. ⌊οἱ δὲ καίπερ ὄντες οὐ πολλοὶ παμπληθεῖς ἀπὸ τῶν τοίχων ἀτμοὺς ἐκίνησαν, ὑφ' ὧν κατέδαρθον. ἐμπιμπλαμένης δέ μοι τῆς κεφαλῆς ἐδέησα μὲν ἀπο-
342 πνιγῆναι, κομισθεὶς δ' ἔξω, τῶν ἰατρῶν παραινούντων ἀπορρῖψαι τὴν ἐντεθεῖσαν ἄρτι τροφήν, οὔτι μὰ Δία πολλὴν οὖσαν, ἐξέβαλον, καὶ ἐγενόμην αὐτίκα ῥᾴων, ὥστε μοι γενέσθαι κουφοτέραν τὴν νύκτα καὶ τῆς ὑστεραίας πράττειν ὅ,τιπερ ἐθέλοιμι. οὕτω μὲν οὖν ἐγὼ καὶ ἐν Κελτοῖς κατὰ τὸν τοῦ Μενάνδρου Δύσκολον αὐτὸς ἐμαυτῷ πόνους προσετίθην. ἀλλ' ἡ Κελτῶν μὲν ταῦτα ῥᾷον ἔφερεν ἀγροικία, πόλις δ' εὐδαίμων
B καὶ μακαρία καὶ πολυάνθρωπος εἰκότως ἄχθεται, ἐν ᾗ πολλοὶ μὲν ὀρχησταί, πολλοὶ δ' αὐληταί, μῖμοι δὲ πλείους τῶν πολιτῶν, αἰδὼς δ' οὐκ ἔστιν ἀρχόντων. ἐρυθριᾶν γὰρ πρέπει τοῖς ἀνάνδροις, ἐπεὶ τοῖς γε ἀνδρείοις, ὥσπερ ὑμεῖς, ἕωθεν κωμάζειν, νύκτωρ ἡδυπαθεῖν, ὅτι τῶν νόμων ὑπερορᾶτε μὴ λόγῳ διδάσκειν, ἀλλα τοῖς ἔργοις ἐνδείκνυσθαι. καὶ γὰρ οἱ νόμοι φοβεροὶ διὰ τοὺς ἄρχοντας· ὥστε ὅστις ἄρχοντα ὕβρισεν

1 κομίσαι δὲ ἔνδον ἐκέλευσα καὶ λαμπροὺς ἀποθέσθαι φανερῶς κεκαυμένους Lex. Vind. p. 120,4 | δὲ VMb 2 ἄνθρακας om. VMb (in quo ad marginem aliquis δαλοὺς adscripsit) EFPf mart. pet. 3 πολὺ MbEF | παμπληθῆ — ἀτμὴν mart. 4 καὶ κατέδαρθον mart. pet., κατέδραθον EF 5 ἐμπιπλαμένης Vpet. | δέ μοι V] μοι | ἐδέησα libri et Lex. Vind. p. 85,1] ἔδεισα. Vid. ad 230A | μὲν V] μὲν οὖν 6 δὲ VMb 7 ἀπορρίψαι v 8 ῥᾷον EF 9 τὴν νύκτα] τὴν νόσον Lex. Vind. p. 162,17 10 ὅτιπερ ἂν ἐθέλοιμι mart. 11 καὶ add. VMbEFPe 12 ἐμαυτὸν πόνοις Pe | προσετίθην V] προσετίθουν. Menandrum Cobetus (Mnemos. vol. IX. p. 14) ita scripsisse suspicatur: αὐτὸς δ' ἐμαυτῷ προστίθημι τοὺς πόνους. Cf. 113C | ἀλλ' VMb] ἀλλὰ 13 δὲ VMb 15 δὲ αὐλ. VMb 16 δὲ VMb 18 ἀνδρ ..... ὥσπερ V 20 καὶ γὰρ] καὶ γὰρ καὶ Mb 21 ὅστις] εἴ τις MbEF

οὗτος ἐκ περιουσίας τοὺς νόμους κατεπάτησεν· ὡς δ' C ἐπὶ τούτοις εὐφραινόμενοι δῆλον ποιεῖτε πολλαχοῦ μέν, οὐχ ἥκιστα δ' ἐν ταῖς ἀγοραῖς καὶ ἐν τοῖς θεάτροις, ἀπὸ μὲν τῶν κρότων καὶ ἀπὸ τῆς βοῆς ὁ δῆμος, οἱ δ' ἐν τέλει τῷ γνωριμώτεροι μᾶλλον εἶναι καὶ ὀνομάζεσθαι παρὰ πᾶσιν ἀφ' ὧν εἰς τὰς τοιαύτας ἑορτὰς ἐδαπάνησαν ἢ Σόλων ὁ Ἀθηναῖος ἀπὸ τῆς πρὸς Κροῖσον τὸν Λυδῶν βασιλέα συνουσίας. καλοὶ δὲ πάντες καὶ μεγάλοι καὶ λεῖοι καὶ ἀγένειοι, νέοι τε ὁμοίως καὶ πρεσβύτεροι ζηλωταὶ τῆς εὐδαιμονίας τῶν Φαιάκων, D

Εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐνὰς

ἀντὶ τῆς ὁσίας ἀποδεχόμενοι. Τὴν δὴ σὴν ἀγροικίαν καὶ ἀπανθρωπίαν καὶ σκαιότητα τούτοις ἁρμόσειν ὑπέλαβες; οὕτως ἀνόητόν ἐστί σοι καὶ φαῦλον, ὦ πάντων ἀνθρώπων ἀμαθέστατε καὶ φιλαπεχθημονέστατε, τὸ λεγόμενον ὑπὸ τῶν ἀγεννεστάτων σῶφρον τουτὶ ψυχάριον, ὃ δὴ σὺ κοσμεῖν καὶ καλλωπίζειν σωφροσύνῃ χρῆναι νομίζεις; οὐκ ὀρθῶς, ὅτι πρῶτον μὲν ἡ σωφροσύνη ὅ,τι ποτ' ἔστιν οὐκ ἴσμεν, ὄνομα δ' αὐτῆς ἀκούον- 343 τες μόνον ἔργον οὐχ ὁρῶμεν. εἰ δ' ὁποῖον σὺ νῦν ἐπιτηδεύεις ἐστίν, ἐπίστασθαι μὲν ὅτι θεοῖς χρὴ δου-

1 et 2 ὡς H] οἱ. cf. Xen. Anab. I, 5,9 et Thucyd. III, 64,1. ὅτι δ' ἐπὶ τούτοις διατελεῖτε εὐφραινόμενοι Rsk. | δ' ἐπὶ Mb] δὲ ἐπὶ 3 καὶ τοῖς Pc 5 δὲ VMb 8 τὸν Κροῖσον V spanh., delet Cob. | τὸν Λυδῶν VMbEF] τῶν Λυδῶν 9 ἀρτιγένειοι Pef, ἀρχιγένειοι MbE, ἀρχιγέναιοι F 10 πρεσβύτεροι MbEF Pef mart. pet.] πρεσβύτατοι | καὶ τῶν Φ. VMb (in quo καὶ punctis est notatum) EF 12 Odyss. ϑ, 249. cit. Lex. Vind. p. 85,5 13 δὴ] δὲ Pe mart. pet. 17 ἀγενεστάτων (ἀγεννεστάτων Cob.) VMbEFPf] εὐγενεστάτων | τουτὶ H] τουτοῒ 18 σωφροσύνην MbEF 19 χρῆναι in Mb punctis notatum est, et a secunda manu s. v. scriptum γρ. εἶναι 20 ὅτί ποτέ ἐστιν V, τί ποτέ ἐστιν Mb; τί ποτ' ἐστὶν v | δὲ V 21 δ' ὁποῖον Mb] δὲ ὁποῖον

λεύειν καὶ νόμοις, ἐκ τῶν ἴσων δὲ τοῖς ὁμοτίμοις προσφέρεσθαι, καὶ τὴν ἐν τούτοις ὑπεροχὴν φέρειν πρᾳότερον, ἐπιμελεῖσθαι καὶ προνοεῖν, ὅπως οἱ πένητες ὑπὸ τῶν πλουτούντων ἥκιστα ἀδικήσονται, καὶ ὑπὲρ τούτου πράγματα ἔχειν, ὁποῖα εἰκός ἐστί σοι γενέσθαι B πολλάκις, ἀπεχθείας, ὀργάς, λοιδορίας· εἶτα καὶ ταῦτα φέρειν ἐγκρατῶς καὶ μὴ χαλεπαίνειν μηδ' ἐπιτρέπειν τῷ θυμῷ, παιδαγωγεῖν δὲ αὐτόν, ὡς ἐνδέχεται, καὶ σωφρονίζειν· εἰ δὲ καὶ τοῦτό τις ἔργον θεῖτο σωφροσύνης, ἀπέχεσθαι πάσης ἡδονῆς οὐ λίαν ἀπρεποῦς οὐδ' ἐπονειδίστου δοκούσης ἐν τῷ φανερῷ, πεπεισμένος ὡς οὐκ ἔστιν ἰδίᾳ σωφρονεῖν [οἴκοι] καὶ λάθρᾳ C τὸν δημοσίᾳ καὶ φανερῶς ἀκόλαστον εἶναι θέλοντα καὶ τερπόμενον τοῖς θεάτροις· εἰ δὴ οὖν ὄντως ἡ σωφροσύνη τοιοῦτόν ἐστιν, ἀπόλωλας μὲν αὐτός, ἀπολλύεις δὲ ἡμᾶς οὐκ ἀνεχομένους ἀκούειν πρῶτον ὄνομα δουλείας οὔτε πρὸς θεοὺς οὔτε πρὸς νόμους· ἡδὺ γὰρ ἐν πᾶσι τὸ ἐλεύθερον. ἡ δὲ εἰρωνεία πόση; δεσπότης εἶναι οὔ φῄς οὐδὲ ἀνέχῃ τοῦτο ἀκούων, ἀλλὰ καὶ D ἀγανακτεῖς, ὥστε ἤδη ἔπεισας τοὺς πλείστους ἐθάδας πάλαι γενομένους ἀφελεῖν ὡς ἐπίφθονον τῆς ἀρχῆς τοῦτο τὸ ὄνομα, δουλεύειν δ' ἡμᾶς ἀναγκάζεις ἄρχουσι καὶ νόμοις. καίτοι πόσῳ κρεῖττον ἦν ὀνομάζεσθαι μέν σε δεσπότην, ἔργῳ δὲ ἐᾶν ἡμᾶς εἶναι

1 ἐκ τοῦ ἴσου Cob. 4 ἀδικήσονται EFPe, ἀδικήσονται (ω superscr.) Mb] ἀδικηθήσονται 5 γενέσθαί σοι MbEF 7 μὴ δὲ V 8 αὐτὸν V 9 θεῖτο VMb, θείητο EF, θοῖτο v 10 εὐπρεποῦς mart. 11 οὐδὲ Mb 11 et 12 πεπεισμένων Mb m. s., πεπεισμένος m. pr., ut videtur, πεπεισμένῳ, ὡς EF 12 οἴκοι delevit Horkelius 13 ἐθέλοντα Mb 14 οὕτως EF mart. Mb pr. m., ὄντως m. s. 15 ἐστιν VMb mart.] ἐστι 20 τοὺς om. Pe mart. pet. 21 γινομένους MbEF mart. pet. 22 δὲ VMb | καταναγκάζεις Mb 24 μέν σε Cob.] σε μὲν VMbEF, σε ἡμέτερον v.

ἐλευθέρους, ὦ τὰ μὲν ὀνόματα πρᾳότατε, πικρότατε δὲ
τὰ ἔργα; πρὸς δὲ τούτοις ἀποκναίεις βιαζόμενος μὲν
τοὺς πλουσίους ἐν δικαστηρίοις μετριάζειν, τοὺς πέ-
νητας δὲ εἴργεις συκοφαντεῖν. ἀφεὶς δὲ τὴν σκηνὴν
καὶ τοὺς μίμους καὶ τοὺς ὀρχηστὰς ἀπολώλεκας ἡμῶν 344
τὴν πόλιν, ὥστε οὐδὲν ἡμῖν ἀγαθὸν ὑπάρχει παρὰ
σοῦ πλὴν τῆς βαρύτητος, ἧς ἀνεχόμενοι μῆνα ἕβδομον
τουτονὶ τὸ μὲν εὔχεσθαι πάντως ἀπαλλαγῆναι τοῦ
τοσούτου κακοῦ τοῖς περὶ τοὺς τάφους καλινδουμένοις
γρᾳδίοις ξυνεχωρήσαμεν, ἡμεῖς δὲ αὐτὸ διὰ τῆς ἡμῶν
αὐτῶν εὐτραπελίας ἐξειργασάμεθα βάλλοντές σε τοῖς
σκώμμασιν ὥσπερ τοξεύμασι. σὺ δέ, ὦ γενναῖε, πῶς B
ἀνέξῃ τὰ Περσῶν βέλη, τὰ ἡμέτερα τρέσας σκώμματα;

Ἰδού, βούλομαι πάλιν ἀπ' ἄλλης ἀρχῆς ἐμαυτῷ
λοιδορήσασθαι. Φοιτᾷς εἰς τὰ ἱερά, δύσκολε καὶ δύσ-
τροπε καὶ πάντα μοχθηρέ. συρρεῖ διὰ σὲ τὰ πλήθη
πρὸς τὰ τεμένη καὶ μέντοι καὶ οἱ πλείους τῶν ἐν τέ-
λει, καὶ ἀποδέχονταί σε σὺν βοῇ μετὰ κρότων λαμ-
πρῶς ἐν τοῖς τεμένεσιν ὥσπερ ἐν τοῖς θεάτροις. τί C
οὖν οὐκ ἀγαπᾷς οὐδ' ἐπαινεῖς, ἀλλ' ἐπιχειρεῖς εἶναι
σοφώτερος τὰ τοιαῦτα τοῦ Πυθίου, καὶ δημηγορεῖς
ἐν τῷ πλήθει, καὶ καθάπτῃ τῶν βοώντων πικρῶς αὐτὸ
δὴ τοῦτο λέγων [τὸ ποιούμενον ὑπ' αὐτῶν], ὡς Ὑμεῖς
τῶν θεῶν ἕνεκεν ὀλιγάκις εἰς τὰ τεμένη συνέρχεσθε,

1 ὀνόματα Martinius] ὄμματα 2 μὲν add. MbEFPe mart. pet. 5 ἀπολέλοιπας V 6 οὐθὲν VMb | ὑπάρχει V] ὑπάρχειν 6 et 7 παρὰ σοῦ Mb] παρά σου | ἧς om. Pe mart. pet. 9 τοῖς περὶ—ξυνεχωρήσαμεν Lex. Vind. p. 115,7 | κυλινδουμένοις Mb 10 γρᾳδίοις H] γραϊδίοις | ξυνεχωρήσαμεν V] συνεχωρήσαμεν 16 συρρεῖ VMbEF] συρρεῖ δὲ | διὰ σὲ Mb] διά σε 20 οὐκ] οὐδὲ MbEF | οὐδὲ VMb | ἀλλὰ VMb 23 Verba a nobis uncis inclusa Horkelius post ἐπαινεῖς paulo ante transponenda censet | ὑπ ... ῶν ὡς ὑμ.῀. V, pro αὐτῶν Pc ἄλλων

συνδραμόντες δὲ δι' ἐμὲ πολλῆς ἀκοσμίας ἀναπίμπλατε D τὰ ἱερά. πρέπει δ' ἀνδράσι σώφροσι κεκοσμημένως εὔχεσθαι σιγῇ παρὰ τῶν θεῶν αἰτουμένοις τὰ ἀγαθά. [καὶ] τοῦτον οὐκ ἠκροᾶσθε τὸν νόμον Ὁμήρου

Σιγῇ ἐφ' ὑμείων —,

οὐδ' ὡς Ὀδυσσεὺς ἐπέσχε τὴν Εὐρύκλειαν ἐκπεπληγμένην ὑπὸ μεγέθους τοῦ κατορθώματος,

Ἐν θυμῷ, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ' ὀλόλυζε;

τὰς δὲ δὴ Τρῳάδας οὔτι πρὸς τὸν Πρίαμον ἤ τινα τῶν τούτου [γαμετῶν ἢ] θυγατέρων ἢ υἱέων, οὐ μὴν 345 οὐδ' αὐτὸν τὸν Ἕκτορα· καίτοι τούτῳ φησὶν ὡς θεῷ τοὺς Τρῶας εὔχεσθαι· εὐχομένας δὲ οὐκ ἔδειξεν ἐν τῇ ποιήσει οὔτε γυναῖκας οὔτε ἄνδρας, ἀλλὰ τῇ Ἀθηνᾷ ὀλολυγῇ πᾶσαι, φησί, χεῖρας ἀνέσχον, βαρβαρικὸν μὲν καὶ τοῦτο καὶ γυναιξὶ πρέπον, οὐ μὴν ἀνόσιον πρὸς τοὺς θεοὺς ὥσπερ τὸ παρ' ὑμῶν ποιούμενον. ἐπαινεῖτε γὰρ ἀντὶ τῶν θεῶν τοὺς ἀνθρώπους, μᾶλλον δὲ ἀντὶ B τῶν θεῶν τοὺς ἀνθρώπους ἡμᾶς κολακεύετε. κάλλιστον δ' ἔστιν οἶμαι μηδ' ἐκείνους κολακεύειν, ἀλλὰ θερα-

1 συνδραμόν . . . ` . . . ι'.'με V, pro δι' ἐμὲ Pc παρ' ἐμὲ | ἀναπίμπλατε Mb, ἀναπίπλατε EF, ἀναπίμπλανται v 2 πρέπει MbEF, πρέπῃ V, πρέποι v | δ'] δὲ ἂν VMb, δ' ἂν v, ἂν delevit Cob. | σώφροσι VMbEF] σωφροσύνῃ | κεκοσμημένως Cob.] κεκοσμημένοις (κεκοσμημένος F) 3 εὔχεσθαι] ἐντύχητε εὔχεσθαι εἰδόσι Pef, εὐτυχῇ τε εὔχεσθαι εἰδόσι mart. 4 καὶ om. V (ut videtur) MbEFPe mart. pet. | οὐκ ἠκροᾶσθε VE, οὐκ ἀκροᾶσθαι, ut videtur, Mb, οὐκ ἀκροᾶσθε FPef, οὖν ἀκροᾶσθαι v 5 Iliad. η, 195 6 οὐδὲ ὡς Mb. m. s., οὐδὲ Mb m. pr. VEF, ὡς οὐδ' Pe, ὡς οὐδ' ἂν v 8 Odyss. χ, 411 | γρηῦ VMbEFPf] γραῦ 9 τοὺς δὲ δὴ τρῶας Mb Pef, τοὺς δὲ τρῶας EF 10 θυγατέρων[β] ἢ γαμετῶν[α] V, γαμετῶν ἢ om. Mb EFPf mart. 11 οὐδὲ VMb | τούτῳ] τῷ (cum jota subscr.) VMb EF 12 τοὺς om. mart. pet. 13 οὔτε (alterum)] οὐδ' mart. pet. 14 φησί] Iliad. ζ, 301 16 ὥσπερ] ὥσπερ καὶ MbEF 17 μᾶλλον — 18 ἀνθρώπους om. E mart. pet. 17 καὶ ante κολακεύετε add. mart. pet. 19 δὲ et μὴ δὲ VMb

πεύειν σωφρόνως. ἰδού, πάλιν ἐγὼ τὰ συνήθη τεχνι-
τεύω λεξείδια καὶ οὐδ' ἐμαυτῷ συγχωρῶ φθέγγεσθαι
ὡς ἔτυχεν ἀδεῶς καὶ ἐλευθέρως, ἀλλὰ ὑπὸ τῆς συν-
ήθους σκαιότητος καὶ ἐμαυτὸν συκοφαντῶ. ταῦτά τις
καὶ τοιαῦτ' ἂν λέγοι πρὸς ἄνδρας οὐ τὰ πρὸς τοὺς
ἄρχοντας μόνον, ἀλλὰ καὶ τὰ πρὸς τοὺς θεοὺς ἐλευ- C
θέρους εἶναι θέλοντας, ὅπως τις εὔνους αὐτοῖς ὥσπερ
πατὴρ ἤπιος νομισθείη, φύσει πονηρὸς ὢν ὥσπερ ἐγώ.
ἀνέχου τοίνυν αὐτῶν μισούντων καὶ λοιδορούντων
λάθρᾳ ἢ καὶ φανερῶς, ἐπειδὴ κολακεύειν ἐνόμισας
τοὺς ἐν τοῖς ἱεροῖς δρώμενόν σε ἐπαινοῦντας. οὐ γὰρ
οἶμαι διενοήθης ὅπως ἁρμόσει τῶν ἀνδρῶν οὔτε τοῖς
ἐπιτηδεύμασιν οὔτε τοῖς βίοις οὔτε τοῖς ἤθεσιν. εἶεν.
ἀλλ' ἐκεῖνο τίς ἀνέξεταί σου; καθεύδεις ὡς ἐπίπαν
νύκτωρ μόνος οὐδ' ἔστιν οὐδέν, ὅ σου τὸν ἄγριον D
καὶ ἀνήμερον μαλάξει θυμόν· ἀποκέκλεισται δὲ πάσῃ
πανταχοῦ πάροδος γλυκυθυμίᾳ· καὶ τὸ μέγιστον τῶν
κακῶν, ὅτι τοιοῦτον ζῶν βίον εὐφραίνῃ καὶ πεποίησαι
τὰς κοινὰς κατάρας ἡδονήν. εἶτα ἀγανακτεῖς, εἴ του
τὰ τοιαῦτα ἀκούεις; ἐξὸν εἰδέναι χάριν τοῖς ὑπ' εὐ-
νοίας ἐμμελέστερόν σε νουθετοῦσιν ἐν τοῖς ἀναπάστοις
ἀποψιλῶσαι μὲν τὰς παρειάς, καλὰ δὲ ἀπὸ σαυτοῦ
πρῶτον ἀρξάμενον δεικνύειν πάντα τῷ δήμῳ τῷ φιλο- 346
γέλωτι τῷδε θεάματα, μίμους, ὀρχηστάς, ἥκιστα αἰ-
σχυνομένας γυναῖκας, παιδάρια περὶ κάλλους ἁμιλλώ-
μενα ταῖς γυναιξίν, ἄνδρας ἀπεψιλωμένους οὔτι τὰς

2 οὐδὲ VMb 5 τοιαῦτα λέγει libri 6 καὶ πρὸς Pe mart. pet. | τοὺς om. MbE mart. pet. 7 αὐτοῖς καὶ ὥσπερ mart. pet. 8 ἤπιος VMb mart. pet. 12 ἁρμόσει V, ἁρμόσῃ MbEF, ἁρμόσῃς Pe mart., ἁρμόσεις v 15 οὐδέ ἐστιν VMb | ὅσον VMb EF] ὅσον 16 ἀποκέκλειται E | πάσῃ πάσῃ πανταχοῦ V 21 νομοθετοῦσιν MbEF 26 ἀπεψιλωμένους Cob.] ἀποψιλουμένους

γνάθους μόνον, ἀλλὰ καὶ ἅπαν τὸ σῶμα, λειότεροι τῶν γυναικῶν ὅπως φαίνοιντο τοῖς ἐντυγχάνουσιν, ἑορτάς, πανηγύρεις, οὔτι μὰ Δία τὰς ἱεράς, ἐν αἷς
B χρὴ σωφρονεῖν· ἅλις μὲν γὰρ ἐκείνων ἐστίν, ὥσπερ τῆς δρυός, καὶ πολὺς ὁ κόρος αὐτῶν. ἔθυσεν ὁ καῖσαρ ἐν τῷ τοῦ Διὸς ἅπαξ, εἶτα ἐν τῷ τῆς Τύχης, εἰς τὸ τῆς Δήμητρος τρὶς ἐφεξῆς ἐβάδισεν· ἐπιλέλησμαι γὰρ εἰς τὸ τῆς Δάφνης ὁσάκις εἰσῆλθον τέμενος, προδοθὲν μὲν ὀλιγωρίᾳ τῶν φυλάκων, ταῖς δὲ τῶν ἀθέων ἀνδρῶν τόλμαις ἀφανισθέν. ἡ Σύρων ἥκει νουμηνία, καὶ ὁ καῖσαρ αὖθις εἰς Φιλίου Διός· εἶτα ἡ πάγκοινος
C ἑορτή, καὶ ὁ καῖσαρ εἰς τὸ τῆς Τύχης ἔρχεται τέμενος. ἐπισχὼν δὲ τὴν ἀποφράδα πάλιν ἐς Φιλίου Διὸς τὰς εὐχὰς ἀναλαμβάνει κατὰ τὰ πάτρια. καὶ τίς ἀνέξεται τοσαυτάκις εἰς ἱερὰ φοιτῶντος καίσαρος, ἐξὸν ἅπαξ ἢ δὶς ἐνοχλεῖν τοῖς θεοῖς; ἐπιτελεῖν δὲ τὰς πανηγύρεις ἐκείνας, ὁπόσαι κοιναὶ μέν εἰσι παντὶ τῷ δήμῳ καὶ ὧν ἔξεστι μετέχειν οὐ τοῖς ἐπισταμένοις θεούς, ἀλλὰ καὶ ὧν ἐστιν ἡ πόλις πλήρης; ἡδονὴ δὲ πολλὴ καὶ χάριτες, ὁποίας ἄν τις εὐφραίνοιτο διηνεκῶς καρπού-
D μενος, ὁρῶν ὀρχουμένους ἄνδρας καὶ παιδάρια καὶ γύναια πολλά. ὅταν οὖν ταῦτα λογίσωμαι, μακαρίζω μὲν ὑμᾶς τῆς εὐδαιμονίας, ἐμαυτῷ δὲ οὐκ ἄχθομαι· φίλα γάρ ἐστί μοι κατά τινα θεὸν ἴσως ταῦτα. διόπερ

2 ἐντυγχάνουσιν MbEFPef mart. pet.] ἑορτάζουσιν 6 τοῦ om. Pe | ἐν τῷ τύχης MbEF 10 νουμηνία H] νεομηνία. vid. ad 339 C 12 τὸ τύχης F 13 Διὸς om. mart. pet. 14 καὶ τίς ἀνέξεται — 15 καίσαρος Lex. Vind. p. 177,9 17 ὁπόσαι] αἳ Pe mart. pet. 18 Post ἐπισταμένοις videtur μόνον excidisse 19 ἡδονὴ δὲ πολλὴ καὶ χάριτες] „Tacite e praemissis vs. 19 repetendum ὧν et subaudiendum εἰσὶν: quorum ludorum magna est voluptas et suavitas.“ Rsk. 21 ὁρῶ MbEF 22 λογίσωμαι VMbEFPf mart., λογίζωμαι Pe, λογίζομαι operarum error est in pet., translatus in spanh.

οὐδ' ἀγανακτῶ, εὖ ἴστε, τοῖς δυσχεραίνουσί μου τῷ
βίῳ καὶ τῇ προαιρέσει. προστίθημι δ' αὐτὸς ὅσα δυ-
νατόν ἐστί μοι τοῖς εἰς ἐμαυτὸν σκώμμασι μειζόνως
ἐπικαταχέων ἐμαυτοῦ ταυτασὶ τὰς λοιδορίας, ὃς ὑπὸ 347
ἀφροσύνης οὐ συνῆκα, ποταπὸν ἐξ ἀρχῆς τὸ τῆσδε
τῆς πόλεως ἦθος, καὶ ταῦτα τῶν ἡλικιωτῶν τῶν ἐμῶν,
ὡς ἐμαυτὸν πείθω, βιβλία ἀνελίξας οὐδενὸς ἀριθμὸν
ἐλάττω. λέγεταί τοί ποτε τὸν ἐπώνυμον τῆσδε τῆς πό-
λεως βασιλέα, μᾶλλον δὲ οὗπερ ἐπώνυμος ἥδε ἡ πόλις
συνῳκίσθη· πεποίηται μὲν γὰρ ὑπὸ Σελεύκου, τοὔνομα
δὲ ἔχει ἀπὸ τοῦ Σελεύκου παιδός· ὃν δή φασι δι'
ὑπερβολὴν ἁβρότητος καὶ τρυφῆς ἐρῶντα ἀεὶ καὶ ἐρώ- B
μενον τέλος ἄδικον ἔρωτα τῆς ἑαυτοῦ μητρυιᾶς ἐρα-
σθῆναι· κρύπτειν δ' ἐθέλοντα τὸ πάθος οὐ δύνασθαι,
τὸ σῶμα δ' αὐτῷ κατὰ μικρὸν τηκόμενον ἀφανῶς
οἴχεσθαι, καὶ ὑπορρεῖν τὰς δυνάμεις, καὶ τὸ πνεῦμα
ἔλαττον εἶναι τοῦ συνήθους. ἐῴκει δ' οἶμαι τὸ κατ'
αὐτὸν αἰνίγματι, σαφῆ μὲν οὐκ ἐχούσης αἰτίαν τῆς
νόσου, μᾶλλον δὲ οὐδ' αὐτῆς, ἥτις ποτέ ἐστι, φαινο-

1 σὐδὲ VMbEF | εὖ ἴστε ante οὐδ' ἀγανακτῶ ponunt Mb EFPf mart. pet. 2 προαιρέσει ... τίθημι δὲ .. τῶν V, δὲ αὐτοῖς Mb, δ' αὐτοῖς v, αὐτὸς Rsk. Cob. 3 τοῖς — σκώμμασι] τὰ — σκώμματα Pef mart. pet. 3 et 4 μ ... ζ ...... ἐμαυτοῦ V, μειζόνως ἐπιχέων ἐμαυτοῦ v, ἐπικαταχέων scripsi cum MbEFPf 4 ὃς ὑπὸ ἀφροσύνης — 7 ἀνελίξας Lex. Vind. p. 34,1 5 οὐ συνῆ .... ἐξ ἀρχῆς (ποταπὸν sub macula pellucet) | τῆσδε accessit ex VMbEFPe Lex. Vind. 7 ἀναλέξας Pe mart. pet.| ἀριθμῶν VF 8 τοι om. pet. | ποτε τὸν ἐπώνυμόν ποτε pet., τὸν ἐπώνυμὸν ποτὲ MbEF, ἐπώνυμόν ποτε Pe mart.. Pro ἐπώνυμον Rsk. suspicatur οἰκιστήν 10 συνῴκισται Pe mart. pet. | πεποίηται] πεπόλισται Cob. et H. Sed Suidas s. Ἀντιόχεια (ἡ πόλις. πεποίηται μὲν ὑπὸ Σελεύκου, ὠνόμασται δὲ ἀπὸ τοῦ παιδὸς Ἀντιόχου) vulgatum h. l. legit. Cf. Diodor. 8,21,3 sive Excerptt. Vatt. p. 10 11 δὲ VMb] τε 14 δὲ VMb 15 δὲ VMb 17 ἐώκειν V | δὲ VMb | τὸ] τῶ V, malim τὰ | καθ' αὐτὸν V 19 οὐδὲ VMb

C μένης, ἐναργοῦς δ' οὔσης τῆς περὶ τὸ μειράκιον ἀσθενείας. ἐνθάδε μέγας ἆθλος ἰατρῷ προυτέθη τῷ Σαμίῳ τὴν νόσον, ἥτις ποτέ ἐστιν, ἐξευρεῖν. ὁ δὲ ὑπονοήσας ἐκ τῶν Ὁμήρου, τίνες ποτέ εἰσιν αἱ γυιοβόροι μελεδῶναι, καὶ ὅτι πολλάκις οὐκ ἀσθένεια σώματος, ἀλλ' ἀρρωστία ψυχῆς αἰτία γίγνεται τηκεδόνος τῷ σώματι, καὶ τὸ μειράκιον ὁρῶν ὑπό τε ἡλικίας καὶ συνηθείας οὐκ ἀναφρόδιτον, ὁδὸν ἐτράπετο τοιαύτην ἐπὶ τὴν
D τοῦ νοσήματος θήραν. καθίζει πλησίον τῆς κλίνης ἀφορῶν εἰς τὸ πρόσωπον τοῦ μειρακίου, παριέναι κελεύσας καλούς τε καὶ καλὰς ἀπὸ τῆς βασιλίδος ἀρξαμένους. ἡ δ' ὡς ἦλθεν, ἐπισκεψομένη δῆθεν αὐτόν, αὐτίκα ἐδίδου τὰ συνθήματα τοῦ πάθους ὁ νεανίας, ἆσθμα τῶν θλιβομένων ἠφίει, ἐπέχειν γὰρ αὐτὸ κινούμενον καίπερ σφόδρα ἐθέλων οὐχ οἷός τε ἦν, καὶ ταραχὴ ἦν τοῦ πνεύματος καὶ πολὺ περὶ τὸ πρόσωπον
348 ἐρύθημα. ταῦτα ὁρῶν ὁ ἰατρὸς προσάγει τῷ στέρνῳ τὴν χεῖρα, καὶ ἐπήδα δεινῶς ἡ καρδία καὶ ἔξω ἵετο. τοιαῦτα ἄττα ἔπασχεν ἐκείνης παρούσης· ἐπεὶ δὲ ἀπῆλθεν, ἐπιόντων ἄλλων, ἀτρέμας εἶχε καὶ ἦν ὅμοιος τοῖς οὐδὲν πάσχουσι. συνιδὼν δὲ τὸ πάθος ὁ Ἐρασίστρατος φράζει πρὸς τὸν βασιλέα, καὶ ὃς ὑπὸ τοῦ φιλόπαις εἶναι παραχωρεῖν ἔφη τῷ παιδὶ τῆς γαμετῆς. ὁ δὲ αὐτίκα μὲν ἠρνήσατο· τελευτήσαντος δὲ τοῦ πατρὸς

1 δὲ VMb 2 ἰατρῶν V 4 Ὁμήρου] Hesiodi potius O. et D. 66. | εἰσιν αἱ VMbEF] εἰσι | γυιοκόροι VEF, γυοκόροι Mb | μελεδῶναι V (αι s. v. in correctura)] μελεδῶνες 6 γίνεται V 9 θήραν VMb] θῆραν | καθίζει — μειρακίου Lex. Vind. p. 106,1 10 ὁρῶν MbEFPe mart. Lex. Vind. 11 ἀρξαμένους H] ἀρξαμένας Cob., ἀρξάμενος v 12 δὲ VMb 14 ἄσθμα V Mb mart. 1] ἆσθμα | αὐτὸ om. MbEFPe 16 πολὺ περὶ VMb EF] πολύ τι περὶ 18 ἵετο Cob.] ἵετο 19 ἄττα mart. pet., ἅττα, ut solent, VMb 20 ἐπιόντων ἄλλων VMbDF, ἐπιουσῶν τῶν ἄλλων Pg, ἐπιόντων τῶν ἄλλων v

μικρὸν ὕστερον, ἣν πρότερον διδομένην αὐτῷ χάριν εὐγενῶς ἠρνήθη, μάλα κραταιῶς μετεδίωξεν. Ἀντιόχῳ B μὲν δὴ ταῦτα ἐποιήθη. τοῖς δ' ἀπ' ἐκείνου γενομένοις οὐ νέμεσις ζηλοῦν τὸν οἰκιστὴν ἢ τὸν ὁμώνυμον. ὥσπερ γὰρ ἐν τοῖς φυτοῖς εἰκός ἐστι διαδίδοσθαι μέχρι πολλοῦ τὰς ποιότητας, ἴσως δὲ καὶ ἐπίπαν ὅμοια τὰ μετὰ ταῦτα τοῖς ἐξ ὧν ἐβλάστησε φύεσθαι, οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων εἶναι εἰκὸς παραπλήσια τὰ ἤθη τῶν ἀπογόνων τοῖς προγόνοις. ἐγώ τοι καὶ αὐτὸς ἔγνων Ἀθηναίους Ἑλλήνων φιλοτιμοτάτους καὶ φιλανθρωποτάτους· C καίτοι τοῦτό γε ἐπιεικῶς ἐν πᾶσιν εἶδον τοῖς Ἕλλησιν, ἔχω δ' ὑπὲρ αὐτῶν εἰπεῖν, ὡς καὶ φιλόθεοι μάλιστα πάντων εἰσὶ καὶ δεξιοὶ τὰ πρὸς τοὺς ξένους, καθόλου μὲν Ἕλληνες πάντες, αὐτῶν δ' Ἑλλήνων πλέον τοῦτο ἔχω μαρτυρεῖν Ἀθηναίοις. εἰ δὲ ἐκεῖνοι διασώζουσιν εἰκόνα τῆς παλαιᾶς ἐν τοῖς ἤθεσιν ἀρετῆς, εἰκὸς δήπουθεν τὸ αὐτὸ ὑπάρχειν καὶ Σύροις καὶ Ἀραβίοις καὶ Κελτοῖς καὶ Θρᾳξὶ καὶ Παίοσι καὶ τοῖς ἐν μέσῳ κειμένοις Θρᾳκῶν καὶ Παιόνων ἐπ' αὐταῖς D Ἴστρου ταῖς ᾐόσι Μυσοῖς, ὅθεν δὴ καὶ τὸ γένος ἐστί μοι πᾶν ἄγροικον, αὐστηρόν, ἀδέξιον, ἀναφρόδιτον, ἐμμένον τοῖς κριθεῖσιν ἀμετακινήτως· ἃ δὴ πάντα ἐστὶ δείγματα δεινῆς ἀγροικίας. αἰτοῦμαι τοίνυν ὑπὲρ ἐμαυτοῦ πρῶτον συγγνώμην, ἐν μέρει δὲ καὶ ὑμῖν

3 δὲ VMb 4 ὁμώνυμον] ἐπώνυμον? 6 ὁμοίως mart. pet. 7 ἐβλάστησαν VMbEF 11 τοῦτό γε] τό γε Pef mart. | ἐπιεικὲς MbEFPef mart. 12 δὲ VMb | ὑπὲρ αὐτῶν εἰπεῖν V] εἰπεῖν ὑπὲρ αὐτῶν 13 δεξιοὶ τὰ VMbEF] δεξιοὶ 14 δὲ VMb 15 μαρτυρῶν MbEF | ἀθηναίοισι V 18 ἀρραβίοις V 19 θρακῶν VMb] Θράκων | ἐπ' VMb] ὑπ' 20 ἠόσι Mb] ἠϊόσι v, ἡ ὀσιμυσοις (sic) EF 21 ἀγροῖκον Mb 24 πρῶτον MbEFPe mart.] πρώτον

νέμω τὰ πάτρια ζηλοῦσιν, οὐδ' ἐν ὀνείδει προφέρομαι τὸ

349 *Ψεῦσταί τ' ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι,*

τοὐναντίον δὲ ἀντ' ἐγκωμίων ὑμῖν προσεῖναί φημι πατρίων ζῆλον ἐπιτηδευμάτων. ἐπεὶ καὶ Ὅμηρος ἐπαινῶν τὸν Αὐτόλυκόν φησι περιεῖναι πάντων

Κλεπτοσύνῃ θ' ὅρκῳ τε.

καὶ ἐμαυτοῦ τὴν σκαιότητα καὶ τὴν ἀμαθίαν καὶ τὴν
B *δυσκολίαν καὶ τὸ μὴ ῥᾳδίως μαλάττεσθαι μηδὲ ἐπὶ τοῖς δεομένοις ἢ τοῖς ἐξαπατῶσι τὰ ἐμαυτοῦ ποιεῖσθαι μηδὲ ταῖς βοαῖς εἴκειν καὶ τὰ τοιαῦτα στέργω ὀνείδη. πότερα μὲν οὖν ἐστι κουφότερα, θεοῖς ἴσως δῆλον, ἐπείπερ ἀνθρώπων οὐδεὶς οἷός τε ἡμῖν ἐστιν ὑπὲρ τῶν διαφορῶν βραβεῦσαι· πεισόμεθα γὰρ οὐδαμῶς αὐτῷ διὰ φιλαυτίαν, θαυμάζειν γὰρ εἰκὸς τὰ ἑαυτοῦ ἕκαστον, ἀτιμάζειν δὲ τὰ παρὰ τοῖς ἄλλοις. ὁ δὲ τῷ τὰ ἐναντία ζηλοῦντι νέμων συγγνώμην εἶναί μοι δοκεῖ πρᾳότατος.*

C *Ἐγὼ δὲ ἐννοήσας εὑρίσκω καὶ ἕτερα δεινὰ ἐμαυτὸν εἰργασμένον. πόλει γὰρ προσιὼν ἐλευθέρᾳ, τὸν αὐχμὸν τῶν τριχῶν οὐκ ἀνεχομένῃ, ὥσπερ οἱ κουρέων ἀποροῦντες ἄκαρτος καὶ βαθυγένειος εἰσέδραμον· ἐνόμισας ἂν Σμικρίνην ὁρᾶν ἢ Θρασυλέοντα, δύσκολον πρεσβύτην ἢ στρατιώτην ἀνόητον, ἐξὸν φανῆναι τῷ*

1 *ζηλοῦς* .. V | *οὐδὲ* VMb | *προφέρομαι* V, *προσφέρομαι* MbEF, *προφέρω* v 3 Iliad. *ω*, 261. 5 *πατρίων ζῆλον ἐπιτηδευμάτων* Cob.] *πάτριον ζῆλον καὶ ἐπιτηδεύματα* 7 Odyss. *τ*, 396 8 *καὶ* .... *τῷ τὴν* V pro *ἐμαυτῷ* scripsi *ἐμαυτοῦ* 9 *μαλάττεσθαι*] *εἴκειν* VMbEF | *ἐπὶ τοῖς* Cob.] *ἐν τοῖς* VMbEF Pf, *τοῖς* v 10 *ἐξαπατῶσι* libri] *ἐξαπαιτοῦσι* 11 *καὶ τὰ τοιαῦτα* om. VMbEF | *ὀνείδη* Pef mart.] *τὰ ὀνείδη* 12 *δῆλον ἴσως* V 13 *ἐστιν* om. MbEFPe 17 *τὴν συγγνώμην* V 20 *εἰργασάμενον* Pf 22 *ἄκαρτος—εἰσέδραμον* Lex. Vind. p. 32,21 23 *σμηκρίνην* V

καλλωπισμῷ παῖδα ὡραῖον καὶ γενέσθαι μειράκιον, εἰ
μὴ τὴν ἡλικίαν, τὸν τρόπον γε καὶ τὴν ἁβρότητα τοῦ D
προσώπου. οὐκ οἶσθα ἀνθρώποις ὁμιλεῖν, οὐδ' ἐπαι-
νέτης εἶ τοῦ Θεόγνιδος, οὐδὲ μιμῇ τὸν ἀφομοιούμενον
ταῖς πέτραις πολύπουν, ἀλλ' ἡ λεγομένη Μυκόνιος
ἀγροικία τε καὶ ἀμαθία καὶ ἀβελτηρία πρὸς πάντας
ἐπιτηδεύεται παρὰ σοῦ. λέληθέ σε πολλοῦ δεῖν ταῦτα
εἶναι Κελτοὶ καὶ Θρᾷκες καὶ Ἰλλυριοί; οὐχ ὁρᾷς,
ὁπόσα μὲν ἐν τῇ πόλει ταύτῃ καπηλεῖα; σὺ δὲ ἀπ- 350
εχθάνῃ τοῖς καπήλοις οὐ ξυγχωρῶν ὁπόσου βούλονται
πωλεῖν αὐτοῖς τῷ δήμῳ τὰ ἐπιτήδεια καὶ τοῖς ἐπιδη-
μοῦσιν. οἱ δὲ τοὺς κεκτημένους τὴν γῆν αἰτιῶνται.
σὺ δὲ καὶ τούτους ἐχθροὺς ποιεῖ σαυτῷ τὰ δίκαια
ποιεῖν ἀναγκάζων. οἱ δὲ ἐν τέλει τῆς πόλεως ἀμφοῖν
μετέχοντες ταῖν ζημίαιν, ὥσπερ οἶμαι πρότερον ἔχαιρον
διχόθεν καρπούμενοι τὰς ὠφελείας, καὶ ὡς κεκτημένοι B
καὶ ὡς καπηλεύοντες, τὰ νῦν εἰκότως λυποῦνται δι'
ἀμφοτέρων ἀφῃρημένοι τὰς ἐπικερδείας. ὁ δὲ τῶν
Σύρων δῆμος οὐκ ἔχων μεθύειν οὐδὲ κορδακίζειν
ἄχθεται. σὺ δὲ σῖτον ἄφθονον παρέχων οἴει τρέφειν
αὐτοὺς ἱκανῶς. ἐκεῖνο δέ σου χαρίεν, ὅτι οὐδὲ ὅπως
ἰχθὺς ἐν τῇ πόλει πετραῖος ἔσται σκοπεῖς· ἀλλὰ καὶ
πρῴην μεμφομένου τινός, ὡς οὔτε ἰχθυδίων οὔτε ὀρ-

2 γε om. VMbEF 3 οὐδὲ VMb 4 Θεόγνιδος] vers. 213. 5 ἀλλὰ VMbE | Μυκόνιος Pet.] μία μύκωνος VMbEF, Μύκωνος v 6 τε Cob.] τις 7 παρὰ σοῦ Mb] παρά σου 8 κελτοὶ καὶ θρᾷκες (θράκη V) καὶ (καὶ οἱ MbEF) ἰλλυριοί libri] Κελτοὺς καὶ Θρᾷκας καὶ Ἰλλυριούς 9 καπηλεῖα VMb] καπηλεία 10 ξυγχωρῶν V] συγχωρῶν 11 „Aut αὐτοὺς legendum aut αὐτοῖς post συγχωρῶν collocandum.“ Rsk. 13 ποιεῖ H] ποιεῖς. vid. Cobet. Mnemos. vol. VIII. p. 376 14 αὐτοὺς add. ante ἀναγκάζων Pe mart. 17 δι' libri] δὴ 18 ἐπικερδίας Pe mart. pet. | τῶν om. Pe mart. 21 χάριεν VMb 22 ἰχθῦς Mb

νίθων πολλῶν εὑρισκομένων ἐν ἀγορᾷ, τωθαστικὸν
C μάλα ἐγέλασας, ἄρτου καὶ οἴνου καὶ ἐλαίου τῇ σώ-
φρονι πόλει δεῖν φάμενος, κρεῶν δ' ἤδη τῇ τρυφώσῃ·
τὸ γὰρ καὶ ἰχθύων καὶ ὀρνιθίων λόγον ποιεῖσθαι
πέρα τρυφῆς εἶναι καὶ ἧς οὐδὲ τοῖς ἐν Ἰθάκῃ μνη-
στῆρσι μετῆν ἀσελγείας. ὅτῳ δὲ οὐκ ἐν ἡδονῇ κρέα
ὕεια καὶ προβάτεια σιτεῖσθαι, τῶν ὀσπρίων ἁπτόμενος
εὖ πράξει. ταῦτα ἐνόμισας Θρᾳξὶ νομοθετεῖν τοῖς
D σεαυτοῦ πολίταις ἢ τοῖς ἀναισθήτοις Γαλάταις, οἵ σε
ἐπαιδοτρίβησαν καθ' ἡμῶν πρίνινον, σφενδάμνινον,
οὐκέτι μέντοι καὶ Μαραθωνομάχον, ἀλλ' Ἀχαρνέα μὲν
ἐξ ἡμισείας, ἀηδῆ δ' ἄνδρα παντάπασι καὶ ἄνθρωπον
ἄχαριν. οὐ κρεῖττον ἦν ὀδωδέναι μύρων τὴν ἀγορὰν
βαδίζοντός σου καὶ παῖδας ἡγεῖσθαι καλούς, εἰς οὓς
ἀποβλέψουσιν οἱ πολῖται, καὶ χοροὺς γυναικῶν, ὁποῖοι
παρ' ἡμῖν ἵστανται καθ' ἑκάστην ἡμέραν; ἐμὲ δὲ
351 ὑγρὸν βλέπειν ῥιπτοῦντα πανταχοῦ τὰ ὄμματα [κατό-
πιν], ὅπως ὑμῖν καλός, οὔτι τὴν ψυχήν, ἀλλὰ τὸ
πρόσωπον ὀφθείην, ὁ τρόπος οὐ συγχωρεῖ. ἔστι γάρ,
ὡς ὑμεῖς κρίνετε, ψυχῆς ἀληθινὸν κάλλος ὑγρότης
βίου. ἐμὲ δὲ ὁ παιδαγωγὸς ἐδίδασκεν εἰς γῆν βλέπειν

1 τωθαστικὸν libri] τωθαστικῶς 2 μάλα] μέγα Mb 3 δὲ ἤδη Mb, δὲ εἴδη V 4 γὰρ] δὲ Rsk. | ὀρνίθων Pef mart. pet. 5 πέρας MbEF 6 ὅτω VMbEF] οὕτω 7 πρόβατα V | ὀσπρείων correcte ει in ι V 8 εὐ πράξει libri] εὖ τε πράξειν | θρᾳξὶ libri] καὶ Θρᾳξὶ 8 et 9 τοῖς ἑαυτοῦ VMbEF 10 ὑμῶν mart. pet. | σφεδάμνινον V, σφενδάμινον Mb. Sumta haec sunt ex Aristoph. Acharn. 180 11 μαραθωνομάχον VMb EFPe] Μαραθωνομάχην 12 δὲ VMb 13 ἄχαρι V teste Cobeto, qui hoc probans ἀνθρώπιον scribit | ἦν om. MbEF | μῦρον MbEF 15 ἀποβλέπουσιν MbEFPef 16 ἐμὲ] ἐμοὶ Pef mart. 17 ῥιπτοῦντι Pe mart. | κατόπιν add. VMbEF 19 ὁ τρόπος οὐ συγχωρεῖ om. VMbEF. Probarem, si antea βαδίζοντός μου et παρ' ὑμῖν (quod mart. 1 habet) scriberetur | ἔστι γὰρ VMb EF] ἔστι μὲν γὰρ 21 εἰς γῆν VMbEFPf] εἰς τὴν γῆν

ἐς διδασκάλου φοιτῶντα· θέατρον (δ') οὐκ εἶδον πρὶν
μᾶλλον κομῆσαι τῆς κεφαλῆς τὸ γένειον, ἐν ἐκείνῳ
δὲ τῆς ἡλικίας ἰδίᾳ μὲν καὶ κατ' ἐμαυτὸν οὐδέποτε,
τρίτον δὲ ἢ τέταρτον, εὖ ἴστε, Πατρόκλῳ ἐπίηρα B
φέρων ἄρχων ἐπέταττεν οἰκεῖος ὢν ἐμοὶ καὶ ἀναγκαῖος·
ἐτύγχανον δὲ ἰδιώτης ἔτι· σύγγνωτε οὖν ἐμοί· δίδωμι
γὰρ ὃν ἀντ' ἐμοῦ δικαιότερον μισήσετε τὸν φιλαπεχθή-
μονα παιδαγωγόν, ὅς με καὶ τότε ἐλύπει μίαν ὁδὸν
ἰέναι διδάσκων καὶ νῦν αἴτιός ἐστί μοι τῆς πρὸς ὑμᾶς
ἀπεχθείας, ἐνεργασάμενος τῇ ψυχῇ καὶ ὥσπερ ἐντυ- C
πώσας ὅπερ ἐγὼ μὲν οὐκ ἐβουλόμην τότε, ὁ δὲ ὡς
δή τι χαρίεν ποιῶν μάλα προθύμως ἐνετίθει, καλῶν
οἶμαι σεμνότητα τὴν ἀγροικίαν καὶ σωφροσύνην τὴν
ἀναισθησίαν, ἀνδρείαν δὲ τὸ μὴ εἴκειν ταῖς ἐπιθυμίαις
μηδ' εὐδαίμονα ταύτῃ γίνεσθαι. ἔφη δέ μοι πολλά-
κις, εὖ ἴστε, ναὶ μὰ Δία καὶ μούσας, ὁ παιδαγωγὸς
ἔτι παιδαρίῳ κομιδῇ, Μή σε παραπειθέτω τὸ πλῆθος
τῶν ἡλικιωτῶν ἐπὶ τὰ θέατρα φερόμενον ὀρεχθῆναί D
ποτε ταυτησὶ τῆς θέας. ἱπποδρομίας ἐπιθυμεῖς; ἔστι
παρ' Ὁμήρῳ δεξιώτατα πεποιημένη· λαβὼν ἐπέξιθι τὸ
βιβλίον. τοὺς παντομίμους ἀκούεις ὀρχηστάς; ἔα χαί-
ρειν αὐτούς· ἀνδρικώτερον παρὰ τοῖς Φαίαξιν ὀρχεῖται
τὰ μειράκια· σὺ δ' ἔχεις κιθαρῳδὸν τὸν Φήμιον καὶ

1 ἐς VMb] εἰς | διδασκάλου Rsk. Fr. Vater (in Annall. philol. suppl. vol. 16. p. 180.) Cob.] διδασκάλους. cf. 352 C | δ' add Vater et Cob. | εἶδον libri] ἰδεῖν 2 κοσμῆσαι MbEF. Cf. Xenoph. Conv. 4,28 3 ἰδίᾳ μὲν H] ἰδίᾳ δὲ VMbEF, ἰδίᾳ v 4 ἴσθι MbEF 5 ἄρχων H] ἄρχων 6 σύγγνωτε οὖν Cob.] συγγνωτέον VMb (non συγγνωστέον) EF, συγγνωστέον οὖν v 7 ἐμοῦ VMbEF] ἐμαυτοῦ 9 ἰέναι Rsk. Cob.] εἶναι | ἡμᾶς mart. pet 12 χάριεν V | καλῶν μὲν οἶμαι Mb 14 ἀνδρείαν VMb] ἀνδρίαν 15 μηδὲ VMb | γίνεσθαι V] γίγνεσθαι 16 ναὶ μὰ Cob] μὰ 17 κομιδῇ om. MbEF 20 et 21 τὸ βιβλίον MbEFPef mart. | τῷ βιβλίῳ 23 δὲ VMb

ᾠδὸν τὸν Δημόδοκον. ἔστι καὶ φυτὰ παρ᾽ αὐτῷ πολλὰ τερπνότερα ἀκοῦσαι τῶν ὁρωμένων·

Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμὸν
352 Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα·

καὶ ἡ δενδρήεσσα τῆς Καλυψοῦς νῆσος καὶ τὰ τῆς Κίρκης σπήλαια καὶ ὁ Ἀλκίνου κῆπος· εὖ ἴσθι, τούτων οὐδὲν ὄψει τερπνότερον. ἆρα ποθεῖτε καὶ τοὔνομα ὑμῖν φράσω τοῦ παιδαγωγοῦ, καὶ ὅστις ὢν γένος ταῦτα ἔλεγε; βάρβαρος νὴ θεοὺς καὶ θεάς, Σκύθης μὲν τὸ γένος, ὁμώνυμος δὲ τοῦ τὸν Ξέρξην ἀναπεί-
B σαντος ἐπὶ τὴν Ἑλλάδα στρατεῦσαι, καὶ τὸ πολυθρύλητον τοῦτο δὴ πρὸ μηνῶν μὲν εἴκοσι προσκυνούμενον ὄνομα, νυνὶ δὲ προφερόμενον ἀντ᾽ ἀδικήματος καὶ ὀνείδους, εὐνοῦχος ἦν, ὑπὸ τώμῷ τεθραμμένος πάππῳ, τὴν μητέρα τὴν ἐμὴν ὅπως ἀγάγοι διὰ τῶν Ὁμήρου καὶ Ἡσιόδου ποιημάτων. ἐπεὶ δ᾽ ἐκείνη πρῶτον ἐμὲ καὶ μόνον τεκοῦσα μησὶν ὕστερον ὀλίγοις ἐτελεύτησεν ὑπὸ τῆς ἀμήτορος παρθένου πολλῶν συμφορῶν ἐκ-
C κλαπεῖσα κόρη καὶ νέα, μετ᾽ ἐνιαυτὸν ἕβδομον αὐτῷ παρεδόθην. οὗτος ἐξ ἐκείνου ταῦτα ἀνέπεισεν ἄγων ἐς διδασκάλου μίαν ὁδόν· ἄλλην δ᾽ οὔτ᾽ αὐτὸς εἰδέναι θέλων οὔτ᾽ ἐμοὶ βαδίζειν ξυγχωρῶν ἐποίησεν ἀπεχθα-

1 φυτὰ παρ᾽ αὐτῷ πολλὰ V, παρ᾽ αὐτῷ φυτὰ (φοιτὰ MbEF) πολλὰ MbEFPf, παρ᾽ αὐτῷ πολλὰ φυτὰ v 3 Odyss. ζ, 162 | παρὰ βωμὸν V mart. pet., περὶ βωμὸν MbEFPef, παρὰ βωμῷ spanh. 6 Ἀλκίνου H] Ἀλκινόου. Vid. Annal. Lips. a. 1874 p. 226 9 θεοὺς V] τοὺς θεοὺς 11 στρατεῦσαι om. MbEF | πολυθρύλητον Cob.] πολυθρύλλητον 12 Ἄργος vulgo post πολυθρύλητον (etiam in Mb) additum expunxi cum V | δὴ VMbEFPf] δὲ | πρὸ] τὸ πρὸ MbEF 14 τώμῷ V, τῷ 'μῳ (sic) Mb, τῷ ἐμῷ v 15 ἀγάγοι libri] ἀγάγῃ 16 δὲ V 18 ὑπὸ τῆς ἀμήτορος παρθένου libri] ὥσπερ τις ἀμήτωρ παρθένος 21 ἐς VMb] εἰς | διδασκάλου Rsk. et Cob.] διδασκάλους. cf. 351 A | δὲ οὔτε VMb, δ᾽ οὔτε spanh., δ᾽ οὐδ᾽ mart. pet. 22 οὔτε VMb | ξυγχωρῶν V] συγχωρῶν

νεσθαί με πᾶσιν ὑμῖν. ἀλλ', εἰ δοκεῖ, σπεισώμεθα πρὸς αὐτὸν ἐγώ τε καὶ ὑμεῖς τὴν ἀπέχθειαν λύσαντες. οὔτε γὰρ ἠπίστατο πρὸς ὑμᾶς ἀφιξόμενον οὔτ', εἰ τὰ μάλιστα φοιτᾶν μέλλοιμι, ὅτι καὶ ἄρχων προσεδόκα, D καὶ τοσαύτην ἀρχήν, ὅσην ἔδωκαν οἱ θεοί, πολλὰ ὁμοῦ βιασάμενοι, πείσθητέ μοι, καὶ τὸν διδόντα καὶ τὸν δεχόμενον. ἐῴκει γὰρ ἡμῶν οὐδέτερος ἐθέλειν οὔτε ὁ διδοὺς τὴν τιμὴν ἢ χάριν ἢ ὅ,τι φίλον ὑμῖν αὐτὸ ὀνομάζειν δοῦναι, καὶ ὁ λαμβάνων, ὡς ἴσασιν οἱ θεοὶ πάντες, ἀληθῶς ἠρνεῖτο. καὶ δὴ τοῦτο μὲν ὅπῃ τοῖς θεοῖς φίλον ἔχει τε καὶ ἕξει. τυχὸν δὲ ὁ παιδαγωγὸς εἰ προὔγνω τοῦτο, πολλὴν ἂν ἐποιήσατο 353 προμήθειαν, ὅπως ὅ,τι μάλιστα ὑμῖν φανείην κεχαρισμένος. Εἶτα οὐκ ἔξεστιν ἀποθέσθαι νῦν καὶ μεταμαθεῖν εἴ τι πρότερον ἡμῖν ἄγροικον ἦθος ἐνετράφη; Ἔθος, φασί, δευτέρη φύσις· φύσει μάχεσθαι δ' ἔργον, ἐτῶν τριάκοντα μελέτην ἀφεῖναι παγχάλεπον ἄλλως τε καὶ μετὰ τοσαύτης ἐγγενομένην τῆς χαλεπότητος· ἐμοὶ δὲ ἤδη πλείω τούτων ἐστίν. Εἶεν· ἀλλὰ τί B παθὼν αὐτὸς ἐπιχειρεῖς ἀκροᾶσθαι περὶ τῶν συμβολαίων καὶ δικάζειν; οὐ γὰρ δὴ καὶ τοῦτό σε ὁ παιδαγωγὸς ἐδίδασκεν, ὃς οὐδ' εἰ ἄρξεις ἠπίστατο. Δεινὸς δὲ ἀνέπεισε γέρων, ὃν καὶ ὑμεῖς ὡς ὄντα μάλιστα αἰτιώτατον τῶν ἐμῶν ἐπιτηδευμάτων ὀρθῶς ποιοῦντες

3 οὔτ' H] οὐδ' 4 ἄρχων MbEFPe mart.] ἄρχειν 6 βιασάμενοι πεισθῆναι (sine μοι) Rsk. 7 τὸν δ. . . . . . . ἐῴκει V 8 τὴν. . . . . ἢ ὅτι V 10 τοῦτον V 12 προὔγνω H] προέγνω 14 et 15 ἀπομαθεῖν Pef mart. pet. 15 πρᾳότερον ἡμῖν ἢ ἄγροικον mart. pet. | ἀνετράφη Pe mart. pet. 16 δευτέρα Mb EF | φύσει om. Pe mart. pet. | δ' VMb] δὲ 17 ἐτῶν VMb EFPe] ἐτῶν δὲ | παγχάλεπον om. MbEF 18 καὶ om. MbEF mart. | τοσαύτην MbEF | ἐγγενομένης MbEF | τῆς add. VMbEF Pf 20 παθὼν MbEFPe mart. pet.] μαθὼν 22 οὐδὲ εἰ Mb, οὐδὲ V, οὐδ' ὅτι Cob. 23 δὲ om. Pef mart.

ξυλλοιδορεῖτέ μοι, καὶ τοῦτον δ', εὖ ἴστε, ὑπ' ἄλλων ἐξηπατημένον. ὀνόματα ἥκει πρὸς ὑμᾶς πολλάκις κωμῳδούμενα, Πλάτων καὶ Σωκράτης καὶ Ἀριστο-
C τέλης καὶ Θεόφραστος. ἐκείνοις ὁ γέρων οὗτος πεισθεὶς ὑπ' ἀφροσύνης, ἔπειτα ἐμὲ νέον εὑρών, ἐραστὴν λόγων, ἀνέπεισεν, ὡς, εἰ τὰ πάντα ἐκείνων ζηλωτὴς γενοίμην, ἀμείνων ἔσομαι τῶν μὲν ἄλλων ἀνθρώπων ἴσως οὐδενός· οὐ γάρ εἶναί μοι πρὸς αὐτοὺς τὴν ἅμιλλαν· ἐμαυτοῦ δὲ πάντως. ἐγὼ δέ· οὐ γὰρ εἶχον ὅ,τι ποιῶ· πεισθεὶς οὐκέτι δύναμαι μεταθέσθαι, καὶ
D ταῦτα ἐθέλων πολλάκις, ἀλλ' ὀνειδίζω μὲν ἐμαυτῷ, διότι μὴ ποιῶ (πᾶσι) πᾶσαν ἄδειαν ἁπάντων ἀδικημάτων· ὕπεισι δέ με ἐκ τῶν Πλάτωνος ὅσα ὁ Ἀθηναῖος διεξῆλθε ξένος, "Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν, ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν. ὁ δὲ καὶ συγκολάζων
354 εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος, οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῆς. τὸν αὐτὸν δὴ τοῦτον ἔπαινον καὶ περὶ σωφροσύνης χρὴ λέγειν καὶ περὶ φρονήσεως καὶ ὅσα ἄλλα ἀγαθά τις κέκτηται, δυνατὰ μὴ μόνον αὐτὸν ἔχειν, ἀλλὰ καὶ

1 ξυλλοιδορεῖτε V] συλλοιδ. | δὲ VMb 5 ὑπὸ VMb 6 λόγων om. Mb | ἐκείνων] ἐκείνοις Pe mart. 12 πᾶσι addidit Cob. 13 με V] μοι | Πλάτωνος] Legg. V. p. 730 D 16 ἐκείνου mart. pet. e Platone, ut videtur] ἐκεῖνος 17 ὁ δὲ] οὐδὲ V 18 συγκολάζων VMbF] ξυγκολάζων cum Platone 19 ἀνὴρ ante εἰς δύναμιν add. V | ἄρχουσιν ὁ μέγας cum Platone VMbF] ἄρχουσι, μέγας 20 ἀρετῇ Platonis libri. Iuliani vero ἀρετῆς, quod etiam 100 C et apud Maximum Tyr. 5,9 legitur, verum esse docet Plat. Legg. XII. p. 964 C τοῦ πᾶσαν ἀρετὴν νενικηκότος, quod nunc ex optimis libris restitutum est pro τοῦ πάσῃ ἀρετῇ νενικηκότος 22 περὶ ante φρονήσεως om. MbF 23 δύναται Pe. Pet. suspicatur καὶ δύναται μὴ μόνος αὐτὸς ἔχειν

ἄλλοις μεταδιδόναι“. ταῦτα ἐδίδασκέ με νομίζων ἰδιώτην ἔσεσθαι· καὶ γὰρ οὐδὲ προύγνω ταύτην ἐκ Διός B μοι τὴν τύχην ἐσομένην, εἰς ἣν νῦν ὁ θεὸς φέρων κατέστησεν. ἐγὼ δὲ αἰσχυνόμενος ἄρχων ἰδιώτου φαυλότερος εἶναι λέληθα ἐμαυτόν, οὐδὲν δέον, ὑμῖν τῆς ἀγροικίας μεταδιδοὺς τῆς ἐμαυτοῦ. καί με ἕτερος τῶν Πλάτωνος νόμων ὑπομνησθέντα ἐμαυτοῦ πεποίηκεν ἀπεχθάνεσθαι πρὸς ὑμᾶς, ὅς φησι δεῖν αἰδῶ καὶ σωφροσύνην ἀσκεῖν τοὺς ἄρχοντας καὶ τοὺς πρεσβυτέρους, ἵνα τὰ πλήθη πρὸς αὐτοὺς ἀποβλέποντα κοσμῆται. C μόνῳ οὖν μοι, μᾶλλον δὲ ξὺν ὀλίγοις ἐπιτηδεύοντι νῦν τοῦτο πρὸς θάτερα περιέστη καὶ γέγονεν οὐκ ἀπεικότως ἐν ὀνείδει. ἑπτὰ [μὲν] γάρ ἐσμεν οἴδε [καὶ] παρ' ὑμῖν ξένοι νεήλυδες, εἷς δὲ καὶ πολίτης ὑμέτερος, Ἑρμῇ φίλος καὶ ἐμοί, λόγων ἀγαθὸς δημιουργός, οἷς οὐδέν ἐστι πρός τινα συμβόλαιον, οὐδ' ἄλλην ὁδὸν βαδίζομεν (ἢ) πρὸς τὰ τῶν θεῶν ἱερά, καὶ ὀλιγάκις, οὐ πάντες, εἰς τὰ θέατρα, πεποιημένοι D τὸ δυσκλεέστατον τῶν ἔργων καὶ ἐπονείδιστον τοῦ βίου τέλος· ἐπιτρέψουσί μοι πάντως οἱ τῶν Ἑλλήνων σοφοὶ φάναι τι τῶν παρ' ὑμῖν ἐπιπολαζόντων· οὐ γὰρ ἔχω πῶς ἂν αὐτὸ μᾶλλον ἐνδειξαίμην· ἐπὶ τῆς μεσιτείας αὐτοὺς ἐτάξαμεν, οὕτω περὶ πολλοῦ ποιού-

1 καὶ ἄλλοις MbF Plat.] καὶ τοῖς ἄλλοις. Loco verborum [τοῖς] ἄλλοις μεταδιδόναι in V est atra macula 2 προύγνω H] προέγνω v, πρ. . . . . ἐκ διὸς V 3 ὁ θεὸς φέρων in Pe punctis notata 7 ἐμαυτῷ MbFPef mart. 8 αὐτὸς φημὶ V, αὐτός φησι MbF | αἰδῶ Mb] αἰδὼ 10 βλέποντα V 11 ξὺν V] σὺν 12 περίεστι V 13 μὲν om. VF 14 καὶ om. Pe mart. pet. Pro οἴδε καὶ Rsk. ἢ δέκα scribit 16 οὐδὲ VMb 17 ἢ add. Cob. | πρὸς V] πρὸς δὲ 18 οὐ πάντη MbPe 19 ἐπονειδιστότατον? 21 ἡμῖν mart. pet. 22 ἔχων Pe mart. spanh. | ταῖς μεσιτείαις mart. pet. 23 αὐτοὺς Cob.] αὐτοὺς (αυτὸ mart. pet.) | ἐτάξαμεν VMbF] ἐταξαμην | ποθούμεθα mart. pet.

μεθα τὸ προσκρούειν ὑμῖν καὶ ἀπεχθάνεσθαι, δέον ἀρέσκειν καὶ θωπεύειν. ὁ δεῖνα ἐβιάσατο τὸν δεῖνα. Τί τοῦτο, ὦ μῶρε, πρὸς σέ; κοινωνεῖν ἐξὸν μετ' εὐνοίας τῶν ἀδικημάτων, ἀφεὶς τὸ κέρδος ἔχθραν ἐπ-
355 αναιρῇ, καὶ τοῦτο ποιῶν ὀρθῶς οἴει ποιεῖν καὶ φρονεῖν ὑπὲρ τῶν σεαυτοῦ. λογίσασθαι ἐχρῆν, ὅτι τῶν μὲν ἀδικουμένων οὐδεὶς αἰτιᾶται τοὺς ἄρχοντας, ἀλλὰ τὸν ἀδικήσαντα, ὁ δ' ἀδικῶν εἶτα εἰργόμενος, ἀφεὶς μέμφεσθαι τὸν ἀδικούμενον, εἰς τοὺς ἄρχοντας τρέπει τὸ ἄχθος. ἐξὸν οὖν ὑπὸ τῆς εὐλογιστίας ταύτης ἀπέχεσθαι μὲν τοῦ τὰ δίκαια ποιεῖν ἀναγκάζειν, ἐπιτρέψαι
B δ' ἑκάστῳ πράττειν ὅ,τι ἂν ἐθέλῃ καὶ δυνατὸς ᾖ· τὸ γὰρ τῆς πόλεως ἦθος οἶμαι τοιοῦτόν ἐστιν, ἐλεύθερον λίαν· σὺ δὲ οὐ ξυνεὶς ἄρχεσθαι αὐτοὺς μετὰ φρονήσεως ἀξιοῖς; οὐδ' ἀπέβλεψας ὅση καὶ μέχρι τῶν ὄνων ἐστὶν ἐλευθερία παρ' αὐτοῖς καὶ τῶν καμήλων; ἄγουσί τοι καὶ ταύτας οἱ μισθωτοὶ διὰ τῶν στοῶν ὥσπερ τὰς νύμφας· οἱ γὰρ ὑπαίθριοι στενωποὶ καὶ αἱ πλατεῖαι τῶν ὁδῶν οὐκ ἐπὶ τούτῳ δήπου πεποίηνται, τῷ χρῆσθαι αὐταῖς τοὺς κανθηλίους, ἀλλ' ἐκεῖναι μὲν αὐτὸ δὴ τοῦτο κόσμου τινὸς ἕνεκα πρόκεινται καὶ
C πολυτελείας, χρῆσθαι δὲ ὑπ' ἐλευθερίας οἱ ὄνοι βούλονται ταῖς στοαῖς, εἴργει δ' αὐτοὺς οὐδεὶς οὐδενός, ἵνα μὴ τὴν ἐλευθερίαν ἀφέληται· οὕτως ἡ πόλις ἐστὶν

3 μῶρε H] μωρὲ | κοινωνεῖν Pet. spanh.] κοινωνεῖ 4 ἀδικημάτων] λημμάτων Cob. Vulgatum vero satis tuentur Lysias 27,6 et Plato Civit. II. p. 365E et Legg. X. p. 906D | ἀφεὶς τὸ] ἀφεῖσθαι mart., ἀφεῖσθαι τὸ pet. 7 ἀδικουμένων H] ἀδικημάτων 8 δὲ VMb 10 ἄχθος VMbFPf] ἔχθος 12 δὲ VMb 14 ξυνεὶς V] συνεὶς 15 οὐδὲ VMb | ὅση] ὅτι F 16 αὐτοῖς libri] αὐτῆς 17 οἱ μισθωταί, locatores asinarii Rsk. 22 ὑπ'] ὑπὲρ V 23 δὲ VMb | αὐτοὺς οὐδεὶς V] οὐδεὶς αὐτοὺς 24 οὕτως ἡ πόλις ἐστὶν V] οὕτως ἐστὶν ἡ πόλις

ἐλευθέρα. σὺ δὲ ἀξιοῖς τοὺς ἐν αὐτῇ νεανίσκους ἄγειν ἡσυχίαν καὶ μάλιστα μὲν φρονεῖν ὅ,τι σοι φίλον, εἰ δὲ μή, φθέγγεσθαι ὅσων ἂν ἡδέως ἀκούσαις. οἱ δὲ ὑπ' ἐλευθερίας εἰώθασι κωμάζειν, ἀεὶ μὲν ἐπιεικῶς αὐτὸ ποιοῦντες, ἐν δὲ ταῖς ἑορταῖς πλέον. Ἔδωκάν ποτε τῶν τοιούτων σκωμμάτων Ῥωμαίοις Ταραντῖνοι D δίκας, ὅτι μεθύοντες ἐν τοῖς Διονυσίοις ὕβρισαν αὐτῶν τὴν πρεσβείαν. ὑμεῖς δέ ἐστε τῶν Ταραντίνων τὰ πάντα εὐδαιμονέστεροι, ἀντὶ μὲν ὀλίγων ἡμερῶν ὅλον εὐπαθοῦντες ἐνιαυτόν, ἀντὶ δὲ τῶν ξένων πρέσβεων εἰς αὐτοὺς ἐξυβρίζοντες τοὺς ἄρχοντας καὶ τούτων εἰς τὰς ἐπὶ τοῦ γενείου τρίχας καὶ τὰ ἐν τοῖς νομίσμασι χαράγματα. εὖ γε, ὦ πολῖται σώφρονες, οἵ 356 τε παίζοντες τὰ τοιαῦτα καὶ οἱ τῶν παιζόντων ἀποδεχόμενοι καὶ ἀπολαύοντες. δῆλον γάρ, ὅτι τοῖς μὲν ἡδονὴν παρέχει τὸ λέγειν, τοὺς δὲ τὸ ἀκροᾶσθαι τῶν τοιούτων σκωμμάτων εὐφραίνει. ταύτης ὑμῖν ἐγὼ τῆς ὁμονοίας συνήδομαι, καὶ εὖ γε ποιεῖτε μία δὴ πόλις ὄντες τὰ τοιαῦτα, ὡς ἐκεῖνό γε οὐδαμοῦ σπουδαῖον οὐδὲ ζηλωτὸν εἴργειν καὶ κολάζειν τῶν νέων τὸ ἀκό- B λαστον. παραιρεῖσθαι γάρ ἐστι καὶ ἀποθραύειν τῆς ἐλευθερίας τὸ κεφάλαιον, εἴ τις ἀφέλοιτο τοῦ λέγειν καὶ πράττειν ὅ,τι βούλονται τοὺς ἀνθρώπους. ὀρθῶς οὖν ὑμεῖς τοῦτο εἰδότες, ὅτι δεῖ τὰ πάντα ἐλευθέρους εἶναι, πρῶτον ἐπετρέψατε ταῖς γυναιξὶν ἄρχειν αὐτῶν,

2 ἡσυχίαν V 3 φέγγεσθαι V | ὅσων VMbF] ὅσα | ἀκούσεις F, ἀκούσῃς H 5 ἐν ταῖς ἑορταῖς δὲ πλ. mart. pet. 11 ἐξυβρίζοντες V, ἐνυβρίζοντες MbFPf, ὑβρίζοντες v 15 ἀπολάβοντες MbF 16 τῷ ἀκροᾶσθαι MbF, ἀκροᾶσθαι mart. 18—20 Verba καὶ εὐ γε — οὐδὲ ζηλωτὸν om. MbF 18 μία δὴ H] μία ἡ 19 ἐς τὰ τοιαῦτα Rsk. 20 τὸ add. Cob. ante εἴργειν. Sed vid. ad Xenoph. C. D. I, 6, 10 et H. Saupp. ad Demosth. 3, 12 25 ἐπέτρεψα V

ἵνα ὑμῖν ὦσι λίαν ἐλεύθεραι καὶ ἀκόλαστοι, εἶτα
ἐκείναις ξυνεχωρήσατε ἀνάγειν τὰ παιδία, μή ποτε
C ὑμῖν ἀρχῆς πειρώμενα τραχυτέρας ἔπειτα ἀποφανθῇ
δοῦλα, καὶ γενόμενα μειράκια πρῶτον αἰδεῖσθαι δι-
δαχθῇ τοὺς πρεσβυτέρους, ὑπὸ δὲ τῆς οὕτω κακῆς
συνηθείας εὐλαβέστερα γένηται πρὸς τοὺς ἄρχοντας,
καὶ τέλος οὐκ εἰς ἄνδρας, ἀλλ' εἰς ἀνδράποδα τελέ-
σαντες καὶ γενόμενοι σώφρονες καὶ ἐπιεικεῖς καὶ κό-
σμιοι λάθωσι διαφθαρέντες παντάπασι. τί οὖν αἱ
γυναῖκες; ἐπὶ τὰ σφέτερα σεβάσματα ἄγουσιν αὐτὰ δι'
D ἡδονῆς, ὃ δὴ μακαριώτατον εἶναι φαίνεται καὶ πολυ-
τίμητον οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ θηρίοις.
ἔνθεν οἶμαι συμβαίνει μάλα ὑμῖν εὐδαίμοσιν εἶναι
πᾶσαν ἀρνουμένοις δουλείαν, ἀπὸ τῆς εἰς τοὺς θεοὺς
πρῶτον, εἶτα τοὺς νόμους καὶ τρίτον τοὺς νομοφύλα-
κας ἡμᾶς. ἄτοποί τε ἂν εἴημεν ἡμεῖς, εἰ τῶν θεῶν
περιορώντων οὕτως ἐλευθέραν τὴν πόλιν καὶ οὐκ ἐπ-
εξιόντων ἀγανακτοίημεν καὶ χαλεπαίνοιμεν. εὖ γὰρ
357 ἴστε ὅτι [καὶ] ταύτης ἡμῖν ἐκοινώνησαν οἱ θεοὶ τῆς
ἀτιμίας παρὰ τῇ πόλει. τὸ Χῖ, φασίν, οὐδὲν ἠδίκησε
τὴν πόλιν οὐδὲ τὸ Κάππα. τί μέν ἐστι τοῦτο τῆς
ὑμετέρας σοφίας τὸ αἴνιγμα ξυνεῖναι χαλεπόν, τυ-
χόντες δ' ἡμεῖς ἐξηγητῶν ἀπὸ τῆς ὑμετέρας πόλεως
ἐδιδάχθημεν ἀρχὰς ὀνομάτων εἶναι τὰ γράμματα,

1 ἵνα ὑμῖν ὦσι VMbF] ἵνα ὦσιν ὑμῖν 2 ξυνεχωρήσατε V] συνεχωρήσατε 2 ἀνάγειν] Huius loco in V nunc est atra macula 4 δοῦλα ... ενόμενα V, γινόμενα MbF 5 οὕτω (οὕτως V) κακῆς συνηθείας VMbF] συνηθείας ταύτης 7 οὐκ ... ἄνδρας V 10 σφέτερα om. V 14 τοὺς om. Pe mart. Post θεοὺς vero fortasse ἀρξαμένοις excidit 15 εἶτα VMbFPf] ἔπειτα 19 ὅτι om. MbF | καὶ om. MbFPef mart. pet. | ἡμῖν ταύτης MbFPef mart. pet. 20 φασίν H] φησίν 22 ξυνεῖναι V] συνεῖναι 23 δὲ VMb 24 ὀνομάτων VMbF] ὀνοματίων

δηλοῦν δ' ἐθέλειν τὸ μὲν Χριστόν, τὸ δὲ Κωνστάντιον. ἀνέχεσθε οὖν μου λέγοντος μετὰ παρρησίας. B ἓν μόνον ὑμᾶς ὁ Κωνστάντιος ἠδίκησεν, ὅτι με καίσαρα ποιήσας οὐκ ἀπέκτεινεν· ὡς τά γε ἄλλα ὑμῖν μόνοις ἐκ πάντων Ῥωμαίων πολλῶν δοῖεν οἱ θεοὶ [τῶν] Κωνσταντίων πειραθῆναι, μᾶλλον δὲ τῶν ἐκείνου φίλων τῆς πλεονεξίας. ἐμοὶ γὰρ ὁ ἀνὴρ καὶ ἀνεψιὸς ἐγένετο καὶ φίλος. ἐπεὶ δὲ [καὶ] πρὸ τῆς φιλίας εἵλετο τὴν ἔχθραν, εἶτα ἡμῖν οἱ θεοὶ τὸν πρὸς ἀλλήλους ἀγῶνα λίαν ἐβράβευσαν φιλανθρώπως, ἐγενόμην αὐτῷ C πιστότερος φίλος ἢ προσεδόκησεν ἕξειν με πρὶν ἐχθρὸν γενέσθαι. τί οὖν οἴεσθέ με τοῖς ἐκείνου λυπεῖν ἐγκωμίοις, ὃς ἄχθομαι τοῖς λοιδορουμένοις αὐτῷ; Χριστὸν δὲ ἀγαπῶντες ἔχετε πολιοῦχον ἀντὶ τοῦ Διὸς καὶ τοῦ Δαφναίου καὶ τῆς Καλλιόπης, ἣ τὸ σόφισμα ὑμῶν ἀπεγύμνωσεν. Ἐμισηνοὶ Χριστὸν ἐπόθουν οἱ πῦρ ἐμβαλόντες τοῖς τάφοις τῶν Γαλιλαίων; ἐλύπησα δ' ἐγὼ τίνας Ἐμισηνῶν πώποτε; ὑμῶν μέντοι πολλοὺς D καὶ ὀλίγου δέω φάναι πάντας, τὴν βουλήν, τοὺς εὐπόρους, τὸν δῆμον. ὁ μὲν γὰρ δῆμος ἄχθεταί μοι τῷ πλείστῳ μέρει, μᾶλλον δ' ἅπας ἀθεότητα προελόμενος, ὅτι τοῖς πατρίοις ὁρᾷ τῆς ἁγιστείας θεσμοῖς προσκείμενον, οἱ δὲ δυνατοὶ κωλυόμενοι πολλοῦ πάντα πωλεῖν ἀργυρίου, πάντες δὲ ὑπὲρ τῶν ὀρχηστῶν καὶ τῶν θεάτρων, οὐχ ὅτι τοὺς ἄλλους ἀποστερῶ τούτων,

1 δὲ VMb | τὸ μὲν Χ Χριστόν, τὸ δὲ Κ Κωνστάντιον Cob. 6 τῶν uncinis circumscripsit H 8 καὶ om. MbFPef mart. pet., uncis inclusit H 15 ὑ . . ν V 17 ἐμβάλλοντες Pe mart. | ταφ . . . . . . γαλιλαίων V 17 et 18 δὲ ἐγὼ, τίνας VMb, δ' ἐγὼ τινας v 18 πολλοὺς] . . . λοὺς V, πολλὰ Mb 21 δὲ Mb | προσελόμενος V 22 ἁγιστείας Mb] ἀγιστείας

358 ἀλλ' ὅτι μέλει μοι τῶν τοιούτων ἧττον η τῶν ἐν τοῖς τέλμασι βατράχων. εἶτα οὐκ εἰκότως ἐμαυτοῦ κατηγορῶ τοσαύτας ἀπεχθείας λαβὰς παρασχόντος; ἀλλ' ὁ Ῥωμαῖος Κάτων, ὅπως μὲν ἔχων πώγωνος οὐκ οἶδα, παρ' ὁντινοῦν δὲ τῶν ἐπὶ σωφροσύνῃ καὶ μεγαλοψυχίᾳ καὶ τὸ μέγιστον ἀνδρείᾳ μέγα φρονούντων ἄξιος ἐπαινεῖσθαι, προσιὼν τῇδε τῇ πολυανθρώπῳ καὶ τρυφερᾷ καὶ πλουσίᾳ πόλει τοὺς ἐφήβους ἰδὼν
B ἐν τῷ προαστείῳ μετὰ τῶν ἀρχόντων ἐσταλμένους ὡς ἐπί τινα δορυφορίαν ἐνόμισεν αὐτοῦ χάριν ὑμῶν τοὺς προγόνους τὴν παρασκευὴν πᾶσαν πεποιῆσθαι· καὶ θᾶσσον ἀποβὰς τοῦ ἵππου προῆγεν ἅμα καὶ πρὸς τοὺς προλαβόντας τῶν φίλων δυσχεραίνων ὡς μηνυτὰς γενομένους αὐτοῖς, ὅτι Κάτων προσάγει, καὶ ἀναπείσαντας ἐκδραμεῖν. ὄντος δ' ἐν τοιούτοις αὐτοῦ καὶ διαποροῦντος ἠρέμα καὶ ἐρυθριῶντος, ὁ γυμνασίαρχος
C προσδραμών, Ὦ ξένε, ἔφη, ποῦ Δημήτριος; ἦν δ' οὗτος ἀπελεύθερος Πομπηίου, κεκτημένος οὐσίαν πολλὴν πάνυ· μέτρον δ' αὐτῆς εἰ ποθεῖτε μαθεῖν· οἶμαι γὰρ ὑμᾶς ἐκ πάντων τῶν λεγομένων πρὸς ταύτην μάλιστα ὡρμῆσθαι τὴν ἀκοήν· ἐγὼ τὸν εἰπόντα φράσω. Δαμοφίλῳ τῷ Βιθυνῷ πεποίηται συγγράμματα τοι-

1 τῶν om. mart. pet. | τῶν τοιούτων—βατράχων cit. Suidas v. Μέλλει et v. Τέλμα | ἧττον] οὐδὲν ἧττον Suid. 3 τοσαύτας Rsk.] τοσαύτης | ἀλλὰ VMb 5 ὁντινοῦν Rsk.] ὡντινοῦν V, ὁντιναοῦν v 6 ἀνδρίᾳ mart. pet. | μέγα φρονούντων MbF, μεγαφρονούντων Pef mart. pet., φρονούντων V spanh. 9 ὡς om. MbFPef mart. pet. 12 προῆγεν MbPef mart. pet.] προσῆγεν V spanh. Plutarch. Cat. min. 13 πεζῇ προήει. Reiskio ante ἅμα videtur αἰδεσθεὶς aut ἀχθόμενος aut tale quid deesse | πρὸς om. Mb mart. 14 προάγει MbF | ἀνασπείσαντας V 15 δέ VMb 17 δὲ VMb 19 δὲ VMb 21 ὁρμῆσαι Mb, ὡρμῆσαι F 22 δημοφίλῳ MbFPef mart.

αὗτα, ἐν οἷς δρεπόμενος ἐκ τῶν πολλῶν εἰργάσατο D
λόγους ἡδίστους νέῳ φιληκόῳ καὶ πρεσβυτέρῳ· φιλεῖ
γὰρ τὸ γῆρας ἐπανάγειν αὖθις εἰς τὴν τῶν νέων
φιληκοΐαν τοὺς ἀφηλικεστέρους· ὅθεν οἶμαι συμβαίνει
νέους καὶ πρεσβύτας ἐξ ἴσης εἶναι φιλομύθους. εἶεν.
ὁ δὲ δὴ Κάτων ὅπως ἀπήντησε τῷ γυμνασιάρχῳ βού-
λεσθε φράσω; μή με λοιδορεῖν ὑπολάβητε τὴν πόλιν·
οὐκ ἔστιν ὁ λόγος ἐμός. εἴ τις ἀφῖκται περιφερομένη
καὶ εἰς ὑμᾶς ἀκοὴ Χαιρωνέως ἀνδρὸς ἐκ τοῦ φαύλου 359
γένους, ὃ δὴ λέγεται παρὰ τῶν ἀλαζόνων φιλόσοφον·
οὗ δὴ καὶ αὐτὸς οὐκ ἐφικόμην μέν, ηὐξάμην δὲ ὑπὸ
ἀμαθίας κοινωνῆσαι καὶ μετασχεῖν. ταῦτα οὖν ἐκεῖνος
ἔφρασεν, ὡς ὁ Κάτων ἀπεκρίνατο μὲν οὐδέν, βοήσας
δὲ μόνον οἷά τις ἔμπληκτος καὶ ἀνόητος ἄνθρωπος,
Ὢ τῆς κακοδαίμονος πόλεως, ἀπιὼν ᾤχετο. μὴ δὴ
θαυμάσητε, τοῦτο εἰ καὶ ἐγὼ νυνὶ πάσχω πρὸς ὑμᾶς, B
ἀνὴρ ἀγριώτερος ἐκείνου καὶ θρασύτερος τοσούτῳ
καὶ αὐθαδέστερος, ὅσον οἱ Κελτοὶ Ῥωμαίων. ὁ μὲν
γὰρ ἐκεῖσε τεχθεὶς ἐγγὺς ἦλθε γήρως ἅμα τοῖς πολί-
ταις τρεφόμενος· ἐμοὶ δὲ Κελτοὶ καὶ Γερμανοὶ καὶ
δρυμὸς Ἑρκύνιος ἔμελεν ἄρτι πρῶτον εἰς ἄνδρας τε-
λοῦντι, καὶ διέτριψα πολὺν ἤδη χρόνον, ὥσπερ τις
κυνηγέτης ἀγρίοις ὁμιλῶν καὶ συμπλεκόμενος θηρίοις,
ἤθεσιν ἐντυγχάνων οὔτε θωπεύειν οὔτε κολακεύειν C

1 ἐκ τῶν πολλῶν] ἐκ βίβλων πολλῶν? Rsk. deesse putat καὶ χυδαίων συγγραφέων 4 ἀφηλικεστέρους VMbPef] ἀφιληκοεστέρους 10 παρὰ V] περὶ | φιλόσοφον V] φιλοσόφων 12 ἐκεῖνος] Vit. Cat. min. 13 et Vit. Pomp. 40. 13 οὐθὲν V 15 ὦ VMb] ὠ | μὴ δὴ VMbF] μηδὲ Pef mart. pet., μηδὲ δὴ spanh. 16 νυνὶ VMbF] νυνὶ τοιαῦτα 17 ἐκείνου καὶ θρασύτερος τοσούτῳ om. V | τοσοῦτο Mb 20 στρεφόμενος Pef mart., non male; cf. 167 A 248 A 21 ἑρκύνιος V | ἔμελλεν V, ἔμελε mart., ἔμελλε pet. | ἄνδρα V spanh. Idem vitium vid. apud Cyrill. 230 A 23 ἄγριος V | πολεμῶν MbFPef mart.

εἰδόσιν, ἁπλῶς δὲ καὶ ἐλευθέρως ἐκ τοῦ ἴσου πᾶσι
προσφέρεσθαι. γέγονεν οὖν μοι μετὰ τὴν ἐκ παίδων
τροφὴν ἥ τε ἐν μειρακίοις ὁδὸς διὰ τῶν Πλάτωνος
καὶ Ἀριστοτέλους λόγων οὐδαμῶς ἐπιτηδείῳ δήμοις
ἐντυγχάνειν καὶ ὑπὸ τρυφῆς εὐδαιμονεστάτῳ εἶναι,
ἥ τε ἐν ἀνδράσιν αὐτουργία παρὰ τοῖς μαχιμωτάτοις
καὶ θυμικωτάτοις τῶν ἐθνῶν, ὅπου τὴν γαμηλίαν
Ἀφροδίτην καὶ τὸν μεθυδότην Διόνυσον γάμου τε
ἕνεκα καὶ παιδοποιίας οἴνου τε ὁπόσης ἑκάστῳ δυνα-
D τὸν πόσεως ἴσασι μόνον. ἀσέλγεια δ' οὐκ ἔστιν ἐν
τοῖς θεάτροις οὐδὲ ὕβρις, οὐδὲ ἕλκει τις εἴσω τῆς
σκηνῆς τὸν κόρδακα. λέγεταί τοι μικρῷ πρόσθεν ὡς
ἐνθένδε ἐκεῖσέ τις Καππαδόκης φυγάς, ἐν τῇ παρ'
ὑμῖν τραφεὶς πόλει παρὰ τῷ χρυσοχόῳ· γνωρίζετε δή-
πουθεν ὃν λέγω· μαθὼν ὅπου καὶ ἔμαθεν, ὡς οὐ
δέον ὁμιλεῖν γυναιξί, μειρακίοις δ' ἐπιχειρεῖν, οὐκ
360 οἶδα ὁπόσα ἐνθάδε δράσας καὶ παθών, ἐπειδὴ παρὰ
τὸν ἐκεῖσε βασιλέα πρῴην ἀφίκετο, μνήμῃ τῶν τῇδε
πολλοὺς μὲν ὀρχηστὰς αὐτοῖς ἐπαγαγεῖν, ἄλλα δὲ τὰ
ἐντεῦθεν ἀγαθὰ τοιαῦτα, καὶ δὴ (καὶ) τέλος ὡς ἐν-
εδέησεν ἔτι κοτυλιστοῦ· τοῦτο δ' ὑμεῖς ἴστε πρὸς τῷ
ἔργῳ τὶ ὄνομα· καὶ τοῦτον ἐνθένδε ἐκάλει πόθῳ καὶ
ἔρωτι τῆς σεμνῆς παρ' ὑμῖν διαίτης. οἱ Κελτοὶ δὲ

3 ἥ γε Pef mart. pet. 4 ἐπιτηδείῳ mart. pet., ἐπιτηδεύω Pf, ἐπιτηδεία v 5 εὐδαιμονεστάτῳ MbFPf mart. pet.] εὐδαιμονεστάτοις. Totum vero locum ita scribendum esse puto: ἥ τε ἐν μειρακίοις ὁδὸς διὰ τῶν Πλάτωνος καὶ Ἀριστοτέλους λόγων οὐδαμῶς ἐπιτηδείων δήμοις ἐντυγχάνειν οἰομένοις ὑπὸ τρυφῆς εὐδαιμονεστάτοις εἶναι. Reiskius quoque vult ἐπιτηδείων τρυφῶσι δήμοις et εὐδαιμονεστάτοις οἰομένοις εἶναι. 10 ἴσασι VMb] ἴσασιν | δὲ VMb 11 οὐδὲ alterum] οὔτε VMbF 12 ὡς] ἰὼν H 15 ὃν] ὃ VMbFPf | ὅπου] ὅτου Rsk. | καὶ om. Mb 16 δὲ VMb 18 πρῴην VMbF] πρῶτον 19 ἄλλα H] πολλὰ 20 καὶ δὴ καὶ H] καὶ δὴ | ὡς ἐδέησεν MbF 21 δὲ VMb

τὸν μὲν κοτυλιστὴν ἠγνόησαν, ἐδέξατο γὰρ αὐτὸν B αὐτίκα τὰ βασίλεια, τοὺς ὀρχηστὰς δὲ ἐπιτραπέντας ἐγ τῷ θεάτρῳ τὴν τέχνην εἴασαν οἰόμενοι τοῖς νυμπολήπτοις αὐτοὺς ἐοικέναι. καὶ ἦν αὐτοῖς ἐκεῖ παραπλησίως ἐμοὶ καταγελαστότατον τὸ θέατρον· ἀλλ' οἱ μὲν ὀλίγοι πολλῶν κατεγέλων, ἐγὼ δὲ ξὺν ὀλίγοις ἐνθάδε γελοῖος ὑμῖν ἅπασι τὰ πάντα φαίνομαι. καὶ οὐκ ἀγανακτῶ τῷ πράγματι. καὶ γὰρ ἂν εἴην ἄδικος C εἰ μὴ καὶ τοῖς παροῦσι στέργοιμι, διαφερόντως ἀσπασάμενος ἐκεῖνα. Κελτοὶ μὲν γὰρ οὕτω με δι' ὁμοιότητα τρόπων ἠγάπησαν, ὥστε ἐτόλμησαν οὐχ ὅπλα μόνον ὑπὲρ ἐμοῦ λαβεῖν, ἀλλὰ καὶ χρήματα ἔδωκαν πολλά, καὶ παραιτούμενον ὀλίγου καὶ ἐβιάσαντο λαβεῖν, καὶ πρὸς πάντα ἑτοίμως ὑπήκουσαν. ὃ δὲ δὴ μέγιστον, ἐκεῖθεν εἰς ὑμᾶς ἐφέρετο πολὺ [καὶ μέγα] τὸ ἐμὸν ὄνομα, καὶ ἐβόων πάντες ἀνδρεῖον, συνετόν, δίκαιον, οὐ πολέμῳ μόνον ὁμιλῆσαι δεινόν, ἀλλὰ καὶ D εἰρήνῃ χρήσασθαι δεξιόν, εὐπρόσιτον, πρᾷον· ὑμεῖς δὲ αὐτοῖς ἀντιδεδώκατε νῦν ἐνθένδε πρῶτον μέν, ὅτι παρ' ἐμὲ τὰ τοῦ κόσμου πράγματα ἀνατέτραπται· σύνοιδα δὲ οὐδὲν ἀνατρέπων ἐμαυτῷ οὔτε ἑκὼν οὔτε ἄκων· εἶτα, ὡς ἐκ τοῦ πώγωνός μου χρὴ πλέκειν σχοινία, καὶ ὅτι πολεμῶ τῷ Χῖ, πόθος δὲ ὑμᾶς εἴσεισι τοῦ Κάππα. καὶ ὑμῖν γε αὐτὸ οἱ πολιοῦχοι τῆσδε

3 Post τὴν τέχνην Reiskio videtur ἐπιδείκνυσθαι excidisse 4 ἦν αὐ ... ἐκεῖ V] ἦν ἐκεῖ 5 καταγελαστότερον Pe mart. | ἀλλ' οἱ ...... οι πολλῶν V, ἀλλ' ἐκεῖ μὲν ὀλίγοι πολλῶν Rsk. 6 ἐγὼ δὲ ξὺν V, ἐγὼ δὲ σὺν MbF, ἐγὼ ξὺν v 9 εἰ μὴ καὶ Mb] εἰ μὴ 13 ὀλίγου καὶ H, ὀλίγου Cob., ὀλιγάκις VPf, ὀλίγα MbFPe, οὐκ ὀλιγάκις v 14 πρὸς om. MbF 15 καὶ μέγα om. V 19 δὲ om. MbF 20 παρ' ἐμὲ libri] παρ' ἐμοῦ. cf. 224 B 22 χρὴ πλέκειν VMbF] πλέκειν δεῖ 24 αὐτὸ om. Pe mart. pet.

τῆς πόλεως θεοὶ διπλοῦν δοῖεν, ὅτι πρὸς τούτῳ καὶ
361 τὰς ἀστυγείτονας ἐσυκοφαντήσατε πόλεις ἱερὰς καὶ
ὁμοδούλους ἐμοί, ὡς δὴ παρ' αὐτῶν εἴη τὰ εἰς ἐμὲ
ξυντεθέντα, ὃν εὖ οἶδ' ὅτι φιλοῦσιν ἐκεῖναι μᾶλλον
ἢ τοὺς ἑαυτῶν υἱέας, οἳ τὰ μὲν τῶν θεῶν ἀνέστησαν
αὐτίκα τεμένη, τοὺς τάφους δὲ τῶν ἀθέων ἀνέτρεψαν
πάντας, ἀπὸ τοῦ συνθήματος, ὃ δὴ δέδοται παρ'
ἐμοῦ πρῴην, οὕτως ἐπαρθέντες τὸν νοῦν καὶ μετέωροι
γενόμενοι τὴν διάνοιαν, ὡς καὶ πλέον ἐπεξελθεῖν τοῖς
B εἰς τοὺς θεοὺς πλημμελοῦσιν ἢ βουλομένῳ μοι ἦν.
τὰ δ' ὑμέτερα· πολλοὶ μὲν ἐγειρομένους ἄρτι τοὺς
βωμοὺς ἀνέτρεψαν, οὓς ἡ πρᾳότης ἡμῶν ἐδίδαξε μόλις
ἡσυχάζειν. ἐπεὶ δὲ ἀπεπεμψάμεθα τὸν νεκρὸν τῆς
Δάφνης, οἱ μὲν ἀφοσιούμενοι τὰ πρὸς τοὺς θεοὺς ἐξ
ὑμῶν ἀντέδωκαν τοῖς ὑπὲρ τῶν λειψάνων ἠγανακτη-
C κόσι τοῦ νεκροῦ τὸ τέμενος τοῦ Δαφναίου θεοῦ, οἱ
δὲ εἴτε λαθόντες εἴτε μὴ τὸ πῦρ ἔδειξαν ἐκεῖνο, τοῖς
μὲν ἐπιδημοῦσι τῶν ξένων φρικῶδες, ὑμῶν δὲ τῷ
δήμῳ μὲν ἡδονὴν προσχόν, ὑπὸ δὲ τῆς βουλῆς ἀμε-
ληθὲν καὶ εἰσέτι ἀμελούμενον. ἐμοὶ μὲν οὖν ἐδόκει
καὶ πρὸ τοῦ πυρὸς ἀπολελοιπέναι τὸν νεὼν ὁ θεός,
ἐπεσήμηνε γὰρ εἰσελθόντι μοι πρῶτον τὸ ἄγαλμα, καὶ
τούτου μάρτυρα καλῶ τὸν μέγαν Ἥλιον πρὸς τοὺς
ἀπιστοῦντας, ὑμᾶς δὲ ὑπομνῆσαι βούλομαι καὶ ἄλλης
D ἀπεχθείας ἐμῆς, ἔπειτα, ὅπερ εἴωθα ποιεῖν ἐπιεικῶς,
ὀνειδίσαι ἐμαυτῷ καὶ ὑπὲρ ταύτης καὶ κατηγορῆσαι

1 διπλοῦν] Respicit proverbium apud Suidam s. Κάππα διπλοῦν et Apostolium VI, 25a 3 ἐμοὶ] παρ' ἐμοὶ V 4 συντεθέντα MbF 5 αὐτῶν MbF mart. pet. 6 ἀνέστρεφαν mart. 7 ἀπὸ Pe] ὑπὸ 11 δὲ VMb 16 et 17 οἱ δὲ VMb] οἵδε | ἔδειξαν] ἐνεῖσαν? 20 καὶ εἰσέτι H] εἰσέτι καὶ v, εἰσέτι δὲ καὶ Rsk. 24 ὑμᾶς δὲ MbFPe mart. pet.] δὲ ὑμᾶς 25 ἐμῆς VMbFPf] τῆς ἐμῆς

καὶ μέμψασθαι. δεκάτῳ γάρ που μηνὶ τῷ παρ' ὑμῖν ἀριθμουμένῳ· Λῶον οἶμαι τοῦτον ὑμεῖς προσαγορεύετε· τοῦ θεοῦ τούτου πάτριός ἐστιν ἑορτή, καὶ ἔδει σπουδῇ πρὸς τὴν Δάφνην ἀπαντᾶν. ἐγὼ μὲν οὖν ἀπὸ τοῦ Κασίου Διὸς ἐπὶ τοῦτο ἔδραμον, οἰόμενος ἐνταῦθα μάλιστα τοῦ πλούτου καὶ τῆς φιλοτιμίας ὑμῶν ἀπολαύσειν. εἶτα ἀνέπλαττον παρ' ἐμαυτῷ πομπήν, ὥσπερ ὀνείρατα ὁρῶν, ἱερεῖα καὶ σπονδὰς καὶ χοροὺς τῷ 362 *θεῷ καὶ θυμιάματα καὶ τοὺς ἐφήβους ἐκεῖ περὶ τὸ τέμενος θεοπρεπέστατα μὲν τὰς ψυχὰς κατεσκευασμένους, λευκῇ δ' ἐσθῆτι καὶ μεγαλοπρεπεῖ κεκοσμημένους. ὡς δὲ εἴσω παρῆλθον τοῦ τεμένους, οὔτε θυμιάματα κατέλαβον οὔτε πόπανον οὔτε ἱερεῖον. αὐτίκα μὲν οὖν ἐθαύμασα καὶ ᾤμην ἔξω τοῦ τεμένους εἶναι, περιμένειν δ' ὑμᾶς, ἐμὲ δὴ τιμῶντας ὡς ἀρχιερέα,* B *τὸ σύνθημα παρ' ἐμοῦ. ἐπεὶ δὲ ἠρόμην, τί μέλλει θύειν ἡ πόλις ἐνιαύσιον ἑορτὴν ἄγουσα τῷ θεῷ, ὁ ἱερεὺς εἶπεν· ἐγὼ μὲν ἥκω φέρων οἴκοθεν τῷ θεῷ χῆνα ἱερεῖον, ἡ πόλις δὲ τὰ νῦν οὐδὲν ηὐτρέπισται. ἐνταῦθα ὁ φιλαπεχθήμων ἐγὼ πρὸς τὴν βουλὴν ἀνεπιεικεῖς πάνυ διελέχθην λόγους, ὧν ἴσως οὐκ ἄτοπον καὶ νῦν μνημονεῦσαι. Δεινόν, ἔφην ἐγώ, τὴν τοσαύτην πόλιν οὕτω τῶν θεῶν ὀλιγώρως ἔχειν, ὡς οὐδεμία παροικοῦσα ταῖς ἐσχατιαῖς τοῦ Πόντου κώμη·* C *μυρίους κλήρους γῆς ἰδίας κεκτημένη, τῷ πατρίῳ θεῷ*

1 *τῷ* VMb] *τῶν* 2 *ἀριθμουμένων* Pe mart. pet. 3 *τούτου*] *τοῦδε* MbF 5 *κασίου* VMbF] *Κασσίου* 6 et 7 *ἀπολαύειν* mart. pet. 11 *λευκῇ* mart. pet. spanh.] *λιτῇ* VMbF | *δὲ* VMb | *κεκοσμημένους* MbF] *κοσμουμένους* 12 *θυμίαμα* Dobraeus ad Aristoph. Plut. p. 143 15 *δὲ* VMb 19 *ηὐτρέπισται* VMbF] *ηὐτρέπισεν* 21 *πάνυ*] *πάντη* Mb, *πάντως* F 24 *ταῖς ἐσχατιαῖς τοῦ Πόντου*] Cf. Themist. p. 332 D 25 *κεκτημένη* Mb] *κεκτημένην*

νῦν πρῶτον ἐπιστάσης ἑορτῆς ἐνιαυσίου, ἐπειδὴ διεσκέδασαν οἱ θεοὶ τῆς ἀθεότητος τὴν νεφέλην, ὄρνιν ὑπὲρ αὐτῆς οὐ προσάγει, ἣν ἐχρῆν μάλιστα μὲν καὶ κατὰ φυλὰς βουθυτεῖν, εἰ δὲ μὴ ῥᾴδιον, ἕνα κοινῇ πᾶσαν ὑπὲρ αὑτῆς προσφέρειν τῷ θεῷ ταῦρον. ὑμῶν
D δ' ἕκαστος ἰδίᾳ μὲν εἰς τὰ δεῖπνα καὶ τὰς ἑορτὰς χαίρει δαπανώμενος, καὶ εὖ οἶδα πολλοὺς ὑμῶν πλεῖστα εἰς τὰ δεῖπνα τοῦ Μαϊουμᾶ χρήματα ἀπολέσαντας, ὑπὲρ δ' ὑμῶν αὐτῶν καὶ τῆς σωτηρίας τῆς πόλεως οὐδεὶς θύει οὔτε ἰδίᾳ τῶν πολιτῶν οὔτε ἡ πόλις κοινῇ, μόνος δ' ὁ ἱερεύς, ὃν οἶμαι δικαιότερον ἦν ἀπὸ τοῦ πλήθους τῶν προσφερομένων τῷ θεῷ παρ' ὑμῶν οἴκαδε ἀπιέναι μερίδας ἔχοντα. τοῖς μὲν γὰρ ἱερεῦσιν οἱ θεοὶ καλοκἀγαθίᾳ τιμᾶν αὐτοὺς καὶ ἀρετῆς ἐπιτη-
363 δεύσει προσέταξαν καὶ λειτουργεῖν σφίσι τὰ εἰκότα· πρέπει δ' οἶμαι τῇ πόλει θύειν ἰδίᾳ καὶ δημοσίᾳ· νυνὶ δὲ ὑμῶν ἕκαστος ἐπιτρέπει μὲν τῇ γυναικὶ πάντα ἐκφέρειν ἔνδοθεν εἰς τοὺς Γαλιλαίους, καὶ τρέφουσαι ἀπὸ τῶν ὑμετέρων ἐκεῖναι τοὺς πένητας πολὺ τῆς ἀθεότητος ἐργάζονται θαῦμα πρὸς τοὺς τῶν τοιούτων δεομένους· ἔστι δὲ τοιοῦτον οἶμαι τὸ πλεῖστον τῶν ἀνθρώπων γένος· ὑμεῖς δ' αὐτοὶ πρῶτον μὲν τῶν εἰς τοὺς θεοὺς τιμῶν ἀμελῶς ἔχοντες πράττειν οὐδὲν
B ἄτοπον ὑπολαμβάνετε· πρόσεισι δ' οὐδεὶς τῶν δεομένων τοῖς ἱεροῖς· οὐ γάρ ἐστιν οἶμαι πόθεν διατραφῇ.

2 ὄρνιν] μίαν ὄρνιν? 3 αὐτῆς V] αὑτῆς | προσάγει MbFPg] προσάγειν | μὲν om. Pe mart. pet. | καὶ (etiam) delebat Cob. 4 ἕνα] ἕνα γε? 5 ὑμ . . V 6 δὲ VMb 8 τοῦ μαΐου MbFPe | ἀπολέσαντας VMbF] ἀπολέσαντες 9 δὲ VMb 11 δὲ VMb | οἶμαι om. Pc 12 ἡμῶν MbF 14 ἑαυτοὺς V, αὑτοὺς MbPe 16 πρέπει Cob.] πρέπειν | δὲ VMb | τὴν πόλιν MbF 21 ἔστι δὲ τοιοῦτον οἶμαι τὸ MbF] ἔστι δ' (δὲ V) οἶμαι τοιοῦτον τὸ 22 δὲ VMb 24 δὲ VMb | δεομένων] ἐνδεομένων H

καὶ γενέθλια μέν τις ἑστιῶν ἱκανῶς παρασκευάζει δεῖπνον καὶ ἄριστον, ἐπὶ πολυτελῆ τράπεζαν τοὺς φίλους παραλαμβάνων· ἐνιαυσίου δ' ἑορτῆς οὔσης οὐδεὶς ἐκόμισεν ἔλαιον εἰς λύχνον τῷ θεῷ οὐδὲ σπονδὴν οὐδ' ἱερεῖον οὐδὲ λιβανωτόν. ἐγὼ μὲν οὐκ οἶδα, ὅπως ἄν τις ταῦτα ἀνὴρ ἀγαθὸς ὁρῶν παρ' ὑμῖν ἀπο- C
δέξαιτο, νομίζω δ' ἔγωγε μηδὲ τοῖς θεοῖς ἀρέσκειν. τοιαῦτα εἰπὼν τότε μέμνημαι, καὶ ὁ μὲν θεὸς ἐμαρτύρησέ μου τοῖς λόγοις, ὡς μήποτε ὤφελεν, ἐκλιπὼν τὸ προάστειον, ὃ πολὺν ἐτήρησε χρόνον, ἐν ἐκείνῃ τῇ ζάλῃ τρέψας ἀλλαχοῦ τῶν κρατούντων τὴν διάνοιαν καὶ τὼ χεῖρε βιασάμενος. ὑμῖν δ' ἀπηχθόμην ἐγὼ ποιῶν ἀνοήτως. ἐχρῆν γὰρ σιωπᾶν, ὥσπερ οἶμαι πολλοὶ καὶ ἄλλοι τῶν συνεισελθόντων ἐμοί, καὶ μὴ πολυ- D
πραγμονεῖν μηδ' ἐπιτιμᾶν. ἀλλ' ὑπὸ προπετείας ἐγὼ καὶ τῆς καταγελάστου κολακείας· οὐ γὰρ δὴ νομιστέον ὑπ' εὐνοίας ἐμοὶ τότε εἰρῆσθαι τοὺς πρὸς ὑμᾶς λόγους, ἀλλ' οἶμαι δόξαν θηρεύων εὐλαβείας τε εἰς τοὺς θεοὺς καὶ εἰς ὑμᾶς εὐνοίας ἀδόλου· τοῦτο δ' ἐστὶν οἶμαι παγγέλοιος κολακεία· πολλὰ ὑμῶν μάτην κατέχεα. δίκαια τοίνυν ἐργάζεσθέ με τῶν ἐπιτιμήσεων ἐκείνων 364
ἀμυνόμενοι καὶ ἐναλλάττοντες τὰ χωρία. ἐγὼ μὲν ὑπὸ τῷ θεῷ πρὸς τῷ βωμῷ καὶ τοῖς τοῦ ἀγάλματος ἴχνεσιν ἐν ὀλίγοις ὑμῶν κατέδραμον· ὑμεῖς δ' ἐπὶ τῆς

3 δὲ VMb   5 οὐδὲ ἱερ. VMb   5 ἐγὼ μὲν] ἐγὼ μὲν οὖν H   7 δὲ VMb   8 ταῦτα F   11 ἀλλαχοῦ] ἀλλαχοῖ?   12 τὼ χεῖρε] Vid. Pflugk. ad Eurip. Alc. 19 et Winckelmann ad Plutarch. Erot. p. 221, atque add. Demosth. 19,47 et Iulian. 206 D | δὲ VMb   13 οἶμαι om. V | πολλοὶ καὶ ἄλλοι VPf, καὶ αλλοι πολλοὶ MbF, πολλοὶ μὲν ἄλλοι v   15 μὴ δὲ VMb | ἀλλὰ VMb   19 δὲ ἐστιν VMb   21 εἰργάζεσθε V   22 ἐγω μὲν V, ἐγὼ MbF, ἐγὼ μὲν γὰρ v   24 δὲ VMb

ἀγορᾶς ἐν τῷ δήμῳ διὰ τῶν ἱκανῶν τὰ τοιαῦτα χαριεντίζεσθαι πολιτῶν. εὖ γὰρ ἴστε, πάντες οἱ λέγοντες κοινοῦνται πρὸς τοὺς ἀκούοντας τοὺς λόγους, καὶ ὁ ξὺν ἡδονῇ τῶν βλασφημιῶν ἀκροασάμενος, μετέχων
B τῆς ἴσης ἡδονῆς ἀπραγμονέστερον τοῦ λέγοντος, κοινωνός ἐστι τῆς αἰτίας. εἴρηται οὖν ὑμῖν δι' ὅλης καὶ ἠκρόαται τῆς πόλεως ὁπόσα εἰς τουτονὶ πέπαικται τὸν φαῦλον πώγωνα καὶ τὸν οὐδὲν ἐπιδείξαντα ὑμῖν καλὸν οὐδὲ ἐπιδείξοντα τρόπον. οὐ γὰρ ἐπιδείξει βίον ὑμῖν, ὁποῖον ὑμεῖς ἀεὶ μὲν ζῆτε, ποθεῖτε δὲ ὁρᾶν καὶ ἐν τοῖς ἄρχουσιν. ὑπὲρ μὲν δὴ τῶν βλασφημιῶν, ἃς
C ἰδίᾳ τε καὶ δημοσίᾳ κατεχέατέ μου παίζοντες ἐν τοῖς ἀναπαίστοις, ἐμαυτοῦ προσκατηγορήσας ὑμῖν ἐπιτρέπω χρῆσθαι μετὰ μείζονος αὐτῷ παρρησίας, ὡς οὐδὲν ὑμᾶς ἐγὼ διὰ τοῦτο πώποτε δεινὸν ἐργάσομαι σφάττων ἢ τύπτων ἢ δῶν ἢ ἀποκλείων ἢ κολάζων. πῶς γάρ; ὅς, ἐπείπερ ὑμῖν ἐμαυτὸν ἐπιδείξας μετὰ τῶν φίλων σωφρονοῦντα, φαυλότατον ἰδεῖν ὑμῖν καὶ ἀηδέ-
D στατον, οὐδὲν ἐπέδειξα καλὸν θέαμα, μεταστῆναι τὴν πόλιν ἔγνωκα καὶ ὑποχωρῆσαι, πεπεισμένος μὲν οὐδαμῶς, ὅτι πάντως ἐκείνοις ἀρέσω, πρὸς οὓς πορεύομαι, κρίνων δ' αἱρετώτερον, εἰ διαμάρτοιμι τοῦ δόξαι γοῦν ἐκείνοις καλὸς κἀγαθός, ἐν μέρει μεταδοῦναι πᾶσι

1 χαριεντίζεσθαι VF] χαριεντίζεσθε 4 σὺν MbF | τῶν om. mart. pet. 5 ἀπραγμονέστερον δὲ τοῦ λέγ. Rsk. 8 ἐπιδείξοντα V | ὑμῖν om. V 12 δημοσίᾳ] κοινῇ MbF | κατεχέετε V, κατέχετε MbF 13 προκατηγορήσας Pe. „Dubium praestetne vulgata an προκατηγ. (sine σ).“ Rsk. 14 αὐτῷ] sc. τῷ βλασφημίας μου καταχεῖν. 16 δῶν Cob.] δέων. cf. ad 34 A 17 ὅς libri] ὡς 19 οὐδὲν VMbF] οὐδὲν δ' | ἐπέδειξα Pe mart.] ἐπιδείξας 19 et 20 μεταστῆναι τὴν πόλιν] „ex urbe excedere rariuscule dictum pro τῆς πόλεως“. Rsk. Apud Artemidorum 4,1 μετανέστη τὴν πόλιν Hercherus correxit τῆς πόλεως, quod nescio an hoc quoque loco faciendum sit. 21 οὓς] ἃ V 22 δὲ VMb 23 κἀγαθὸς V] καὶ ἀγαθός

τῆς ἀηδίας τῆς ἐμαυτοῦ καὶ μὴ τὴν εὐδαίμονα ταύτην
ἀποκναῖσαι πόλιν ὥσπερ ὑπὸ δυσωδίας τῆς ἐμῆς με-
τριότητος καὶ τῶν ἐμῶν ἐπιτηδείων τῆς σωφροσύνης.
ἡμῶν γὰρ οὐδεὶς ἀγρὸν οὐδὲ κῆπον ἐπρίατο παρ' 365
ὑμῖν οὐδὲ οἰκίαν ᾠκοδόμησεν οὐδ' ἔγημε παρ' ὑμῶν
οὐδ' ἐξέδωκεν εἰς ὑμᾶς οὐδὲ ἠράσθημεν τῶν παρ'
ὑμῖν καλῶν, οὐδ' ἐζηλώσαμεν Ἀσσύριον πλοῦτον οὐδ'
ἐνειμάμεθα τὰς προστασίας οὐδὲ παραδυναστεύειν
ἡμῖν ἠνεσχόμεθά τινας τῶν ἐν τέλει οὐδ' ἐπείσαμεν
τὸν δῆμον εἰς παρασκευὰς δείπνων ἢ θεάτρων, ὃν
οὕτως ἐποιήσαμεν τρυφᾶν, ὥστε ἄγων σχολὴν ἀπὸ τῆς B
ἐνδείας τοὺς ἀναπαίστους εἰς τοὺς αἰτίους αὐτῷ τῆς
εὐθηνίας ξυνέθηκεν, οὐδ' ἐπεγράψαμεν χρυσίον οὐδὲ
ᾐτήσαμεν ἀργύριον οὐδὲ ηὐξήσαμεν φόρους· ἀλλὰ
πρὸς τοῖς ἐλλείμμασιν ἀνεῖται πᾶσι τῶν εἰθισμένων
εἰσφορῶν τὸ πέμπτον. οὐκ οἶμαι δ' ἐξαρκεῖν τὸ σω-
φρονεῖν ἐμέ, μέτριον ἔχω ναὶ μὰ Δία καὶ θεούς, ὡς
ἐμαυτὸν πείθω, τὸν εἰσαγγελέα, καλῶς ὑφ' ὑμῶν
ἐπιτιμηθέντα, διότι γέρων ὢν καὶ φαλακρὸς ἠρέμα τα
πρόσω διὰ δυστροπίαν αἰσχύνεται κομᾶν ἐξόπισθεν, C
ὥσπερ Ὅμηρος ἐποίησε τοὺς Ἄβαντας, οὐδὲν (δ') ἐκεί-

5 *οἰκίας* MbF | *οὐδὲ* bis VMb 7 *οὐδὲ* VMb | *οὐ* (*οὐδὲ* Mb) .... *τὰς* V 9 *ὑμῖν* MbF mart. pet. | *ἀνεσχόμεθα* Pe mart. pet. | *τινὰ* MbF | 9 et 10 *οὐδ* (*οὐδὲ* Mb)....... *τὸν δῆμον* V 11 *τρυφᾶν*] In V est macula | 11 et 12 *τῆς ἐνδείας* MbF] *ἐνδείας* 12 *τοὺς ἀναπαίστους* MbF] *τῶν ἀναπαίστων* | *αὐτῷ* Rsk. Cob.] *αὐτῶν* | *αἰτίους* .... *θηνίας* V 13 *συνέθηκεν* Mb | *οὐδὲ* VMb | *ἐπεγράψαμεν*] *ἐπεζητήσαμεν* MbF 15 *ἐλείμμασιν* V 16 *οἴομαι* Mb | *δὲ* VMb | *τὸ*] *τοῦ* V, om. MbF 17 *μέτριον*] *μέτριον δ'* Cob., *ἀλλὰ καὶ μέτριον* Rsk., *καὶ* ego quoque addam, sed ante *τὸν εἰσαγγελέα* | *ἔχω ναὶ* mart. pet.] *ἔχων*. (Hoc etiam Mb habet, Cobetus fallitur) 20 *αἰσχύνεται κομᾶν* libri] *οὐκ αἰσχύνεται κομῶν* | *ἐξόπισθεν* libri] *τὰ ἐξόπισθεν* 21 *Ὅμηρος*] Iliad. β, 542 | *οὐδὲν*] *οὐδὲ* Pe, *οὐδ'* mart. pet. | *δ'* add. Rsk. Cob.

νου φαυλοτέρους ἄνδρας οἴκοι παρ' ἐμαυτῷ δύο καὶ
τρεῖς, ἀλλὰ καὶ τέτταρας, εἰ βούλεσθε δὲ νυνὶ καὶ
πέμπτον. ὁ δέ μοι θεῖος καὶ ὁμώνυμος οὐ δικαιότατα
μὲν ὑμῶν προύστη, μέχρις ἐπέτρεπον οἱ θεοὶ ξυνεῖναι
ἡμῖν αὐτὸν καὶ ξυμπράττειν; οὐ προμηθέστατα δὲ
πάσαις ἐπεξῆλθε ταῖς οἰκονομίαις τῆς πόλεως; ἡμῖν
D μὲν οὖν ἐδόκει ταῦτα καλά, πρᾳότης ἀρχόντων μετὰ
σωφροσύνης, ᾠόμεθά τε ὑμῖν ἱκανῶς διὰ τούτων
καλοὶ φανεῖσθαι τῶν ἐπιτηδευμάτων. ἐπεὶ δὲ ὑμᾶς
ἥ τε βαθύτης ἀπαρέσκει τοῦ γενείου καὶ τὸ ἀτημέλη-
τον τῶν τριχῶν καὶ τὸ μὴ παραβάλλειν τοῖς θεάτροις
καὶ τὸ ἀξιοῦν ἐν τοῖς ἱεροῖς εἶναι σεμνοὺς καὶ πρὸ
τούτων ἁπάντων ἡ περὶ τὰς κρίσεις ἡμῶν ἀσχολία
καὶ τὸ τῆς ἀγορᾶς εἴργειν τὴν πλεονεξίαν, ἑκόντες
366 ὑμῖν ἐξιστάμεθα τῆς πόλεως. οὐ γὰρ οἶμαι ῥᾴδιον
ἐν γήρᾳ μεταθεμένῳ διαφυγεῖν τὸν λεγόμενον ὑπὲρ
τοῦ ἰκτῖνος μῦθον. λέγεται γάρ τοι [καὶ] τὸν ἰκτῖνα
φωνὴν ἔχοντα παραπλησίαν τοῖς ἄλλοις ὄρνισιν ἐπι-
θέσθαι τῷ χρεμετίζειν, ὥσπερ οἱ γενναῖοι τῶν ἵππων,
εἶτα τοῦ μὲν ἐπιλαθόμενον, τὸ δὲ οὐ δυνηθέντα ἑλεῖν
ἱκανῶς ἀμφοῖν στέρεσθαι καὶ φαυλοτέραν τῶν ἄλλων
B ὀρνίθων εἶναι τὴν φωνήν. ὃ δὴ καὶ αὐτὸς εὐλα-

1 ἄνδρας VMbFPf mart.] ἔχω ἄνδρας 3 ὅδ' ἐμοὶ mart. pet. | οὐ libri] ὅς 4 συνεῖναι MbF 5 ξυμπράττειν V] συμπράττειν | οὐ προμηθέστατα — τῆς πόλεως Lex. Vind. p. 53,13 6 ἐπεξῆλθε] ἐπέστη Pe mart. pet. 7 πρᾳότης ἀρχόντων] πρᾳότερα ἄρχειν τῶν πολιτῶν mart. pet. 8 ᾠόμεθα MbFPe mart. pet.] οἰόμεθα 11 καὶ τὸ μὴ παραβάλλειν τοῖς θεάτροις Lex. Vind. p. 149,10 13 ἡμῶν V mart. pet.] ὑμῶν 17 ἰκτίονος V, ἰκτίνου Suidas s. Ἴκτινος, qui hunc locum affert mutilatum. Vid. Babrii fab. 73 Lachm. | τοι om. MbF | καὶ delevit Cob. 20 οὐ libri] μὴ 21 στερέσθαι, quod h. l. Cobetus et apud Plutarchum V. Artax. 28 et Tib. Gracch. 21 Coraes requirunt, habet Mb | φαυλοτέραν Cob.] φαυλότερον 22 εἶναι Wytt.] εἶναι | εἶναι τῶν ἄλλων ὀρνίθων Pef. mart. pet.

βοῦμαι παθεῖν, ἀγροικίας τε ἅμα καὶ δεξιότητος ἁμαρτεῖν. ἤδη γάρ, ὡς καὶ ὑμεῖς αὐτοὶ συνορᾶτε, πλησίον ἐσμὲν ἐθελόντων θεῶν,

Εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες,

ὁ Τήιος ἔφη ποιητής. εἶεν. ἀλλὰ τῆς ἀχαριστίας, πρὸς θεῶν καὶ Διὸς ἀγοραίου καὶ πολιούχου, ὑπόσχετε λόγον. ἠδίκησθέ τι παρ' ἐμοῦ κοινῇ πώποτε καὶ ἰδίᾳ, καὶ δίκην ὑπὲρ τούτου λαβεῖν οὐ δυνάμενοι φανερῶς διὰ τῶν ἀναπαίστων ἡμᾶς, ὥσπερ οἱ κωμῳ- C δοὶ τὸν Ἡρακλέα καὶ τὸν Διόνυσον ἕλκουσι καὶ περιφέρουσιν, οὕτω δὲ καὶ ὑμεῖς ἐν ταῖς ἀγοραῖς ἐπιτρίβετε λοιδοροῦντες; ἢ τοῦ μὲν ποιεῖν τι χαλεπὸν εἰς ὑμᾶς ἀπεσχόμην, τοῦ λέγειν δὲ ὑμᾶς κακῶς οὐκ ἀπεσχόμην, ἵνα με καὶ ὑμεῖς διὰ τῶν αὐτῶν ἰόντες ἀμύνησθε; τίς οὖν ὑμῖν ἐστιν αἰτία τοῦ πρὸς ἡμᾶς προσκρούσματος καὶ τῆς ἀπεχθείας; ἐγὼ γὰρ εὖ οἶδα D δεινὸν οὐδένα ὑμῶν οὐδὲν οὐδὲ ἀνήκεστον ἐργασάμενος οὔτε ἰδίᾳ τοὺς ἄνδρας οὔτε κοινῇ τὴν πόλιν, (οὐδ') εἰπὼν οὐδὲν φλαῦρον, ἀλλὰ καὶ ἐπαινέσας, ὡς ἔδοξέ μοι προσήκειν, καὶ μεταδοὺς χρηστοῦ τινος, ὅσον εἰκὸς ἦν τὸν ἐπιθυμοῦντα μετὰ τοῦ δυνατοῦ πολλοὺς εὖ ποιεῖν ἀνθρώπους. ἀδύνατον δ' εὖ ἴστε καὶ τοῖς εἰσφέρουσι συγχωρεῖν ἅπαντα καὶ διδόναι 367

2 αὐτοὶ om. Pe mart. 4 Anacreont. fr. 77 Bergk. 5 ἀλλὰ —7 ὑπόσχετε λόγον Lex. Vind. p. 183,16 5 εὐχαριστίας Mb Lex. Vind. 8 καὶ] ἢ και? 9 φανε ... V 11 οὕτω δὴ καὶ mart. pet. 12 εἰς] πρὸς Mb 13 ὑμᾶς alterum VMbF] ὑμῖν spanh., om. pet. 14 ἐξεβιάσθητε vulgo post ὑμεῖς additum om. VMbF. „Sententia [pro ἵνα] postulat ὅθεν unde. ἐξεβιάσθητε bene habet; sed ἀμύνησθε cum ἀμύνασθαι est mutandum". Rsk. 15 ὑμῖν —ἡμᾶς] ἡμῖν ← ὑμᾶς MbFPef 16 προσκρούματος F | εὖ οἶδα] οἶδα pet., οἶδα εὖ Pe mart. 19 οὐδ' add. Rsk. 19 et 20 ὡς ἔδοξέ μοι προσήκειν] ὡς ἐνεδέχετό μοι VMbF 21 μετὰ δυνατοῦ MbF 22 δὲ εὖ Mb

*πάντα τοῖς εἰωθόσι λαμβάνειν. ὅταν οὖν φανῶ μηδὲν
ἐλαττώσας τῶν δημοσίων συντάξεων, ὅσας εἴωθεν ἡ
βασιλικὴ νέμειν δαπάνη, ὑμῖν δ' ἀνεὶς τῶν εἰσφορῶν
οὐκ ὀλίγα, ἆρ' οὐκ αἰνίγματι τὸ πρᾶγμα ἔοικεν; ἀλλ'
ὁπόσα μὲν κοινῇ πρὸς πάντας πεποίηται τοὺς ἀρχο-
μένους ὑπ' ἐμοῦ, πρέποι ἂν σιωπᾶν, ἵνα μὴ δοκοίην*
B *ὥσπερ ἐξεπίτηδες αὐτοπρόσωπος ἐπαίνους ᾄδειν ἐμαυ-
τοῦ, καὶ ταῦτα ἐπαγγειλάμενος πολλὰς καὶ ἀσελγε-
στάτας ὕβρεις καταχέαι· τὰ δὲ ἰδίᾳ μοι πρὸς ὑμᾶς
πεποιημένα προπετῶς μὲν καὶ ἀνοήτως, ἥκιστα δὲ ὑφ'
ὑμῶν ἄξια ἀχαριστεῖσθαι, πρέποι ἂν οἶμαι προφέρειν
ὥσπερ τινὰ ἐμὰ ὀνείδη τοσούτῳ τῶν ἔμπροσθεν χαλε-
πώτερα, τοῦ τε αὐχμοῦ τοῦ περὶ τὸ πρόσωπον καὶ
τῆς ἀναφροδισίας, ὅσῳ καὶ ἀληθέστερα ὄντα τῇ ψυχῇ*
C *μάλιστα προσήκει. καὶ δὴ πρότερον ἐπῄνουν ὑμᾶς
ὡς ἐνεδέχετό μοι φιλοτίμως οὐκ ἀναμείνας τὴν πεῖραν
οὐδ' ὅπως ἕξομεν πρὸς ἀλλήλους ἐνθυμηθείς, ἀλλὰ
νομίσας ὑμᾶς μὲν Ἑλλήνων παῖδας, ἐμαυτὸν δέ, εἰ
καὶ γένος ἐστί μοι Θρᾴκιον, Ἕλληνα τοῖς ἐπιτηδεύ-
μασιν ὑπελάμβανον, ὅτι μάλιστα ἀλλήλους ἀγαπή-
σομεν. ἓν μὲν δὴ τοῦτο ἔστω μοι τῆς προπετείας
ὄνειδος. ἔπειτα πρεσβευσαμένοις ὑμῖν παρ' ἐμὲ καὶ*
D *ἀφικομένοις ὑστέροις οὐ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ
Ἀλεξανδρέων τῶν ἐπ' Αἰγύπτῳ, πολὺ μὲν ἀνῆκα*

2 *ὅσας* Mb] *ὅσα* 3 *δὲ* VMb 7 *αὐτοπροσώπους* Rsk., qui „*Ἔπαινος αὐτοπρόσωπος*, inquit, ea est laudatio, quae proficiscitur ab illo ipso, qui laudatur". 10 *προπετῶς πεποιημένα μὲν* Pe et omisso *μὲν* Pf mart. pet. | *δὲ* Cob. H] *μὲν* 11 *πρέποι ἂν* Cob. H] *πρέποι δ' ἂν* 14 *ὄντα*] *ἐστιν, ἃ* Rsk. 15 *πρότερον*] *πρῶτον* V 17 *οὐδὲ* VMb 19 *ἐστι μοι* VMbFPf] *μοι ἐστὶ* | Aut post *Ἕλληνα* aut post *τοῖς* Rsk. addi velit *γε* 20 *ὑπελάμβανον* VMbF] *ὑπελάμβανον οὖν* | *ἀγαπήσομεν*] *ἡμᾶς ἀγαπήσειν* Pe mart. pet., *ἀγαπήσειν* Pf

χρυσίον, πολὺ δ' ἀργύριον, φόρους δὲ παμπληθεῖς
ἰδίᾳ παρὰ τὰς ἄλλας πόλεις, ἔπειτα τοῦ βουλευτηρίου
τὸν κατάλογον διακοσίοις βουλευταῖς ἀνεπλήρωσα φει-
σάμενος οὐδενός. ἐσκόπουν γὰρ ὅπως ἡ πόλις ὑμῶν
ἔσται μείζων καὶ δυνατωτέρα. δέδωκα οὖν ὑμῖν καὶ
ἀπὸ τῶν ἐπιτροπευσάντων τοὺς θησαυροὺς τοὺς ἐμοὺς
καὶ ἀπὸ τῶν ἐργασαμένων τὸ νόμισμα τοὺς πλουσιω- 368
τάτους ἑλομένοις ἔχειν· ὑμεῖς δ' ἐκείνων μὲν οὐ τοὺς
δυναμένους εἵλεσθε, λαβόμενοι δὲ τῆς ἀφορμῆς εἰρ-
γάσασθε παραπλήσια πόλει μὲν οὐδαμῶς εὐνομουμένῃ,
πρέποντα δ' ὑμῶν ἄλλως τῷ τρόπῳ. βούλεσθε ἑνὸς
ὑμᾶς ὑπομνήσω; βουλευτὴν ὀνομάσαντες, πρὶν προσ-
γραφῆναι τῷ καταλόγῳ, μετεώρου τῆς δίκης οὔσης,
ὑπεβάλετε λειτουργίᾳ τὸν ἄνθρωπον. ἄλλον ἀπ' ἀγορᾶς B
εἱλκύσατε πένητα καὶ ἐκ τῶν ἁπανταχοῦ μὲν ἀπολελειμ-
μένων, παρ' ὑμῖν δὲ διὰ περιττὴν φρόνησιν ἀμειβο-
μένων πρὸς χρυσίον συρφετῶν εὐποροῦντα μετρίας
οὐσίας εἵλεσθε κοινωνόν. πολλὰ τοιαῦτα περὶ τὰς
ὀνομασίας κακουργούντων ὑμῶν, ἐπειδὴ μὴ πρὸς
ἅπαντα συνεχωρήσαμεν, ὧν τε εὖ εἰργασάμεθα τὴν
χάριν ἀπεστερήθημεν, καὶ ὧν ἀπεσχόμεθα ξὺν δίκῃ
παρ' ὑμῶν δυσχεραινόμεθα. καὶ ταῦτα μὲν ἦν τῶν C

1 δὲ ἀργ. VMb 8 ἑλομένοις VMbF] ἑλομένους | δὲ VMb 11 δὲ VMb | ἄλλω V | ἐν MbF 12 ὑπομνήσω ὑμᾶς V 12 et 13 πρὶν—καταλόγῳ Lex. Vind. p. 109,2 14 ὑπεβάλετε MbFPef] ὑπεβάλλετε 15 καὶ om. MbFPe mart. | ἀπολελυμένων VMb FPf pet. Cobetus malit ἀπερριμμένων 16 ὑμῖν MbFPe mart. pet.] ὑμῶν | περιττὴν] τὴν Mb 17 συρφετὸν Pef mart. pet., συφερτὸν Mb | εὐποροῦντα MbFPef] ἀποροῦντα. Cf. Demosth. 37,54 εὐπορήσας μικρῶν, Plutarch. Mor. p. 403F παντάπασιν ὀλίγων χρησμῶν ηὐπόρηκεν, Themist. p. 12D τῶν οὐδὲ σμικρὸν (l. σμικρῶν) εὐπορούντων 19 μὴ τὰ πρὸς Pe mart. pet. 20 ἅπαντα Rsk. Cob.] ἅπαντας 21 ξὺν V] σὺν | πρᾶξαι post δίκῃ add. Pef mart. pet.

μικρῶν πάνυ καὶ οὔπω δυνάμενα τὴν πόλιν ἐκπολεμῶσαι· τὸ δὲ δὴ μέγιστον, ἐξ οὗ τὸ μέγα ἤρθη μῖσος, ἀφικομένου μου πρὸς ὑμᾶς ὁ δῆμος ἐν τῷ θεάτρῳ, πνιγόμενος ὑπὸ τῶν πλουσίων, ἀφῆκε φωνὴν πρῶτον ταύτην· Πάντα γέμει, πάντα πολλοῦ. τῆς ἐπιούσης διελέχθην ἐγὼ τοῖς δυνατοῖς ὑμῶν ἐπιχειρῶν πείθειν,
D ὅτι κρεῖττόν ἐστιν ὑπεριδόντας ἀδίκου κτήσεως εὖ ποιῆσαι πολίτας καὶ ξένους. οἱ δὲ ἐπαγγειλάμενοι τοῦ πράγματος ἐπιμελήσεσθαι μηνῶν ἑξῆς τριῶν ὑπεριδόντος μου καὶ περιμείναντος οὕτως ὀλιγώρως εἶχον τοῦ πράγματος, ὡς οὐδεὶς ἂν ἤλπισεν. ἐπεὶ δ' ἑώρων ἀληθῆ τὴν τοῦ δήμου φωνὴν καὶ τὴν ἀγορὰν οὐχ ὑπ' ἐνδείας, ἀλλ' ὑπ' ἀπληστίας τῶν κεκτημένων
369 στενοχωρουμένην, ἔταξα μέτριον ἑκάστου τίμηνα καὶ δῆλον ἐποίησα πᾶσιν. ἐπεὶ δ' ἦν τὰ μὲν ἄλλα παρ' αὐτοῖς πολλὰ πάνυ· καὶ γὰρ ἦν οἶνος καὶ ἔλαιον καὶ τὰ λοιπὰ πάντα· σίτου δ' ἐνδεῶς εἶχον, ἀφορίας δεινῆς ὑπὸ τῶν ἔμπροσθεν αὐχμῶν γενομένης, ἔδοξέ μοι πέμπειν εἰς Χαλκίδα καὶ Ἱερὰν πόλιν καὶ πόλεις τὰς πέριξ, ἔνθεν εἰσήγαγον ὑμῖν μέτρων τετταράκοντα μυριάδας. ὡς δ' ἀνάλωτο καὶ τοῦτο, πρότερον μὲν
B πεντάκις χιλίους, ἑπτάκις χιλίους δ' ὕστερον, εἶτα νῦν μυρίους, οὓς ἐπιχώριόν ἐστι λοιπὸν ὀνομάζειν μοδίους, ἀνάλισκον σίτου, πάντας οἴκοθεν ἔχων. ἀπο

1 σμικρῶν Mb | ἐκπολεμῆσαι MbF 2 τὸ δὲ δὴ VMb] τόδε δὴ 6 διειλέχθην V 9 ἐπιμελήσασθαι V 10 εἶχον Pe] ἔσχον 11 δὲ VMb 13 ὑπὸ bis et ἀλλὰ VMb 15 δὲ VMb | ἦν] . . V | παρ' αὐτοῖς πολλὰ V] πολλὰ παρ' αὐτοῖς 17 δὲ VMb | εἶχον] εἶ . . . V 19 ἱεράνπολιν V, Ἱεράπολιν v, Ἱερὰν πόλιν Cob. 20 μέτρον VMbF 21 δὲ VMb | ἀνήλωτο Pe mart. cf. 74 B 22 δὲ VMb 24 ἀναλίσκειν σίτου vulgo omissa add. VMbF. Scripsi ἀνάλισκον. Legitur καταναλίσκε 406 C et ἀνάλισκεν apud Appiàn. Rom. VI, 5. Civ. III, 58 atque apud Athenaeum V. p. 214 D | πάντας VMbFPe] πάντα

τῆς Αἰγύπτου κομισθέντα μοι σῖτον ἔδωκα τῇ πόλει, πραττόμενος ἀργύριον οὐ κατὰ δέκα μέτρα, ἀλλὰ πεντεκαίδεκα τοσοῦτον, ὅσον ἐπὶ τῶν δέκα πρότερον. εἰ δὲ τοσαῦτα μέτρα θέρους ἦν παρ' ὑμῖν τοῦ νομίσματος, τί προσδοκᾶν ἔδει τηνικαῦτα, ἡνίκα, φησὶν ὁ Βοιώτιος ποιητής, χαλεπὸν γενέσθαι τὸν λιμὸν ἐπὶ C
δώματι; ἆρ' οὐ πέντε μόγις καὶ ἀγαπητῶς ἄλλως τε καὶ τηλικούτου χειμῶνος ἐπιγενομένου; τί οὖν ὑμῶν οἱ πλούσιοι; τὸν μὲν ἐπὶ τῶν ἀγρῶν σῖτον λάθρᾳ ἀπέδοντο πλείονος, ἐβάρησαν δὲ τὸ κοινὸν τοῖς ἰδίοις ἀναλώμασι· καὶ οὐχ ἡ πόλις μόνον ἐπὶ τοῦτο συρρεῖ, D
οἱ πλεῖστοι δὲ καὶ ἐκ τῶν ἀγρῶν συντρέχουσιν, ὃ μόνον ἐστὶν εὑρεῖν πολὺ καὶ εὔωνον, ἄρτους ὠνούμενοι. καίτοι τίς μέμνηται παρ' ὑμῖν εὐθηνουμένης τῆς πόλεως πεντεκαίδεκα μέτρα σίτου πραθέντα τοῦ χρυσοῦ; ταύτης ἕνεκεν ὑμῖν ἀπηχθόμην ἐγὼ τῆς πράξεως, ὅτι τὸν οἶνον ὑμῖν οὐκ ἐπέτρεψα καὶ τὰ λάχανα καὶ τὰς ὀπώρας ἀποδόσθαι χρυσοῦ, καὶ τὸν ὑπὸ τῶν πλουσίων ἀποκεκλεισμένον ἐν ταῖς ἀποθήκαις σῖτον ἄργυρον αὐτοῖς καὶ χρυσὸν ἐξαίφνης παρ' ὑμῶν 370
γενέσθαι. ἐκεῖνοι μὲν γὰρ αὐτὸν ἔξω τῆς πόλεως δι-

2 μέτρα] μέτρων V, μέτρον MbF. Scripserim οὐκ ἐπὶ δέκα μέτρων 3 πρότερον] „Sc. ἐπράττετο, exigi solebat, quod nescio an addendum quoque sit". Rsk. 4 τοσαῦτα τὰ μέτρα Mb | τοῦ νομίσματος] „Sc. ἄξια vel ὤνια. νόμισμα h. l. idem est quod statim post (D) χρυσοῦν appellat". Rsk. 6 γενέσθαι VMbF] γίγνεσθαι | τὸν λοιμὸν Mb 6 et 7 ἐπὶ τῷ δράγματι V, ἐπὶ τῷ δράχματι MbF, ἐπὶ δράγματι Pf, ἐπὶ δράματι Pe. Locus est corruptus. Vulgatam ἐπὶ δώματι explicat Reiskius: „ea anni tempestate, quum desiderium est domi propter frigus, exclusis quaerendi alimenti ergo excursionibus". 10 πλείονος om. Pef mart. pet. | ἐβάρησαν — 11 ἀναλώμασι Lex. Vind. p. 33,19. | ἐβάρησαν VPf Lex. Vind., ἐβάρυσαν MbF, ἐβάρυναν v 11 οὐχὶ πόλις Pe mart. pet. | τούτῳ Pe mart. pet. 16 ἐγὼ om. V 18 ἀποδόσθαι VMbF] ἀποδίδοσθαι

ἔθεντο καλῶς, ἐργασάμενοι τοῖς ἀνθρώποις λιμὸν ἀλοι-
ητῆρα βρότειον, ὡς ὁ θεὸς ἔφη τοὺς ταῦτα ἐπιτη-
δεύοντας ἐξελέγχων. ἡ πόλις δ' ἐν ἀφθονίᾳ γέγονεν
ἄρτων ἕνεκα μόνον, ἄλλου δ' οὐδενός. συνίην μὲν
B οὖν καὶ τότε ταῦτα ποιῶν ὅτι μὴ πᾶσιν ἀρέσοιμι,
πλὴν ἔμελεν οὐδὲν ἐμοί· τῷ γὰρ ἀδικουμένῳ πλήθει
βοηθεῖν ᾤμην χρῆναι καὶ τοῖς ἀφικνουμένοις ξένοις,
ἐμοῦ τε ἕνεκα καὶ τῶν συνόντων ἡμῖν ἀρχόντων.
ἐπεὶ δ' οἶμαι συμβαίνει τοὺς μὲν ἀπιέναι, τὴν πόλιν
δ' εἶναι τὰ πρὸς ἐμὲ γνώμης μιᾶς· οἱ μὲν γὰρ μισοῦ-
σιν, οἱ δ' ὑπ' ἐμοῦ τραφέντες ἀχαριστοῦσιν· Ἀδρα-
στείᾳ πάντα ἐπιτρέψας ἐς ἄλλο ἔθνος οἰχήσομαι καὶ
δῆμον ἕτερον, οὐδὲν ὑμᾶς ὑπομνήσας ὧν ἐνιαυτοῖς
C ἔμπροσθεν ἐννέα δίκαια δρῶντες εἰς ἀλλήλους εἰργά-
σασθε, φέρων μὲν ὁ δῆμος ἐπὶ τὰς οἰκίας τῶν δυνα-
τῶν ξὺν βοῇ τὴν φλόγα καὶ ἀποκτιννὺς τὸν ἄρχοντα,
δίκην δ' αὖθις ἀποτίνων ὑπὲρ τούτων, ὧν ὀργιζό-
μενος δικαίως ἔπραξεν οὐκέτι μετρίως. ὑπὲρ τίνος
οὖν πρὸς θεῶν ἀχαριστούμεθα; ὅτι τρέφομεν ὑμᾶς
οἴκοθεν, ὃ μέχρι σήμερον ὑπῆρξεν οὐδεμιᾷ πόλει, καὶ
D τρέφομεν οὕτω λαμπρῶς; ὅτι τὸν κατάλογον ὑμῶν
ηὐξήσαμεν; ὅτι κλέπτοντας ἑλόντες οὐκ ἐπεξήλθομεν;
ἑνὸς ἢ δύο βούλεσθε ὑμᾶς ὑπομνήσω, μή τις ὑπο-
λάβῃ σχῆμα καὶ ῥητορείαν εἶναι καὶ προσποίησιν τὸ

1 καλῶς] κακῶς V (non Mb) | ἀλυκτῆρα MbPe mart. 2 βρότειον VMbFPf] βροτείων 3 ἡ om. V | δὲ VMb 4 μόνων MbF | δὲ V | τοῦτο vulgo ante συνίην additum om. VMbF | συνίειν MbF 5 ἀρέσοιμι Cob.] ἀρέσκοιμι 6 οὐθὲν VMb 7 ᾠόμην VMbF 8 ἀρχόντων] Macula est in V 9, 10 et 11 δὲ VMb 11 ἀστρατεία MbFPef 12 ἐς V] εἰς | οἰχησόμεθα Pg 16 ξὺν V] σὺν 17 δὲ VMb | ἀποτίνων αὖθις MbFPef mart. pet. 21 λαμπρῶς] καλῶς V 22 ὅτι — ἐπεξήλθομεν Lex. Vind. p. 53,12 23 et 24 ὑπολάβῃ V] ὑπολάβοι

πρᾶγμα; γῆς κλήρους οἶμαι τρισχιλίους ἔφατε ἀσπόρους
εἶναι καὶ ᾐτήσασθε λαβεῖν, λαβόντες δ' ἐνείμασθε
πάντες οἱ μὴ δεόμενοι. τοῦτο ἐξετασθὲν ἀνεφάνη
σαφῶς. ἀφελόμενος δ' αὐτοὺς ἐγὼ τῶν ἐχόντων οὐ
δικαίως, καὶ πολυπραγμονήσας οὐδὲν ὑπὲρ τῶν ἔμ-
προσθεν, ὧν ἔσχον ἀτελεῖς, οὓς μάλιστα ἐχρῆν ὑπο- 371
τελεῖς εἶναι, ταῖς βαρυτάταις ἔνειμα λειτουργίαις αὐτοὺς
τῆς πόλεως. καὶ νῦν ἀτελεῖς ἔχουσιν οἱ καθ' ἕκαστον
ὑμῖν ἐνιαυτὸν ἱπποτροφοῦντες γῆς· κλήρους ἐγγὺς
τρισχιλίους, ἐπινοίᾳ μὲν καὶ οἰκονομίᾳ τοῦ θείου τοὐ-
μοῦ καὶ ὁμωνύμου, χάριτι δ' ἐμῇ, ὃς δὴ τοὺς παν-
ούργους καὶ κλέπτας οὕτω κολάζων εἰκότως ὑμῖν
φαίνομαι τὸν κόσμον ἀνατρέπειν. εὖ γὰρ ἴστε ὅτι B
πρὸς τοὺς τοιούτους ἡ πρᾳότης αὔξει καὶ τρέφει τὴν
ἐν τοῖς ἀνθρώποις κακίαν. ὁ λόγος οὖν μοι καὶ ἐν-
ταῦθα περιίσταται πάλιν εἰς ὅπερ βούλομαι. πάντων
γὰρ ἐμαυτῷ τῶν κακῶν αἴτιος γίγνομαι εἰς ἀχάριστα
καταθέμενος ἤθη τὰς χάριτας. ἀνοίας οὖν ἐστι τῆς
ἐμῆς τοῦτο καὶ οὐ τῆς ὑμετέρας ἐλευθερίας. ἐγὼ μὲν
δὴ τὰ πρὸς ὑμᾶς εἶναι πειράσομαι τοῦ λοιποῦ συνε-
τώτερος· ὑμῖν δὲ οἱ θεοὶ τῆς εἰς ἡμᾶς εὐνοίας καὶ C
τιμῆς, ἣν ἐτιμήσατε δημοσίᾳ, τὰς ἀμοιβὰς ἀποδοῖεν.

1 οἶμαι om. MbFPe mart. | ἀσπόρους H] ἀφόρους Horkelius, ἀπόρους v 2 δὲ VMb 3 ἀνεξετασθὲν mart. pet. 4 δὲ VMb 11 δὲ VMb | ὃς] ὁ VMb 11 et 12 πανούργους οὕτω καὶ κλέπτας MbF 13 ἀνατρέπων MbF 14 πρὸς τοὺς τοιούτους ἡ πρᾳότης VMbF, ἡ πρὸς τοὺς τοιούτους ἡ πρ. pet., ἡ πρὸς τοὺς τοιούτους πρ. mart. spanh. 17 ἐμαυτῷ τῶν κακῶν V] τῶν κακῶν ἐμαυτῷ | αἴτιος γίνομαι (γίγνομαι V) libri] γίνομαι αἴτιος 19 et 20 μὲν δὴ VMbFPe] μέντοι 21 ὑμᾶς mart. pet.

ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ

372 · ΕΠΙΣΤΟΛΑΙ.

p. 3 Heyl.

[α′]

*Ἐγὼ μὲν ᾤμην σε τὸν Νεῖλον πάλαι κατειληφέ-
ναι, καὶ πολλάκις εἰς μνήμην λαμβάνων τοῦτο δὴ τὸ
εἰωθὸς ἐμοὶ „Ὡς εὐδαίμονες, ἔλεγον, τῶν Αἰγυπτίων
οἱ παῖδες, πάλαι μὲν τὸν Νεῖλον ἔχοντες χορηγὸν
τῶν ὅσα φέρειν οἶδεν ἐκεῖνος, νυνὶ δὲ καὶ τὴν σὴν
μοῦσαν προσειληφότες οὐδὲν ἀτιμοτέραν τοῦ Νείλου,
παρ' ἐμοὶ δὲ κριτῇ τάχα καὶ μείζω. ὁ μὲν γὰρ τὴν
B χώραν αὐτῶν ἐπιρρέων πλουτεῖν ἐπιτρέπει, σὺ δὲ ταῖς
τῶν νέων ψυχαῖς τὴν γλῶτταν ἐπαφιεὶς ἐπὶ τὸν τῆς
ἐπιστήμης πλοῦτον ἰθύνεις οὐδὲν ἔλαττον ἢ (ὁ) πάλαι
Πυθαγόρας αὐτοῖς ἐπιδημῶν καὶ μετ' ἐκεῖνον (ὁ)
Πλάτων“. ταῦτα μὲν ἐλογιζόμην, σὺ δὲ οὐ μακρὰν
4 ἀπέχων ἐλάνθανες. ὡς δὲ ἧκεν ὁ τὴν ἐπιστολὴν ἐπι-
διδούς, τὸ μὲν πρῶτον θαυμάζων ἀπάτην ἡγούμην τὸ
πρᾶγμα καὶ οὐκ ἐπειθόμην τοῖς ὀφθαλμοῖς· ὡς δὲ*

1 et 2 *τοῦ αὐτοῦ ἐπιστολαὶ ἰουλιανοῦ* V 3 Hanc primam epistolam non esse Iuliani, sed Procopii Gazaei (Epist. 62, p. 553 Epistologr. Herch.) docuit Hercherus in Hermae vol. I. p. 474 5 *τῶν Αἰγυπτίων*] *τοῖς Αἰγυπτίοις* Procopii libri 11 *τῶν*, quod vulgo deest apud Iulianum, habet Vaticanus 1353 12 et 13 *ὁ* bis addidit Hrch. 15 *ἐπιδιδοὺς* Hrch.] *ἐπιδοὺς* 17 *ἐπιθόμην* Pb

τοῖς γεγραμμένοις ἐντυχὼν ἐπείσθην μὴ ἂν ὑπάρχειν C ἄλλου τὰς χάριτας, ἥσθην πῶς δοκεῖς; ἐγγυτέρας γὰρ τὰς τοῦ σε πάλιν ἰδεῖν ἡγούμην ἐλπίδας, καὶ συνέχαιρον εἰκότως, εἰ τὴν σὴν πατρίδα ζηλωτὴν μικρὸν γοῦν ἀπέφηνας χρόνον. σὺ δέ μοι δοκεῖς παίζων 373 αὐτῆς κατηγορεῖν. ὅτι μὲν γὰρ τὸν ὑπὲρ κεφαλῆς ἀέρα οἷον ἔφης εἶναι συμβαίνει, καὶ ὡς τὸ ὕδωρ τοὺς πίνοντας εἰς μνήμην ἄγει θαλάττης, καὶ ἄρτος ἡμῖν ἐκ κριθῆς εἰκῇ μεμιγμένος, οὐκ ἂν ἀρνηθείην, ἀλλὰ καὶ ἔλαττον τετραγῴδηταί σοι ταῦτα φειδοῖ τῆς πατρίδος· ἀλλ᾽ ὅμως, ὦ βέλτιστε, χάριν ἐχρῆν εἰδέναι ταύτῃ πρὸς φιλοσοφίαν ἀσκούσῃ τὴν γνώμην, ὅπως B ἂν εἰδείης ποτὲ τρυφῆς Αἰγυπτίας ὑπερορᾶν. Ὀδυσσέα δὲ τὸν σοφόν, νῆσον οἰκοῦντα μικρὰν ὁμοῦ καὶ τραχεῖαν καὶ τί γὰρ ἄλλο ἢ τὴν Ἰθάκην, οὔτε Καλυψὼ πέπεικεν οὔτε φύσεως ἐπὶ τὸ κρεῖττον μεταβολὴ τὸ μὴ τὴν Ἰθάκην ἀντὶ τούτων αἱρεῖσθαι. ἀλλ᾽ οὐδὲ Σπαρτιάτης οἶμαι τὴν οἴκοι δίαιταν ἐννοῶν τὴν Σπάρτην ἐμέμψατο. ἀλλ᾽ οἶδα πόθεν ποτὲ κατηγορεῖν ἐπήρθης. φιλοχρημάτως ἔχεις, ὦ λῷστε. εἶτα βραχύ τι τοῦ C λήμματος ἀποστὰς ἰοὺ ἰοὺ βοᾷς, καὶ τὸν Νεῖλον πολλάκις καὶ τὸν ἐκεῖθεν πλοῦτον ἀνακαλῇ. τοῦτό πού σε ξένον, ὡς αὐτὸς ἔφης, ποιεῖ καὶ τὸ σῶμα τοῦ Χαιρεφῶντος οὐδὲν ἀστειότερον ἔχειν. οἶμαι δέ σε

1 ὑπάρχειν deest apud Iulianum 2 τὰς Pbi] αὐτὰς 3 τοῦ Pbi Vat. 1353] ἐμοὶ τοῦ. Rsk. suspicatur οὕτως ἐμοὶ τὰς τοῦ σε π. ἰ. 5 et 6 παίζων αὐτῆς etiam Iuliani libri, αὐτῆς παίζων v 7 et 8 τοὺς πίνοντας Pet.] πίνοντας 8 ἡμῖν Vat. 1353] ὑμῖν 9 εἰκῇ Procop.] ἥκει | μεμιγμένος] μεμαγμένος H | ἂν et ἀλλὰ desunt apud Iulianum 10 τετραγῴδηται Hrch.] ἐτραγῴδηται 13 ὑπερορῶν Iulian. 22 ἀνακαλεῖς pet. spanh. 23 ξένον] ξηρὸν Sintenis in Hermae vol. I. p. 74

καὶ νύμφης ἐρωτικῶς περιέχεσθαι καὶ πειρᾶσθαι μόλις
ὁπόσα δύναται πόθος. ἀλλὰ γένοιτο ταῦθ' οὕτως,
D ὅπως Ἀφροδίτῃ φίλον καὶ Ἔρωσιν. ἔρρωσο, καί σε
θᾶττον προσείποιμι καὶ παίδων πατέρα.

β'. Προαιρεσίῳ.

Τί δὲ οὐκ ἔμελλον ἐγὼ Προαιρέσιον τὸν καλὸν
προσαγορεύειν, ἄνδρα ἐπαφιέντα τοῖς (νέοις) λόγους,
ὥσπερ οἱ ποταμοὶ τοῖς πεδίοις ἐπαφιᾶσι τὰ ῥεύματα,
καὶ ζηλοῦντα τὸν Περικλέα κατὰ τοὺς λόγους ἔξω τοῦ
374 συνταράττειν καὶ ξυγκυκᾶν τὴν Ἑλλάδα; θαυμάζειν
δ' οὐ χρὴ τὴν Λακωνικὴν εἰ πρὸς σὲ βραχυλογίαν
6 ἐμιμησάμην. ὑμῖν γὰρ πρέπει τοῖς σοφοῖς μακροὺς
πάνυ καὶ μεγάλους ποιεῖσθαι λόγους, ἡμῖν δὲ ἀρκεῖ
καὶ τὰ βραχέα πρὸς ὑμᾶς. ἴσθι δῆτά μοι πολλὰ παν-
ταχόθεν κύκλῳ πράγματα ἐπιρρεῖν. τῆς καθόδου τὰς
αἰτίας, εἰ μὲν ἱστορίαν γράφεις, ἀκριβέστατα ἀπαγγελῶ
B σοι, δοὺς τὰς ἐπιστολὰς ἀποδείξεις ἐγγράφους· εἰ δ'
ἔγνωκας ταῖς μελέταις καὶ τοῖς γυμνάσμασιν εἰς τέλος
ἄχρι γήρως προσκαρτερεῖν, οὐδὲν ἴσως μου τὴν σιω-
πὴν μέμψῃ.

γ'. Λιβανίῳ.

Ἐπειδὴ τῆς ὑποσχέσεως ἐπελάθου· τρίτη γοῦν
C ἐστὶ σήμερον, καὶ ὁ φιλόσοφος Πρίσκος αὐτὸς μὲν

1 ἐρωτικῆς mart. pet. spanh. 3 καὶ Ἔρωσιν. ἔρρωσο Hrch.] ἐρρώσῃ καὶ ἔρρωσο v 5 Προαιρεσίῳ] σοφιστῇ add. Bar. 7 ἐπαφιέντα Rsk. H] ἐφιέντα v, ἀφιέντα Palatinus 134 | τοῖς νέοις λόγους Rsk.] τοῖς λόγοις v, τοὺς λόγους Heyler 8 ἐπαφιᾶσι Bar. spanh.] ἐφ' ἅπασι 10 ξυγκυκᾶν Pbi] συγκυκᾶν 11 δὲ libri | πρὸς σὲ] πρός σε 12 ἐμιμησάμην Hrch.] μιμησαίμην 13 πάνυ Heyler e Pbi addidit 15 τῆς καθόδου e Bar. spanh. addidit, et habent etiam Pbi 16 ἀπαγγελῶ Bar.] ἀπαγγέλλω 22 ἐλάθου G

οὐχ ἧκε, γράμματα δ' ἀπέστειλεν ὡς ἔτι χρονίζων· ὑπομιμνήσκω σε τὸ χρέος ἀπαιτῶν. ὄφλημα δέ ἐστιν, ὡς οἶσθα, σοὶ μὲν ἀποδοῦναι ῥᾴδιον, ἐμοὶ δὲ ἥδιστον πάνυ κομίσασθαι. πέμπε δὴ τὸν λόγον καὶ τὴν ἱερὰν συμβουλήν, ἀλλὰ πρὸς Ἑρμοῦ καὶ Μουσῶν ταχέως, ἐπεὶ καὶ τούτων με τῶν τριῶν ἡμερῶν ἴσθι συντρίψας, εἴπερ ἀληθῆ φησιν ὁ Σικελιώτης ποιητής, ἐν ἤματι φάσκων τοὺς ποθοῦντας γηράσκειν. εἰ δὲ ταῦτα D ἔστιν, ὥσπερ οὖν ἔστι, τὸ γῆρας ἡμῖν ἐτριπλασίασας, ὦ γενναῖε. ταῦτα μεταξὺ τοῦ πράττειν ὑπηγόρευσά σοι· γράφειν γὰρ οὐχ οἷός τε ἦν, ἀργοτέραν ἔχων τῆς γλώττης τὴν χεῖρα. καίτοι μοι καὶ τὴν γλῶτταν εἶναι συμβέβηκεν ὑπὸ τῆς ἀνασκησίας ἀργοτέραν καὶ ἀδιάρθρωτον. ἔρρωσό μοι, ἀδελφὲ ποθεινότατε καὶ προσφιλέστατε.

δ'. Ἀριστοξένῳ φιλοσόφῳ. 375

Ἆρά γε χρὴ περιμένειν κλῆσιν, καὶ τὸ ἀκλητὶ προτιμᾶν μηδαμοῦ; ἀλλ' ὅρα μὴ χαλεπὴν ταύτην εἰσαγάγωμεν [τὴν] νομοθεσίαν, εἰ ταὐτὰ χρὴ παρὰ τῶν φίλων περιμένειν, ὅσα καὶ παρὰ τῶν ἁπλῶς καὶ ὡς ἔτυχε γνωρίμων. ἀπορήσει τις ἐνταῦθα, πῶς [δὲ] οὐκ B εἰδότες ἀλλήλους ἐσμὲν φίλοι; πῶς δὲ τοῖς πρὸ χιλίων

1 χρονίζων GPbkl Vatic. 1353] χρονίσων v, χρονιῶν Cob. 3 et 4 ἥδιον πάντων G, ἥδιστον πάντων Pk. Vid. ad 103 A 5 Μουσῶν Bar. GPk Vat. 1353] Μούσης 6 ἐπεὶ libri praeter Pl] ἀλλὰ 7 ὁ Σικελιώτης ποιητής] Theocrit. Id. 12,2. 8 δὴ GPk 9 ἔστιν et ἔστι H] ἐστὶν et ἐστὶ. Verba ὥσπερ οὖν ἔστι absunt in G, in quo ut in Pk additum est ἀληθῆ 11 ἦν GPk] ἤμην 12 καίτοι Bar. et Parisini] καὶ 16 ἀριστοξένῳ libri] Ἀριστομένει 17 ἀκλητὶ H] ἀεὶ v, ἄκλητον Rsk. 19 τὴν uncis inclusit H | ταὐτὰ H] ταῦτα 20 ἁπλῶς Bar. Phi spanh.] ἁπλῶν 21 δὲ delevit Hrch. 22 εἰδότες] ἰδόντες Ph Wytt. | ἀλλήλοις Rsk.

ἐτῶν γεγονόσι καὶ ναὶ μὰ Δία δισχιλίων; ὅτι σπου-
8 δαῖοι πάντες ἦσαν καὶ τὸν τρόπον καλοί τε κἀγαθοί.
ἐπιθυμοῦμεν δὲ καὶ ἡμεῖς εἶναι τοιοῦτοι, εἰ καὶ τοῦ
εἶναι, τόγε εἰς ἐμέ, πάμπληθες ἀπολειπόμεθα. πλὴν
ἀλλ' ἥγε ἐπιθυμία τάττει πως ἡμᾶς εἰς τὴν αὐτὴν
ἐκείνοις μερίδα. καὶ τί ταῦτα ἐγὼ ληρῶ μακρότερον;
C εἴτε γὰρ ἄκλητον ἰέναι χρή, ἥξεις δήπουθεν· εἴτε καὶ
κλῆσιν περιμένεις, ἰδού σοι καὶ παράκλησις ἥκει παρ'
ἡμῶν. ἔντυχε οὖν ἡμῖν περὶ τὰ Τύανα πρὸς Διὸς
φιλίου, καὶ δεῖξον ἡμῖν ἄνδρα ἐν Καππαδόκαις κα-
θαρῶς Ἕλληνα. τέως γὰρ τοὺς μὲν οὐ βουλομένους,
ὀλίγους δέ τινας ἐθέλοντας μέν, οὐκ εἰδότας δὲ
θύειν ὁρῶ.

D ε'. Ἰουλιανος Θεοδώρᾳ τῇ αἰδεσιμωτάτῃ.

Τὰ πεμφθέντα παρὰ σοῦ βιβλία πάντα ὑπεδεξάμην καὶ τὰς ἐπιστολὰς ἄσμενος διὰ τοῦ βελτίστου Μυγδονίου. καὶ μόγις ἄγων σχολήν, ὡς ἴσασιν οἱ θεοί, οὐ κακιζομένην λόγῳ ταῦτα ἀντέγραψα πρὸς σέ. σὺ δὲ εὖ πράττοις καὶ γράφοις ἀεὶ τοιαῦτα.

376 ϛ'. Ἐκδικίῳ ἐπάρχῳ Αἰγύπτου.

9 Εἰ καὶ τῶν ἄλλων ἕνεκα μὴ γράφεις ἡμῖν, ἀλλ'
ὑπέρ γε τοῦ θεοῖς ἐχθροῦ χρῆν σε γράφειν Ἀθανα-
σίου, καὶ ταῦτα πρὸ πλείονος ἤδη χρόνου τὰ καλῶς
ἡμῖν ἐγνωσμένα πεπυσμένον. ὄμνυμι δὲ τὸν μέγαν

2 πάντες] πάντως Ph 5 πῶς edd. ante heylerianam 8 περιμένῃς operarum errore pet. spanh. 9 Τύανα Ph et Rsk.] τοιαῦτα 10 φιλίου libri] ξενίου | καὶ add. Pbhi 15 παρὰ σοῦ V] παρά σου 18 οὐκ ἀκκιζομένην Rsk. | πρὸς σέ V] πρός σε 20 ἰουλιανὸς τῷ αὐτῷ V (sequitur enim in codice quinquagesimam) 22 γε] τε V mrg. Gen. | θεοῖς Hrch.] τοῖς θεοῖς. Idem fecit 451 B | χρῆν Sintenis] ἐχρῆν

Σάραπιν, ὡς εἰ μὴ πρὸ τῶν Δεκεμβρίων Καλανδῶν ὁ θεοῖς ἐχθρὸς Ἀθανάσιος ἐξέλθοι ἐκείνης, μᾶλλον δὲ καὶ πάσης τῆς Αἰγύπτου, τῇ ὑπακουούσῃ σοι τάξει B προστιμήσομαι χρυσοῦ λίτρας ἑκατόν. οἶσθα δὲ ὅπως εἰμὶ βραδὺς μὲν εἰς τὸ καταγνῶναι, πολλῷ δὲ ἔτι βραδύτερος εἰς τὸ ἅπαξ καταγοὺς ἀνεῖναι. — καὶ τῇ αὑτοῦ χειρί· πάνυ με λυπεῖ τὸ καταφρονεῖσθαι. μὰ τοὺς θεοὺς πάντας οὐδὲν οὕτως ἂν ἴδοιμι, μᾶλλον δὲ ἀκούσαιμι ἡδέως παρὰ σοῦ πραχθέν, ὡς Ἀθανάσιον ἐξεληλαμένον τῶν τῆς Αἰγύπτου τόπων, τὸν μιαρόν, C ὃς ἐτόλμησεν Ἑλληνίδας ἐπ' ἐμοῦ γυναῖκας τῶν ἐπισήμων βαπτίσαι. διωκέσθω.

ζ. Ἀρταβίῳ. 10

Ἐγω μὰ τοὺς θεοὺς οὔτε κτείνεσθαι τους Γαλιλαίους οὔτε τύπτεσθαι παρὰ τὸ δίκαιον οὔτε ἄλλο τι πάσχειν κακὸν βούλομαι, προτιμᾶσθαι μέντοι τοὺς θεοσεβεῖς καὶ πάνυ φημὶ δεῖν· διὰ μὲν γὰρ τὴν Γαλιλαίων μωρίαν ὀλίγου δεῖν ἅπαντα ἀνετράπη, διὰ D δὲ τὴν τῶν θεῶν εὐμένειαν σωζόμεθα πάντες. ὅθεν χρὴ τιμᾶν τοὺς θεοὺς καὶ τοὺς θεοσεβεῖς ἄνδρας τε καὶ πόλεις.

1 καλάνδων V 2 θεοῖσιν V | 'κείνης Sintenis. Requiro τῆς πόλεως, ut 399 A et 435 D 3 καὶ πάσης V spanh.] πάσης | σοι e V recepit spanh., vulgo deest 4 προστιμήσομαι Sintenis] προστιμήσαιμι V et Lex. Vind. p. 155,15, προτιμήσαιμι v | ὅπως V mrg. Gen.] πῶς 7 αὑτοῦ H] αὐτοῦ 7 et 8 μὰ τοὺς V mrg. Gen.] τοὺς 8 ἂν ἴδοιμι V mrg. Gen.] ἴδοιμι 9 ἡδέως H] μηδενὸς | παρὰ σοῦ V] παρά σου | πραχθὲν H] πραχθέντος 11 γυναῖκας τῶ abscissum in V[d] 12 διωκέσθω V] διώκεσθαι 14 μὰ H] νὴ 17 διὰ μὲν γὰρ Ph] διὰ γὰρ (διὰ mart. pet.) 19 πάντες] πάντως Heyler

η'. Γεωργίῳ.

*Ἦλθες Τηλέμαχε, φησὶ τὸ ἔπος· ἐγὼ δέ σε καὶ
εἶδον ἤδη τοῖς γράμμασι, καὶ τῆς ἱερᾶς σοῦ ψυχῆς
377 τὴν εἰκόνα καθάπερ ὀλίγῃ σφραγῖδι μεγάλου χαρα-
κτῆρος τύπον ἀνεμαξάμην. ἔστι γὰρ ἐν ὀλίγῳ πολλὰ
11 δειχθῆναι· ἐπεὶ καὶ Φειδίας ὁ σοφὸς οὐκ ἐκ τῆς
Ὀλυμπίασι μόνον ἢ Ἀθήνησιν εἰκόνος ἐγνωρίζετο,
ἀλλ' ᾔδει καὶ μικρῷ γλύμματι μεγάλης τέχνης ἔργον
ἐγκλεῖσαι, οἷον δὴ τὸν τέττιγά φασιν αὐτοῦ καὶ τὴν
B μέλιτταν, εἰ δὲ βούλει, καὶ τὴν μυῖαν εἶναι· ὧν
ἕκαστον, εἰ καὶ τῇ φύσει κεχάλκωται, τῇ τέχνῃ (γ')
ἐψύχωται. ἀλλ' ἐν ἐκείνοις μὲν ἴσως αὐτῷ καὶ ἡ
σμικρότης τῶν ζῴων εἰς τὴν κατὰ λόγον τέχνην τὸ
εἰκὸς ἐχαρίζετο· σὺ δ' ἀλλὰ τὸν ἀφ' ἵππου θηρῶντα
Ἀλέξανδρον, εἰ δοκεῖ, σκόπει, οὗ τὸ μέτρον ἐστὶ πᾶν
ὄνυχος οὐ μεῖζον. οὕτω δ' ἐφ' ἑκάστου τὸ θαῦμα
τῆς τέχνης κέχυται, ὥστε ὁ μὲν Ἀλέξανδρος ἤδη τὸ
C θηρίον βάλλει καὶ τὸν θεατὴν φοβεῖ, δι' ὅλου δυσ-
ωπῶν τοῦ σχήματος, ὁ δὲ ἵππος ἐν ἄκρᾳ τῶν ποδῶν
τῇ βάσει τὴν στάσιν φεύγων ἐν τῇ τῆς ἐνεργείας*

1 *γεωργίῳ καθολικῷ* Bar. mrg. Gen. 2 *ἤλυθες* VPdi spanh. | *τὸ ἔπος*] Odyss. π, 23. ϱ, 41 3 *εἶδον*] *ἰδὼν* V Bar. 7 *Ὀλυμπιάσι* V et v 8 *ᾔδει* spanh. e V et Bar.] *ἤδη* (*ἠδεὶ* mrg. Gen.) 9 *τέττιγα φασὶν* V | *αὐτσῦ* libri] *αὐτὸν* 10 *βούλει* libri] *βούλῃ* 11 *κεχάλκωται*] *σμικρὸν* cum spatio quatuor literarum V[d], *σμικρὸν κεχάλκωται* spanh. | *τῇ τέχνῃ γ'* Rsk.] *τῇ τέχνῃ* v, *τὴν τέχνην* Bar. 12 *ἐψύχωται*] *ἐμψύχωται* Bar. Pbi, *ἐνεμψύχωται* mart., *ἐνεψύχωται* Rsk. | *αὐτῷ*] *αὐτὴ* Rsk. 14 *ἀφ' ἵππου* H] *ἐφ' ἵππου* 15 *οὗ*] *οὐ* V 16 *ὄνυχος* Hrch.] *ὄνυχος δακτύλου χειρὸς*. „In V pro *δακτύλου χειρὸς οὐ μεῖζον* spatium undecim literarum est“. Hrch. | *δ' ἐφ'* V] *δὲ ἐφ'* | *τὸ θαῦμα* om. V 17 *κέχυται* Bar. mrg. Gen.] *ἔχεται* (etiam V) 18 *φο . . . . δυσωπῶν* V 20 *τ . . . . φεύγων* V | *ἐναργείας* V recentior m.

κλοπῇ τῇ τέχνῃ κινεῖται· ὃ δὴ καὶ αὐτὸς ἡμῖν, ὦ γενναῖε, ποιεῖς. ὥσπερ γὰρ ἐν Ἑρμοῦ λογίου σταδίοις δι' ὅλου πολλάκις τοῦ δρόμου στεφανωθεὶς ἤδη δι' ὧν ἐν ὀλίγοις γράφεις τῆς ἀρετῆς τὸ ἄκρον ἐμφαίνεις, καὶ τῷ ὄντι τὸν Ὀδυσσέα τὸν Ὁμήρου ζηλοῖς, ὃς καὶ D μόνον εἰπὼν ὅστις ἦν ἤρκει τοὺς Φαίακας ἐκπλῆξαι. εἰ δέ τι καὶ παρ' ἡμῶν τοῦ κατὰ σὲ φιλικοῦ καπνοῦ δέει, φθόνος οὐδείς. πάντως που καὶ παρὰ τῶν ἡτ- 12 τόνων εἶναί τι χρηστὸν ὁ μῦς τὸν λέοντα (ἐν) τῷ μύθῳ σώσας ἀρκούντως δείκνυσιν.

θ'. Ἐκδικίῳ ἐπάρχῳ Αἰγύπτου.

Ἄλλοι μὲν ἵππων, ἄλλοι δὲ ὀρνέων, ἄλλοι δὲ (ἄλλων) θηρίων ἐρῶσιν· ἐμοὶ δὲ βιβλίων κτήσεως ἐκ 378 παιδαρίου δεινὸς ἐντέτηκε πόθος. ἄτοπον οὖν, εἰ ταῦτα περιίδοιμι σφετερισαμένους ἀνθρώπους, οἷς οὐκ ἀρκεῖ τὸ χρυσίον μόνον ἀποπλῆσαι τὸν πολὺν ἔρωτα τοῦ πλούτου, πρὸς δὲ καὶ ταῦτα ὑφαιρεῖσθαι ῥᾳδίως διανοουμένους. ταύτην οὖν ἰδιωτικήν μοι δὸς τὴν χάριν, ὅπως ἀνευρεθῇ πάντα τὰ Γεωργίου βιβλία.

1 ἡμ.. V 2 ποιεῖς Rsk.] ἐποίεις 5 et 6 ὃς καὶ μόνον εἰπὼν ὅστις ἦν V marg. Gen. spanh.] ὅστις καὶ μόνον εἰπὼν 7 δὲ Hrch.] δὴ | κατὰ σὲ V] κατά σε | καπνοῦ add. spanh. e V et Bar. (mrg. Gen.) 8 δέει V mrg. Gen. spanh.] δέῃ 9 et 10 ἐν τῷ μύθῳ H (vid. Babrii fab. 107 Lachm.), τῷ μισθῷ v, delevit Hrch. 10 δείκνυσιν V] δείκνυσι 11 Ἰουλιανὸς τῷ αὐτῷ V (sequitur enim in codice sextam) 12 ἄλλοι μὲν] . . . . V | ἄλλοι δὲ ἄλλων θηρίων Doehnerus apud Horkelium] ἄλλοι δὲ θηρίων V, ἄλλοι θηρίων v 13 κτήσεως] . . . . . V 15 περι . . . . μι V 16 χρυσίον μόνον V mrg. Gen. pet. spanh.] χρυσίον | ἀποπλῆσαι V mrg. Gen. pet.] ἀναπλῆσαι. cf. 124 A | τὸν] . . . V 18 διανοουμένους V] ὑποδιανοουμένους | ἰδιωτικήν μοι V mrg. Gen. spanh.] μοι ἰδιωτικὴν | τὴν add. spanh. e V 19 ὅπου V, ὅπου ἂν mrg. Gen. | ἀνευρεθῇ Hrch.] ἂν εὑρεθείη v, ἀνευρεθείη Rsk. Vid. ad 231 D.

B πολλὰ μὲν γὰρ ἦν φιλόσοφα παρ' αὐτῷ, πολλὰ δὲ
ῥητορικά, πολλὰ δὲ ἦν καὶ τῆς τῶν δυσσεβῶν Γαλι-
λαίων διδασκαλίας· ἃ βουλοίμην μὲν ἠφανίσθαι πάντη,
τοῦ δὲ μὴ σὺν τούτοις ὑφαιρεθῆναι τὰ χρησιμώτερα,
ζητείσθω κἀκεῖνα μετ' ἀκριβείας ἅπαντα. ἡγεμὼν δὲ
τῆς ζητήσεως ἔστω σοι ταύτης ὁ νοτάριος Γεωργίου,
ὃς μετὰ πίστεως μὲν ἀνιχνεύσας αὐτὰ γέρως ἴστω
13 τευξόμενος ἐλευθερίας, εἰ δ' ἀμωσγέπως γένοιτο κα-
C κοῦργος περὶ τὸ πρᾶγμα, βασάνων εἰς πεῖραν ἥξων.
ἐπίσταμαι δὲ ἐγὼ τὰ Γεωργίου βιβλία, καὶ εἰ μὴ
πάντα, πολλὰ μέντοι· μετέδωκε γάρ μοι περὶ τὴν
Καππαδοκίαν ὄντι πρὸς μεταγραφήν τινα, καὶ ταῦτα
ἔλαβε πάλιν.

ι'. Αὐτοκράτωρ Καῖσαρ Ἰουλιανὸς Μέγιστος Σεβαστὸς Ἀλεξανδρέων τῷ δήμῳ.

Εἰ μὴ τὸν Ἀλέξανδρον τὸν οἰκιστὴν ὑμῶν καὶ
πρό γε τούτου τὸν θεὸν τὸν μέγαν τὸν ἁγιώτατον
D Σάραπιν αἰδεῖσθε, τοῦ κοινοῦ γοῦν ὑμᾶς καὶ ἀνθρω-
πίνου καὶ πρέποντος πῶς οὐκ εἰσῆλθε λόγος οὐδείς;
προσθήσω δὲ ὅτι καὶ ἡμῶν, οὓς οἱ θεοὶ πάντες, ἐν
πρώτοις δὲ ὁ μέγας Σάραπις ἄρχειν ἐδικαίωσαν τῆς
οἰκουμένης· οἷς πρέπον ἦν τὴν ὑπὲρ τῶν ἠδικηκότων
ὑμᾶς φυλάξαι διάγνωσιν. ἀλλ' ὀργὴ τυχὸν ἴσως ὑμᾶς

2 et 3 τῶν δυσσεβῶν Γαλιλαίων διδασκαλίας Vmrg. Gen. spanh.] τῶν Γαλιλαίων διδασκαλίας (τῶν Γαλιλαίων διδασκαλίας δυσσεβῶν pet.) 4 τοῦ H] τῷ | ὑφαιρεθῆναι V mrg. Gen.] ἀφαιρεθῆναι 5 καὶ ἐκεῖνα V mrg. Gen. 6 γεώργιος V mrg. Gen. 7 μὲν add. V mrg. Gen. 8 ἀμωσγέπως Hrch.] ἄλλως πως 10 ἐπίσταμαι—πολλὰ μέντοι absunt a mart. et Pbi 11 γὰρ om. pet. spanh. | περὶ] πρὸς Lex. Vind. p. 124,18 14 Ex Socratis Hist. Eccl. III, 3 17 τὸν θεὸν τὸν μέγαν, ut apud Socratem, Rsk., τὸν μέγαν θεὸν Hrch., τὸν θεὸν μέγαν v 18 ᾔδεῖσθε Rsk. 20 ὅτι] ἔτι H 20 et 21 ἐν τοῖς πρώτοις malit Hrch.

ἐξηπάτησε καὶ θυμός, ὅσπερ οὖν εἴωθε „τα δεινὰ
πράττειν, τὰς φρένας μετοικίσας“, εἰ τὰ τῆς ὁρμῆς 14
ἀναστείλαντες τοῖς παραχρῆμα βεβουλευμένοις καλῶς
ὕστερον ἐπηγάγετε τὴν παρανομίαν, οὐδὲ ἠσχύνθητε 379
δῆμος ὄντες τολμῆσαι ταὐτά, ἐφ' οἷς ἐκείνους ἐμισή-
σατε δικαίως. εἴπατε γάρ μοι πρὸς τοῦ Σαράπιδος,
ὑπὲρ ποίων ἀδικημάτων ἐχαλεπήνατε Γεωργίῳ; τὸν
μακαριώτατον Κωνστάντιον, ἐρεῖτε δήπουθεν, ὅτι καθ'
ὑμῶν παρώξυνεν, εἶτα εἰσήγαγεν εἰς τὴν ἱερὰν πόλιν
στρατόπεδον, καὶ κατέλαβεν ὁ στρατηγὸς τῆς Αἰγύπτου
τὸ ἁγιώτατον τοῦ θεοῦ τέμενος, ἀποσυλήσας ἐκεῖθεν B
εἰκόνας καὶ ἀναθήματα καὶ τὸν ἐν τοῖς ἱεροῖς κόσμον.
ὑμῶν δὲ ἀγανακτούντων εἰκότως καὶ πειρωμένων
ἀμύνειν τῷ θεῷ, μᾶλλον δὲ τοῖς τοῦ θεοῦ κτήμασιν,
ὁ δὲ ἐτόλμησεν ὑμῖν ἐπιπέμψαι τοὺς ὁπλίτας ἀδίκως
καὶ παρανόμως καὶ ἀσεβῶς, ἴσως Γεώργιον μᾶλλον ἢ
τὸν Κωνστάντιον δεδοικώς, ὃς αὐτὸν παρεφύλαττεν,
εἰ μετριώτερον ὑμῖν καὶ πολιτικώτερον, ἀλλὰ μὴ τυ-
ραννικώτερον πόρρωθεν προσφέροιτο. τούτων οὖν C
ἕνεκεν ὀργιζόμενοι τῷ θεοῖς ἐχθρῷ Γεωργίῳ τὴν ἱερὰν
αὖθις ἐμιάνατε πόλιν, ἐξὸν ὑποβάλλειν αὐτὸν ταῖς
τῶν δικαστῶν ψήφοις· οὕτω γὰρ ἐγένετο ἂν οὐ φόνος

1 τὰ δεινὰ—2 μετοικίσας] Melanthius apud Plut. de cohib. ira p. 453 E et de sera num. vind. p. 551 A 2 εἰ τὰ Heyler] εἶτα v, οἳ τὰ H | τὴν ὁρμὴν Rsk. 3 ἀναστείλαντες—4 ἐπηγάγετε Valesius ad Socratem partim e libris] ἀναστείλας τῆς παραχρῆμα βεβουλευμένης κακῶς ὕστερον ἐπήγαγε mart. pet. 5 ταὐτὰ H] ταῦτα. Cf. Plut. Mor. p. 253 C emendatus a Cobeto N. L. p. 228 10 ὁ στρατηγὸς ex libris correctum pro vulgato ante spanhemianam ὁ βασιλεὺς 11 ἀποσύλας mart. pet. 17 δεδοικώς, ὃς αὐτὸν libri veteres apud Socratem] δεδοικὼς ἑαυτὸν v. Verba ἑαυτὸν παρεφύλαττεν delevit Hrch. „Probo ὃς, sed sic, ut non [cum Petavio] ad strategum, sed ad Georgium referatur“. Rsk. 19 προσφέροιτο H] προσεφέρετο 22 ἐγένετο H] ἐγίνετο

οὐδὲ παρανομία τὸ πρᾶγμα, δίκη δὲ ἐμμελής, ὑμᾶς μὲν ἀθῴους πάντη φυλάττουσα, τιμωρουμένη μὲν τὸν ἀνίατα δυσσεβήσαντα, σωφρονίζουσα δὲ τοὺς ἄλλους
D πάντας ὅσοι τῶν θεῶν ὀλιγωροῦσι καὶ προσέτι τὰς τοιαύτας πόλεις καὶ τοὺς ἀνθοῦντας δήμους ἐν οὐδενὶ τίθενται, τῆς ἑαυτῶν δὲ ποιοῦνται πάρεργον δυναστείας τὴν κατ' ἐκείνων ὠμότητα. παραβάλλετε τοίνυν ταύτην μου τὴν ἐπιστολὴν ᾗ μικρῷ πρῴην ἐπέστειλα, καὶ τὸ διάφορον κατανοήσατε. πόσους μὲν ὑμῶν ἐπαίνους ἔγραφον τότε; νυνὶ δὲ μὰ τοὺς θεοὺς ἐθέλων ὑμᾶς ἐπαινεῖν οὐ δύναμαι διὰ τὴν παρανομίαν.
380 τολμᾷ δῆμος ὥσπερ οἱ κύνες ἄνθρωπον σπαράττειν, εἶτα οὐκ αἰσχύνεται τὰς χεῖρας προσάγειν τοῖς θεοῖς αἵματι ῥεούσας. ἀλλὰ Γεώργιος ἄξιος ἦν τοῦ τοιαῦτα παθεῖν. καὶ τούτων ἴσως ἐγὼ φαίην ἂν χείρονα καὶ πικρότερα. καὶ δι' ὑμᾶς, ἐρεῖτε. σύμφημι καὶ αὐτός· παρ' ὑμῶν δὲ εἰ λέγοιτε, τοῦτο οὐκέτι συγχωρῶ. νόμοι γὰρ ὑμῖν εἰσίν, οὓς χρὴ τιμᾶσθαι μάλιστα μὲν
B ὑπὸ πάντων ἰδίᾳ καὶ στέργεσθαι. πλὴν ἐπειδὴ συμβαίνει τῶν καθ' ἕκαστόν τινας παρανομεῖν, ἀλλὰ τὰ κοινὰ γοῦν εὐνομεῖσθαι χρὴ καὶ πειθαρχεῖν τοῖς νόμοις ὑμᾶς, καὶ μὴ παραβαίνειν ὅσαπερ ἐξ ἀρχῆς ἐνομίσθη

2 Malim τιμωρουμένη δὲ, quod in margine legitur, et σωφρονίζουσά τε 4 τῶν] τῶν μὲν? Hrch. 6 ποιοῦνται Socrates] ποιοῦντας 8 ᾗ codex Valesii apud Socratem] ἣν | πρῴην] πρόσθεν vel πρότερον H 10 ἐθέλων H] ὀφείλων 13 οὐκ αἰσχύνεται — ῥεούσας. Hercherum secutus sum nisi quod αἵματι pro αἵματος scripsi. Vulgo legitur: οὐκ αἰσχύνεται καὶ φυλάττει καθαρὰς τὰς χεῖρας ὡς προσάγειν πρὸς τοὺς θεοὺς αἵματος καθαρευούσας. Rsk. suspicatur οὐκ αἰσχύνεται τὸ φαυλότατον οὐ καθορῶν, τὰς χεῖρας ὡς προσάγειν δεῖ πρὸς τοὺς θεοὺς αἵματος καθαρευούσας, Horkelius οὐκ αἰσχύνεται τὰς χεῖρας ὡς καθαρὰς προσάγειν πρὸς τοὺς θεοὺς αἵματι καταρρεούσας. 16 κἂν δι' ὑμᾶς spanh. e Valesii coniectura 17 λέγοιτε Rsk. et Heyler] λέγοιτο

καλῶς. εὐτύχημα γέγονεν ὑμῖν, ἄνδρες Ἀλεξανδρεῖς, ἐπ' ἐμοῖ πλημμελῆσαι τοιοῦτό τι ὑμᾶς, ὃς αἰδοῖ τῇ [16] πρὸς τὸν θεὸν καὶ διὰ τὸν θεῖον τὸν ἐμὸν καὶ ὁμώνυμον, ὃς ἦρξεν αὐτῆς τε Αἰγύπτου καὶ τῆς ὑμετέρας [C] πόλεως, ἀδελφικὴν εὔνοιαν ὑμῖν ἀποσώζω. τὸ γὰρ τῆς ἐξουσίας ἀκαταφρόνητον καὶ τὸ ἀπηνέστερον καὶ καθαρὸν τῆς ἀρχῆς οὔποτε ἂν δήμου περιίδοι τόλμημα μὴ οὐ καθάπερ νόσημα χαλεπὸν πικροτέρῳ διακαθῆραι φαρμάκῳ. προσφέρω δ' ἐγὼ ὑμῖν δι' ἅσπερ ἔναγχος ἔφην αἰτίας τὸ προσηνέστατον, παραίνεσιν καὶ λόγους, ὑφ' ὧν εὖ οἶδ' ὅτι πείσεσθε μᾶλλον, εἴπερ [D] ἐστέ, καθάπερ ἀκούω, τό τε ἀρχαῖον Ἕλληνες καὶ τὰ νῦν ἔτι τῆς εὐγενείας ἐκείνης ὕπεστιν ὑμῖν ἀξιόλογος καὶ γενναῖος ἐν τῇ διανοίᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ὁ χαρακτήρ.

Προτεθήτω τοῖς ἐμοῖς πολίταις Ἀλεξανδρεῦσιν.

ια'. Ἰουλιανὸς Βυζαντίοις.

Τοὺς βουλευτὰς πάντας ὑμῖν ἀποδεδώκαμεν καὶ τοὺς πατροβούλους, εἴτε τῇ τῶν Γαλιλαίων ἑαυτοὺς ἔδοσαν δεισιδαιμονίᾳ, εἴτε πως ἄλλως πραγματεύσαιντο [381]

3 τὸν θεῖον — ὁμώνυμον Valesio suadente e Nicephoro scripsit spanh. pro τὸν πάππον τὸν ἐμὸν καὶ τὸν θεῖον ὁμώνυμον 7 περιίδοι Rsk. et Hrch.] περιίδοιεν spanh., ἴδοιεν mart. pet., περιιδεῖν duo Socratis libri et Nicephorus 8 et 9 διακαθῆραι Hrch.] διακαθᾶραι 9 ἔγωγ' Sintenis 11 οἶδ' Socrates] οἶδα 13 ἔτι Valesius] ἐπεὶ v ante spanh. 16 προτεθήτω Valesio iubente e Nicephoro scripsit spanh. pro προστεθήτω | δὲ, quod apud Iulianum post προτεθήτω legitur, abest a Socrate et abiecit Hrch. cf. 435 D 17 „Βισανθηνοῖς Gibbon". Br. Friederich 19 πατροβούλους Ducangius] πατροκόλους v ante spanh., πατροβόλους Pc et Petavii codex Anglicanus | τῶν Γαλιλαίων Pc] Γαλιλαίων 20 δεισιδαιμονία Pc] θρησκείᾳ | πως Hrch.] ὅπως. Mihi in mentem venit ὁπωσοῦν | ἐπραγματεύσαντο Hrch.

17 διαδρᾶναι τὸ βουλευτήριον, ἔξω τῶν ἐν τῇ μητροπόλει λελειτουργηκότων.

ιβ'. Βασιλείῳ.

Ἡ μὲν παροιμία φησὶν Οὐ πόλεμον ἀγγέλλεις, ἐγὼ δὲ προσθείην ἐκ τῆς κωμῳδίας Ὦ χρυσὸν ἀγγείλας ἐπῶν. ἴθι οὖν ἔργοις αὐτὸ δεῖξον, καὶ σπεῦδε παρ'
B ἡμᾶς· ἀφίξῃ γὰρ φίλος παρὰ φίλον. ἡ δὲ περὶ τὰ πράγματα κοινὴ καὶ συνεχὴς ἀσχολία δοκεῖ μὲν εἶναί πως τοῖς μὴ πάρεργον αὐτὰ ποιοῦσιν ἐπαχθής, οἱ δὲ τῆς ἐπιμελείας κοινωνοῦντές εἰσιν ἐπιεικεῖς, ὡς ἐμαυτὸν πείθω, καὶ συνετοὶ καὶ πάντως ἱκανοὶ πρὸς πάντα. διδοῦσιν οὖν μοι ῥᾳστώνην, ὥστε ἐξεῖναι μηδὲν ὀλιγωροῦντι καὶ ἀναπαύεσθαι· σύνεσμεν γὰρ ἀλλήλοις οὐ μετὰ τῆς αὐλικῆς ὑποκρίσεως, ἧς μόνης οἶμαί σε
C μέχρι τοῦ δεῦρο πεπειρᾶσθαι, καθ' ἣν ἐπαινοῦντες μισοῦσι τηλικοῦτον μῖσος, ἡλίκον οὐδὲ τοὺς πολεμιωτάτους, ἀλλὰ μετὰ τῆς προσηκούσης ἀλλήλοις ἐλευθερίας ἐξελέγχοντές τε ὅταν δέῃ καὶ ἐπιτιμῶντες οὐκ
18 ἔλαττον φιλοῦμεν ἀλλήλους τῶν σφόδρα ἑταίρων· ἔνθεν ἔξεστιν ἡμῖν· ἀπείη δὲ φθόνος· ἀνειμένοις τε σπουδάζειν καὶ σπουδάζουσι μὴ ταλαιπωρεῖσθαι, καθεύδειν δὲ ἀδεῶς. ἐπεὶ καὶ ἐγρηγορὼς οὐχ ὑπὲρ
D ἐμαυτοῦ μᾶλλον ἢ καὶ ὑπὲρ τῶν ἄλλων ἁπάντων, ὡς εἰκός, ἐγρήγορα. ταῦτα ἴσως κατηδολέσχησά σου καὶ

1 διαδρᾶναι Hrch.] διαδράναι 5 ἐκ τῆς κωμῳδίας] Aristoph. Plut. 268 6 ἴθ' Pb 9 μὴ vulgo omissum recepit Heyler ex ald. et Pbi | αὐτὰ Hrch.] αὐτὸ 11 πάντες Pbi ald. 12 διδοῦσιν Heyler] δίδωσιν Pbi, δίδωμι v 14 ἧς μόνης Rsk. et Heyler] μόνης, ἧς 15 „Post ἐπαινοῦντες aut deest ἀλλήλους aut certe subaudiendum est". Rsk. 23 ἐμαυτοῦ Hrch.] ἑαυτοῦ | ἢ καὶ] ἢ Hrch. Sed vid. Krügeri gramm. I. § 69,32. ann. 13 24 κατηδολέσχησά σου] Suidas s. v.

κατελήρησα, παθών τι βλακῶδες· ἐπῄνεσα γὰρ ἐμαυτὸν ὥσπερ Ἀστυδάμας. ἀλλ' ἵνα σε πείσω προὔργου τι μᾶλλον ἡμῖν τὴν σὴν παρουσίαν ἅτε ἀνδρὸς ἔμφρονός ποιήσειν ἢ παραιρήσεσθαί τι τοῦ καιροῦ, ταῦτα ἐπέστειλα. σπεῦδε οὖν, ὅπερ ἔφην, δημοσίῳ 382 χρησάμενος δρόμῳ· συνδιατρίψας δὲ ἡμῖν ἐφ' ὅσον σοι φίλον, οἷπερ ἂν θέλῃς ὑφ' ἡμῶν πεμπόμενος, ὡς προσῆκόν ἐστι, βαδιεῖ.

ιγ'. Ἰουλιανὸς Ἰουλιανῷ θείῳ. 19

Τρίτης ὥρας νυκτὸς ἀρχομένης, οὐκ ἔχων οὐδὲ τὸν ὑπογράφοντα διὰ τὸ πάντας ἀσχόλους εἶναι, μόλις B ἴσχυσα πρὸς σὲ ταῦτα γράψαι. ζῶμεν διὰ τοὺς θεοὺς ἐλευθερωθέντες τοῦ παθεῖν ἢ δρᾶσαι τὰ ἀνήκεστα· μάρτυς δὲ ὁ Ἥλιος, ὃν μάλιστα πάντων ἱκέτευσα συνάρασθαί μοι, καὶ ὁ βασιλεὺς Ζεύς, ὡς οὐπώποτε ηὐξάμην ἀποκτεῖναι Κωνστάντιον, μᾶλλον δὲ ἀπηυξάμην. τί οὖν ἦλθον; ἐπειδή μοι οἱ θεοὶ διαρρήδην ἐκέλευσαν, σωτηρίαν μὲν ἐπαγγελλόμενοι πειθομένῳ, μένοντι δὲ ὃ μηδεὶς θεῶν ποιήσειεν· ἄλλως τε ὅτι C καὶ πολέμιος ἀποδειχθεὶς ᾤμην φοβῆσαι μόνον καὶ εἰς ὁμιλίας ἥξειν ἐπιεικεστέρας τὰ πράγματα· εἰ δὲ μάχῃ κριθείη, τῇ τύχῃ τὰ πάντα καὶ τοῖς θεοῖς ἐπιτρέψας περιμένειν ὅπερ ἂν αὐτῶν τῇ φιλανθρωπίᾳ δόξῃ.

1 et 2 „F. ἐμαυτόν, ἀλλ' οὐχ ὥσπερ Ἀστυδάμας, ἀλλ' ἵνα—". Rsk. De proverbio vid. Leutsch. ad Zenob. V, 100 6 χρησάμενος H] χρησόμενος | ἐφ' ὅσον Pb] ἐφ' ὅσου 7 ἧπερ Rsk., ἥπερ Pi | ὑφ' ὑμῶν v. Correxit Heyler 8 βαδιεῖ Cob.] βαδιῇ 11 Malim τὸν ὑπογράφοντα 12 πρὸς σὲ V] πρός σε 17 μοι θεοὶ Sintenis, Hrch. malit μ' οἱ θεοὶ 19 ὅτι expunxit Hrch. Nunc vero praefert ἄλλως τε καὶ ὅτι. Sed cf. 15 C et 290 A, Xenoph. Hipparch. 8,14, Isocr. 5,79. 15,104. 4,66 et 9,7. 20 φοβήσειν coniecit Pet. 22 τὰ πάντα V spanh.] ἅπαντα.

D ιδ΄. Ἰουλιανὸς Λιβανίῳ.

20 Ἀνέγνων χθὲς (σου) τὸν λόγον πρὸ ἀρίστου σχεδόν, ἀριστήσας δὲ πρὶν ἀναπαύσασθαι τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. μακάριος εἶ λέγειν οὕτω, μᾶλλον δὲ φρονεῖν οὕτω δυνάμενος. ὢ λόγος, ὢ φρένες, ὢ σύνθεσις, ὢ διαίρεσις, ὢ ἐπιχειρήματα, ὢ τάξις, ὢ ἀφορμαί, ὢ λέξις, ὢ ἁρμονία, ὢ συνθήκη.

383 ιε΄. Ἰουλιανὸς Μαξίμῳ φιλοσόφῳ.

Ἀλέξανδρον μὲν τὸν Μακεδόνα τοῖς Ὁμήρου ποιήμασιν ἐφυπνώττειν λόγος, ἵνα δὴ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν αὐτοῦ τοῖς πολεμικοῖς ὁμιλῇ συνθήμασιν· ἡμεῖς δέ σου ταῖς ἐπιστολαῖς ὥσπερ παιωνίοις τισὶ φαρμάκοις συγκαθεύδομεν, καὶ οὐ διαλείπομεν ἐν-
B τυγχάνοντες ἀεὶ καθάπερ νεαραῖς ἔτι καὶ πρῶτον εἰς
21 χεῖρας ἡκούσαις. εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων· μᾶλλον δὲ ἧκε σὺν θεοῖς, ἐνθυμούμενος ὡς ἡμῖν γ' ἕως ἂν ἀπῇς οὐδ' ὅτι ζῶμεν εἰπεῖν ἔστιν, εἰ μὴ ὅσον τοῖς παρὰ σοῦ γραφομένοις ἐντυχεῖν ἔξεστιν.

1 Post Λιβανίῳ add. V mrg. Gen. σοφιστῇ και κοιαίστωρι 2 σου add. Hrch. 4 τῇ ἀναγνώσει Bar. Vat. 1353 5 ὦ ubique Pb Vat. 1353 Heidelb. 356 6 σύνθεσις Pb Palat. 134] σύνεσις | ὢ 'πιχειρήματα V 10 νύκτωρ cum Heylero recepi ex Pbi Vat. 1353 pro νύκτα 11 ὁμιλεῖ mrg. Gen. ὁμιλοίη Hrch. 12 παιωνίοις Pbi Suid. v. Παιώνιον] παιωνείοις 16 σῆς om. pet. heyler. 19 οὐδὲ V cum aliis codd. | ἔστιν H] ἐστὶν [εἰ μὴ ὅσον Hrch.] ἢ ὅτε μόνον. Ego suspicatus sum πλὴν ὅσον μόνον—ἐντυχεῖν, deleto ἔξεστιν 20 παρὰ σοῦ V] παρά σου | ἐντυχεῖν ἔξεστιν om. Pbi, ἐντυγχάνομεν Vat. 1353

ιϛʹ. Ἰουλιανὸς τῷ αὐτῷ. C

Ὁ μὲν μῦθος ποιεῖ τὸν ἀετόν, ἐπειδὰν τὰ γνήσια τῶν κυημάτων βασανίζῃ, φέρειν ἄπτιλα πρὸς τὸν αἰθέρα καὶ ταῖς ἡλίου προσάγειν ἀκτῖσιν, ὥσπερ ὑπὸ μάρτυρι τῷ θεῷ πατέρα τε ἀληθοῦς νεοττοῦ γινόμενον καὶ νόθου γονῆς ἀλλοτριούμενον· ἡμεῖς δέ σοι καθάπερ Ἑρμῇ λογίῳ τοὺς ἡμετέρους λόγους ἐγχειρίζομεν. κἂν μὲν ὑπομείνωσι τὴν ἀκοὴν τὴν σήν, ἐπὶ D σοὶ τὸ κρῖναι περὶ αὐτῶν, εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ πτήσιμοι· εἰ δὲ μή, ῥῖψον ἐκεῖ καθάπερ Μουσῶν ἀλλοτρίους, ἢ ποταμῷ κλύσον ὡς νόθους. πάντως οὐδὲ ὁ Ῥῆνος ἀδικεῖ τοὺς Κελτούς, ὃς τὰ μὲν νόθα 22 τῶν βρεφῶν ὑποβρύχια ταῖς δίναις ποιεῖ, καθάπερ ἀκολάστου λέχους τιμωρὸς πρέπων· ὅσα δ' ἂν ἐπιγνῷ καθαροῦ σπέρματος, ὑπεράνω τοῦ ὕδατος αἰωρεῖ, καὶ τῇ μητρὶ τρεμούσῃ πάλιν εἰς χεῖρας δίδωσιν, ὥσπερ ἀδέκαστόν τινα μαρτυρίαν αὐτῇ καθαρῶν καὶ ἀμέμπτων 384 γάμων τὴν τοῦ παιδὸς σωτηρίαν ἀντιδωρούμενος.

ιζʹ. Ἰουλιανὸς Ὀριβασίῳ.

Τῶν ὀνειράτων δύο πύλας εἶναί φησιν ὁ θεῖος Ὅμηρος, καὶ διάφορον εἶναι αὐτοῖς καὶ τὴν ὑπὲρ τῶν ἀποβησομένων πίστιν. ἐγὼ δὲ νομίζω σε νῦν, εἴπερ B ποτὲ καὶ ἄλλοτε, σαφῶς ἑορακέναι περὶ τῶν μελλόν-

4 ἀκτίσιν V 5 ἀληθοῦς V et reliqui libri tantum non omnes] ἀληθῶς 8 τὴν ἀκοὴν τὴν σὴν] τὴν σὴν ἀκτῖνα Bar. Heidelb. 356 Vat. 1353 Pbi 8 et 9 ἐπὶ σοὶ V] ἐπί σοι 9 κρίναι V 10 ῥῖψον] ῥίψον | ἐκεῖ om. Pb. „Videtur dittographia esse". Hrch. 13 ταῖς δίναις ὑποβρύχια e libris suis scripsit Heyler | ποιεῖ idem e libris suis scripsit pro πέμπει | καθάπερ — 14 πρέπων] Lex. Vind. p. 151,19 19 ὀριβασίῳ V mrg. Gen.] Ὀρειβασίῳ 20 δύο V mart. 1] δύω 21 Ὅμηρος] Odyss. τ, 562 22 et 23 εἴπερ ποτὲ Hrch.] εἴπέρ ποτε. 23 ἑορακέναι Hrch.] ἑωρακέναι

των· ἐθεασάμην γὰρ καὶ αὐτὸς τοιοῦτον σήμερον. δένδρον γὰρ ᾤμην ὑψηλὸν ἔν τινι τρικλίνῳ σφόδρα μεγάλῳ πεφυτευμένον εἰς ἔδαφος ῥέπειν, [ἐν] τῇ ῥίζῃ παραπεφυκότος ἑτέρου μικροῦ καὶ νεογενοῦς, ἀνθηροῦ λίαν. ἐγὼ δὲ περὶ τοῦ μικροῦ σφόδρα ἠγωνίων, μή
23 τις αὐτὸ μετὰ τοῦ μεγάλου συναποσπάσῃ. καὶ τοίνυν
C ἐπειδὴ πλησίον ἐγενόμην, ὁρῶ τὸ μέγα μὲν ἐπὶ τῆς γῆς ἐκτεταμένον, τὸ μικρὸν δὲ ὀρθὸν μέν, μετέωρον δὲ ἀπὸ γῆς. ὡς οὖν εἶδον, ἀγωνιάσας ἔφην· „Οἷον δένδρου! κίνδυνός ἐστι μηδὲ τὴν παραφυάδα σωθῆναι.“ καί τις ἀγνὼς ἐμοὶ παντελῶς „Ὅρα, ἔφησεν, ἀκριβῶς καὶ θάρρει· τῆς ῥίζης γὰρ ἐν τῇ γῇ μενούσης τὸ μικρότερον ἀβλαβὲς διαμενεῖ καὶ βεβαιότερον ἱδρυν-
D θήσεται“. τὰ μὲν δὴ τῶν ὀνειράτων τοιαῦτα, θεὸς δὲ οἶδεν εἰς ὅ,τι φέρει. περὶ δὲ τοῦ μιαροῦ ἀνδρογύνου μάθοιμ' ἂν ἡδέως ἐκεῖνο, πότε διελέχθη περὶ ἐμοῦ ταῦτα, πότερον πρὶν ἢ συντυχεῖν ἐμοὶ ἢ μετὰ τοῦτο. δήλωσον οὖν ἡμῖν ὅ,τι ἂν οἷός τε ᾖς. ὑπὲρ δὲ τῶν πρὸς αὐτὸν ἴσασιν ὅτι πολλάκις, αὐτοῦ τοὺς ἐπαρχιώτας ἀδικήσαντος, ἐσιώπησα παρὰ τὸ πρέπον ἐμαυτῷ, τὰ μὲν οὐκ ἀκούων, τὰ δὲ οὐ προσιέμενος, ἄλλοις δὲ ἀπιστῶν, ἔνια δὲ εἰς τοὺς συνόντας αὐτῷ
385 τρέπων. ὅτι δέ μοι μεταδοῦναι τῆς τοιαύτης ἠξίωσεν
A αἰσχύνης, ἀποστείλας τὰ μιαρὰ καὶ πάσης αἰσχύνης ἄξια ὑπομνήματα, τί με πράττειν ἐχρῆν; ἆρα σιωπᾶν

2 ᾤμην mart. 1] ᾠόμην | τρικλείνω V mrg. Gen. 3 ῥέπειν V mrg. Gen.] ῥέπον | ἐν inclusit H 13 διαμενεῖ mart. pet.] διαμένει 15 et 16 περὶ τοῦ μιαροῦ δ' ἀνδρογύνου Sintenis | ἀνδρογύνου οὐ μάθοιμ' V 17 πρὶν ἢ] πρὶν Hrch. | τοῦ συντυχεῖν V spanh. 18 ὑμῖν operarum errore pet. 19 ἴσασιν] ἴσθι Hrch., ἴσασιν οἱ θεοὶ Heyler, περὶ αὐτὸν πολλοὶ ἴσασιν Rsk. Fort. legendum ἴσασιν οἱ θεοὶ πάντες, ut 285 D 352 D 453 B 21 ἐμαυτῷ] ἐν αὐτῷ V

ἢ μάχεσθαι; τὸ μὲν οὖν πρῶτον ἦν ἠλίθιον καὶ δουλο-
πρεπὲς καὶ θεομίσητον, τὸ δεύτερον δὲ δίκαιον μὲν 24
καὶ ἀνδρεῖον καὶ ἐλευθέριον, ὑπὸ δὲ τῶν ἐχόντων
ἡμᾶς πραγμάτων οὐ συγχωρούμενον. τί τοίνυν ἐποίησα;
πολλῶν παρόντων, οὓς ᾔδειν ἀναγγελοῦντας αὐτῷ B
„Πάντη καὶ πάντως, εἶπον, διορθώσει τὰ ὑπομνή-
ματα [οὗτος] ὁ δεῖνα, ἐπεὶ δεινῶς ἀσχημονεῖ“. τοῦτο
ἐκεῖνος ἀκούσας τοσοῦτον ἐδέησε σωφρόνως τι πρᾶξαι,
ὥστε πεποίηκεν οἷα μὰ τὸν θεὸν οὐδ' ἂν εἷς μέτριος
τύραννος, οὕτω μου πλησίον ὄντος. ἐνταῦθα τί πράτ-
τειν ἐχρῆν ἄνδρα τῶν Πλάτωνος καὶ Ἀριστοτέλους
ζηλωτὴν δογμάτων; ἆρα περιορᾶν ἀνθρώπους ἀθλίους
τοῖς κλέπταις ἐκδιδομένους, ἢ κατὰ δύναμιν αὐτοῖς C
ἀμύνειν, [οἶμαι] ὡς ἤδη τὸ κύκνειον ἐξᾴδουσι διὰ τὸ
θεομισὲς ἐργαστήριον τῶν τοιούτων; ἐμοὶ μὲν οὖν
αἰσχρὸν εἶναι δοκεῖ τοὺς μὲν χιλιάρχους, ὅταν λείπωσι
τὴν τάξιν, καταδικάζειν· καίτοι χρῆν ἱκανὰ τεθνάναι
παραχρῆμα καὶ μηδὲ ταφῆς ἀξιοῦσθαι· τὴν δὲ ὑπὲρ
τῶν ἀθλίων ἀνθρώπων ἀπολείπειν τάξιν, ὅταν δέῃ
πρὸς κλέπτας ἀγωνίζεσθαι τοιούτους, καὶ ταῦτα τοῦ
θεοῦ συμμαχοῦντος ἡμῖν, ὅσπερ οὖν ἔταξεν. εἰ δὲ D
καὶ παθεῖν τι συμβαίη, μετὰ καλοῦ τοῦ συνειδότος

1 ἦν mart. 1 et Wytt.] εἶναι v, οἶμαι Horkelius, ἦν ἂν Sintenis, ἐδόκει εἶναι Rsk. 3 ἐχόντων] „F. συνεχόντων aut περιεχόντων“. Rsk. 6 διορθώσῃ V 7 οὗτος (οὕτως V) delevit Hrch. 8 ἐδέησε Hrch.] ἐδέησε τοῦ . 9 πεποίηκεν Rsk. et Sintenis] πεποιηκέναι | οἷα μὰ H] ὅσα νὴ | οὐδ' ἂν H] οὐδὲ 14 οἶμαι expunxit Hrch. | κύκνιον V 17 et 19 τᾶξιν V 17 χρῆν V] χρὴ | ἱκανὰ] ἐκείνους Boissonadius ad Tzetz. Alleg. p. 314. „F. sic distinguendum et legendum est: καταδικάζειν (καίτοι χρὴ δι' ἱκανά) τεθνάναι condemnare ad moriendum protinus, tametsi multas ob causas necesse est stationem relinquere“. Rsk. 19 τῶν ἀθλίων V mrg. Gen.] ἀθλίων | ἀπολείπειν V mrg. Gen.] ὑπολείπειν 21 ὅσπερ Rsk. et Heyler] ὥσπερ

οὐ μικρὰ παραμυθία πορευθῆναι. τὸν δὲ χρηστὸν
25 Σαλούστιον θεοὶ μέν μοι χαρίσαιντο. κἂν συμβαίνῃ
δὲ διὰ τοῦτο τυγχάνειν διαδόχου, λυπήσει τυχὸν
οὐδέν· ἄμεινον γὰρ ὀλίγον ὀρθῶς ἢ πολὺν κακῶς
πρᾶξαι χρόνον. οὐκ ἔστιν, ὥς λέγουσί τινες, τὰ Περι-
380 πατητικὰ δόγματα τῶν Στωικῶν ἀγεννέστερα, το-
σούτῳ δὲ μόνον ἀλλήλων, ὡς ἐγὼ κρίνω, διαφέρει·
τὰ μὲν γάρ ἐστιν ἀεὶ θερμότερα καὶ ἀβουλότερα, τὰ
δὲ φρονήσεως ἄξια τοῖς ἐγνωσμένοις ἐμμένει.

B ιη'. Ἰουλιανὸς Εὐγενίῳ φιλοσόφῳ.

Δαίδαλον μὲν Ἰκαρίῳ φασὶν ἐκ κηροῦ πτερὰ
συμπλάσαντα τολμῆσαι τὴν φύσιν βιάσασθαι τῇ τέχνῃ.
ἐγὼ δὲ ἐκεῖνον μὲν εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς
γνώμης οὐκ ἄγαμαι· μόνος γὰρ [δὴ] κηρῷ λυσίμῳ
τοῦ παιδὸς ὑπέμεινε τὴν σωτηρίαν πιστεῦσαι. εἰ δέ
μοι θέμις ἦν κατὰ τὸν Τήιον ἐκεῖνον μελοποιὸν τὴν
τῶν ὀρνίθων ἀλλάξασθαι φύσιν, οὐκ ἂν δήπου πρὸς
26 Ὄλυμπον οὐδὲ ὑπὲρ μέμψεως ἐρωτικῆς, ἀλλ' εἰς
C αὐτοὺς ἂν τῶν ὑμετέρων ὀρῶν τοὺς πρόποδας ἔπτην,
ἵνα σὲ τὸ μέλημα τοὐμόν, ὥς φησιν ἡ Σαπφώ, περι-
πτύξωμαι. ἐπεὶ δέ με ἀνθρωπίνου σώματος δεσμῷ
κατακλείσασα ἡ φύσις οὐκ ἐθέλει πρὸς τὸ μετέωρον

2 κἂν συμβαίνῃ V mrg. Gen.] κἂν συμβαίη v, ἂν συμβῇ Hrch. 3 δὲ V] δέ τι 6 ἀγενέστερα V 9 ἐμμένει Hrch.] ἐμμένειν 11 Ἰκάρῳ? 13 et 14 τῆς γε γνώμης Rsk. 14 μόνῳ Rsk. | δὴ Heylerus e libris addidit, om. V 16 τὸν Τήιον] Respicit Anacreont. fr. 24 Bergk. | μελοποιὸν Ph] μελοποιὸν εὐχῇ 16 et 17 τὴν τῶν] τῶν V, τὴν mart. pet. 18 μέμψεως ἐρωτικῆς] Cf. M. Hauptius in Hermae vol. VIII. p. 5 19 ἔπτην] ἐπιβῆναι V mrg. Gen. 20 ἡ Σαπφώ] Fragm. 126 Bergk. 21 ἀνθρωπείου ex Vaticano 1353 Hrch. 22 οὐ θέλει V

ἁπλῶσαι, τῶν λόγων οἷς ἔχω σε πτεροῖς μετέρχομαι,
καὶ γράφω καὶ σύνειμι τὸν δυνατὸν τρόπον. πάντως
που καὶ Ὅμηρος αὐτοὺς οὐκ ἄλλου του χάριν ἢ τού-
του πτερόεντας ὀνομάζει, διότι δύνανται πανταχοῦ
φοιτᾶν, ὥσπερ οἱ ταχύτατοι τῶν ὀρνίθων ᾗ ἂν ἐθέ- D
λωσιν ᾄττοντες. γράφε δὲ καὶ αὐτός, ὦ φίλος· ἴση
γὰρ δήπου σοι τῶν λόγων, εἰ μὴ καὶ μείζων, ὑπάρ-
χει [ἡ] πτέρωσις, ᾗ τοὺς ἑταίρους μεταθεῖν δύνασαι
καὶ πανταχόθεν ὡς παρὼν εὐφραίνειν.

ιθ'. Ἰουλιανὸς Ἐκηβολίῳ.

Πινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς Μούσας,
οἱονεὶ τὸ ἔκδηλον αὐτῶν καὶ περιφανὲς τῆς τέχνης ἐς 387
τὸ τῆς ὕλης λαμπρότερον ἀπεικάζοντι· Ὅμηρος δὲ ὁ 27
σοφὸς τόν τε ἄργυρον αἰγλήεντα λέγει καὶ τὸ ὕδωρ
ἀργύρεον ὀνομάζει, καθάπερ ἡλίου καθαραῖς ἀκτῖσιν
αὐτῷ τῷ τῆς εἰκόνος φαιδρῷ μαρμαρύσσον· Σαπφὼ
(δ') ἡ καλὴ τὴν σελήνην ἀργυρέαν φησὶ καὶ διὰ
τοῦτο τῶν ἄλλων ἀστέρων ἀποκρύπτειν τὴν ὄψιν.
οὕτω καὶ θεοῖς τὸν ἄργυρον μᾶλλον ἢ τὸν χρυσὸν
εἰκάσειεν ἄν τις πρέπειν· ἀνθρώποις γε μὴν ὅτι πρὸς B

1 *ἁπλῶσαι* idem h. l. videtur esse quod *ἁπλῶσαι τὰ πτερά* | *τῶν λόγων* Heylerus scripsit e Pbbi Vat. 1353 Heidelb. 356, *τὸν λόγον* V mart. pet. spanh. „Sic distinguo et lego: *ἁπλῶσαι* (subaudi *τὸ σῶμα* e praemissis), *τῶν λόγων, οἷς ἔχω, σε πτεροῖς*. quod natura, quae me vinculis corporis humani conclusit, illud corpus volatu in auras sublevare negavit, ideo alis iis, quae mihi solae sunt, literarum puta atque disputationum, te assectabor". Rsk. 3 *που* om. mrg. Gen. | *ἄλλου του* V] *ἄλλου τοῦ* v, *ἄλλου τινὸς ἢ τούτου χάριν* Hrch. 4 *πανταχοῖ*? 5 *ᾗ*] *οἳ* Pbi 6 *ὦ φίλος* V mart.] *ὦ φίλε* 8 *ἡ* libros suos secutus delevit Heyler | *μεταθεῖν* Wytt.] *μεταθεῖναι* 9 *εὐφραίνεις* V 10 *ἐκηβολίῳ* V] *Ἑκηβόλῳ* 11 *Πινδάρῳ*] Fragm. 272 Bergk. 12 *ἐς* V mrg. Gen.] *εἰς* 15 *ἀκτίσιν αὐτὸ* V 16 *ἀντιμαρμαρύσσον* Rsk. | *Σαπφὼ*] Fragm. 3 Bergk. 17 *δ'* add. Sintenis 20 *ἄν τις*] *εἰς σὲ* V

τὴν χρείαν ἐστὶν ὁ ἄργυρος τοῦ χρυσοῦ τιμιώτερος
καὶ σύνεστι μᾶλλον αὐτοῖς, οὐχ ὥσπερ ὁ χρυσὸς ὑπὸ
γῆς κρυπτόμενος ἢ φεύγων αὐτῶν τὴν ὄψιν, ἀλλὰ
καὶ ὀφθῆναι καλὸς καὶ ἐν διαιτήματι κρείττων, οὐκ
ἐμὸς ἴδιος, ἀλλὰ παλαιῶν ἀνδρῶν ὁ λόγος ἐστίν. εἰ
C δέ σοι τοῦ πεμφθέντος ὑπὸ σοῦ χρυσοῦ νομίσματος
εἰς τὸ ἴσον τῆς τιμῆς ἕτερον ἀργύρεον ἀντιδίδομεν,
μὴ κρίνῃς ἧττω τὴν χάριν, μηδὲ ὥσπερ τῷ Γλαύκῳ
πρὸς τὸ ἔλαττον οἰηθῇς εἶναι τὴν ἀντίδοσιν, ἐπεὶ
μηδὲ ὁ Διομήδης ἴσως ἀργυρᾶ χρυσῶν ἀντέδωκεν,
ἅτε δὴ πολλῷ τῶν ἑτέρων ὄντα χρησιμώτερα καὶ τὰς
αἰχμὰς [οἱονεὶ] μολίβδου δίκην ἐκτρέπειν εἰδότα. ταῦτά
σοι προσπαίζομεν, ἀφ' ὧν αὐτὸς γράφεις τὸ ἐνδόσι-
D μον εἰς σὲ τῆς παρρησίας λαμβάνοντες. σὺ δὲ εἰ τῷ
28 ὄντι χρυσοῦ τιμιώτερα ἡμῖν δῶρα ἐθέλεις ἐκπέμπειν,
γράφε, καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων· ἐμοὶ γὰρ
καὶ γράμμα παρὰ σοῦ μικρὸν ὅτου περ ἂν εἴπῃ τις
ἀγαθοῦ κάλλιον εἶναι κρίνεται.

κ'. Ἰουλιανὸς Εὐστοχίῳ.

Ἡσιόδῳ μὲν δοκεῖ τῷ σοφῷ καλεῖν ἐπὶ τὰς ἑορ-
388τὰς τοὺς γείτονας ὡς συνησθησομένους, ἐπειδὴ καὶ
συναλγοῦσι καὶ συναγωνιῶσιν, ὅταν τις ἀπροσδόκητος
ἐμπέσῃ ταραχή. ἐγὼ δέ φημι τοὺς φίλους δεῖν κα-

2 et 3 ὑπὸ γῆς Rsk. et Heyler] ἐπὶ γῆς 4 διαιτήμασι Pc 6 δέ σοι Pc mrg. Gen.] δὲ καὶ σοὶ 7 „ἕτερον ἀργύρεον (seu ἀργυροῦν) scil. νόμισμα". Rsk., ἕτερον τοσοῦτον ἀργύριον Hrch., ἕτερον ἀργύριον v 8 Γλαύκῳ] Iliad. ζ, 234 9 εἶναι Hrch.] εἶναι τῶν ὅπλων 12 οἱονεὶ delevit Hrch. ut 393 C 440 D 447 B et ὥσπερ 406 C | μολίβδου] Iliad. λ, 237 15 ἡμῖν ante χρυσοῦ ponunt Pck mrg. Gen. 17 παρά σου v 18 κάλλιον ἂν Pc mart. spanh. 20 Ἡσιόδῳ] O. et D. 342 22 καὶ συναγωνιῶσιν om. Pc 23 ἐγὼ δέ φημι G] φημὶ δὲ

λεῖν, οὐχὶ τοὺς γείτονας· τὸ αἴτιον δέ, ὅτι γείτονα
μὲν ἔνεστιν ἐχθρὸν ἔχειν, φίλον δὲ ἐχθρὸν οὐ μᾶλλον
ἢ τὸ λευκὸν μέλαν εἶναι καὶ τὸ θερμὸν ψυχρόν. ὅτι
δὲ ἡμῖν οὐ νῦν μόνον, ἀλλὰ καὶ πάλαι φίλος εἶ καὶ
διετέλεσας εὐνοϊκῶς ἔχων, εἰ καὶ μηδὲν ὑπῆρχεν ἄλλο
τεκμήριον, ἀλλὰ τό γε ἡμᾶς οὕτω διατεθεῖσθαι [καὶ B
διακεῖσθαι] περὶ σὲ μέγα ἂν εἴη τούτου σημεῖον. ἧκε
τοίνυν μεθέξων τῆς ὑπατείας αὐτός. ἄξει δέ σε ὁ
δημόσιος δρόμος ὀχήματι χρώμενον καὶ παρίππῳ. εἰ 29
δὲ χρή τι καὶ ἐπεύξασθαι, τὴν Ἐνοδίαν εὐμενῆ σοι
καὶ τὸν Ἐνόδιον παρακεκλήκαμεν.

κα΄. Ἰουλιανὸς Καλλιξείνῃ. C

Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος,

ὡς παρὰ τῶν ἔμπροσθεν ἔγνωμεν· ἐγὼ δ' ἂν φαίην
ὅτι καὶ τὸν εὐσεβῆ καὶ τὸν φιλόθεον. ἀλλ' ἐμαρτυ-
ρήθη, φής, καὶ ἡ Πηνελόπη φίλανδρος. εἶτα μετὰ
τοῦ φιλάνδρου τὸ φιλόθεον τίς ἐν γυναικὶ δεύτερον
τίθησι, καὶ οὐ φανεῖται πολὺν πάνυ τὸν μανδραγόραν
ἐκπεπωκώς; εἰ δὲ καὶ τοὺς καιρούς τις ἐν νῷ λάβοι
καὶ τὴν μὲν Πηνελόπην ἐπαινουμένην σχεδὸν ὑπὸ D
πάντων ἐπὶ τῇ φιλανδρίᾳ, κινδυνευούσας δὲ τὰς εὐσε-

1 οὐχὶ GPbi] οὐ 2 φίλον δὲ ἐχθρὸν G] φίλον δὲ 4 νῦν μόνον GPbi] μόνον νῦν 5 εὔνως G. cf. 283 C 6 καὶ διακεῖσθαι om. G 7 τοῦτο GPb 8 αὐτός] καὶ αὐτός GPbi 9 καὶ παρίππῳ GPbi] ἑνὶ καὶ παρίππῳ v, καὶ ἑνὶ παρίππῳ Hrch. cf. 404 C 10 προσεύξασθαι Pbi, προσεπεύξασθαι Horkelius 12 Καλλιξένῃ suspicatur Hrch. 13 Soph. O. R. 614, unde δείκνυσιν pro δείκνυσι scripsi 14 δ' ἂν Herch.] δὲ 15 et 16 ἐμαρτυρήθη] „Videtur intercidisse τῷ χρόνῳ". Hrch. 16 φής Hrch.] φησί | „F. μετὰ τὸ φίλανδρον, aut εἶτα μέντοι τοῦ φιλάνδρου." Rsk. 17 τις] ἦθος mrg. Gen. 18 θήσει coniicit Hrch. | μανδραγόραν Suidas s. v.] μανδραγόραν ἂν 20 τὴν μὲν Pc] τὴν

βεῖς ὀλίγῳ πρότερον γυναῖκας, καὶ προσθήκην δὲ
τῶν κακῶν, ὅτι καὶ διπλάσιος ὁ χρόνος, ἄρ' ἔστι σοὶ
τὴν Πηνελόπην ἀξίως παραβάλλειν; ἀλλὰ μὴ μικροὺς
30 ποιοῦ τοὺς ἐπαίνους, ἀνθ' ὧν ἀμείψονται μέν σε
889 πάντες οἱ θεοί, τὸ παρ' ἡμῶν δὲ διπλῇ σε τιμήσομεν
τῇ ἱερωσύνῃ. πρὸς ᾗ (γὰρ) πρότερον εἶχες τῆς ἁγιωτάτης θεοῦ Δήμητρος, καὶ τῆς μεγίστης Μητρὸς θεᾶς
τῆς Φρυγίας ἐν τῇ θεοφιλεῖ Πεσσινοῦντι τὴν ἱερωσύνην ἐπιτρέπομέν σοι.

κβ'. Ἰουλιανὸς Λεοντίῳ.

B Ὁ λογοποιὸς ὁ Θούριος ὦτα εἶπεν ἀνθρώποις
ὀφθαλμῶν ἀπιστότερα. τούτῳ (δ') ἐπὶ σοῦ τὴν ἐναντίαν ἔχω γνώμην ἐγώ· πιστότερα γάρ ἐστί μοι τὰ
ὦτα τῶν ὀφθαλμῶν. οὐ γάρ, εἴποτε εἶδόν σε δεκάκις, οὕτως ἂν ἐπίστευσα τοῖς ὀφθαλμοῖς, ὡς νῦν ταῖς
ἀκοαῖς πιστεύω ταῖς ἐμαυτοῦ, παρ' ἀνδρὸς οὐδαμῶς
οἵου τε ψεύδεσθαι δεδιδαγμένος, ὅτι πάντα ἀνὴρ ὢν
C αὐτὸς σεαυτοῦ κρείττων εἶ περὶ τὸ ῥέξαι, φησὶν Ὅμηρος, χερσί τε καὶ ποσίν. ἐπιτρέψαντες οὖν σοι τὴν
τῶν ὅπλων χρῆσιν ἀπεστείλαμέν τε πανοπλίαν, ἣ τέως
τοῖς πεζοῖς ἁρμόττει· [κουφοτέρα δέ ἐστιν αὕτη τῆς
31 τῶν ἱππέων·] ἐγκατελέξαμέν τέ σε τῷ τῶν οἰκείων
συντάγματι. [γίνονται δὲ ἀπὸ τῶν ὁπλοφορησάντων
οὗτοι καὶ στρατευσαμένων.]

1 προσθήκην H] προσθήκη v, προσθήσει Hrch. 5 τὸ H] καὶ τὰ v, τὰ Hrch. | δὲ add. Hrch. e marg. Genev. et var. lect. in mart. 6 γὰρ add. Rsk. et Hrch. 7 θεᾶς] θεῶν H 8 Πεσσινοῦντι Heyler] Πισινοῦντι 11 Θούριος] Herodot. I, 8 12 δ' add. Sintenis | τὴν add. Hrch. e marg. Genev. 16 ἀνδρὸς — ψεύδεσθαι] Demosth. 2,17 17 δεδιδαγμένον pet. 18 σεαυτοῦ Hrch.] ἑαυτοῦ 18 et 19 Ὅμηρος] Odyss. θ, 148 20 ἣ τέως] ἥτις? 21 κουφοτέρα — 22 ἱππέων et 23—24 γίνονται — στρατευσαμένων expunxit Wytt. 22 τέ Rsk. et Hrch.] δέ

κγ'. Ἑρμογένει ἀποϋπάρχῳ Αἰγύπτου. D

Δός μοί τι κατὰ τοὺς μελικτὰς εἰπεῖν ῥήτορας,
Ὦ παρ' ἐλπίδα σεσωσμένος ἐγώ, ὢ παρ' ἐλπίδας ἀκη-
κοώς, ὅτι διαπέφευγας τὴν τρικέφαλον ὕδραν, οὔτι
μὰ Δία τὸν ἀδελφόν φημι Κωνστάντιον· ἀλλ' ἐκεῖνος
μὲν ἦν οἷος ἦν· ἀλλὰ τὰ περὶ αὐτὸν θηρία πᾶσιν
ἐποφθαλμιῶντα, ἃ κἀκεῖνον ἐποίει χαλεπώτερον, οὐδὲ
τὸ καθ' ἑαυτὸν παντάπασι πρᾷον, εἰ καὶ ἐδόκει πολ- 390
λοῖς τοιοῦτος. ἐκείνῳ μὲν οὖν, ἐπειδὴ μακαρίτης
ἐγένετο, κούφη γῆ, καθάπερ λέγεται· τούτους δὲ ἀδί-
κως (μέν) τι παθεῖν οὐκ ἂν ἐθέλοιμι, ἴστω Ζεύς·
ἐπειδὴ δὲ αὐτοῖς ἐπανίστανται πολλοὶ κατήγοροι, δι-
καστήριον ἀποκεκλήρωται. σὺ δέ, ὦ φίλε, πάρει, καὶ 32
παρὰ δύναμιν ἐπείχθητι· θεάσασθαι γάρ σε πάλαι τε B
εὔχομαι νὴ τοὺς θεούς, καὶ νῦν εὐμενέστατα ὅτι δι-
εσώθης ἀκηκοώς, ἥκειν παρακελεύομαι.

[κδ'. Ἰουλιανὸς Σαραπίωνι τῷ λαμπροτάτῳ.]

Ἄλλοι μὲν ἄλλως τὰς πανηγύρεις νομίζουσιν, ἐγω
δὲ ἡδύ σοι γλυκείας ἑορτῆς σύνθημα τῶν ἐπιχωρίων

1 ἀπουπάρχω V, ἀφυπάρχῳ spanh., ὑπάρχῳ mart. pet., ἀπὸ ὑπάρχων Pbi, quod „mavult L. Dindorfius in Thes. s. v. et s. ἀποέπαρχος". Hrch. 2 μοι τί V] μοι | μελητὰς V mrg. Gen. | ῥήτορας add. V 3 ὢ H] ὦ | ἐλπίδας? | ὢ H] ὦ 4 διαπέφευγας V Ph] δ' ἀπέφυγον | τὴν τρικέφαλον — 5 Δία H. Vid. Annal. philol. Lips. a. 1874 p. 226] οὔτι μὰ Δία (sic V, Διὰ v) τὴν τρικέφαλον (sic VPh, πολυκέφαλον v) ὕδραν 5 οὐ τὸν libri, οὐ om. mart. pet. | φημὶ V] μου mart. pet. | ἀλλ' ἐκεῖνος VPbi spanh.] ἐκεῖνος 8 παντάπασι H] ὄντα πᾶσι v, ὄντα πάνυ Horkelius, πᾶσι delevit Hrch. 9 οὖν V mrg. Gen. spanh.] δὴ v, οὖν δὴ var. lect. mart. 10 λέγεται VPbhi mrg. Gen.] λόγος 11 μέν add. Rsk. | ἂν om. V mrg. Gen. 12 ἐπανίστανται αὐτοῖς V mrg. Gen. 13 πάρει Heyler] πᾶρ εἰ V mrg. Gen., quod fortasse πάτερ, εἰ legendum est. Vulgo παρεὶς εἰ, Rsk. πάντα παρείς, εἰ 15 εὔχομαι V] ηὐχόμην 18 ἄλλως H] ἄλλοις. „Subaudi δώροις. aliis quidem [muneribus vel sportulis] alii ludos celebrant, vel solent celebrare". Rsk.

C ἰσχάδων [τὰς] μακροκέντρους ἑκατὸν ἐκπέμπω, τῷ μὲν
τοῦ δώρου μεγέθει μικράν, τῷ κάλλει δὲ ἴσως ἀρκοῦ-
σαν ἡδονὴν μνηστεύων. Ἀριστοφάνει μὲν οὖν δοκεῖ
εἶναι πλὴν μέλιτος τῶν ἄλλων γλυκύτερον τὰς ἰσχά-
δας, καὶ οὐδὲ τοῦτ' ἀνέχεται τῶν ἰσχάδων εἶναι γλυ-
κύτερον, ὡς αὐτὸς ἐπικρίνας λέγει· Ἡροδότῳ δὲ ἄρα
τῷ συγγραφεῖ πρὸς ἐπίδειξιν ἐρημίας ἀληθοῦς ἤρκεσεν
εἰπόντι „Παρ' οἷς οὔτε σῦκά ἐστιν οὔτε ἄλλο ἀγα-
D θὸν οὐδέν“, ὡς ἄρ' οὔτε ἄλλου τινὸς ἐν καρποῖς
33 ἀγαθοῦ προτέρου τῶν σύκων ὄντος, οὔτε ἔτι πάντως
ἀγαθοῦ δέοντος παρ' οἷς ἂν (ᾖ) τὸ σῦκον. Ὅμηρος
δὲ ὁ σοφὸς τὰ μὲν ἄλλα τῶν καρπῶν εἰς μέγεθος ἢ
χρόαν ἢ κάλλος ἐπαινεῖ, μόνῳ δὲ τῷ σύκῳ τὴν τῆς
γλυκύτητος ἐπωνυμίαν συγχωρεῖ. καὶ τὸ μέλι χλωρὸν
391 καλεῖ, δεδιὼς μὴ λάθῃ γλυκὺ προσειπών, ὃ καὶ πικρὸν
εἶναι πολλαχοῦ συμβαίνει· τῷ σύκῳ δὲ ἄρα μόνῳ
ἀποδίδωσι τὴν οἰκείαν εὐφημίαν, ὥσπερ τῷ νέκταρι,
διότι καὶ μόνον γλυκὺ τῶν ἄλλων ἐστί. καὶ μέλι μὲν
Ἱπποκράτης φησὶ γλυκὺ μὲν εἶναι τὴν αἴσθησιν, πικρὸν
δὲ πάντως τὴν ἀνάδοσιν, καὶ οὐκ ἀπιστῶ τῷ λόγῳ·
χολῆς γὰρ αὐτὸ ποιητικὸν εἶναι ξύμπαντες ὁμολογοῦσι
καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως.

1 τὰς delendum videtur | μακροκέντρους Pet.] μακροκέντους 3 Ἀριστοφάνει] Apud Athen. XIV. p. 652F 4 εἶναι post ἄλλων ponit Sintenis; in Pc εἶναι legitur pro τῶν ἄλλων 6 Ἡροδότῳ] I, 73 9 ὡς ἄρ' H] ὥσπερ v, ὡς Hrch. 10 ἔτι] ἔχει Pc 11 δέοντος om. Pc, λείποντος Hrch., ἐνδέοντος Rsk., δέον τοῖς H | ἂν ᾖ τὸ Hrch.] ἂν καὶ τὸ Pc, ἂν τὸ v | Ὅμηρος] Odyss. η, 116 et λ, 590 14 χλωρὸν] Odyss. κ, 234. Idem vero etiam γλυκερόν dicitur Odyss ν, 69 17 νέκταρι] Iliad. α, 598 19 ἱπποκ.... V | γλυκὺ μὲν εἶναι Hrch. secundum Suidam s. μέλι: γλυκὺ μέν ἐστι, vulgo καὶ γλυκὺ 19 et 20 πικρὸν δὲ Suid.] ἢ πικρὸν εἶναι V[d], καὶ πικρὸν εἶναι v 20 καὶ οὐκ]....κ V, 21 ξύμπαντες V] σύμπαντες

ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ πικρότητος
κατηγορεῖ τὴν γένεσιν· οὐ γὰρ ἂν εἰς τοῦτο μετέβαλ- B
λεν ὃ πικρόν ἐστιν, εἰ μὴ καὶ πάντως αὐτῷ προσῆν
ἐξ ἀρχῆς τοῦτο, ἀφ' οὗ πρὸς τὸ ἕτερον μετέπιπτε.
σῦκον δὲ οὐκ αἰσθήσει μόνον ἡδύ, ἀλλὰ καὶ ἀναδόσει
κρεῖττόν ἐστιν. οὕτω δέ ἐστιν ἀνθρώποις ὠφέλιμον,
ὥστε καὶ ἀλεξιφάρμακον αὐτὸ παντὸς ὀλεθρίου φαρ-
μάκου φησὶν Ἀριστοτέλης εἶναι, κἂν τοῖς δείπνοις
οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν τῶν ἐδεσμάτων προ-
παρατίθεσθαί τε καὶ ἐπιτραγηματίζεσθαι, καθάπερ
ἀντ' ἄλλης τινὸς ἀλεξήσεως ἱερᾶς ταῖς τῶν βρωμάτων C
ἀδικίαις περιπτυσσόμενον. καὶ μὴν ὅτι καὶ θεοῖς τὸ 34
σῦκον ἀνάκειται, καὶ θυσίας ἐστὶν ἁπάσης ἐμβώμιον,
καὶ ὅτι παντὸς λιβανωτοῦ κρεῖττον ἐς θυμιάματος
σκευασίαν ἐστίν, οὐκ ἐμὸς ἴδιος οὗτος ὁ λόγος, ἀλλ'
ὅστις τὴν χρείαν αὐτοῦ ἔμαθεν, οἶδεν ὡς ἀνδρὸς
σοφοῦ καὶ ἱεροφάντου λόγος ἐστί. Θεόφραστος δὲ ὁ
καλὸς ἐν γεωργίας παραγγέλμασι τὰς τῶν ἑτεροφύτων
δένδρων γενέσεις ἐκτιθεὶς καὶ ὅσα ἀλληλούχοις ἐγκεν- D
τρίσεσιν εἴκει, πάντων οἶμαι τῶν φυτῶν μᾶλλον ἐπ-
αινεῖ τῆς συκῆς τὸ δένδρον ὡς ἂν ποικίλης καὶ δια-
φόρου γενέσεως δεκτικὸν καὶ μόνον τῶν ἄλλων εὔ-
κολον παντοίου γένους ἐνεγκεῖν βλάστην, εἴ τις αὐτοῦ
τῶν κλάδων ἐκτεμὼν ἕκαστον, εἶτα ἐκρήξας ἄλλην ἐς

3 ὃ] ᾧ Rsk. Verba ὃ *πικρόν ἐστιν* suspecta sunt Herchero 5 *σύκον* V, et sic ubique | „*ἡδύ* ex margine huc translatum esse videtur.“ Hrch. 7 *ἀλεξιφάρμακον — φαρμάκου*] „Lobeck. Parall. p. 537.“ Hrch. Cf. Suidas v. *σῦκον* | *φάρμακον* V 8 *κἂν* Hrch.] *καὶ* 9 et 10 *προπαρατίθεσθαι* Hrch.] *προτίθεσθαι* 12 *ὅτι καὶ θεοῖς* H] *ὅτι . .* ̀ *θ. οῖς* V, *ὅτι θεοῖς* v 17 *Θεόφραστος*] Hist. Plant. II, 1; 5,4; 7. Caus. Plant. I, 6. 18 *παραγγέλματι* V 19 *ἐντιθεὶς* V spanh. | *ὅσα* Sintenis] *ὅσαι* 20 *εἴκει* Hrch.] *εἴκουσι* 21 *ἂν* Hrch.] *ἀντὶ* V, *ἄν τι* v

ἄλλο τῶν πρέμνων ἐμφυᾶ γονὴν ἐναρμόσειεν, ὡς ἀρ-
392κεῖν ἤδη πολλάκις αὐτοῦ καὶ ἀνθ' ὁλοκλήρου κήπου
τὴν ὄψιν, οἷον ἐν λειμῶνι χαριεστάτῳ ποικίλην τινὰ
καὶ πολυειδῆ τῶν καρπῶν ἀφ' ἑαυτοῦ τὴν ἀγλαΐαν
ἀντιπεπομφότος. καὶ τὰ μὲν ἄλλα τῶν ἀκροδρύων
ἐστὶν ὀλιγοχρόνια καὶ τὴν μονὴν οὐκ ἀνέχεται, μόνῳ
δὲ τῷ σύκῳ καὶ ὑπερενιαυτίζειν ἔξεστι καὶ τῇ τοῦ
μέλλοντος καρποῦ γενέσει συνενεχθῆναι. ὥστε φησὶ
καὶ Ὅμηρος ἐν Ἀλκίνου κήπῳ τοὺς καρποὺς ἀλλήλοις
B ἐπιγηράσκειν. ἐπὶ μὲν οὖν τῶν ἄλλων ἴσως ἂν μῦθος
ποιητικὸς εἶναι δόξειε· μόνῳ δὲ τῷ σύκῳ πρὸς τὸ τῆς
35 ἀληθείας ἐναργὲς ἂν συμφέροιτο, διότι καὶ μόνον
τῶν ἄλλων καρπῶν ἐστὶ μονιμώτερον. τοιαύτην δὲ
ἔχον οἶμαι τὸ σῦκον τὴν φύσιν, πολλῷ κρεῖττόν ἐστι
παρ' ἡμῖν τὴν γένεσιν, ὡς εἶναι τῶν μὲν ἄλλων φυ-
τῶν αὐτὸ τιμιώτερον, αὐτοῦ δὲ τοῦ σύκου τὸ παρ'
ἡμῖν θαυμασιώτερον, καὶ νικᾶν μὲν αὐτὸ τῶν ἄλλων
τὴν γένεσιν, αὖθις δ' ὑπὸ τοῦ παρ' ἡμῖν ἡττᾶσθαι
C καὶ τῇ πρὸς ἑκάτερον ἐγκρίσει πάλιν σώζεσθαι, κρα-
τοῦντι μὲν ἐοικός, οἷς δ' αὖ κρατεῖσθαι δοκεῖ, πάλιν
ἐς τὸ καθόλου νικῶντι. καὶ τοῦτο οὐκ ἀπεικότως παρ'
ἡμῖν μόνοις συμβαίνει· ἔδει γὰρ οἶμαι τὴν Διὸς πόλιν
ἀληθῶς καὶ τὸν τῆς ἑῴας ἁπάσης ὀφθαλμόν· τὴν
ἱερὰν καὶ μεγίστην Δαμασκὸν λέγω· τοῖς τε ἄλλοις
σύμπασιν, οἷον ἱερῶν κάλλει καὶ νεῶν μεγέθει καὶ

1 ἐμφυᾶ Hrch.] ἐμφυῆ | ἀρκ . . . V 6 ἔστιν V[d] 9 Ὅμηρος] Odyss. ϑ, 120 | Ἀλκίνου Hrch.] Ἀλκινόου 10 οὖν om. V 12 συμφέροιτο Hrch.] συμφοροῖτο 13 νομιμώτερον V 15 παρ' ἡμῖν] τὸ παρ' ἡμῖν ἔχον Hrch. 18 δὲ V | ὑπὸ τοῦ Hrch.] ὑπ' αὐτοῦ πρὸς τὸ V, ὑπ' αὐτοῦ τοῦ v 19 et 20 κρατοῦντι V] κρατοῦν 20 ἐοικός Horkelius] ὡς εἰκός 21 νικῶντι V] νικῶν 23 .·.᾽ας V 24 δαμασκὸν V] Δάμασκον 24 et 25 α . . . . σ . . πασιν V, ἄλλοις ἅπασιν Pc

ὡρῶν εὐκαιρίᾳ καὶ πηγῶν ἀγλαΐᾳ καὶ ποταμῶν πλήθει
καὶ γῆς εὐφορίᾳ νικῶσαν μόνην ἄρα καὶ τῷ τοιούτῳ D
φυτῷ πρὸς τὴν τοῦ θαύματος ὑπεροχὴν ἀρκέσαι. οὐδὲν
οὖν ἀνέχεται μεταβολῆς τὸ δένδρον, οὐδὲ ὑπερβαίνει
τοὺς ἐπιχωρίους ὅρους τῆς βλάστης, ἀλλ' [ὥσπερ]
αὐτόνχθονος φυτοῦ νόμῳ τὴν ἐξ ἀποικίας γένεσιν ἀρ-
νεῖται. καὶ χρυσὸς μὲν οἶμαι καὶ ἄργυρος ὁ αὐτὸς
πολλαχοῦ φύεται, μόνη δὲ ἡ παρ' ἡμῖν χώρα τίκτει 36
φυτὸν ἀλλαχοῦ φῦναι μὴ δυνάμενον. ὥσπερ δὲ τὰ 393
ἐξ Ἰνδῶν ἀγώγιμα καὶ οἱ Περσικοὶ σῆρες ἢ ὅσα ἐν
τῇ Αἰθιόπων γῇ τίκτεται μὲν καὶ τρέφεται, τῷ δὲ τῆς
ἐμπορίας νόμῳ πανταχοῦ διαβαίνει· οὕτω δὲ καὶ τὸ
παρ' ἡμῖν σῦκον ἀλλαχοῦ τῆς γῆς οὐ γινόμενον παν-
ταχοῦ παρ' ἡμῶν στέλλεται, καὶ οὔτε πόλις οὔτε νῆσός
ἐστιν, ἣν οὐκ ἐπέρχεται τῷ τῆς ἡδονῆς θαύματι.
ἀλλὰ καὶ τράπεζαν βασιλικὴν κοσμεῖ, καὶ παντὸς δεί-
πνου σεμνόν ἐστιν ἐγκαλλώπισμα, καὶ οὔτ' (ἂν) ἔν- B
θρυπτον |οὔτε στρεπτὸν οὔτε νεήλατον οὔτε ἄλλο
καρυκείας γένος οὐδὲν ἐς τὸ ἴσον ἀφίκοιτο. τοσοῦτον
αὐτῷ τῶν τε ἄλλων ἐδεσμάτων καὶ δὴ καὶ τῶν ἑκαστα-
χοῦ περίεστι τοῦ θαύματος. καὶ τὰ μὲν ἄλλα τῶν
σύκων ἢ ὀπωρινὴν ἔχει τὴν βρῶσιν ἢ τερσαινόμενα
ἐς τὸ ὅμοιον ἔρχεται, τὸ δὲ παρ' ἡμῖν μόνον ἀμφο-
τερίζει τῇ χρείᾳ, καὶ καλὸν μέν ἐστιν ἐπιδένδριον,

4 μεταβολῆς Hrch.] τῆς μεταβολῆς 5 τοὺς] τῆς V | ὥσπερ suspectum est ut 406 C 9 ὥσπερ δὲ V] ὥσπερ 11 τρέφεται H] λέγεται 12 πανταχοῖ et hic et vs. 13 scribendum videtur 17 οὔτ' ἂν Hrch.] οὔτε 17 et 18 ἔνθρυπτον] Ex Demosth. 18.260 19 ἐς τὸ ἴσον Hrch.] ἔσται ἥδυσμα ἴσον (ἴσον V) ἢ | ἐφίκοιτο Pet. | τοιοῦτον pet. typothetae, ut videtur, errore 20 et 21 τῶν ἑκασταχοῦ σύκων? 22 ὀπωρινὰ Pc 23 ἡμῖν μ . . . ἀμ . . . . ρίζει V

πολλῷ δὲ κάλλιον, εἰ ἐς τὴν τερσιὰν ἔλθοι. εἰ δὲ
C καὶ τὴν ὥραν αὐτοῦ τὴν ἐν τοῖς δένδροις ὀφθαλμῷ
λάβοις, καὶ ὅπως ἑκάστου τῶν πρέμνων ἐπιμήκεσι τοῖς
κέντροις [οἱονεὶ] καλύκων δίκην ἀπήρτηται, ἢ ὅπως
ἐν κύκλῳ περιθεῖ τῷ καρπῷ τὸ δένδρον ἄλλας ἐπ'
ἄλλαις ἐν τοίχῳ περιφερεῖ πολυειδεῖς ἀγλαΐας μηχανώ-
37 μενον, φαίης ἂν αὐτῷ καθάπερ ἐν ὅρμῳ δέρης τὰς
τῶν δένδρων ἐξαιρέσεις αὐτοῦ. καὶ ἡ πρὸς χρονίαν
D μονὴν ἐπιτέχνησις οὐκ ἐλάττονα τῆς ἐς τὴν χρείαν
ἡδονῆς ἔχει τὴν φιλοτιμίαν· οὐ γὰρ ὥσπερ τὰ ἄλλα
τῶν σύκων ὁμοῦ καὶ κατὰ ταὐτὸν ἔρριπται, οὐδὲ
[καθάπερ] σωρηδὸν ἢ χύδην ἡλίῳ τερσαίνεται, ἀλλὰ
πρῶτον μὲν ἠρέμα τῶν δένδρων αὐτὰ ταῖς χερσὶν
ἀποδρέπουσιν, ἔπειτα ὅρπηξιν ἢ ῥάβδοις ἀκανθώδεσι
τῶν τοίχων ἀπαρτῶσιν, ἵνα λευκαίνηται μὲν ἡλίῳ
καθαρῷ προσομιλοῦντα, μένῃ δ' ἀνεπιβούλευτα τῶν
ζῴων καὶ τῶν ὀρνιθίων, οἱονεὶ τῶν κέντρων τῇ ἀλε-
394 ξήσει δορυφορούμενα. καὶ περὶ μὲν γενέσεως αὐτῶν
καὶ γλυκύτητος καὶ ὥρας καὶ ποιήσεως καὶ χρείας
ταῦτά σοι παρ' ἡμῶν ἡ ἐπιστολὴ προσπαίζει.

Ὅ γε μὴν τῶν ἑκατὸν ἀριθμὸς ὡς ἔστι τῶν ἄλλων
τιμιώτερος καὶ τὸ τέλεον ἐν αὐτῷ τῶν ἀριθμῶν περι-

1 εἰ ἐς .. τερσίαν .. θοι V; articulum igitur addidi. τερσιὰν Hrch., τρασιὰν Schneiderus in Lex. Gr. s, v. 3 λάβοις ... ὅπως V 4 κέντροις Hrch.] κέντροις οἱονεὶ | ἀπήρτηται Hrch.] ἀπήρτηνται 5 et 6 ἐπ' ἄλλαις Hrch.] ἐπ' ἄλλοις V, μετ' ἄλλας v 6 τοίχω V] στοίχῳ 7 αὐτὸ V | ἐν om. pet. spanh. | δέρρης V 9 τὴν om. mart. pet. 12 σωρηδὸν Hrch.] καθάπερ σωρηδὸν 13 αὐτὰ Hrch.] αὐτὸ 14 ὅρπηξιν V] ὅρπηξιν | ἀκανθωδεσι ιν V 15 λευκαίνη ... μὲν V 16 δὲ V | τῶν] ἀπὸ τῶν suspicatur Hrch. 17 ζώων .... ὀρνιθίων V (ζώων καὶ τῶν ὀρνιθίων V[d] Pc), ζώων τε καὶ ὀρνιθίων v 18 περὶ μὲν V] ὑπὲρ μὲν | αὐτοῦ V 22 αὐτῷ Hrch.] αὐτῷ

γράφων, μάθοι ἄν τις θεωρῶν τῇδε. καὶ οὐκ ἀγνοῶ μὲν ὡς παλαιῶν καὶ σοφῶν ἀνδρῶν ὁ λόγος, τοῦ ἀρτίου τὸν περιττὸν προκεῖσθαι, οὐδὲ ὡς ἀρχήν φασιν αὐξήσεως εἶναι τὸ μὴ συνδυάζον· τὸ γὰρ ὅμοιον θα- B τέρῳ μένειν ὁποῖον καὶ τὸ ἕτερον, δυοῖν δὲ γενομένοιν τὸν τρίτον εἶναι τὴν περιττότητα· ἐγὼ δ' ἄν, εἰ καὶ τολμηρότερος ὁ λόγος ἐστί, φαίην ὅμως. ἀρχῆς 38 μὲν εἰσιν οἱ ἀριθμοὶ πάντως ἐξηρτημένοι, καὶ τὸ προσεχὲς τῆς αὐξήσεως διὰ παντὸς ἂν κομίζοιντο· πολλῷ γε μὴν οἶμαι δικαιότερον τῷ ἀρτίῳ μᾶλλον ἢ τῷ περιττῷ τὴν τῆς αὐξήσεως αἰτίαν προσκεῖσθαι. ὁ μὲν γὰρ εἷς ἀριθμὸς οὐκ ἂν εἴη περιττός, οὐκ ἔχων C ὅτου περιττὸς γένοιτο· ἡ δὲ τῆς δυάδος συζυγία τίκτει διπλῆν τὴν περιττότητα, κἀκ τῶν δυοῖν ἀριθμῶν ὁ τρίτος εἰκότως εἰς αὔξησιν ἔρχεται. πάλιν τε ἐν τῇ τῆς ἑτέρας δυάδος μίξει τῆς τετράδος τὴν ὑπεροχὴν λαμβάνει, καὶ ὅλως ἡ πρὸς ἄλληλα κοινωνία τὴν ἐξ ἑκατέρου περιττότητα φαίνουσα εἰς τὸν τῆς δυάδος ἀριθμὸν περικλείεται. δεδομένου δὴ τούτου, φαίην ἂν οἶμαι τῆς πρώτης δεκάδος τὴν εἰς αὐτὸ περιφέρειαν ἀνακυκλούσης εἰς τὸν τῆς ἑκατοντάδος ἀριθμὸν D τὸ ὅλον διαβαίνειν, ὡς τῷ μὲν ἑνὶ τὴν αὔξησιν ἂν εἰς δέκα συντείνειν, πάλιν δ' αὖ τὴν δεκάδα δι' αὐτῆς ἀνιοῦσαν εἰς τὸν (τῶν) ἑκατὸν ἀριθμὸν συντελεῖσθαι.

1 ἀγνοῶν V 4 τὸ γ ... μοιον V 6 τὸν τριτον .... τὴν V | δ' ἂν Hrch.] δὲ. Ego, ut tacite Heyler in annotatione, ἂν post φαίην (vs. 12) inserueram 7 et 8 ἀ .... μὲν V 9 δι ..... κομίζοιντο V, ἂν adiecit Sintenis 10 οἶμαι H] εἶναι | τῶ .... τὴν V 12 περι .... οὐκ V 14 δι .... τὴν V 15 τῇ] τε V 17 τὴν] τῇ V 18 φαίνουσα εἰς V parva lacuna ante εἰς relicta (φαίνεται ουσα εἰς V[d])] φαίνουσα, καὶ εἰς 19 τοῦτο V 22 τὴν αὔξησιν ἂν V] τὴν αὔξησιν 23 δέκα] δέον V m. pr. | δὲ V 24 τὸν τῶν Hrch.] τὸν

κἀντεῦθεν αὖ πάλιν ἐξ ἑκατοντάδων τὸ ὅλον τῶν ἀριθμῶν τὴν δύναμιν καρποῦσθαι, μήτε τοῦ ἑνὸς ἠρεμοῦντος, εἰ μή τι τῆς δυάδος ἐν τῇ μίξει τὸ περιττὸν ἀεὶ τικτούσης τε καὶ εἰς ἑαυτὴν αὖθις ἀνακαλουμένης, ἄχρις ἂν ἑτέρᾳ πάλιν ἑκατοντάδι τῶν ἀριθμῶν τὸ συναγόμενον κατακλείσῃ, καὶ τὸ τέλεον αὐτῷ προσ-
395 άπτουσα πάλιν ἐξ αὐτοῦ πρὸς τὸ ἕτερον ἑρπύσῃ, ταῖς
39 τῶν ἑκατοντάδων ἐπηγορίαις ἀεὶ τὸ ὅλον εἰς τὸ τῆς καταλήψεως ἄπειρον ἀναφέρουσα. δοκεῖ δέ μοι καὶ Ὅμηρος οὐχ ἁπλῶς οὐδὲ ἀργῶς ἐν τοῖς ἔπεσι τὴν ἑκατονταθύσανον αἰγίδα τῷ Διὶ περιθεῖναι, ἀλλά τινι κρείττονι καὶ ἀπορρήτῳ λόγῳ τοῦτο αἰνίττεσθαι λέγων, ὡς ἄρα τῷ τελεωτάτῳ θεῷ τὸν τελεώτατον ἀριθμὸν
B περιάψειε καὶ ᾧ μόνῳ παρὰ τοὺς ἄλλους ἂν δικαιότερον κοσμοῖτο, ἢ ὅτι τὸν ξύμπαντα κόσμον, ὃν εἰς αἰγίδος σχῆμα τῷ τῆς εἰκόνος περιφερεῖ ξυνείληφεν, οὐκ ἄλλος πως ἢ ὁ τῶν ἑκατὸν ἀριθμὸς περιγράφει, τῇ κατὰ κύκλον ἑκατοντάδι τὴν ἐς τὸ ὅλον τοῦ νοητοῦ κατανόησιν ἐφαρμόττων. ὁ δ' αὐτὸς λόγος οὗτος καὶ τὸν ἑκατοντάχειρα, τὸν Βριάρεω, καθίζει πάρεδρον
C τῷ Διί, καὶ πρὸς τὴν τοῦ πατρὸς ἁμιλλᾶσθαι συγχωρεῖ δύναμιν, οἷον ἐν τῷ τοῦ ἀριθμοῦ τελέῳ τὸ τέλεον αὐτῷ τῆς ἰσχύος ἀποδιδούς. καὶ μὴν καὶ Πίνδαρος ὁ Θηβαῖος τὴν ἀναίρεσιν τὴν Τυφωέως ἐν ἐπινικίοις κηρύττων καὶ τὸ τοῦ μεγίστου τούτου γίγαντες κράτος

7 ἐξ . . . οῦ V | πρὸς V] εἰς 11 ἑκατὸνθύσανον V 12 αἰνίττεσθαι V] αἰνίττεται 13 τὸν τελεώτατον ἀριθμὸν Hrch.] τὸ τέλεον τῶν ἀριθμῶν v, quod defendi uon posse videtur locis 394 A et 395 C collatis 16 Ante ξυνείληφεν V add. καὶ 17 ἄλλος[ως] V | τῶν . . . . ὸν V 18 ὅλον . . . νοητοῦ V 21 . . γχωρεῖ V 23 Πίνδαρος] Fragm. 69 Bergk. 24 τὴν τυφοέως V, τοῦ Τυφωέως v 25 τὸ τοῦ V] τοῦ

τῷ μεγίστῳ βασιλεῖ τῶν θεῶν περιτιθεὶς οὐχ ἑτέρωθεν αὐτῷ τῆς εὐφημίας κρατύνει τὴν ὑπερβολὴν ἢ ὅτι τὸν γίγαντα τὸν ἑκατοντακέφαλον ἑνὶ βλήματι καθελεῖν ἤρκεσεν, ὡς οὔτε τινὸς ἄλλου εἰς χεῖρα τοῦ Διὸς ἐλθεῖν ἀντιμάχου γίγαντος νομισθέντος ἢ ὃν ἡ D
μήτηρ μόνον τῶν ἄλλων ἑκατὸν κεφαλαῖς ὥπλισεν, 40
οὔτε ἑτέρου τινὸς θεῶν ἢ μόνου Διὸς ἀξιονικοτέρου πρὸς τὴν τοῦ τοσούτου γίγαντος καθαίρεσιν ὄντος. Σιμωνίδῃ δὲ ἄρα τῷ μελικῷ πρὸς τὴν Ἀπόλλωνος εὐφημίαν ἀρκεῖ τὸν θεὸν Ἕκατον προσειπόντι καὶ καθάπερ ἀντ᾽ ἄλλου τινὸς ἱεροῦ γνωρίσματος αὐτοῦ τὴν ἐπωνυμίαν κοσμῆσαι, διότι τὸν Πύθωνα, τὸν δράκοντα, βέλεσιν ἑκατόν, ὥς φησιν, ἐχειρώσατο, καὶ μᾶλλον αὐτὸν Ἕκατον ἢ Πύθιον χαίρειν προσαγορευό- 396
μενον, οἷον ὁλοκλήρου τινὸς ἐπωνυμίας συμβόλῳ προσφωνούμενον. ἥ γε μὴν τὸν Δία θρεψαμένη νῆσος, ἡ Κρήτη, καθάπερ τροφεῖα τῆς Διὸς ὑποδοχῆς ἀντιλαβοῦσα τῷ τῶν ἑκατὸν πόλεων ἀριθμῷ τετίμηται. καὶ Θήβας δὲ ἄρα τὰς ἑκατονταπύλους οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν ἐπαινεῖ Ὅμηρος, διότι ταῖς πύλαις ταῖς ἑκατὸν κάλλος ἦν θαυμαστόν. καὶ σιωπῶ θεῶν ἑκατόμβας καὶ νεὼς ἑκατονταπέδους καὶ βωμοὺς B
ἑκατοντακρήπιδας καὶ τοὺς ἑκατονταδόχους ἀνδρῶνας καὶ τὰς ἀρούρας δὲ τὰς ἑκατονταπλέθρους καὶ ὅσα

4 τινὸς ἄλλου] ἄλλου τινὸς Sintenis | χεῖρα τ........ μάχου V 6 ἑκα........σεν V 8 πρὸς...... τοσούτου V, πρὸς ταύτην τοσούτου v 9 Σιμωνίδῃ] Fragm. 26 Bergk. | τῷ μελ..... πρὸς V 10 ἕκατον V hic et infra] Ἑκατὸν 15 ὁλοκλήρου] ὁ κλήρου V (ὁ κλήρου (λο superscr.) V[d] ab eadem manu), κλήρου v 17 ἡ Κρήτη] „Glossam esse arbitratur Boiss. ad Philostr. Epp. p. 118.“ Hrch. 18 τῶ τῶν V] τῷ 20 et 21 ταῖς . . α . . . κάλλος V 22 νεὼς Hrch.] νεοὺς V, ναοὺς v | ἑκατοντ...... καὶ V 23 ἑκατοντακρήπιδας mart.] ἑκατονκρήπιδας | ἑκατονταδόκους H

ἄλλα θεῖά τε καὶ ἀνθρώπινα τῇ τοῦ ἀριθμοῦ τοῦδε προσηγορίᾳ συνείληπται. ὅ γε μὲν ἀριθμὸς οὗτος οἶδε καὶ στρατιωτικὴν ὁμοῦ καὶ εἰρηνικὴν τάξιν κοσμῆσαι, καὶ φαιδρύνει μὲν τὴν ἑκατόνταν δρον λοχαγίαν, τιμᾷ δὲ
41 ἥδε καὶ δικαστῶν ἐς τὸ ἴσον ἤκουσαν ἐπωνυμίαν. καί
C με καὶ πλείω τούτων ἔχοντα λέγειν ὁ τῆς ἐπιστολῆς ἐπιστρέφει νόμος· σὺ δὲ ἀλλὰ συγγνώμην ἔχε τῷ λόγῳ, διότι καὶ ταῦτα πλείω τῶν ἱκανῶν εἴρηται. καὶ εἰ μὲν ἔχει μέτριον ἐπὶ σοὶ κριτῇ κάλλος τὸ ἐγχείρημα, πάντως καὶ πρὸς τοὺς ἄλλους ἔκφορον ἔσται, τῆς παρὰ σοῦ ψήφου τὴν μαρτυρίαν δεξάμενον· εἰ δὲ χειρὸς ἑτέρας προσδεῖται πρὸς τὸ τοῦ σκοποῦ συμπλήρωμα, τίς ἂν σοῦ κάλλιον εἰδείη τὴν γραφὴν εἰς κάλλος ἀκριβώσαντος πρὸς τὴν τῆς θέας ἡδονὴν ἀπο-
D λαῦσαι;

κε΄. Ἰουλιανὸς Ἰουδαίων τῷ κοινῷ.

Πάνυ ὑμῖν φορτικώτατον γεγένηται ἐπὶ τῶν παρῳχηκότων καιρῶν τῶν ζυγῶν τῆς δουλείας τὸ [δὴ] διαγραφαῖς ἀκηρύκτοις ὑποτάττεσθαι ὑμᾶς καὶ χρυσίου

3 τᾶξιν V ut saepe 4 φαιδρύνει μὲν V] φαιδρύνει 5 ἶσον V | ἤκ..... V 6 et 7 ἐπιστ..... νόμος V 7 ἔχε Hrch.] ἔχειν 8 ἱ..... εἴρηται V 9 ἐπὶ Hrch.] ὑπὸ | κάλλος Sintenis] καλὸν 10 πάν... V 11 παρὰ σοῦ V] παρά σου 11 et 12 εἰ δὲ... χειρὸς V^{d} („καὶ videtur exesum". Dübner.) 13 κάλλιον εἰδείη H] καλλίων εἴη 13 et 14 εἰς κάλλος — ἀπολαῦσαι] εἰς κάλλος ἀκριβῶσαι Hrch. caeteris deletis. Fort. εἰς κάλλος ἀκριβώσας πρός τὴν τῆς θέας ἡδονὴν ἀπολεᾶναι. Verbo ἐπιλεαίνειν utitur Iulianus 111 D. 17 φορτικώτατον Rsk. et Hrch.] φορτικώτερον. vid. ad 103 A | γεγέν.... V 18 παρω........ιρῶν V | δὴ om. mart. pet. et delet Rsk. 19 ἀκ....τοις V (τά suprascr.) | υ..πλάττεσθαι V^{d} (πρά suprascr.) (ὑποτάττεσθαι ab eadem manu V secundum Hercherum, ego videre mihi visus sum υ..τάττεσθαι), πράττεσθαι ePc Heyler et Hrch.

πλῆθος ἄφατον εἰσκομίζειν τοῖς τοῖ ταμιείου λόγοις· 397
ὧν πολλὰ μὲν αὐτοψεὶ ἐθεώρουν, πλείονα δὲ τούτων
ἔμαθον εὑρὼν τὰ βρέβια τὰ καθ' ὑμῶν φυλαττόμενα· 42
ἔτι δὲ καὶ μέλλουσαν πάλιν εἰσφορὰν καθ' ὑμῶν προ-
τάττεσθαι εἶρξα, καὶ τὸ τῆς τοιαύτης δυσφημίας ἀσέ-
βημα ἐνταῦθα ἐβιασάμην στῆσαι, καὶ πυρὶ παρέδωκα
τὰ βρέβια τὰ καθ' ὑμῶν ἐν τοῖς ἐμοῖς σκρινίοις ἀπο-
κείμενα, ὡς μηκέτι δύνασθαι καθ' ὑμῶν τινὰ τοι-
αύτην ἀκοντίζειν ἀσεβείας φήμην. καὶ τούτων μὲν B
ὑμῖν οὐ τοσοῦτον αἴτιος κατέστη ὁ τῆς μνήμης ἄξιος
Κωνστάντιος ὁ ἀδελφός, ὅσον οἱ τὴν γνώμην βάρ-
βαροι καὶ τὴν ψυχὴν ἄθεοι, οἱ τὴν τούτου τράπεζαν
ἑστιώμενοι, οὓς ἐγὼ μὲν ἐν χερσὶν ἐμαῖς λαβόμενος
εἰς βόθρον ὤσας ὤλεσα, ὡς μηδὲ μνήμην ἔτι φέρεσθαι
παρ' ἡμῖν τῆς αὐτῶν ἀπωλείας. ἐπὶ πλέον δὲ ὑμᾶς
εὐωχεῖσθαι βουλόμενος τὸν ἀδελφὸν Ἴουλον, τὸν αἰδε- C
σιμώτατον πατριάρχην, παρήνεσα καὶ τὴν λεγομένην
εἶναι παρ' ὑμῖν ἀποστολὴν κωλυθῆναι καὶ μηκέτι δύ-
νασθαι τὰ πλήθη ὑμῶν τινὰς ἀδικεῖν τοιαύταις φόρων
εἰσπράξεσιν, ὡς πανταχόθεν ὑμῖν τὸ ἀμέριμνον ὑπάρχειν
τῆς ἐμῆς βασιλείας, ἵνα ἀπολαύοντες ... ἔτι μείζονας
εὐχὰς ποιῆσθε τῆς ἐμῆς βασιλείας τῷ πάντων κρείττονι
καὶ δημιουργῷ θεῷ, τῷ καταξιώσαντι στέψαι με τῇ
ἀχράντῳ αὐτοῦ δεξιᾷ. πέφυκε γὰρ τοὺς ἔν τινι με- D

1 ταμιείου V pr. m., ut videtur, ταμείου s. m., ut vulgo | ..γοις V 5 τῆς e V addidit spanh. 7 σκρινίοις V] σκρηνίοις 13 ἐγὼ μὲν V] μὲν ἐγὼ 14 μηδὲ Hrch.] μήτε | φέρεσθαι Heyler] φέρεσθαι ἢ εἶναι 15 ὑμῖν V 16 ἰοῦλον V 17 „Circa παρήνεσα deest aliquid“. Rsk. | τὴν .... μένην V 19 .μῶν .... ἀδικεῖν V (ὑμῶν τινὰς ἀδ. V[d]), vulgo τινὰ 20 ἀμέ... νον V | „Post ὑπάρχειν deest ἐπί, me regnante“. Rsk. 21 „Post ἀπολαύοντες deest εἰρήνης“. Rsk. Lacunam significavi 22 ποιῆσθε H] ποιῆτε | τῆς] ὑπὲρ τῆς Rsk. 23 et 24 με.... ράντῳ V

ρίμνῃ ἐξεταζομένους περιδεῖσθαι τὴν διάνοιαν καὶ μὴ
43 τοσοῦτον εἰς τὴν προσευχὴν τὰς χεῖρας ἀνατείνειν τολμᾶν, τοὺς δὲ πανταχόθεν ἔχοντας τὸ ἀμέριμνον ὁλοκλήρῳ ψυχῇ χαίροντας ὑπὲρ τοῦ βασιλείου ἱκετηρίους λατρείας ποιεῖσθαι τῷ μείζονι, τῷ δυναμένῳ κατευθῦναι τὴν βασιλείαν ἡμῶν ἐπὶ τὰ κάλλιστα, καθάπερ προαιρούμεθα. ὅπερ χρὴ ποιεῖν ὑμᾶς, ἵνα κἀγὼ
398 τὸν τῶν Περσῶν πόλεμον διορθωσάμενος τὴν ἐκ πολλῶν ἐτῶν ἐπιθυμουμένην παρ' ὑμῶν ἰδεῖν οἰκουμένην πόλιν ἁγίαν Ἱερουσαλὴμ ἐμοῖς καμάτοις ἀνοικοδομήσας οἰκίσω καὶ ἐν αὐτῇ δόξαν δῶ μεθ' ὑμῶν τῷ κρείττονι.

133 κε'. *Ἰουλιανοῦ νόμος περὶ τῶν ἰατρῶν.

B Τὴν ἰατρικὴν ἐπιστήμην σωτηριώδη τοῖς ἀνθρώποις τυγχάνειν τὸ ἐναργὲς τῆς χρείας μαρτυρεῖ. διὸ καὶ ταύτην ἐξ οὐρανοῦ πεφοιτηκέναι δικαίως φιλοσόφων παῖδες κηρύττουσι. τὸ γὰρ ἀσθενὲς τῆς ἡμετέρας φύσεως καὶ τα τῶν ἐπισυμβαινόντων ἀρρωστημάτων ἐπανορθοῦται διὰ ταύτης. ὅθεν κατὰ τὸν τοῦ δικαίου λογισμὸν συνῳδὰ τοῖς ἄνωθεν βασιλεῦσι θεσπίζοντες ἡμετέρᾳ φιλανθρωπίᾳ κελεύομεν τῶν βουλευτικῶν λειτουργημάτων ἀνενοχλήτους ὑμᾶς τους λοιποὺς χρόνους διάγειν.

C κϛ'. Ἀλεξανδρεῦσι διάταγμα.

43 Ἐχρῆν τὸν ἐξελαθέντα βασιλικοῖς πολλοῖς πάνυ καὶ πολλῶν αὐτοκρατόρων προστάγμασιν ἓν γοῦν ἐπί-

1 περι . . . σθαι V. „F. περιδινεῖσθαι". Rsk. 3 . . . ταχόθεν V 4 et 5 . . ετηρίους V 6 τὴν βασιλείαν . . ῶν ἐπὶ V. ἡμῶν igitur addidi 8 τὸν . . . περσων V 9 ὑμῶν Rsk.] ὑμῖν | . . κουμένην V 11 οἰκίσω . . . V, οἰκήσω καὶ v | δῶ H] δώσω 12 πρὸς ἰατρούς Pk 13 τὴν] . . ν V 14 τῆς] . . . V 17 τῶν] ἐκ τῶν Rsk. 18 ὅθεν V p. m. Bar.] καὶ γὰρ 21 ἀνενοχλήτως Pk 24 ἐξελασθέντα Pbi mart.

ταγμα περιμεῖναι βασιλικόν, εἶθ' οὕτως εἰς τὴν ἑαυ- D
τοῦ κατιέναι, ἀλλὰ μὴ τόλμῃ μηδ' ἀπονοίᾳ χρησάμενον
ὡς οὐκ οὖσιν ἐνυβρίζειν τοῖς νόμοις, ἐπεί τοι καὶ τό
νῦν τοῖς Γαλιλαίοις τοῖς φυγαδευθεῖσιν ὑπὸ τοῦ μα-
καρίτου Κωνσταντίου οὐ κάθοδον εἰς τὰς ἐκκλησίας 44
αὐτοῖς, ἀλλα τὴν εἰς τὰς πατρίδας συνεχωρήσαμεν.
Ἀθανάσιον δὲ πυνθάνομαι τον τολμηρότατον ὑπὸ τοῦ
συνήθους ἐπαρθέντα θράσους ἀντιλαβέσθαι τοῦ λεγο-
μένου παρ' αὐτοῖς ἐπισκοπῆς θρόνου, τοῦτο δὲ εἶναι
καὶ τῷ θεοσεβεῖ τῶν Ἀλεξανδρέων δήμῳ οὐ μετρίως
ἀηδές. ὅθεν αὐτῷ προαγορεύομεν ἀπιέναι τῆς πόλεως, 399
ἐξ ἧς ἂν ἡμέρας τὰ τῆς ἡμετέρας ἡμερότητος γράμ-
ματα δέξηται παραχρῆμα· μένοντι δ' αὐτῷ τῆς πόλεως
εἴσω μείζους πολὺ καὶ χαλεπωτέρας προαγορεύομεν
τιμωρίας.

κζ. Ἰουλιανὸς Λιβανίῳ σοφιστῇ καὶ κοιαίστωρι.

Μέχρι τῶν Λιτάρβων ἦλθον· ἔστι δὲ κώμη Χαλ- B
κίδος· καὶ ἐνέτυχον ὁδῷ λείψανα ἐχούσῃ χειμαδίων
Ἀντιοχικῶν. ἦν δὲ αὐτῆς οἶμαι τὸ μὲν τέλμα τὸ δὲ
ὄρος, τραχεῖα δὲ πᾶσα, καὶ ἐνέκειντο τῷ τέλματι λίθοι
ὥσπερ ἐπίτηδες ἐρριμμένοις ἐοικότες, ὑπ' οὐδεμιᾶς
τέχνης συγκείμενοι, ὃν τρόπον εἰώθασιν ἐν ταῖς ἄλλαις C
πόλεσι τὰς λεωφόρους οἱ ἐξοικοδομοῦντες ποιεῖν, ἀντὶ 45

3 ὡς V] ὥσπερ 3 et 4 τὸ νῦν Hrch.] τὸ νῦν ὑφ' ἡμῶν (ὑμῶν V) v, ἐφ' ἡμῶν Pb et Rsk. 4 τοῖς Γαλιλαίοις om. V mrg. Gen. 5 Κωνσταντίνου V 6 αὐτοῖς del. Hrch., αὐτῶν scribit Rsk., αὖθις Sintenis | ἀλλὰ τὴν V mrg. Gen.] ἀλλ' 10 οὐ om. Pbi, quod probat Sintenis coll. Schoemanno ad Plut. Cleom. p. 272 17 δὲ H] δὲ ἡ 18 καὶ] . . . V 21 ἐριμ-μένοις V 21 et 22 ὑπ' οὐδεμιᾶς τέχνης Rsk.] ὑπ' οὐδεμιᾷ τέχνῃ v, ἐπ' οὐδεμιᾷ τέχνῃ Hrch. 22 ἄλλαις suspectum mihi est 23 οἱ Pk] οἷον

μὲν τῆς κονίας πολὺν τὸν χοῦν ἐποικοδομοῦντες,
πυκνοὺς δὲ ὥσπερ ἐν τοίχῳ τιθέντες τοὺς λίθους.
ἐπεὶ δὲ διαβὰς μόλις ἦλθον εἰς τὸν πρῶτον σταθμόν,
ἐννέα που σχεδὸν ἦσαν ὧραι, καὶ ἐδεξάμην εἴσω τῆς
αὐλῆς τὸ πλεῖστον τῆς παρ' ὑμῖν βουλῆς. ἃ δὲ δι-
ελέχθημεν πρὸς ἀλλήλους, ἴσως ἐπύθου· μάθοις δ' ἂν
D καὶ ἡμῶν ἀκούσας, εἰ θεοὶ θέλοιεν.

Ἀπὸ τῶν Λιτάρβων εἰς τὴν Βέροιαν ἐπορευόμην,
καὶ ὁ Ζεὺς αἴσια πάντα ἐσήμηνεν, ἐναργῆ δείξας τὴν
διοσημίαν. ἐπιμείνας δὲ ἡμέραν ἐκεῖ τὴν ἀκρόπολιν
εἶδον, καὶ ἔθυσα τῷ Διὶ βασιλικῶς ταῦρον λευκόν,
διελέχθην δὲ ὀλίγα τῇ βουλῇ περὶ θεοσεβείας. ἀλλὰ
τοὺς λόγους ἐπῄνουν μὲν ἅπαντες, ἐπείσθησαν δὲ
αὐτοῖς ὀλίγοι πάνυ, καὶ οὗτοι οἳ καὶ πρὸ τῶν ἐμῶν
400 λόγων ἐδόκουν ἔχειν ὑγιῶς. ἐλάβοντο δὲ ὥσπερ παρ-
ρησίας ἀποτρίψασθαι τὴν αἰδῶ καὶ ἀποθέσθαι· περί-
εστι γάρ, ὦ θεοί, τοῖς ἀνθρώποις ἐπὶ μὲν τοῖς καλοῖς
ἐρυθριᾶν, ἀνδρείᾳ ψυχῆς καὶ εὐσεβείᾳ, καλλωπίζεσθαι
δὲ ὥσπερ τοῖς χειρίστοις, ἱεροσυλίᾳ καὶ μαλακίᾳ γνώ-
μης καὶ σώματος.

46 Ἔνθεν ὑποδέχονταί με Βάτναι, χωρίον οἷον παρ'
ὑμῖν οὐκ εἶδον ἔξω τῆς Δάφνης, ἣ νῦν ἔοικε ταῖς
B Βάτναις· ὡς τάγε πρὸ μικροῦ, σωζομένου τοῦ νεὼ
καὶ τοῦ ἀγάλματος, Ὄσσῃ καὶ Πηλίῳ καὶ ταῖς Ὀλύμ-
που κορυφαῖς καὶ τοῖς Θετταλικοῖς Τέμπεσιν ἄγων
ἐπίσης ἢ καὶ προτιμῶν ἁπάντων ὁμοῦ τὴν Δάφνην

4 ὧραι V] ὥραι 5 et 6 διειλέχθημεν V, sed ab eadem manu correctum 8 Βέροιαν Hrch.] Βέρροιαν 10 διοσημείαν e correctura Pk 14 οὗτοι] τοιοῦτοι Hrch.; ego malim expungere 16 αἰδῶ V 19 ὥσπερ] ἐπὶ Hrch. 21 et 22 παρ' ὑμῖν οὐκ εἶδον V spanh.] οὐκ εἶδον παρ' ὑμῖν

οὐκ (ἂν) αἰσχυνοίμην. [ἱερὸν Διὸς Ὀλυμπίου καὶ
Ἀπόλλωνος Πυθίου τὸ χωρίον.] ἀλλ' ἐπὶ μὲν τῇ
Δάφνῃ γέγραπταί σοι λόγος, ὁποῖον ἄλλος οὐδ' (ἂν)
εἷς τῶν οἳ νῦν βροτοί εἰσι καὶ μάλα ἐπιχειρήσας
καμεῖν ἐργάσαιτο, νομίζω δὲ καὶ τῶν ἔμπροσθεν οὐ C
πολλοὺς πάνυ. τί οὖν ἐγὼ νῦν ἐπιχειρῶ περὶ αὐτῆς
γράφειν, οὕτω λαμπρᾶς ... ἐπ' αὐτῇ συγγεγραμμένης;
ὡς μήποτε ὤφελε τοιοῦτον. αἵ γε μὴν Βάτναι· βαρ-
βαρικὸν ὄνομα τοῦτο· χωρίον ἐστὶν Ἑλληνικόν, πρῶτον
μὲν ὅτι διὰ πάσης τῆς πέριξ χώρας ἀτμοὶ λιβανωτοῦ
πανταχόθεν ἦσαν, ἱερεῖά τε ἐβλέπομεν εὐτρεπῆ παν-
ταχοῦ. τοῦτο μὲν οὖν εἰ καὶ λίαν ηὔφραινέ με, θερ-
μότερον ὅμως ἐδόκει καὶ τῆς εἰς τοὺς θεοὺς εὐσεβείας
ἀλλότριον. ἐκτὸς πάτου γὰρ εἶναι χρὴ καὶ δρᾶσθαι D
καθ' ἡσυχίαν, ἐπ' αὐτὸ τοῦτο πορευομένων, οὐκ ἐπ'
ἄλλο τι βαδιζόντων, τὰ πρὸς τοὺς θεοὺς ἱερά τε καὶ
ὅσια. τοῦτο μὲν οὖν ἴσως τεύξεται τῆς ἁρμοζούσης
ἐπιμελείας αὐτίκα. τὰς Βάτνας δὲ ἑώρων πεδίον λά- 47
σιον ἄλση κυπαρίττων ἔχον νέων· καὶ ἦν ἐν ταύταις
οὐδὲν γεράνδρυον οὐδὲ σαπρόν, ἀλλὰ ἐξ ἴσης ἅπαντα
θάλλοντα τῇ κόμῃ· καὶ τὰ βασίλεια πολυτελῆ μὲν 401
ἥκιστα· πηλοῦ γὰρ ἦν μόνον καὶ ξύλων οὐδὲν ποι-
κίλον ἔχοντα· κῆπον δὲ τοῦ μὲν Ἀλκίνου καταδεέστε-

1 ἂν addidit H 1 et 2 inclusi verba inepte addita 3 ἂν ego h. l. addidi, Hrch. post ὁποῖον 4 τῶν οἳ — εἰσι] Iliad. α, 272 | ἐπιχειρήσαις V 5 καμεῖν H] ἂν καμεῖν (συγκαμεῖν Pk) 7 γράφειν VPk] γράφων | Lacunam significavit Hrch. „Supplendum erit βίβλον vel μονῳδίας.“ Heyler 10 διὰ πάσης VPk] δι' ἁπάσης 11 ἦσαν H] ᾖσαν v, ᾔεσαν Rsk. Vid. ad 32 D et 65 A | εὐτρεπῆ V] εὐπρεπῆ 12 ηὔφραινε Hrch.] εὔφραινε (εὔφρανε Pck) 13 τῆς om. V 16 βαδιζόντων Horkelius] βασταζόντων v, τῶν ἑορταζόντων Hrch. | ἱερά Wytt.] ἱερεῖα 19 ἔχων pet. spanh. operarum errore, nam mart. recte habet ἔχον | νέα Pk | καὶ om. mart. 23 Ἀλκίνου Hrch.] Ἀλκινόου

ρον, παραπλήσιον δὲ τῷ Λαέρτου, καὶ ἐν αὐτῷ μικρὸν ἄλσος πάνυ, κυπαρίττων μεστόν, καὶ τῷ θριγκίῳ δὲ πολλὰ τοιαῦτα παραπεφυτευμένα δένδρα στίχῳ καὶ ἐφεξῆς. εἶτα τὸ μέσον πρασιαί, καὶ ἐν ταύταις λάχανα καὶ δένδρα παντοίαν ὀπώραν φέροντα. τί οὖν ἐνταῦθα; B ἔθυσα δείλης, εἶτ' ὄρθρου βαθέος, ὅπερ εἴωθα ποιεῖν ἐπιεικῶς ἑκάστης ἡμέρας. ἐπεὶ δὲ ἦν καλὰ τὰ ἱερά, τῆς πόλεως εἰχόμεθα, καὶ ὑπαντῶσιν ἡμῖν οἱ πολῖται, καὶ ὑποδέχεταί με ξένος, ὀφθεὶς μὲν ἄρτι, φιλούμενος δὲ ὑπ' ἐμοῦ πάλαι. τὴν δὲ αἰτίαν αὐτὸς μὲν οἶδα ὅτι συνήδεις, ἐμοὶ δὲ ἡδὺ καὶ ἄλλως φράσαι· τὸ γὰρ ἀεὶ περὶ αὐτῶν ἀκούειν καὶ λέγειν ἐστί μοι νέκταρ. Ἰαμβλίχου τοῦ θειοτάτου τὸ θρέμμα Σώ- C πατρος, (ὁ) τούτου κηδεστὴς ἐξ ὅσου· ἐμοὶ γὰρ τὸ μὴ πάντα ἐκείνων τῶν ἀνδρῶν ἀγαπᾶν ἀδικημάτων οὐδὲν οὕτω φαυλότατον εἶναι δοκεῖ. πρόσεστι ταύτης αἰτία 48 μείζων. ὑποδεξάμενος γὰρ πολλάκις τόν τε ἀνεψιὸν τὸν ἐμὸν καὶ τὸν ὁμοπάτριον ἀδελφὸν καὶ προτραπεὶς ὑπ' αὐτῶν, οἷα εἰκός, πολλάκις ἀποστῆναι τῆς εἰς τοὺς θεοὺς εὐσεβείας, ὃ χαλεπόν ἐστιν, οὐκ ἐλήφθη τῇ νόσῳ.

Ταῦτα εἶχον ἀπὸ τῆς Ἱερᾶς πόλεώς σοι γράφειν D ὑπὲρ τῶν ἐμαυτοῦ. τὰς δὲ στρατιωτικὰς ἢ πολιτικὰς οἰκονομίας αὐτὸν ἐχρῆν οἶμαι παρόντα ἐφορᾶν καὶ

2 μεστόν] μέσων V | τριγχίῳ V ald., τριχίῳ Pk, θριγκίῳ marg. pet., τοιχίῳ v 8 πόλεως] ἱερᾶς πόλεως Rsk. 11 εὖ οἶδ' ὅτι Pk | συνήδεις Rsk. et Hrch.] συνείδεις 14 ὁ add. Hrch. | „In ἐξ ὅσου videtur nomen proprium latere, aut desunt quaedam. Quid si sic: κηδεστής. ἐμοὶ γάρ, ἐξ ὅσου ἐσωφρόνησα, τὸ μὴ πάντα—.“ Rsk. 15 et 16 „F. ἀδικημάτων οὐδενὸς ἧττον τῶν φαυλοτάτων εἶναι δοκεῖ.“ Rsk. 20 τοὺς θεοὺς Pk] θεοὺς 24 et 1 p. s. ἐφορᾶν καὶ ἐπιμελεῖσθαι] „Ex Xenophontis Cyrop. 5,3,59“. Hrch.

ἐπιμελεῖσθαι· μεῖζον γάρ ἐστιν ἢ κατ᾽ ἐπιστολήν, εὖ ἴσθι, καὶ τοσοῦτον ὅσον οὐ ῥᾴδιον οὐδὲ τριπλασίᾳ ταύτης περιλαβεῖν σκοποῦντι τἀκριβές. ἐπεὶ καὶ φαίην δέ σοι, καὶ ταῦτα φράσω δι᾽ ὀλίγων. πρὸς τοὺς Σαρακηνοὺς ἔπεμψα πρέσβεις, ὑπομιμνήσκων αὐτοὺς ἥκειν, εἰ βούλοιντο. ἓν μὲν δὴ τοιοῦτον· ἕτερον δέ, 402 λίαν ἐγρηγορότας ὡς ἐνεδέχετο τοὺς παραφυλάξοντας ἐξέπεμψα, μή τις ἐνθένδε πρὸς τοὺς πολεμίους ἐξέλθῃ λαθών, ἐσόμενος αὐτοῖς ὡς κεκινήμεθα μηνυτής. ἐκεῖθεν ἐδίκασα δίκην στρατιωτικήν, ὡς ἐμαυτὸν πείθω, πρᾳότατα καὶ δικαιότατα. ἵππους περιττοὺς καὶ ἡμιόνους παρεσκεύασα, τὸ στρατόπεδον εἰς ταὐτὸ συναγαγών. ναῦς πληροῦνται ποτάμιαι πυροῦ, μᾶλλον B δὲ ἄρτων ξηρῶν καὶ ὄξους. καὶ τούτων ἕκαστον ὅπως 49 ἐπράχθη καὶ τίνες ἐφ᾽ ἑκάστῳ γεγόνασι λόγοι, πόσου μήκους ἐστὶ συγγράφειν ἐννοεῖς. ἐπιστολαῖς δὲ ὅσαις ὑπέγραψα καὶ βίβλοις· ἑπόμενα (γὰρ) ὡσπερεὶ σκιά μοι καὶ ταῦτα συμπερινοστεῖ πανταχοῦ· τί δεῖ νῦν πράγματα ἔχειν ἀπαριθμούμενον;

κη΄. Ἰουλιανὸς Γρηγορίῳ ἡγεμόνι.

Ἐμοὶ καὶ γράμμα παρὰ σοῦ μικρὸν ἀρκεῖ μεγάλης C ἡδονῆς πρόφασιν μνηστεῦσαι. καὶ τοίνυν οἷς ἔγραψας ἄγαν ἡσθεὶς ἀντιδίδωμι καὶ αὐτὸς τὴν ἴσην, οἱ τῷ τῶν ἐπιστολῶν μήκει μᾶλλον ἢ τῷ τῆς εὐνοίας μεγέθει τὰς τῶν ἑταίρων φιλίας ἐκτίνεσθαι δεῖν κρίνων.

2 et 3 τριπλασίᾳ ταύτης Rsk.] τριπλάσια τούτου 3 et 4 „Desunt quaedam.“ Rsk. Fort. ἐπεὶ φαίην ἂν σοι καὶ ταῦτα· φράσω δὲ δι᾽ ὀλίγων 6 τοιοῦτον H] τοιοῦτο 13 ναῦς] Vid. ad 279 D 16 συγγράφειν Cob.] συγγραφῇ 17 γὰρ add. Rsk.| ὥσπερ σκιά Cob., ὥσπερ αἴσια v, scripsi ὡσπερεὶ σκιά 21 παρὰ σοῦ V] παρά σου 23 ἄγαν V] λίαν 25 ἐκτίνεσθαι Heyler] ἐκτείνεσθαι

D κθ'. Ἰουλιανὸς Ἀλυπίῳ ἀδελφῷ Καισαρίου.

50 Ὁ Συλοσῶν ἀνῆλθε, φασί, παρὰ τὸν Δαρεῖον,
καὶ ὑπέμνησεν αὐτὸν τῆς χλανίδος, καὶ ᾔτησεν ἀντ'
ἐκείνης παρ' αὐτοῦ τὴν Σάμον. εἶτα ἐπὶ τούτῳ Δα-
ρεῖος μὲν ἐμεγαλοφρονεῖτο, μεγάλα ἀντὶ μικρῶν νο-
μίζων ἀποδεδωκέναι· Συλοσῶν δὲ λυπηρὰν ἐλάμβανε
408 χάριν. σκόπει δὴ τὰ ἡμέτερα νῦν πρὸς ἐκεῖνα. ἐνὶ
μὲν δὴ τὸ πρῶτον οἶμαι κρεῖσσον ἔργον ἡμέτερον·
οὐδὲ γὰρ ὑπεμείναμεν ὑπομνησθῆναι παρ' ἄλλου· το-
σούτῳ δὲ χρόνῳ τὴν μνήμην τῆς σῆς φιλίας διαφυλά-
ξαντες ἀκέραιον, ἐπειδὴ πρῶτον ἡμῖν ἔδωκεν ὁ θεός,
οὐκ ἐν δευτέροις, ἀλλ' ἐν τοῖς πρώτοις σε μετεκαλέ-
σαμεν. τὰ μὲν οὖν πρῶτα τοιαῦτα· περὶ δὲ τῶν μελ-
λόντων ἆρά μοι δώσεις τι· καὶ γάρ εἰμι μαντικός·
B προαγορεῦσαι; μακρῷ νομίζω κρείττονα ἐκείνων, Ἀδρά-
στεια δ' εὐμενὴς εἴη. σύ τε γὰρ οὐδὲν δέῃ συγκατα-
στρεφομένου πόλιν βασιλέως, ἐγώ τε πολλῶν δέομαι
τῶν συνεπανορθούντων μοι τὰ πεπτωκότα κακῶς.
ταῦτά σοι Γαλλικὴ καὶ βάρβαρος Μοῦσα προσπαίζει,
51 σὺ δὲ ὑπὸ τῇ τῶν θεῶν πομπῇ χαίρων ἀφίκοιο. —
καὶ τῇ αὐτοῦ χειρί· ληὶς ἐρίφων καὶ τῆς ἐν τοῖς χει-
μαδίοις θήρας τῶν προβατίων. ἧκε πρὸς τὸν φίλον,
C ὅς σε τότε, καίπερ οὔπω γινώσκειν ὅσος εἶ δυνά-
μενος, ὅμως περιεῖπον.

2 Συλοσῶν V | φασί Hrch.] φησί 3 χλ...... V 5 ἐμεγ... φρονεῖτο· τὸ μεγάλα V 6 Συλοσῶν V | λ...... V (λυπρὰν V[d]) 7 ἐνὶ H] ἓν 8 οἶμαι] ..... V 9 οὐδὲ V] οὐ 12 et 13 σε μετεκαλέσαμεν Hrch.] ἐμέ τε κα..... V (ἐμέ τε καλέσαμεν V[d]), σε μετεκάλεσα v 15 π.. αγορεῦσαι V | κρείττονα V] κρεῖττον 16 δὲ V 17 πόλιν VPk] τὴν πόλιν 19 βάρβ...V, βαρβαρικὴ Pc 21 ληὶς] λῖς V. Locus corruptus. 22 προβαταγρίων V. Fort. προβάτων τῶν ἀγρίων. Vulgo προβατείων, προβατίων Pk 23 γιγνώσκειν Pk

λʹ. Ἰουλιανὸς τῷ αὐτῷ.

Ἤδη μὲν ἐτύγχανον ἀνειμένος τῆς νόσου, τὴν
γεωγραφίαν ὅτε ἀπέστειλας· οὐ μὴν ἔλαττον διὰ τοῦτο
ἡδέως ἐδεξάμην το παρὰ σοῦ πινάκιον ἀποσταλέν.
ἔχει γὰρ καὶ τὰ διαγράμματα τῶν πρόσθεν βελτίω, D
καὶ κατεμούσωσας αὐτὸ προσθεὶς τοὺς ἰάμβους, οὐ
μάχην ἀείδοντας τὴν Βουπάλειον κατὰ τὸν Κυρη-
ναῖον ποιητήν, ἀλλ' οἵους ἡ καλὴ Σαπφὼ βούλεται
τοῖς νόμοις ἁρμόττειν. καὶ τὸ μὲν δῶρον τοιοῦτόν
ἐστιν, ὁποῖον ἴσως σοί τε ἔπρεπε δοῦναι, ἐμοί τε
ἥδιστον δέξασθαι. περὶ δὲ τὴν διοίκησιν τῶν πραγ-
μάτων ὅτι δραστηρίως ἅμα καὶ πράως ἅπαντα περαί-
νειν προθυμῇ, συνηδόμεθα· μῖξαι γὰρ πρᾳότητα καὶ
σωφροσύνην ἀνδρείᾳ καὶ ῥώμῃ, καὶ τῇ μὲν χρήσασθαι 404
πρὸς τοὺς ἐπιεικεστάτους, τῇ δὲ ἐπὶ τῶν πονηρῶν 52
ἀπαραιτήτως πρὸς ἐπανόρθωσιν οὐ μικρᾶς ἐστὶ φύσεως
οὐδ' ἀρετῆς ἔργον, ὡς ἐμαυτὸν πείθω. τούτων εὐχό-
μεθά σε τῶν σκοπῶν ἐχόμενον ἄμφω πρὸς ἓν τὸ
καλὸν αὐτοὺς συναρμόσαι· τοῦτο γὰρ ἁπάσαις προ-
κεῖσθαι ταῖς ἀρεταῖς τέλος οὐκ εἰκῇ τῶν παλαιῶν·
ἐπίστευον οἱ λογιώτατοι. ἐρρωμένος καὶ εὐδαιμονῶν B
διατελοίης ἐπὶ μήκιστον, ἀδελφὲ ποθεινότατε καὶ φιλι-
κώτατε.

2 Fort. παρειμένος τῇ νόσῳ vel ὑπὸ τῆς νόσου 3 ἔλαττον] . . . . . . V 5 τὰ . . . γρ . . . . . τῶν V | βελτίω Hrch.] βέλτιον 6 et 7 οὐ μά. . . . . δοντας V (ᾄδοντας V[d]) 7 τὴν V Bar. spanh.] τὸν | Βουπάλειον Bentleius] Βουπάλιον 7 et 8 Κυρηναῖον] Callimachi Fragm. 90 Ern. 8 et 9 β . . . . ται τοῖς . . . . . ἁρμόττειν V (ὕμνοις V[d]) 9 νόμοις Pc] ὕμνοις 12 et 13 παραινεῖν VPk 13 μῖξαι Pk] μίξαι 14 ἀνδρίᾳ Pk | χρήσασθαι V] χρῆσθαι 17 οὐδὲ V 21 ἐρρωμένως Pc pet., quod malit Hrch.

λα'. Ἰουλιανὸς Ἀετίῳ ἐπισκόπῳ.

Κοινῶς μὲν ἅπασι τοῖς ὁπωσοῦν ὑπὸ τοῦ μακα-
ρίτου Κωνσταντίου πεφυγαδευμένοις ἕνεκεν τῆς τῶν
C Γαλιλαίων ἀπονοίας ἀνῆκα τὴν φυγήν, σὲ δὲ οὐκ
ἀνίημι μόνον, ἀλλὰ γὰρ καὶ παλαιᾶς γνώσεώς τε καὶ
συνηθείας μεμνημένος ἀφικέσθαι προτρέπω μέχρις
ἡμῶν. χρήσῃ δὲ ὀχήματι δημοσίῳ μέχρι τοῦ στρατο-
πέδου τοῦ ἐμοῦ καὶ ἑνὶ παρίππῳ.

58

λβ'. Ἰουλιανὸς Λουκιανῷ σοφιστῇ.

D Καὶ γράφω καὶ ἀντιτυχεῖν ἀξιῶ τῶν ἴσων. εἰ
δὲ ἀδικῶ συνεχῶς ἐπιστέλλων, ἀνταδικηθῆναι δέομαι
τὰ ὅμοια παθών.

λγ'. Ἰουλιανὸς Δοσιθέῳ.

Μικροῦ μοι ἐπῆλθε δακρῦσαι. καίτοι γε ἐχρῆν
405 εὐφημεῖν τοὔνομα τὸ σὸν φθεγγόμενον· ἀνεμνήσθην
γὰρ τοῦ γενναίου καὶ πάντα θαυμασίου πατρὸς ἡμῶν,
ὃν εἰ μὲν ζηλώσεις, αὐτός τε εὐδαίμων ἔσῃ, καὶ τῷ
βίῳ δώσεις, ὥσπερ ἐκεῖνος, ἐφ' ὅτῳ φιλοτιμήσεται·
ῥαθυμήσας δὲ λυπήσεις ἐμέ, σαυτῷ δὲ ὅτε μηδὲν
ὄφελος μέμψῃ.

2 κοινῶς V et codex Mediceus apud Fabricium Salut. Luc. Evang. p. 319] λοιποῖς 3 „Immo ἕνεκα.“ Hrch. 4 et 5 Aut σοὶ aut ἀφίημι scribendum. cf. ἀφειλθησαν 436 B et ἀφῆκεν 270 D 5 ἀλλὰ γὰρ καὶ] Vid. ad 212 D 8 τοῦ ἐμοῦ om. cod. Mediceus apud Fabricium l. l. 10 καὶ add. Bar. et habere dicitur V, in quo nunc nullum ejus vestigium restat, cum marginis aliquid abscissum sit 12 τὰ ὅμοια παθών Bar.] τῶν ὁμοίων παθῶν 14 μ' ἐπῆλθε Hrch. 15 εὐφημεῖν Bar.] ἐφ' ἡμῖν | φθεγ..μενον V (φθεγξώμενον aut φθεγξάμενον V[d]) 16 ὑμῶν Rsk. 17 ζηλω.... V (ζηλώσειας V[d] ut Pc) | αὐτός τε V] καὶ αὐτός τε 19 ὅτε Bar.] ὅτι

λδ'. Ἰουλιανὸς Ἰαμβλίχῳ φιλοσόφῳ. B

Ὀδυσσεῖ μὲν ἐξήρκει τοῦ παιδὸς τὴν ἐφ' αὑτῷ 54
φαντασίαν ἀναστέλλοντι λέγειν

Οὔτις τοι θεός εἰμι· τί μ' ἀθανάτοισιν ἐίσκεις;

ἐγὼ δὲ οὐδ' ἐν ἀνθρώποις εἶναι φαίην ἂν ὅλως, ἕως
ἂν Ἰαμβλίχῳ μὴ συνῶ. ἀλλ' ἐραστὴς μὲν εἶναι σὸς
ὁμολογῶ, καθάπερ ἐκεῖνος τοῦ Τηλεμάχου· κἂν γαρ C
ἀνάξιόν με λέγῃ τις εἶναι, οὐδὲ οὕτω τοῦ ποθεῖν
ἀφαιρήσεται· ἐπεὶ καὶ ἀγαλμάτων καλῶν ἀκούω πολ-
λοὺς ἐραστὰς γενέσθαι μὴ μόνον τοῦ δημιουργοῦ τὴν
τέχνην μὴ βλάπτοντας, ἀλλὰ καὶ τῷ περὶ αὐτὰ πάθει
τὴν ἔμψυχον ἡδονὴν τῷ ἔργῳ προστιθέντας. τῶν γε
μὴν παλαιῶν καὶ σοφῶν ἀνδρῶν, οἷς ἡμᾶς ἐγκρίνειν
ἐθέλεις παίζων, τοσοῦτον ἀπέχειν ἂν φαίην, ὁπόσον D
αὐτῷ σοι τῶν ἀνδρῶν μετεῖναι πιστεύω. καίτοι σύ
γε οὐ Πίνδαρον μόνον οὐδὲ Δημόκριτον ἢ Ὀρφέα
τὸν παλαιότατον, ἀλλὰ καὶ ξύμπαν ὁμοῦ τὸ Ἑλλη-
νικόν, ὁπόσον εἰς ἄκρον φιλοσοφίας ἐλθεῖν μνημο- 55
νεύεται, καθάπερ ἐν λύρᾳ ποικίλων φθόγγων ἐναρ-
μονίῳ συστάσει πρὸς τὸ ἐντελὲς τῆς μουσικῆς κεράσας
ἔχεις. καὶ ὥσπερ Ἄργον τὸν φύλακα τῆς Ἰοῦς οἱ 406
μῦθοι πρόνοιαν ἔχοντα τῶν Διὸς παιδικῶν ἀκοιμήτοις

2 ἑαυτῷ Pkl 4 Odyss. π, 187 5 οὐδ' ἐν ἀνθρώποις Bar. LPhkl] οὐδ' ἂν ἀνθρώπων V, οὐδ' ἂν ἄνθρωπον v | εἶναι φαίην ἂν V et v] φαίην ἂν εἶναι Bar. L | ὅλως Bar.] ὡς L, ὁ λόγος V, ὡς ὁ λόγος v, om. Phkl 6 σὸς, quod Bar. LPhkl habent et in V esse dicitnr, nunc vero non est margine abscisso, deest vulgo 7 Τηλεμάχου Bar.LPkl] Τηλεμάχου πατήρ 8 εἶναι accessit ex LPhkl 14 ἂν add. LPhl 15 τῶν ἀνδρῶν Bar. LPhkl] τῶν .... V, φοιτώντων ἀριθμῷ mart. pet., τῶν αὐτῶν spanh. 18 φιλοσοφ ... V 19 λύρᾳ LPchkl] λύρας 20 κέρας V mart. 2 spanh. 21 Ἰοῦς] V

πανταχόθεν ὀμμάτων βολαῖς περιφράττουσιν, οὕτω
καὶ σὲ γνήσιον ἀρετῆς φύλακα μυρίοις παιδεύσεως
ὀφθαλμοῖς ὁ λόγος φωτίζει. Πρωτέα μὲν δὴ τὸν
Αἰγύπτιόν φασι ποικίλαις μορφαῖς ἑαυτὸν ἐξαλλάττειν,
ὥσπερ δεδιότα, μὴ λάθῃ τοῖς δεομένοις ὡς ἦν σοφὸς
B ἐκφήνας· ἐγὼ δὲ εἴπερ ἦν ὄντως σοφὸς ὁ Πρωτεὺς
καὶ οἷος πολλὰ τῶν ὄντων γινώσκειν, ὡς Ὅμηρος
λέγει, τῆς μὲν φύσεως αὐτον ἐπαινῶ, τῆς γνώμης δ'
οὐκ ἄγαμαι, διότι μὴ φιλανθρώπου τινός, ἀλλ' ἀπα-
τεῶνος ἔργον ἐποίει κρύπτων ἑαυτόν, ἵνα μὴ χρήσιμος
ἀνθρώποις ᾖ. σὲ δέ, ὦ γενναῖε, τίς οὐκ ἂν ἀληθῶς
θαυμάσειεν, ὡς οὐδέν τι τοῦ Πρωτέως τοῦ σοφοῦ
C μείων, εἰ μὴ καὶ μᾶλλον εἰς ἀρετὴν ἄκραν τελεσθεὶς
ὧν ἔχεις καλῶν οὐ φθονεῖς ἀνθρώποις, ἀλλ' [ὥσπερ]
ἡλίου καθαροῦ δίκην ἀκτῖνας σοφίας ἀκραιφνοῦς ἐπὶ
πάντας ἄγεις, οὐ μόνον [τοῖς] παροῦσι τὰ εἰκότα
ξυνών, ἀλλὰ καὶ ἀπόντας ἐφ' ὅσον ἔξεστι τοῖς παρὰ
56 σαυτοῦ σεμνύνων. νικῴης δ' ἂν οὕτω καὶ τὸν Ὀρφέα
τον καλὸν οἷς πράττεις, εἴγε ὁ μὲν τὴν οἰκείαν μου-
σικὴν εἰς τὰς τῶν θηρίων ἀκοὰς κατανάλισκε, σὺ δ'

1 πάν .... βολαῖς V, πανταχόθεν ὀμμάτων β. L Phkl, πάντοθεν ὀφθαλμῶν β. v 2 καὶ σὲ V] καί σε | ἀρετῶν L | μυρίοις Bar.] καὶ μυρίοις LPhkl, καθαροῖς v, κ...... V 4 αἰγύπ .... ποικίλαις V | ἐξαλάττειν V 5 ὡς ἦν] . . ἦν V, ὅτι ἦν LPhkl 6 ὁ Πρωτεὺς VLPhkl] Πρωτεὺς 7 οἷος] οἷός τε? | τῶν ὄ ..... V 8 τῆς μὲν φύσεως Horkelius] τῆς μὲν ὧν ᾔδει φύσεως v, τῆς φύσεως καὶ ὧν ᾔδει Rsk. | δ' L] δὲ 9 ἀλλ' LPkl] ἀλλὰ 10 ἑαυ ... V 12 θαυμάσ .... V] ὡς] ὃς H 13 εἰ μὴ καὶ H] εἰ καὶ μὴ V et v, εἰ καὶ μὴ Bar., εἰ ἀλλὰ L, ἀλλὰ Phkl. Hrch. malit μειονεκτῶν ἀλλὰ καὶ μᾶλλον | εἰς] ὡς mart. pet. | τελεσθεὶς Bar. L spanh.] τε.......V, τε κορυφὴν mart. pet. 14 ὥσπερ delevit Hrch. 15 σοφίας Bar. LPhkl] σου v, in V est macula | ἀκραιφνοῦς VLPhkl] ἀκραιφνεῖς 16 τοῖς om. LPhkl 17 καὶ] ... V 18 νικῴης Hrch.] νικῷς mart. νικᾷς v | οὕτω expunxit Hrch. 20 ἀκοὰς VLPhkl] ἀγωγὰς | δ' LPhkl] δὲ

ὥσπερ ἐπὶ σωτηρίᾳ τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους D
τεχθείς, τὴν Ἀσκληπιοῦ χεῖρα πανταχοῦ ζηλῶν, ἅπαντα
ἐπέρχῃ λογίῳ τε καὶ σωτηρίῳ νεύματι. ὥστ' ἔμοιγε
δοκεῖ καὶ Ὅμηρος, εἰ ἀνεβίω, πολλῷ δικαιότερον ἂν
ἐπὶ σοὶ τὸ ἔπος αἰνίξασθαι τὸ

Εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέι κόσμῳ.

τῷ γὰρ ὄντι τοῦ παλαιοῦ κόμματος ἡμῖν οἱονεὶ σπινθήρ τις ἱερὸς ἀληθοῦς καὶ γονίμου παιδεύσεως ὑπὸ
σοὶ μόνῳ ζωπυρεῖται. καὶ εἴη γε, Ζεῦ σῶτερ καὶ
Ἑρμῆ λόγιε, τὸ κοινὸν ἁπάσης τῆς οἰκουμένης ὄφε- 407
λος, Ἰάμβλιχον τὸν καλόν, ἐπὶ μήκιστον χρόνου τηρεῖσθαι. πάντως που καὶ ἐφ' Ὁμήρῳ καὶ Πλάτωνι
καὶ Σωκράτει καὶ εἴ τις ἄλλος ἄξιος τοῦ χοροῦ τούτου, δικαίας εὐχῆς ἐπίτευγμα τοῖς πρότερον εὐτυχηθὲν οὕτω τοὺς ἐκείνων καιροὺς ἐπὶ μεῖζον ηὔξησεν.
οὐδὲν δὴ κωλύει καὶ ἐφ' ἡμῶν ἄνδρα καὶ λόγῳ καὶ
βίῳ τῶν ἀνδρῶν ἐκείνων ἀντάξιον ὑφ' ὁμοίαις εὐχαῖς B
ἐς τὸ ἀκρότατον τοῦ γήρως ἐπ' εὐδαιμονίᾳ τῶν ἀνθρώπων παραπεμφθῆναι.

1 γένους om. L 2 τεχθείς, τὴν Ἀσκλ. LPchkl] ταχθεὶς εἰς .. ἀσκλ. V, ταχθεὶς Ἀσκλ. v | πανταχῇ Phkl 3 πνεύματι mart. pet. | ὥστ' ἔμοιγε VPchl] ὥστε μοί γε v, ὥστ' ἐμοὶ L, ὥστέ μοι Pk, ὥστε μοι Hrch. 4 ἀνεβίω VPhk] ἀνεβίου 4 et 5 ἂν ἐπὶ σοὶ] ... πὶ σοὶ V, δύναιτο ἐπί σοι mart. pet. 5 τὸ ἔπος VLPhk] ἐκεῖνο τὸ ἔπος v, expunxit Horkelius 6 Odyss. δ, 498 | δέ τι VL 7 τῶ γὰρ .. τι V, τὸ γὰρ πῦρ mart. pet. 8 .ονιμ ... αιδεύσεως V 9 ζωπυρεῖται μόνῳ LPh | εἴ γε V 10 λόγιε Bar.LPhkl] ἅγιε | τὸ] .. V 11 χρόνου VPkl] χρόνον 12 et 13 ὁμήρου καὶ πλάτωνος καὶ σωκράτους LPhkl 13 ἄλλος om. LPhkl 16 λόγος V[d], λόγοις Hrch. 17 ὑφ'] ἐφ' Bar. 18 εἰς LPhk | τὸ ἀκρό .. τον .... ηρ ... ἐπ' εὐδ..μονία V, τὸ (τὸν L) ἀκρότατον τοῦ γήρως LPhkl, τὸ ἀκρότατον βίου γῆρας v, εἰς τὸ ἀκρότατον του βίου Horkelius 18 et 19 ἀνθρώπων L] ὅλων

57 ## λε'. Ἀνεπίγραφος ὑπὲρ Ἀργείων.

Ὑπὲρ τῆς Ἀργείων πόλεως πολλὰ μὲν ἄν τις
εἰπεῖν ἔχοι, σεμνύνειν αὐτὴν ἐθέλων, παλαιὰ καὶ νέα
πράγματα. τοῦ τε γὰρ Τρωικοῦ, καθάπερ ὕστερον
C Ἀθηναίοις καὶ Λακεδαιμονίοις τοῦ....., προσήκει το
πλέον ἐκείνοις ἔργου. δοκεῖ μὲν γὰρ ἄμφω κοινῇ
πραχθῆναι παρὰ τῆς Ἑλλάδος· ἄξιον δὲ ὥσπερ τῶν
ἔργων καὶ τῆς φροντίδος, οὕτω καὶ τῶν ἐπαίνων τοὺς
ἡγεμόνας τὸ πλέον μετέχειν. ἀλλὰ ταῦτα μὲν ἀρχαῖά
πως εἶναι δοκεῖ, τὰ δὲ ἐπὶ τούτοις, ἥ τε Ἡρακλειδῶν
κάθοδος καὶ ὡς τῷ πρεσβυτάτῳ γέρας ἐξῃρέθη, ἥ τε
D εἰς Μακεδόνας ἐκεῖθεν ἀποικία, καὶ τὸ Λακεδαιμο-
νίοις οὕτω πλησίον παροικοῦντας ἀδούλωτον ἀεὶ καὶ
ἐλευθέραν φυλάξαι τὴν πόλιν, οὐ μικρᾶς οὐδὲ τῆς
τυχούσης ἀνδρείας ἦν. ἀλλὰ δὴ καὶ τα τοσαῦτα περὶ
τοὺς Πέρσας ὑπὸ τῶν Μακεδόνων γενόμενα ταύτῃ
προσήκειν τῇ πόλει δικαίως ἄν τις ὑπολάβοι· Φιλίπ-
που τε γὰρ καὶ Ἀλεξάνδρου τῶν πάνυ τῶν προγόνων
408 πατρὶς ἦν αὕτη. Ῥωμαίοις δὲ ὕστερον οὐχ ἁλοῦσα
58 μᾶλλον ἢ κατὰ ξυμμαχίαν ὑπήκουσε, καὶ ὥσπερ οἶμαι
μετεῖχε καὶ αὐτὴ καθάπερ αἱ λοιπαὶ τῆς ἐλευθερίας
καὶ τῶν ἄλλων δικαίων, ὁπόσα νέμουσι ταῖς περὶ τὴν
Ἑλλάδα πόλεσιν οἱ κρατοῦντες ἀεί.

1 ἰουλιανὸς ἀργείοις V 3 αὐτὴν V] αὐτῆς 4 πράγματα] .... V | τοῦ] „τῶ V, ου a manu recenti.“ Dübnerus. 5 τοῦ ..... V[d], οὕτω v, τοῦ Περσικοῦ H, τοῦ Περσικοῦ vel Μηδικοῦ Dübnerus 7 τῆς........ξιον V 8 οὕτω H] οὕτως 9 ἡγεμό ..... πλέον V 10 .. V (ἥ τε V[d]), ἡ v 11 τὸ γέρας Hrch. 12 μακεδόνας V] Μακεδονίαν | .... θεν V, ἦλθεν Pc 13 et 14 ἀεὶ .... λεύθ .... V, ἐλευθέραν in V legere sibi visus est Dübnerus, ἐλεύθερον v 15 τὰ τοσαῦτα H] τὰ ... αῦτα V, τὰ τοιαῦτα v 17 ... αίως V 18 τῶν προγόνων V] προγόνων 19 πατρὶς] ...... V 20 καὶ ὥσπερ] ..... περ V 22 .σα V (.. όσα V[d]). „Igitur ὁπόσα“ Dübnerus, ὅσα v

Κορίνθιοι δὲ νῦν αὐτὴν προσγενομένην αὐτοῖς· οὕτω γὰρ εἰπεῖν εὐπρεπέστερον· ἀπὸ τῆς βασιλευούσης πόλεως εἰς κακίαν ἐπαρθέντες συντελεῖν αὐτοῖς ἀναγκάζουσι, καὶ ταύτης ἦρξαν, ὥς φασι, τῆς καινοτομίας B ἕβδομος οὗτος ἐνιαυτός, οὔτε τὴν Δελφῶν οὔτε τὴν Ἠλείων ἀτέλειαν, ἧς ἠξιώθησαν ἐπὶ τῷ διατιθέναι τοὺς παρὰ σφίσιν ἱεροὺς ἀγῶνας, αἰδεσθέντες. τεττάρων γὰρ ὄντων, ὡς ἴσμεν, τῶν μεγίστων καὶ λαμπροτάτων ἀγώνων περὶ τὴν Ἑλλάδα, Ἠλεῖοι μὲν Ὀλύμπια, Δελφοὶ δὲ Πύθια, καὶ τὰ ἐν Ἰσθμῷ Κορίνθιοι, Ἀργεῖοι δὲ τὴν τῶν Νεμέων συγκροτοῦσι C πανήγυριν. πῶς οὖν εὔλογον ἐκείνοις μὲν ὑπάρχειν τὴν ἀτέλειαν τὴν πάλαι δοθεῖσαν, τοὺς δὲ ἐπὶ τοῖς ὁμοίοις δαπανήμασιν ἀφεθέντας πάλαι, τυχὸν δὲ οὐδὲ τὴν ἀρχὴν ὑπαχθέντας νῦν ἀφῃρῆσθαι τὴν προνομίαν, ἧς ἠξιώθησαν; πρὸς δὲ τούτοις Ἠλεῖοι μὲν καὶ Δελφοὶ διὰ τῆς πολυθρυλήτου πενταετηρίδος ἅπαξ ἐπιτελεῖν εἰώθασι, διττὰ δ' ἐστὶ Νέμεα παρὰ τοῖς Ἀργείοις, καθάπερ Ἴσθμια παρὰ Κορινθίοις. ἐν μέντοι τούτῳ 59 τῷ χρόνῳ καὶ δύο πρόκεινται παρὰ τοῖς Ἀργείοις ἕτεροι τοιοίδε, ὥστε εἶναι τέσσαρας (τοὺς) πάντας (ἐν) D ἐνιαυτοῖς τέσσαρσι. πῶς οὖν εἰκὸς ἐκείνους μὲν ἀπράγμονας εἶναι λειτουργοῦντας ἅπαξ, τούτους δὲ ὑπάγεσθαι καὶ πρὸς ἑτέρων συντέλειαν ἐπὶ τετραπλασίοις τοῖς οἴκοι λειτουργήμασιν, ἄλλως τε οὐδὲ πρὸς

1 αὐτὴν] ..... V (.. τὴν V[d]) | προσνεμομένην H 2 ἀπὸ] ὑπὸ H 3 εἰς κακίαν] ..... κίαν V | αὐτοῖς H] αὐτοῖς (αὐτοὺς V) 4 et 5 ... νοτομίας V 6 ἀτέλειαν Pet.] ... τέλειαν V, συντέλειαν v 11 νεμίων V 13 et 14 τοῖς ὁμοίοις V] ὁμοίοις 15 προνομ ... V 17 πολυθρυλήτου Hrch.] πολυθρυλλήτου 18 δ' V] δὲ 21 τοιοίδε H] οἵδε | τεσσ .... V | τοὺς add. H | ἐν add. H 23 δὲ] .. V 25 λειτου ... μασιν V | ἄλλως τε καὶ οὐδὲ Rsk. Cf. 312 B (ubi idem volebat Rsk.) 68 A, Arrian.

Ἑλληνικὴν οὐδὲ παλαιὰν πανήγυριν; οὐ γὰρ ἐς χορηγίαν ἀγώνων γυμνικῶν ἢ μουσικῶν οἱ Κορίνθιοι τῶν
409 *πολλῶν δέονται χρημάτων, ἐπὶ δὲ τὰ κυνηγέσια τὰ πολλάκις ἐν τοῖς θεάτροις ἐπιτελούμενα ἄρκτους καὶ παρδάλεις ὠνοῦνται. ἀτὰρ αὐτοὶ μὲν εἰκότως φέρουσι διὰ τὸν πλοῦτον τῶν ἀναλωμάτων τὸ μέγεθος, ἄλλως τε καὶ πολλῶν πόλεων, ὡς εἰκός, αὐτοῖς εἰς τοῦτο συναιρομένων [ὠνοῦνται τὴν τέρψιν τοῦ φρονήματος]. Ἀργεῖοι δὲ χρημάτων τε ἔχοντες ἐνδεέστερον καὶ ξενικῇ θέᾳ καὶ παρ' ἄλλοις ἐπιδουλεύειν ἀναγκαζόμενοι*
B *πῶς οὐκ ἄδικα μὲν καὶ παράνομα, τῆς δὲ περὶ τὴν πόλιν ἀρχαίας δυνάμεώς τε καὶ δόξης ἀνάξια πείσονται; ὄντες γὰρ αὐτοῖς ἀστυγείτονες, οὓς προσῆκον ἦν ἀγαπᾶσθαι μᾶλλον, εἴπερ ὀρθῶς ἔχει τὸ „οὐδ' ἂν*
60 *βοῦς ἀπόλοιτο, εἰ μὴ διὰ κακίαν γειτόνων“· Ἀργεῖοι δὲ ἐοίκασιν οὐχ ὑπὲρ ἑνὸς πολυπραγμονούμενοι βοιδίου ταῦτα τοὺς Κορινθίους αἰτιᾶσθαι, ἀλλ' ὑπὲρ πολλῶν καὶ μεγάλων ἀναλωμάτων, οἷς οὐ δικαίως εἰσὶν ὑπεύθυνοι.*

C *Καίτοι πρὸς τοὺς Κορινθίους εἰκότως ἂν τις καὶ τοῦτο προσθείη, πότερον αὐτοῖς δοκεῖ καλῶς ἔχειν*

Ind. 6,7 et 32,12, Lucian. de merc. cond. 4 et Charid. 21 et 22. At *ἄλλως τε καὶ οὐδὲ* legitur 334 C in optimis libris

1 *οὐ γὰρ* V] *οὐδὲ γὰρ* 1 et 2 „*χορη* .... V sine accentu in *η*, quare haud dubie *χορηγίαν*.“ Dübnerus. Vulgo *χορήγησιν* 3 *κ* ... *γέσια* V 4 *ἐν τοῖς* Pet. spanh.] *ἐνίοις* V mart. pet. 5 *ὠνου* .... V | *ἀτὰρ* Rsk. et Horkelius] *ἅπερ* 6 *πλοῦτον* V] *πλοῦτον καὶ* | .. *λως* V 8 *ὠνοῦνται — φρονήματος* delevit Horkelius, Rsk. add. *ὧν* ante *ὠνοῦνται*. *το* .... *νήματος* V 12 *πό* ... V 13 *ἀστυγείτονες* H] *καὶ ἀ* ... *γείτονες* V, *καὶ αὐτοὶ γείτονες* v 14 *ἔχει* H] *εἶχε* 15 *β* ... V | *ἀπόλοιτ'* Hrch. Cf. Hesiod. O. et D. 348 16 *π* ... *πραγμονούμενοι* V *οι*
16 et 17 *βοιδίου* scripsi pro *βοϊδίου* 17 *ταῦτα*, *οι* a manu secunda, V[d] 18 *καὶ*] *κ* .. V

τοῖς τῆς παλαιᾶς Ἑλλάδος ἕπεσθαι νομίμοις ἢ μᾶλλον οἷς ἔναγχος δοκοῦσι παρὰ τῆς βασιλευούσης προσειληφέναι πόλεως; εἰ μὲν γὰρ τὴν τῶν παλαιῶν νομίμων ἀγαπῶσι σεμνότητα, οὐκ Ἀργείοις μᾶλλον εἰς Κόρινθον ἢ Κορινθίοις εἰς Ἄργος συντελεῖν προσήκει· εἰ δὲ τοῖς νῦν ὑπάρξασι τὴν πόλιν, ἐπειδὴ τὴν Ῥωμαϊ- D κὴν ἀποικίαν ἐδέξαντο, ἰσχυριζόμενοι πλέον ἔχειν ἀξιοῦσι, παραιτησόμεθα μετρίως αὐτοὺς μὴ τῶν πατέρων φρονεῖν μεῖζον, μηδὲ ὅσα καλῶς ἐκεῖνοι κρίναντες ταῖς περὶ τὴν Ἑλλάδα διεφύλαξαν πόλεσιν ἔθιμα, ταῦτα καταλύειν καὶ καινοτομεῖν ἐπὶ βλάβῃ καὶ λύμῃ τῶν ἀστυγειτόνων, ἄλλως τε καὶ νεωτέρᾳ χρωμένους τῇ ψήφῳ καὶ τὴν ἀπραγμοσύνην (τοῦ λαχόντος) ὑπὲρ τῆς Ἀργείων πόλεως τὴν δίκην εἰσελθεῖν ἕρμαιον ἔχοντας τῆς πλεονεξίας. εἰ γὰρ ἐφῆκεν ἔξω τῆς Ἑλλάδος ἀπάγων τὴν δίκην, οἱ Κορίνθιοι 410 ἔλαττόν τε ἰσχύειν ἔμελλον καὶ τὸ δίκαιον ἐξεταζόμενον κακῶς φαίνεσθαι πρὸς τῶν πολλῶν καὶ γενναίων 61 τούτων συνηγόρων, ὑφ' ὧν εἰκός ἐστι τὸν δικαστήν, προστιθεμένου καὶ τοῦ κατὰ τὴν πόλιν ἀξιώματος, δυσωπούμενον ταύτην τὴν ψῆφον ἐξενεγκεῖν.

Ἀλλὰ τὰ μὲν ὑπὲρ τῆς πόλεως δίκαια καὶ τῶν ῥητόρων, εἰ μόνον ἀκούειν ἐθέλοις καὶ λέγειν αὐτοῖς B ἐπιτραπείη τὴν δίκην, ἐξ ὑπαρχῆς πεύσῃ, καὶ τὸ παρα-

1 παλα... V 2 οἷς V m. s., ἧς m. pr. 2 βασιλευου...V 4 οὐκ]... V 6 εἰς τὴν πόλιν Rsk., τῇ πόλει H 9 μεῖζον Cob.] μείζονα 9 et 10 .ρίν..τες V 13 et 14 τοῦ λαχόντος add. Pet. 15 ἔχοντα V m. pr., ἔχοντες m. s. | εἰ Pet] ἢ | γὰρ H] γαρ ἂν 18 κακῶς H. Sauppius] καλῶς | πρὸς].... V 20 προστιθεμένου Pet.] προτιθεμένου | τοῦ Pet.] περὶ τοῦ v, in V desunt tantum teste Dübnero tres literae; videtur igitur περὶ abfuisse 21 ταύτῃ Rsk. 22 τῆς πόλεως]....όλεως V 24 ἐξ ὑπαρχῆς V] ἀπ' ἀρχῆς v; in V ἐξ cum margine abscisso periit

στὰν ἐκ τῶν λεγομένων ὀρθῶς κριθήσεται. ὅτι δὲ χρὴ καὶ τοῖς τὴν πρεσβείαν ταύτην προσάγουσι δι' ἡμῶν πεισθῆναι, μικρὰ προσθεῖναι χρὴ περὶ αὐτῶν. Διογένης μέν τοι καὶ Λαμπρίας φιλοσοφοῦσι μέν, εἴπερ τις ἄλλος τῶν καθ' ἡμᾶς, τῆς πολιτείας δὲ τὰ μὲν ἔννομα καὶ κερδαλέα διαπεφεύγασι· τῇ πατρίδι δὲ ἐπαρκεῖν ἀεὶ κατὰ δύναμιν προθυμούμενοι, ὅταν
C ἡ πόλις ἐν χρείᾳ μεγάλῃ γένηται, τότε ῥητορεύουσι καὶ πολιτεύονται καὶ πρεσβεύουσι καὶ δαπανῶσιν ἐκ τῶν ὑπαρχόντων προθύμως, ἔργοις ἀπολογούμενοι τὰ φιλοσοφίας ὀνείδη καὶ τὸ δοκεῖν ἀχρήστους εἶναι ταῖς πόλεσι τοὺς μετιόντας φιλοσοφίαν ψεῦδος ἐλέγχοντες· χρῆται γὰρ αὐτοῖς ἥ τε πατρὶς εἰς ταῦτα, καὶ πειρῶνται βοηθεῖν αὐτῇ τὸ δίκαιον δι' ἡμῶν, ἡμεῖς δ' αὖθις διὰ σοῦ. τοῦτο γὰρ καὶ μόνον λείπεται τοῖς ἀδικου-
62 μένοις εἰς τὸ σωθῆναι, τὸ τυχεῖν δικαστοῦ κρίνειν τε
D ἐθέλοντος καὶ δυναμένου καλῶς· ὁπότερον γὰρ ἂν ἀπῇ τούτων, ἐξαπατηθέντος ἢ καταπροδόντος αὐτοῦ τὸ δίκαιον οἴχεσθαι πάντως ἀνάγκη. ἀλλ' ἐπειδὴ νῦν ἡμῖν τὰ μὲν τῶν δικαστῶν ὑπάρχει κατ' εὐχάς, λέγειν δ' οὐκ ἔνι μὴ τότε ἐφέντας, ἀξιοῦσι τοῦτο πρῶτον αὐτοῖς ἀνεθῆναι, καὶ μὴ τὴν ἀπραγμοσύνην τοῦ τότε

2 τὴν add. H, in V legitur ......βει ..   4 μέν] ... V   5 et 6 τὰ μὲν ἔννομα] .... μα V. Mihi ἔντιμα Iulianus scripsisse videtur   7 ...θυμούμενοι V   9 καὶ πρεσ.] ...πρεσ. V   10 ἀπο .....μενοι V   12 φιλοσοφίαν] V   14 αὐτῇ τὸ δίκαιον H] αἰτίᾳ τοῦ δικαίου v, ... δικαίου V (δικαίως V[d]) | δὲ V   15 διὰ σοῦ V] διά σου   15 et 16 ἀδι V   16 τε] δὲ V p. m.   17 ὁπότερον] ... V. Fort. ὅ,τι, nam ὁπότερον non capit spatium duarum triumve literarum relictum. Sic τίς pro πότερος legitur 320 C et ὅστις pro ὁπότερος apud Themistium p. 47 B 120 C 231 A   19 πάντως] ... τως V   21 δ' οὐκ] δὲ ... V | ἐφεθέντας Rsk.   22 τοῦ Rsk. et H] αὐτοῦ v, in V τοῦ vel τῶ Dübnerus legisse sibi visus est

συνειπόντος τῇ πόλει καὶ τὴν δίκην ἐπιτροπεύσαντος αἰτίαν αὐτῇ γενέσθαι εἰς τὸν ἔπειτα αἰῶνα βλάβης τοσαύτης.

Ἄτοπον δὲ οὐ χρὴ νομίζειν τὸ τὴν δίκην αὖθις 411 ἀνάδικον ποιεῖν· τοῖς μὲν γὰρ ἰδιώταις ξυμφέρει τὸ κρεῖττον καὶ λυσιτελέστερον ὀλίγου παριδεῖν, τὴν εἰς τὸν ἔπειτα χρόνον ἀσφάλειαν ὠνουμένοις. ὄντος γὰρ αὐτοῖς ὀλίγου βίου, ἡδὺ μὲν καὶ τὸ ἐπ' ὀλίγον ἡσυχίας ἀπολαῦσαι, φοβερὸν δὲ καὶ τὸ πρὸς τῶν δικαστηρίων ἀπολέσθαι κρινόμενον, καὶ παισὶ παραπέμψαι τὴν δίκην ἀτελῆ. ὥστε κινδυνεύει κρεῖσσον εἶναι τὸ B καὶ ὁπωσοῦν προσλαβεῖν ἥμισυ ἢ περὶ τοῦ παντὸς ἀγωνιζόμενον ἀποθανεῖν. τὰς πόλεις δὲ ἀθανάτους οὔσας εἰ μή τις δικαίως κρίνας τῆς πρὸς ἀλλήλας φιλονεικίας ἀπαλλάξει, ἀθάνατον ἔχειν τὴν δύσνοιαν πάντως ἀναγκαῖον, καὶ τὸ μῖσος δὲ ἰσχυρὸν τῷ χρόνῳ 63 κρατυνόμενον. εἴρηται, φασὶν οἱ ῥήτορες, ὅ γ' ἐμὸς λόγος, κρίνοις δ' ἂν αὐτὸς τὰ δέοντα.

λς'. Ἰουλιανὸς αὐτοκράτωρ Πορφυρίῳ χαίρειν. C

Πολλή τις ἦν πάνυ καὶ μεγάλη βιβλιοθήκη Γεωργίου παντοδαπῶν μὲν φιλοσόφων, πολλῶν δὲ ὑπομνηματογράφων, οὐκ ἐλάχιστα δ' ἐν αὐτοῖς καὶ τὰ

2 αὐτῇ V mart.] αὐτῷ pet. spanh. | εἰς] . . ς V 5 ξυμφέρει Pc] συμφέρει. In V ξυμφέρει τὸ κρεῖττον exesa sunt 7 χρόνον ἀσφάλειαν] χρόν . . . . V 8 ἐπ' Hrch.] μετ' v, . . . V | ὀλίγων mart. 8 et 9 ἡσυχίας H] ἡσυχίαν v, ἡσυ . . . . . . λαῦσαι V 9 καὶ τὸ V] καὶ | πρὸς Rsk.] πρὸ 10 παισὶ Dübnerus] . . σι V^d omissum vulgo 11 κινδυνεύει Hrch.] κινδυνεύειν 12 καὶ V] καλὸν 15 ἀπαλλάξει V] ἀπαλλάξῃ 16 δὲ] . . V. „Δὲ in V non videtur fuisse." Hrch. 18 δ' ἂν] . . . V. „Ἂν om. V." Dübn. Omittit etiam mart. 19 Ἐπιστολὴ Ἰουλιανοῦ τοῦ παραβάτου πρὸς Πορφύριον Καθολικὸν Suidas s. ἐπιστολή 20 βουβλιοθήκη Pbi, infra vero βυβλιοθήκη et βύβλια

D *τῶν Γαλιλαίων πολλὰ καὶ παντοδαπὰ βιβλία. πᾶσαν οὖν ἀθρόως ταύτην τὴν βιβλιοθήκην αναζητήσας φρόντισον εἰς Ἀντιόχειαν ἀποστεῖλαι, γινώσκων ὅτι μεγίστῃ δὴ καὶ αὐτὸς περιβληθήσῃ ζημίᾳ, εἰ μὴ μετὰ πάσης ἐπιμελείας ἀνιχνεύσειας, καὶ τοὺς ὁπωσοῦν ὑπονοίας ἔχοντας ὑφῃρῆσθαι τῶν βιβλίων πᾶσι μὲν ἐλέγχοις, παντοδαποῖς δὲ ὅρκοις, πλείονι δὲ τῶν οἰκετῶν βασάνῳ, πείθειν εἰ μὴ δύναιο, καταναγκάσειας εἰς μέσον πάντα προκομίσαι. ἔρρωσο.*

412 *λζ. Ἀμερίῳ.*

64 *Οὐκ ἀδακρυτί σου τὴν ἐπιστολὴν ἀνέγνων, ἣν ἐπὶ τῷ τῆς συνοικούσης θανάτῳ πεποίησαι, τοῦ πάθους τὴν ὑπερβολὴν ἀγγείλας. πρὸς γὰρ τῷ καὶ καθ' ἑαυτὸ λύπης τὸ ξυμβὰν ἄξιον εἶναι, γυναῖκα νέαν καὶ σώφρονα καὶ θυμήρη τῷ γήμαντι, πρὸς δὲ καὶ παίδων* B *ἱερῶν μητέρα πρὸ ὥρας ἀναρπασθῆναι καθάπερ δᾷδα λαμπρῶς ἡμμένην εἶτα ἐν ὀλίγῳ καταβαλοῦσαν τὴν φλόγα, ἔτι καὶ τὸ (τὰ) τοῦ πάθους εἰς σὲ τείνειν οὐχ ἧττόν μοι δοκεῖ λυπηρὸν εἶναι. ἥκιστα γὰρ δὴ πάντων ἄξιος ἦν ὁ καλὸς ἡμῖν Ἀμέριος ἀλγεινοῦ τινὸς εἰς πεῖραν ἐλθεῖν, ἀνὴρ καὶ λόγῳ χρηστὸς καὶ ἡμῖν εἰς τὰ μάλιστα τῶν φίλων ὁ ποθεινότατος. οὐ μὴν* C *ἀλλ' εἰ μὲν ἕτερος ἦν, ᾧ γράφειν περὶ τούτων ἐχρῆν, πάντως ἂν ἔδει μοι πλειόνων εἰς τοῦτο λόγων, τό τε*

1 *πολλὰ καὶ παντοδαπὰ* expunxit Hrch., Horkelius *πολλὰ καὶ παντοδαπὰ βιβλία* post *ὑπομνηματογράφων* transposuit 3 *Ἀντιοχείαν* v, correxit Hrch. 4 *δὴ καὶ*] *μὲν* Suid. et Vatic. 1353 6 *ὑπονοίας* Suid. Pb Vat. 1353] *ὑπόνοιαν* (*ὑπονοίαν* Pi) | *ἀφῃρῆσθαι* Suid. Pbi 9 *ἔρρωσο* add. Heyler ex Pbi 10 *Ἱμερίῳ* (sic perpetuo) *ἐπάρχῳ Αἰγύπτου ἐπὶ τῇ γυναικὶ* Bar. 17 *λαμπρῶς* accessit e Bar. 18 *τὰ* add. H | *τείνειν* H] *τεῖνον* 20 *ἡμῖν* H] *ἡμῶν* v, delevit Hrch. 23 *περὶ* Bar.] *ἐπὶ*

συμβὰν ὡς ἀνθρώπινον καὶ τὸ φέρειν ὡς ἀναγκαῖον καὶ τὸ μηδὲν ἐκ τοῦ μᾶλλον ἀλγεῖν ἔχειν πλέον [εὑρεῖν], καὶ πάντα ὅσα ἐδόκει πρὸς τὴν τοῦ πάθους παραμυθίαν ἁρμόττειν ὡς ἀγνοοῦντα διδάσκοντι. ἐπεὶ 65 δὲ αἰσχρὸν ἡγοῦμαι πρὸς ἄνδρα καὶ τοὺς ἄλλους νουθετεῖν εἰδότα ποιεῖσθαι λόγους, οἷς χρὴ τοὺς μὴ εἰδότας σωφρονεῖν παιδεύειν, φέρε σοι τὰ ἄλλα παρεὶς D ἀνδρὸς (εἴτ᾽) εἴπω σοφοῦ μῦθον εἴτε δὴ λόγον ἀληθῆ, σοὶ μὲν ἴσως οὐ ξένον, τοῖς πλείοσι δέ, ὡς εἰκός, ἄγνωστον, ᾧ δὴ καὶ μόνῳ χρησάμενος ὥσπερ φαρμάκῳ νηπενθεῖ λύσιν ἂν εὕροις τοῦ πάθους οὐκ ἐλάττω τῆς κύλικος, ἣν ἡ Λάκαινα τῷ Τηλεμάχῳ πρὸς τὸ ἴσον τῆς χρείας ὀρέξαι πιστεύεται. φασὶ γὰρ Δημό- 413 κριτον τὸν Ἀβδηρίτην, ἐπειδὴ Δαρείῳ γυναικὸς καλῆς ἀλγοῦντι θάνατον οὐκ εἶχεν ὅ,τι ἂν εἰπὼν εἰς παραμυθίαν ἀρκέσειεν, ὑποσχέσθαι οἱ τὴν ἀπελθοῦσαν εἰς φῶς ἀνάξειν, ἣν ἐθελήσῃ τῶν εἰς τὴν χρείαν ἡκόντων ὑποστῆναι τὴν χορηγίαν. κελεύσαντος δ᾽ ἐκείνου μηδενὸς φείσασθαι, ὅ,τι δ᾽ ἂν ἐξῇ λαβόντα τὴν ὑπόσχεσιν ἐμπεδῶσαι, μικρὸν ἐπισχόντα χρόνον εἰπεῖν, B ὅτι τὰ μὲν ἄλλα αὐτῷ πρὸς τὴν τοῦ ἔργου πρᾶξιν συμποριfeatσθείη, μόνου δὲ ἑνὸς προσδέοιτο, ὃ δὴ αὐτὸν μὲν οὐκ ἔχειν ὅπως ἂν λάβοι, Δαρεῖον δὲ ὡς βασιλέα ὅλης τῆς Ἀσίας οὐ χαλεπῶς ἂν ἴσως εὑρεῖν. ἐρομένου

3 εὑρεῖν expunxit Hrch. 5 αἰσχρὸν H] αἴσχιον | καὶ huc transposuit Horkelius vulgo infra ante παιδεύειν collocatum 6 νουθετεῖν εἰδότα Bar. Pk] νουθετοῦντα 7 σωφρονεῖν καὶ παιδεύειν v, σωφρονίζειν καὶ παιδεύειν Hrch. „Aut καὶ est delendum, aut leg. σωφρονεῖν, σωφρονίζειν καὶ παιδεύειν.“ Rsk. 8 εἴτε post σοφοῦ add. Horkelius, ego εἴτ᾽ post ἀνδρὸς (poteram etiam ante ἀνδρὸς), ne hiatus inferatur 13 ὀρέξαι Bar.] ὀρέξασθαι | γὰρ Pk ald. mart.] καὶ 16 et 17 εἰς τὸ φῶς Hrch. ut Epist. 59. p. 115,1 Heyl. Articulus vero abest 140 B et 220 C 18 et 19 μηδενὸς Bar.] μη 24 τῆς ὅλης Ἀσίας Pk

66 δ' ἐκείνου, τί ἂν εἴη τοσοῦτον ὃ μόνῳ βασιλεῖ γνωσθῆναι συγχωρεῖται, ὑπολαβόντα φασὶ τὸν Δημόκριτον (εἰπεῖν), εἰ τριῶν ἀπενθήτων ὀνόματα τῷ τάφῳ τῆς
C γυναικὸς ἐπιγράψειεν, εὐθὺς αὐτὴν ἀναβιώσεσθαι τῷ τῆς τελετῆς νόμῳ δυσωπουμένην. ἀπορήσαντος δὲ τοῦ Δαρείου καὶ μηδένα ἄρα δυνηθέντος εὑρεῖν ὅτῳ μὴ καὶ παθεῖν λυπηρόν τι συνηνέχθη, γελάσαντα συνήθως τὸν Δημόκριτον εἰπεῖν „Τί οὖν, ὦ πάντων ἀτοπώτατε, θρηνεῖς ἀνέδην ὡς μόνος ἀλγεινῷ τοσούτῳ συμπλακείς, ὁ μηδὲ ἕνα τῶν πώποτε γεγονότων
D ἄμοιρον οἰκείου πάθους ἔχων εὑρεῖν.“ ἀλλὰ ταῦτα μὲν ἀκούειν ἔδει Δαρεῖον, ἄνδρα βάρβαρον καὶ ἀπαίδευτον, ἔκδοτον ἡδονῇ καὶ πάθει· σὲ δέ, ἄνδρα Ἕλληνα καὶ παιδείαν ἀληθῆ πρεσβεύοντα, καὶ παρὰ σαυτοῦ τὸ ἄκος ἐχρῆν ἔχειν, ἐπεὶ καὶ ἄλλως αἰσχύνη τῷ λογισμῷ γένοιτ' ἄν, εἰ μὴ ταὐτὸν σθένοι τῷ χρόνῳ.

414 λη'. Μαξίμῳ φιλοσόφῳ.

67 Πάντα ἀθρόα ἔπεισί μοι καὶ ἀποκλείει τὴν φωνὴν ἄλλο ἄλλῳ προελθεῖν οὐ συγχωροῦν τῶν ἐμῶν διανοημάτων, εἴτε ψυχρὸν τῶν παθῶν εἴτε ὅπως φίλον κατονομάζειν τὰ τοιαῦτα. ἀλλ' ἀποδῶμεν αὐτοῖς ἣν

1 Malim τὸ τοσοῦτον 3 εἰπεῖν add. H 5 τελετῆς Bleterius] τελευτῆς 6 ἄρα Hrch.] ἄνδρα 8 τί οὖν Bar.] ἔτι 9 ἀνέδην Bar. spanh.] ἀναίδην 12 ἔδει—13 ἔκδοτον Hrch.] ἐδεῖτο Δαρεῖος, ἀνὴρ βάρβαρος καὶ ἀπαίδευτος, ἔκδοτος 15 ἄκος Hrch.] εἰκὸς | ἐχρῆν ἔχειν] ἄρχον ἔχειν V, ἔχειν ἄρχειν v, ἔχειν ἐχρῆν Sintenis, εἰκὸς ἔχειν τὸ ἄρχειν Wyttenb. ad Plut. Mor. p. 112 C 16 τῷ λογισμῷ Hrch.] τοῦ λογισμοῦ | σθένοι Cob.] γένοιτο V, δύναιτο v. Verbo σθένειν utitur Iulianus 142 D 16 et 17 τῷ χρόνῳ] χρόνῳ cum jota subscripto, quod raro fit, V 20 ξυγχωροῦν Pk 21 „Post παθῶν videtur καταιτιᾶσθαι excidisse“. Rsk. Vulgatum certe corruptum est.

ὁ χρόνος ἀπέδωκε τάξιν, εὐχαριστήσαντες τοῖς πάντα B ἀγαθοῖς θεοῖς, οἵ τέως μὲν γράφειν ἐμοὶ συνεχώρησαν, ἴσως δὲ ἡμῖν καὶ ἀλλήλους ἰδεῖν συγχωρήσουσιν. ὡς πρῶτον αὐτοκράτωρ ἄκων ἐγενόμην, ὡς ἴσασιν οἱ θεοί· καὶ τοῦτο αὐτοῖς καταφανὲς ὃν ἐνεδέχετο τρόπον ἐποίησα· στρατεύσας ἐπὶ τοὺς βαρβάρους, ἐκείνης μοι γενομένης τριμήνου τῆς στρατείας, ἐπανιὼν εἰς τοὺς Γαλατικοὺς αἰγιαλοὺς ἐπεσκόπουν καὶ τῶν ἐκεῖ- C θεν ἡκόντων ἀνεπυνθανόμην, μή τις φιλόσοφος, μή τις σχολαστικὸς ἢ τριβώνιον ἢ χλανίδιον φορῶν κατῆρεν. ἐπεὶ δὲ περὶ τὸν Βικεντίωνα· πολίχνιον δὲ νῦν ἐστιν ἀνειλημμένη, πάλαι δὲ μεγάλη τε ἦν καὶ πολυτελέσιν ἱεροῖς ἐκεκόσμητο, τείχει καρτερῷ καὶ 68 προσέτι τῇ φύσει τοῦ χωρίου· περιθεῖ γὰρ αὐτὸ ὁ Δοῦβις ποταμός· ἡ δὲ ὥσπερ ἐν θαλάττῃ πετρώδης ἄκρα ἀνέστηκεν, ἄβατος ὀλίγου δέω φάναι καὶ αὐτοῖς ὄρνισι, πλὴν ὅσα ὁ ποταμὸς αὐτὴν περιρρέων ὥσπερ D τινὰς αἰγιαλοὺς ἔχει προκειμένους· ταύτης πλησίον τῆς πόλεως ἀπήντησε κυνικός τις ἀνήρ, ἔχων τρίβωνα καὶ βακτηρίαν. τοῦτον πόρρωθεν θεασάμενος οὐδὲν ἄλλο ὑπέλαβον ἢ σέ, πλησίον δὲ ἤδη προσιὼν παρὰ σοῦ πάντως ἥκειν αὐτὸν ἐνόμιζον. οὗτος δ' ἀνὴρ φίλος μέν, ἧττον δὲ τῆς προσδοκωμένης ἐλπίδος. ἓν μὲν δὴ τοιοῦτον ὄναρ ἐγένετό μοι. μετὰ τοῦτο δὲ ᾤμην

2 θεοῖς om. Pk 7 στρατείας H] στρατιᾶς 8 αἰγιαλοὺς accessit e Pk, sed vix sanum est 11 Βεσοντίωνα Falkenburgius. „Post Βικεντίωνα nonnulla verba excidisse arbitror.“ Hrch. 12 Fort. ἀνειλημμένον scribendum et post ἦν addendum πόλις 13 καρτερὰ Rsk. 14 αὐτὴν Hrch. 15 Δοῦβις Falkenburgius et Heyler] Δάνουβις v, δάβις Pk | ἡ δὲ Hrch.] ἤδε 20 οὐδὲν ἄλλο] Sic etiam Epist. 40. p. 417 D 21 προσιὼν Sintenis et Rsk., qui addit: „vel potius προσιόντα“; προϊὼν v | παρά σου v, correxit Heyler 22 ἀνὴρ H] ἀνὴρ

415σε πολυπραγμονήσαντα τὰ κατ' ἐμὲ τῆς Ἑλλάδος ἐκτὸς
οὐδαμῶς εὑρεθῆναι. ἴστω Ζεύς, ἴστω μέγας Ἥλιος,
ἴστω Ἀθηνᾶς κράτος καὶ πάντες θεοὶ καὶ πᾶσαι, πῶς
κατιὼν ἐπὶ τοὺς Ἰλλυριοὺς ἀπὸ τῶν Κελτῶν ἔτρεμον
ὑπὲρ σοῦ. καὶ ἐπυνθανόμην τῶν θεῶν, αὐτὸς μὲν
οὐ τολμῶν· οὐ γὰρ ὑπέμενον οὔτε ἰδεῖν τοιοῦτον
οὔτε ἀκοῦσαι οὐδέν, οἷον ἄν τις ὑπέλαβε δύνασθαι
B τηνικαῦτα περὶ σὲ γίγνεσθαι, ἐπέτρεπον δὲ ἄλλοις. οἱ
θεοὶ δὲ ταραχὰς μέν τινας ἔσεσθαι περὶ σὲ περι-
φανῶς ἐδήλουν, οὐδὲν μέντοι δεινὸν οὐδὲ εἰς ἔργον
69 τῶν ἀθέσμων βουλευμάτων. ἀλλ' ὁρᾷς ὅτι μεγάλα καὶ
πολλὰ παρέδραμον. μάλιστά σε πυθέσθαι ἄξιον, πῶς
μὲν ἀθρόως τῆς ἐπιφανείας ᾐσθόμεθα τῶν θεῶν, τίνα
δὲ τρόπον τὸ τοσοῦτον τῶν ἐπιβούλων πλῆθος δια-
πεφεύγαμεν, κτείναντες οὐδένα, χρήματα οὐδενὸς
C ἀφελόμενοι, φυλαξάμενοι δὲ μόνον οὓς ἐλαμβάνομεν
ἐπ' αὐτοφώρῳ. ταῦτα μὲν οὖν ἴσως οὐ γράφειν, ἀλλὰ
φράζειν χρή, οἶμαι δέ σε καὶ μάλα ἡδέως πεύσεσθαι.
θρησκεύομεν τοὺς θεοὺς ἀναφανδόν, καὶ τὸ πλῆθος
τοῦ συγκατελθόντος μοι στρατοπέδου θεοσεβές ἐστιν.
ἡμεῖς φανερῶς βουθυτοῦμεν. ἀπεδώκαμεν τοῖς θεοῖς
χαριστήρια ἑκατόμβας πολλάς. ἐμὲ κελεύουσιν οἱ θεοὶ
D τὰ πάντα ἁγνεύειν εἰς δύναμιν, καὶ πείθομαί γε καὶ
προθύμως αὐτοῖς· μεγάλους (γὰρ) καρποὺς τῶν πόνων

2 οὐδαμῶς ἂν εὑρεθῆναι? 5 ὑπέρ σου v, correxit Heyler 7 οὐδὲν post τοιοῦτον transponit Sintenis 8 περί σε v, correxit Hrch. | γίγνεσθαι Pk] γίνεσθαι 9 περί σε v, correxit Hrch. 10 οὐδὲν H] οὐθὲν | Fort. οὐκ εἰς ἔργον ἰόντων τῶν ἀθέσμων βουλευμάτων 11 et 12 μεγάλα καὶ πολλὰ] Vid. ad 106 A 12 μάλιστα] ἃ μάλιστα Rsk.; ὧν μάλιστα potius scribendum esse arbitror 18 χρῆν Rsk. 23 et 24 καὶ προθύμως] προθύμως Pk 24 γὰρ add. Horkelius

*ἀποδώσειν φασίν, ἢν μὴ ῥαθυμῶμεν. ἦλθε πρὸς
ἡμᾶς Εὐάγριος.*

λθ'. Τῷ αὐτῷ.

*Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν
Ὅμηρος ὁ σοφὸς ἐνομοθέτησεν· ἡμῖν δὲ ὑπάρχει πρὸς* 416
ἀλλήλους ξενικῆς φιλίας ἀμείνων ἥ τε διὰ τῆς ἐνδεχο- 70
*μένης παιδείας καὶ τῆς περὶ τοὺς θεοὺς εὐσεβείας,
ὥστ' οὐκ ἄν μέ τις ἐγράψατο δικαίως (ὡς) τὸν Ὁμή-
ρου παραβαίνοντα νόμον, εἰ καὶ ἐπὶ πλεῖόν σε μένειν
παρ' ἡμῖν ἠξίωσα. ἀλλὰ σοι τὸ σωμάτιον ἰδὼν ἐπι-
μελείας πλείονος δεόμενον ἐπέτρεψα βαδίζειν εἰς τὴν* B
*πατρίδα, καὶ ῥᾳστώνης ἐπεμελήθην τῆς πορείας. ὀχή-
ματι γοῦν ἔξεστί σοι δημοσίῳ χρήσασθαι, πορεύοιεν
δέ σε σὺν Ἀσκληπιῷ πάντες οἱ θεοί, καὶ πάλιν ἡμῖν
συντυχεῖν δοῖεν.*

μ'. Ἰαμβλίχῳ.

Αἰσθάνομαί σου τῆς ἐν τῇ μέμψει γλυκύτητος, C
*καὶ ὡς ἑκάτερον ἐξ ἴσου πράττεις, καὶ οἷς γράφεις
τιμῶν καὶ οἷς ἐγκαλεῖς παιδεύων. ἐγὼ δὲ εἰ μέν τι
συνῄδειν ἐμαυτῷ τοῦ πρὸς σὲ γιγνομένου καὶ κατὰ
μικρὸν ἐλλιπόντι, πάντως ἢ προφάσεις εὐλόγους εἰπὼν* 71
*ἐπειρώμην ἂν τὴν μέμψιν ἐκκλίνειν, ἢ συγγνώμην
ἁμαρτὼν αἰτεῖν οὐκ ἠρνούμην, ἐπεὶ μηδὲ ἄλλως ἀσύγ-
γνωστον οἶδά σε πρὸς τοὺς σούς, εἴ τι τῶν πρὸς σὲ*

4 Odyss. o, 74 8 *ὥστ'* Ph] *ὥστε* | *ὡς* add. H 10 *ἠξίωσα* Ph] *ἀξιώσαιμι* | *σοι*] *σου* Ph 14 *οἱ* om. Lex. Vind. p. 145,14 20 *πρός σε* v | *τῶν—γιγνομένων* suspicatur Hrch. 21 *ἐλλιπόντι* Hrch.] *ἐλλείψαντι*. Cf. ad 418 B | *προφάσεις* Hrch.] *τὰς προφάσεις* | *εὐλόγους* Phk] *εὐλόγως* 22 *ἂν* Vat. 1353] *ὡς ἐνῆν* 23 *ἁμαρτὼν* om. Vat. 1353 24 *πρός σε* v

D φιλικῶν ἐξήμαρτον ἄκοντες. νῦν δέ· οὐ γὰρ ἦν οὔτε σὲ παροφθῆναι θέμις οὔτε ἡμᾶς ἀμελεῖν, ἵνα τύχοιμεν ὧν ἀεὶ ζητοῦντες ποθοῦμεν· φέρε σοι καθάπερ ἐν ὅρῳ γραφῆς ἀπολογήσωμαι, καὶ δείξω μηδὲν ἐμαυτὸν ὧν ἐχρῆν εἰς σὲ παριδεῖν, ἀλλὰ μηδὲ μελλῆσαι τολμήσαντα.

Ἦλθον ἐκ Παννονίας ἤδη τρίτον ἔτος τουτί, μόλις
417 ἀφ' ὧν οἶσθα κινδύνων καὶ πόνων σωθείς. ὑπερβὰς δὲ τὸν Καλχηδόνιον πορθμὸν καὶ ἐπιστὰς τῇ Νικομήδους πόλει σοὶ πρώτῳ καθάπερ πατρίῳ θεῷ τὰ πρωτόλεια τῶν ἐμαυτοῦ σώστρων ἀπέδωκα, σύμβολον τῆς ἀφίξεως τῆς ἐμῆς οἷον ἀντ' ἀναθήματος ἱεροῦ τὴν εἰς σὲ πρόσρησιν ἐκπέμπων. καὶ ἦν ὁ κομίζων τὰ γράμματα τῶν βασιλείων ὑπασπιστῶν εἷς, Ἰουλιανὸς
B ὄνομα, Βακχύλου παῖς, Ἀπαμεὺς τὸ γένος, ᾧ διὰ τοῦτο μάλιστα τὴν ἐπιστολὴν ἐνεχείριζον, ὅτι καὶ πρὸς ὑμᾶς ἥξειν καί σε ἀκριβῶς εἰδέναι καθυπισχνεῖτο. μετὰ ταῦτά μοι καθάπερ ἐξ Ἀπόλλωνος ἱερὸν ἐφοίτα παρὰ σοῦ γράμμα, τὴν ἄφιξιν τὴν ἡμετέραν ἀσμένως (σε) ἀκηκοέναι δηλοῦν· ἦν δὲ τοῦτο ἐμοὶ δεξιὸν οἰώνισμα καὶ χρηστῶν ἐλπίδων ἀρχή, Ἰάμβλιχος ὁ σοφὸς
72 καὶ τὰ Ἰαμβλίχου πρὸς ἡμᾶς γράμματα. τί με δεῖ
C λέγειν ὅπως ηὐφράνθην ἢ ἃ περὶ τὴν ἐπιστολὴν ἔπαθον σημαίνειν; εἰ γὰρ ἐδέξω τὰ παρ' ἡμῶν ἕνεκα τούτων γραφέντα· ἦν δὲ δι' ἡμεροδρόμου τῶν ἐκεῖθεν ἡκόντων ὡς σὲ πεμφθέντα· πάντως (ἂν) ὁπόσην ἐπ'

2 σὲ add. Ph. Vat. 1353 4 ἀπολογήσωμαι Vat. 1353] ἀπολογήσομαι 5 μηδ' ἀμελῆσαι Vat. 1353 ab Herchero receptum 7 Πανονίας Pk. Fort. Παιονίας scribendum; vid. ad 19 A 9 Καλχηδόνιον Pk mart.] Χαλκηδόνιον 13 πρόσρησιν Ph] πρόρρησιν 19 παρά σου v, corr. Heyler 20 δηλοῦν Ph] δοκοῦντος | δὲ Ph] τε 22 πρὸς ἡμᾶς adjecit Hrch. ex Ph 23 περὶ] πρὸς Hrch. 25 τούτων Ph] τούτου 26 ἂν add. H

αὐτοῖς ἡδονὴν ἔσχον ἀφ' ὧν ἐδήλουν ἐγίνωσκες. πάλιν ἐπανιόντος οἴκαδε τοῦ τροφέως τῶν ἐμαυτοῦ παιδίων ἑτέρων ἦρχον πρὸς σὲ γραμμάτων, ὁμοῦ καὶ D τὴν ἐπὶ τοῖς φθάνουσι χάριν ὁμολογῶν καὶ πρὸς τὸ ἑξῆς ἐν ἴσῳ παρὰ σοῦ τὴν ἀντίδοσιν αἰτῶν. μετὰ ταῦτα ἐπρέσβευσεν ὡς ἡμᾶς ὁ καλὸς Σώπατρος· ἐγὼ δὲ ὡς ἔγνων, εὐθὺς ἀναπηδήσας ἧξα καὶ περιπλακεὶς ἐδάκρυον ὑφ' ἡδονῆς, οὐδὲν ἄλλο ἢ σὲ καὶ τὰ παρὰ σοῦ πρὸς ἡμᾶς ὀνειροπολῶν γράμματα. ὡς δὲ ἔλαβον, ἐφίλουν καὶ τοῖς ὀφθαλμοῖς προσῆγον, καὶ ἀπρὶξ εἰχόμην, ὥσπερ δεδιὼς μὴ λάθῃ με ἀποπτὰν ἐν τῇ τῶν 418 γραμμάτων ἀναγνώσει τὸ τῆς σῆς εἰκόνος ἴνδαλμα. καὶ δὴ καὶ ἀντέγραφον εὐθύς, οὐ πρὸς σὲ μόνον, ἀλλὰ καὶ πρὸς τὸν ἱερὸν Σώπατρον, τὸν ἐκείνου παῖδα, καθάπερ θρυπτόμενος ὅτι τὸν κοινὸν ἑταῖρον ἐκ τῆς Ἀπαμείας οἷον ἐνέχυρον τῆς ὑμετέρας ἀπουσίας ἀντειληφότες εἴημεν. ἐξ ἐκείνου τρίτην ἤδη πρὸς σὲ γεγραφώς, αὐτὸς οὐδεμίαν ἄλλην ἢ τὴν ἐν ᾗ μέμ- 73 φεσθαι δοκεῖς ἐπιστολὴν ἐδεξάμην.

Εἰ μὲν δὴ διὰ τοῦτο ἐγκαλεῖς, ἵνα τῷ τῆς αἰτίας B σχήματι πλείονας ἡμῖν ἀφορμὰς τοῦ γράφειν προξενῇς, δέχομαι τὴν μέμψιν ἄσμενος πάνυ, καὶ ἐν οἷς λαμβάνω τὸ πᾶν τῆς χάριτος εἰς ἐμαυτὸν οἰκειοῦμαι· εἰ δὲ ὡς ἀληθῶς ἐλλιπόντα τι τοῦ πρὸς σὲ καθήκοντος αἰτιᾷ, τίς ἂν ἐμοῦ γένοιτ' ἂν ἀθλιώτερος διὰ γραμματοφόρων ἀδικίαν ἢ ῥαθυμίαν πάντων ἥκιστα

1 ἐγίνωσκες H] γινώσκεις 3 πρός σε v 4 et 5 τὰ ἑξῆς Hrch. 5 παρά σου v, corr. Heyler 8 ἤ σε v, corr. Hrch. 8 et 9 παρά σου v, corr. Heyler 13 πρός σε v, corr. Hrch. 17 τρίτην Horkelius] ταύτην | πρός σε v 22 πάνυ H] πάντως, expunxit Hrch. 24 ἐλλιπόντα Hrch.] ἐλλείψαντα | πρός σε v

C τούτου τυγχάνοντος; καίτοι ἐγὼ μέν, κἂν μὴ πλεονάκις
γράφω, δίκαιός εἰμι συγγνώμης παρὰ σοῦ τυγχάνειν,
οὐ τῆς ἀσχολίας ἣν ἐν χερσὶν ἔχω φαίην ἄν· μὴ γὰρ
οὕτω πράξαιμι κακῶς, ὡς μὴ καὶ ἀσχολίας ἁπάσης,
καθά φησι Πίνδαρος, τὸ κατὰ σὲ κρεῖττον ἡγεῖσθαι·
ἀλλ' ὅτι πρὸς ἄνδρα τηλικοῦτον, οὗ καὶ μνησθῆναι
φόβος, ὁ καὶ γράφειν κατοκνῶν τοῦ πλέον ἢ προσήκει
D θαρροῦντός ἐστι σωφρονέστερος. ὥσπερ γὰρ οἱ ταῖς
Ἡλίου μαρμαρυγαῖς ἀντιβλέπειν συνεχῶς τολμῶντες,
ἂν μὴ θεῖοί τινες ὦσι καὶ τῶν ἀκτίνων αὐτοῦ καθά-
περ οἱ τῶν ἀετῶν γνήσιοι καταθαρρῶσιν, οὔτε ἃ μὴ
74 θέμις ὀφθῆναι θεωρεῖν ἔχουσι, καὶ ὅσῳπερ μᾶλλον φιλο-
νεικοῦσι, τοσούτῳ πλέον ὅτι μὴ δύνανται τυχεῖν
ἐμφαίνουσιν, οὕτω καὶ ὁ πρὸς σὲ γράφειν τολμῶν,
ὅσῳπερ ἂν ἐθέλῃ θαρρεῖν, τοσούτῳ μᾶλλον ὅτι χρὴ
δεδιέναι καθαρῶς δείκνυσι. σοί γε μήν, ὦ γενναῖε,
419 παντὸς ὡς εἰπεῖν τοῦ Ἑλληνικοῦ σωτῆρι καθεστῶτι
πρέπον ἦν ἀφθόνως τε ἡμῖν γράφειν καὶ τὸν παρ'
ἡμῖν ὄκνον ἐφ' ὅσον ἐξῆν καταστέλλειν. ὥσπερ γὰρ
ὁ Ἥλιος, ἵνα δὴ πάλιν ἐκ τοῦ θεοῦ πρὸς σὲ τὴν
εἰκόνα λάβῃ ὁ λόγος· ὁ δ' οὖν Ἥλιος ὥσπερ, ὅταν
ἀκτῖσι καθαραῖς ὅλος λάμπῃ, οὐδὲν ἀποκρίνει τοῦ
πρὸς τὴν αἴγλην ἐλθόντος, ἀλλὰ τὸ οἰκεῖον ἐργάζεται,
B οὕτω δὲ καὶ σὲ χρῆν ἀφθόνως τῶν παρὰ σοῦ καλῶν

1 τυγχάνειν Rsk. Fort. πάντων ἥκιστα ἀξίου τούτου τυγχάνειν ὄντος. cf. 412 B 2 παρά σου v, corr. Heyler 5 Πίνδαρος] Isthm. 1,1 | κατά σε v, corr. Hrch. 11 καταθαρρῶσιν Hrch.] καθορῶσιν. Cf. 420 B 13 δύνανται Hrch.] δύνωνται 14 πρός σε v, corr. Hrch. 20 πρός σε v 21 ὁ λόγος λάβῃ Sintenis 22 καθαραῖς Lennep. ad Phalar. p. 127 a] καθαρθεὶς. Vid. 387 A et 393 D | οὐδὲν ἀποκρίνει H] οὐδὲ ἀποκρίνῃ v, οὐδὲ ἀποκλίνῃ Lennep 23 ἀλλὰ H] ὃ μὴ 24 δὲ H] δὴ | καί σε v, corr. Hrch. | παρά σου v, corr. Heyler

οἷον φωτὸς τὸ Ἑλληνικὸν ἐπαρδεύοντα μὴ ἀποκνεῖν, εἴ τις ἢ αἰδοῦς ἢ δέους ἕνεκα τοῦ πρὸς σὲ τὴν ἀντίδοσιν δυσωπεῖται. οὐδὲ γὰρ ὁ Ἀσκληπιὸς ἐπ' ἀμοιβῆς ἐλπίδι τοὺς ἀνθρώπους ἰᾶται, ἀλλὰ τὸ οἰκεῖον αὐτῷ φιλανθρώπευμα πανταχοῦ πληροῖ. ὃ δὴ καὶ σὲ χρῆν ὡσπερεὶ ψυχῶν ἐλλογίμων ἰατρὸν ὄντα ποιεῖν καὶ τὸ τῆς ἀρετῆς παράγγελμα διὰ πάντων σώζειν, οἷον ἀγαθὸν τοξότην, ὅς, κἂν μὴ τὸν ἀντίπαλον ἔχῃ, C 75 πάντως ἐς τὸ καίριον ἀεὶ τὴν χεῖρα γυμνάζει. ἐπεὶ μηδὲ ὁ σκοπὸς ἑκατέροις ὁ αὐτός, ἡμῖν δὲ τῶν παρὰ σοῦ δεξιῶν τυχεῖν καὶ σοὶ τοῖς παρ' ἡμῶν διδομένοις ἐντυχεῖν. ἀλλ' ἡμεῖς, κἂν μυριάκις γράφωμεν, ἴσα τοῖς Ὁμηρικοῖς παισὶ παίζομεν, οἳ παρὰ τὰς θῖνας ὅ,τι ἂν ἐκ πηλοῦ πλάσωσιν ἀφιᾶσιν [αἰγιαλῷ] κλύζεσθαι· παρὰ σοῦ δὲ καὶ μικρὸν γράμμα παντός ἐστι D γονίμου ῥεύματος κρεῖττον, καὶ δεξαίμην ἂν ἔγωγε Ἰαμβλίχου μᾶλλον ἐπιστολὴν μίαν ἢ τὸν ἐκ Λυδίας χρυσὸν κεκτῆσθαι. εἰ δὲ μέλει τί σοι τῶν ἐραστῶν τῶν σῶν· μέλει δέ, εἰ μὴ σφάλλομαι· μὴ περιίδῃς ὥσπερ νεοττοὺς ἡμᾶς ἀεὶ τῶν παρὰ σοῦ τροφῶν ἐν χρείᾳ τυγχάνοντας, ἀλλὰ καὶ γράφε συνεχῶς καὶ τοῖς παρὰ σαυτοῦ καλοῖς ἑστιᾶν μὴ κατόκνει. κἂν ἐλλίπωμεν, αὐτὸς ἑκατέρου τὴν χρείαν οἰκείου, καὶ ὧν 420 δίδως καὶ ὧν ἀνθ' ἡμῶν τὸ ἴσον πρεσβεύεις. πρέπει δὲ Ἑρμοῦ λογίου μαθητήν, εἰ δὲ βούλει (καὶ) τρό-

2 πρός σε v 4 ἐλπίσι Pk 5 αὐτῷ Hrch.] αὐτοῦ | φιλανθρώπευμα Horkelius] φιλανθρώπευμα καθάπερ μάθημα | καὶ σε v, corr. Hrch. 10 ἡμῖν δὲ H] ἡμῖν τε 11 σοὶ Hrch.] σε 13 Ὁμηρικοῖς] Iliad. ο, 362 14 αἰγιαλῷ delevit Hrch. 15 παρά σου v, corr. Heyler 16 δεξαίμην] εὐξαίμην Hrch. Sed. vid. Xen. H. G. V, 1,14 et Symp. 4,12 20 παρά σου v, corr. Heyler 24 ἴσον v 25 καὶ add. Hrch.

φιμον ὄντα σε, (τὴν) ἐκείνου ῥάβδον οὐκ ἐν τῷ καθεύδειν ποιεῖν, ἀλλ' ἐν τῷ κινεῖν καὶ διεγείρειν μᾶλλον ἐθέλειν μιμεῖσθαι.

B μα'. Τῷ αὐτῷ.

76 Ἐχρῆν μὲν ἡμᾶς τῷ γράμματι πειθομένους τῷ
Δελφικῷ γιγνώσκειν ἑαυτοὺς καὶ μὴ τολμᾶν ἀνδρὸς
ἀκοῆς τοσούτου καταθαρρεῖν, ᾧ καὶ ὀφθέντι μόνον
ἀντιβλέψαι δυσχερές, ἤ που τὴν πάνσοφον ἁρμονίαν
κινοῦντι πρὸς τὸ ἴσον ἐλθεῖν, ἐπεὶ κἂν Πανὶ μέλος
C λιγυρὸν ἠχοῦντι πᾶς ὅστις ἐκσταίη, κἂν Ἀρισταῖος ᾖ,
καὶ Ἀπόλλωνι πρὸς κιθάραν ψάλλοντι πᾶς ὅστις ἠρεμοίη, κἂν τὴν Ὀρφέως μουσικὴν εἰδῇ. τὸ γὰρ ἧττον
τῷ κρείττονι, καθ' ὅσον ἧττόν ἐστιν, εἴκοι ἂν δικαίως, εἰ μέλλοι τό τε οἰκεῖον καὶ τὸ μή τί ἐστι γινώσκειν. ὅστις δ' ἐνθέῳ μουσικῇ θνητὸν ἀνθαρμόσαι
μέλος ἤλπισεν, οὐκ ἔμαθέ που τὸ Μαρσύου τοῦ Φρυγὸς πάθος οὐδὲ τὸν ὁμώνυμον ἐκείνῳ ποταμόν, ὃς
D μανέντος αὐλητοῦ τιμωρίαν (μαρτυ)ρεῖ, ἀλλ' οὐδὲ τὴν
Θαμύριδος τοῦ Θρᾳκὸς τελευτὴν ἤκουσεν, ὃς ταῖς
Μούσαις οὐκ εὐτυχῶς ἀντεφθέγξατο. τί γὰρ δεῖ τὰς
Σειρῆνας λέγειν, ὧν ἔτι τὸ πτερὸν ἐπὶ τοῦ μετώπου
φέρουσιν αἱ νικήσασαι; ἀλλ' ἐκείνων μὲν ἕκαστος
77 ἀμούσου τόλμης ἀρκοῦσαν ἔτι καὶ νῦν ἐκτίνει τῇ μνήμῃ
δίκην, ἡμᾶς δὲ ἔδει μέν, ὡς ἔφην, εἴσω τῶν οἰκείων

1 μαθητὴν post ὄντα σε prius additum spanh. Petavio auctore expunxit | τὴν add. Hrch. 6 γιγνώσκειν Phk] γινώσκειν 7 ἀκοῆς Bar.] ἀκοαῖς | καταθαρρεῖν Ph] καταθαρσεῖν 8 ἤ που Phk] ἡ που 9 ἴσον v | κἂν Lobeckius ad Aiac. v. 52] καὶ 11 et 12 ἠρεμοίη Bar.] ἠρεμεῖ 12 εἰδῇ Hrch.] εἰδείη 14 τὸ μὴ (hoc ex „veteri codice") Pet.] τὸ οὐ χεῖρον v, μὴ habet Ph 15 ἐνθέῳ Bar.] ἐνθέσμῳ | θνητὸν ἀνθαρμόσαι Bar.] θνητοῦ ἐναρμόσαι v, θνητὸν ἁρμόσαι Ph, θνητοῦ ἀν(ε)αρμόσαι Pk 18 μαρτυρεῖ H] ῥεῖ v et Tzetz. Chiliad. I, 353

ὅρων ἑστάναι καὶ τῆς ὑπὸ σοῦ μουσικῆς ἐμφορου-
μένους ἠρεμεῖν, ὥσπερ οἱ τὴν Ἀπόλλωνος μαντείαν 421
ἐξ ἀδύτων ἱερῶν προϊοῦσαν ἡσυχῇ δέχονται· ἐπεὶ δ'
αὐτὸς ἡμῖν τοῦ μέλους τὸ ἐνδόσιμον μνηστεύεις καὶ
οἷον Ἑρμοῦ ῥάβδῳ τῷ παρὰ σαυτοῦ λόγῳ κινεῖς καὶ
διεγείρεις καθεύδοντας, φέρε σοι, καθάπερ οἱ τῷ
Διονύσῳ τὸν θύρσον κρούσαντι πρὸς τὴν χορείαν
ἄνετοι φέρονται, οὕτω καὶ ἡμεῖς ὑπὸ τῷ σῷ πλήκτρῳ
τὸ εἰκὸς ἀντηχήσωμεν, ὥσπερ οἱ τῷ χοροστάτῃ πρὸς B
τὸ ἀνάκλημα τοῦ ῥυθμοῦ συνομαρτοῦντες. καὶ πρῶ-
τόν σοι τῶν λόγων, οὓς βασιλεῖ κελεύσαντι πρὸς τὴν
ἀοίδιμον τοῦ πορθμοῦ ζεῦξιν ἔναγχος ἐξειργασάμεθα,
ἐπειδὴ τοῦτό ἐστι δοκοῦν, ἀπαρξώμεθα, μικρὰ μὲν
ἀντὶ μεγάλων καὶ τῷ ὄντι χαλκᾶ χρυσῶν ἀντιδιδόντες,
οἷς δὲ ἔχομεν ξενίοις τὸν Ἑρμῆν τὸν ἡμέτερον ἑστιῶν-
τες. πάντως οὐδὲ τῆς Ἑκάλης ὁ Θησεὺς τοῦ δείπνου
τὸ λιτὸν ἀπηξίωσεν, ἀλλ' ᾔδει καὶ μικροῖς ἐς τὸ ἀναγ- C
καῖον ἀρκεῖσθαι· ὁ Πὰν δὲ ὁ νόμιος τοῦ παιδὸς τοῦ
βουκόλου τὴν σύριγγα προσαρμόσαι τοῖς χείλεσιν οὐκ
ἠτίμασε. προσοῦ δὴ καὶ αὐτὸς τὸν λόγον εὐμενεῖ
νεύματι, καὶ μὴ ἀποκνήσῃς ὀλίγῳ μέλει μεγάλην
ἀκοὴν ἐνδοῦναι. ἀλλ' ἐὰν μὲν ἔχῃ τι δεξιόν, αὐτός 78
τε ὁ λόγος εὐτυχεῖ καὶ ὁ ποιητὴς αὐτοῦ τῆς παρὰ
τῆς Ἀθηνᾶς ψήφου τὴν μαρτυρίαν προσλαβών. εἰ δ'
ἔτι χειρὸς ἐντελοῦς εἰς τὸ τοῦ ὅλου πλήρωμα προσ- D

1 ὑπό σου v, corr. Heyler 3 προϊοῦσαν H] προσιοῦσαν 5 τῷ παρὰ σαυτοῦ λόγῳ e Bar. add. spanh. 7 θύρσον Bar. Ph] θύασον 13 δοκοῦν] τὸ δοκοῦν Bar., σοι δοκοῦν H 14 μεγάλων Horkelius] μεγάλων τοῖς (τῶν Bar. Ph) παρά σου | χαλκᾶ χρυσῶν Bar.] χαλκὸν χρυσοῦ v, χρυσᾶ χαλκῶν Ph 15 Ἑρμὴν v, corr. Heyler 18 καὶ ὁ Πὰν δὲ Phk 20 ἠτίμασε Ph] ἠτίμασεν | προσοῦ Horkelius] πρόσου mart., πρό σου pct. spanh., πρόσχες Heyler ex Ph

δεῖται, μὴ ἀπαξιώσῃς αὐτὸς τὸ ἐνδέον προσθεῖναι. ἤδη που καὶ ἀνδρὶ τοξότῃ κληθεὶς ὁ θεὸς παρέστη καὶ συνεφήψατο τοῦ βέλους, καὶ κιθαρῳδῷ τὸν ὄρθιον ᾄδοντι πρὸς τὸ ἐλλεῖπον τῆς χορδῆς ὑπὸ τῷ τέττιγι τὸ ἴσον ὁ Πύθιος ἀντεφθέγξατο.

422 μβ'.

Παιδείαν ὀρθὴν εἶναι νομίζομεν οὐ τὴν ἐν τοῖς ῥήμασι καὶ τῇ γλώττῃ πολιτευομένην εὐρυθμίαν, ἀλλὰ διάθεσιν ὑγιᾶ νοῦν ἐχούσης διανοίας καὶ ἀληθεῖς δόξας ὑπέρ τε ἀγαθῶν καὶ κακῶν, ἐσθλῶν τε καὶ αἰσχρῶν. ὅστις οὖν ἕτερα μὲν φρονεῖ, διδάσκει δὲ
B ἕτερα τοὺς πλησιάζοντας, οὗτος ἀπολελεῖφθαι τοσούτῳ δοκεῖ τῆς παιδείας, ὅσῳ καὶ τοῦ χρηστὸς ἀνὴρ εἶναι. καὶ εἰ μὲν ἐπὶ σμικροῖς εἴη τὸ διάφορον τῆς γνώμης πρὸς τὴν γλῶτταν, κακὸν μὲν οἰστὸν δὲ ὅμως ὁπωσ-
79 οῦν γίνεται· εἰ δὲ ἐν τοῖς μεγίστοις ἄλλα μὲν φρονοίη τις, ἐπ' ἐναντίον δὲ ὧν φρονεῖ διδάσκοι, πῶς οὐ τοῦτο ἐκεῖνο καπήλων ἐστίν, οὔτι χρηστῶν, ἀλλὰ
C παμπονήρων ἀνθρώπων, οἳ μάλιστα παιδεύουσιν ὅσα μάλιστα φαῦλα νομίζουσιν, ἐξαπατῶντες καὶ δελεάζοντες τοῖς ἐπαίνοις εἰς οὓς μετατιθέναι τὰ σφέτερα

3 τὸ ὄρθιον Ph 5 ἶσον v 7—13 παιδείαν—ἀνὴρ εἶναι cit. Suidas v. παιδεία 8 καὶ Suid.] οὐδὲ | πολιτευομένην Suid.] πολυτελῆ 9 ὑγιᾶ Suid.] ὑγιῆ 10 ἀγαθῶν Suid. Pk] ἀγαθῶν τε | ἐσθλῶν Suid.] καλῶν 12 οὗτος Rsk.] αὐτὸς | τοσούτῳ δοκεῖ τῆς Suid.] δοκεῖ τοσούτῳ 14—16 καὶ εἰ μὲν —γίνεται cit. Suidas v. οἰστά 14 μικροῖς Suid. | τὸ om. Suid. 14 et 15 τῆς γνώμης πρὸς τὴν γλῶσσαν om. Suid. 15 κακόν, οἰστὸν δὲ Suid., κακὸς μὲν εἰς τόδε v 15 et 16 ὁπωσοῦν H] τῷ ποσῷ Pk mart., τῷ τόσῳ pet. spanh., πόσῳ Suid. 16 ἄλλα Hrch.] ἄλλο 17 ἐπ' ἐναντίον] ἐναντία Hrch. | διδάσκοι Hrch.] διδάσκει 19 παμπονήρων Hrch.] παμπονήρων βίος | ὅσα Pk] ἃ 21 μετατιθέναι] διατίθεσθαι ?

ἐθέλουσιν οἶμαι κακά. πάντας μὲν οὖν χρὴ τοὺς καὶ
ὁτιοῦν διδάσκειν ἐπαγγελλομένους εἶναι τὸν τρόπον
ἐπιεικεῖς καὶ μὴ μαχόμενα τοῖς δημοσίᾳ [μεταχαρακτη-
ρίζοντας] τὰ ἐν τῇ ψυχῇ φέρειν δοξάσματα, πολὺ δὲ
πλέον ἁπάντων οἶμαι δεῖν εἶναι τοιούτους ὅσοι ἐπὶ
λόγοις τοῖς νέοις συγγίγνονται, τῶν παλαιῶν ἐξηγηταὶ
γιγνόμενοι συγγραμμάτων, εἴτε ῥήτορες εἴτε γραμμα- D
τικοί, καὶ ἔτι πλέον οἱ σοφισταί. βούλονται γὰρ πρὸς
τοῖς ἄλλοις οὐ λέξεων μόνον, ἠθῶν δὲ εἶναι διδά-
σκαλοι, καὶ τὸ κατὰ σφᾶς εἶναί φασι τὴν πολιτικὴν
φιλοσοφίαν. εἰ μὲν οὖν ἀληθὲς ἢ μή, τοῦτο ἀφείσθω
νῦν. ἐπαινῶν δὲ αὐτοὺς οὕτως ἐπαγγελμάτων καλῶν
ὀρεγομένους ἐπαινέσαιμ' ἂν ἔτι πλέον, εἰ μὴ ψεύ-
δοιντο μηδ' ἐξελέγχοιεν αὑτοὺς ἕτερα μὲν φρονοῦντες,
διδάσκοντες δὲ τοὺς πλησιάζοντας ἕτερα. τί οὖν;
Ὁμήρῳ μέντοι καὶ Ἡσιόδῳ καὶ Δημοσθένει καὶ Ἡρο- 423
δότῳ καὶ Θουκυδίδῃ καὶ Ἰσοκράτει |καὶ Λυσίᾳ θεοὶ
πάσης ἡγοῦνται παιδείας. οὐχ οἱ μὲν Ἑρμοῦ σφᾶς 80
ἱερούς, οἱ δὲ Μουσῶν ἐνόμιζον; ἄτοπον μὲν οἶμαι
τοὺς ἐξηγουμένους τὰ τούτων ἀτιμάζειν τοὺς ὑπ'
αὐτῶν τιμηθέντας θεούς. οὐ μὴν ἐπειδὴ τοῦτο ἄτο-
πον οἶμαι, φημὶ δεῖν αὐτοὺς μεταθεμένους τοῖς νέοις
συνεῖναι· δίδωμι δὲ αἵρεσιν μὴ διδάσκειν ἃ μὴ νομί-
ζουσι σπουδαῖα, βουλομένους δὲ διδάσκειν ἔργῳ πρῶτον B
καὶ πείθειν τοὺς μαθητὰς ὡς οὔτε Ὅμηρος οὔτε

1 οἶμαι abesse mavult Hrch. | χρὴ Hrch.] χρῆν 3 et 4 μεταχαρακτηρίζοντας uncinis inclusit H 5 et 6 ἐπὶ λόγοις τοῖς νέοις Pet. spanh.] ἐπὶ νέοις τοῖς λόγοις 6 συγγίγνονται Pk] συγγίνονται 7 γιγνόμενοι Pk] γενόμενοι 10 τὸ] τὰ? 14 αὑτοὺς mart. 1] αὐτοὺς 16 μέντοι] μὲν Rsk. | Δημοσθένει Rsk. et Hrch.] Δημοσθένει μέντοι 19 μὲν] μέντοι Rsk. Malim οὖν 23 συνεῖναι· δίδωμι Rsk. et H] συνδίδωμι 25 καὶ fort. delendum

Ἡσίοδος οὔτε τούτων τις, οὓς ἐξηγοῦνται καὶ (ὧν)
κατεγνωκότες εἰσὶν ἀσέβειαν ἄνοιάν τε καὶ πλάνην
εἰς τοὺς θεούς, τοιοῦτός ἐστιν. ἐπεὶ δ' ἐξ ὧν ἐκεῖνοι
γεγράφασι παρατρέφονται μισθαρνοῦντες, εἶναι ὁμο-
λογοῦσιν αἰσχροκερδέστατοι καὶ δραχμῶν ὀλίγων ἕνεκα
πάντα ὑπομένειν. ἕως μὲν οὖν τούτου πολλὰ ἦν τὰ
C αἴτια τοῦ μὴ φοιτᾶν εἰς τὰ ἱερά, καὶ ὁ πανταχόθεν
ἐπικρεμάμενος φόβος ἐδίδου συγγνώμην ἀποκρύπτεσθαι
τὰς ἀληθεστάτας ὑπὲρ τῶν θεῶν δόξας· ἐπειδὴ δὲ
ἡμῖν οἱ θεοὶ τὴν ἐλευθερίαν ἔδοσαν, ἄτοπον εἶναί
μοι φαίνεται διδάσκειν ἐκεῖνα τοὺς ἀνθρώπους, ὅσα
μὴ νομίζουσιν εὖ ἔχειν. ἀλλ' εἰ μὲν οἴονται σοφοὺς
ὧν εἰσιν ἐξηγηταὶ καὶ ὧν ὥσπερ προφῆται κάθηνται,
D ζηλούντων αὐτῶν πρῶτον τὴν εἰς τοὺς θεοὺς εὐσέ-
81 βειαν· εἰ δὲ εἰς τοὺς τιμιωτάτους ὑπολαμβάνουσι πε-
πλανῆσθαι, βαδιζόντων εἰς τὰς τῶν Γαλιλαίων ἐκκλη-
σίας ἐξηγησόμενοι Ματθαῖον καὶ Λουκᾶν, οἷς πει-
σθέντες ἱερείων ὑμεῖς ἀπέχεσθαι νομοθετεῖτε. βούλομαι
ὑμῶν ἐγὼ καὶ τὰς ἀκοάς, ὡς ἂν ὑμεῖς εἴποιτε, καὶ
τὴν γλῶτταν ἐξαναγεννηθῆναι τούτων, ὧν ἔμοιγε εἴη
μετέχειν ἀεὶ καὶ ὅστις ἐμοὶ φίλα νοεῖ τε καὶ πράττει.
τοῖς μὲν καθηγεμόσι καὶ διδασκάλοις οὑτωσὶ κοινὸς
424 κεῖται νόμος· ὁ βουλόμενος γὰρ τῶν νέων φοιτᾶν
οὐκ ἀποκέκλεισται. οὐδὲ γὰρ οὐδὲ εὔλογον ἀγνοοῦν-
τας ἔτι τοὺς παῖδας, ἐφ' ὅ,τι τρέπωνται, τῆς βελτίστης

1 ὧν add. Rsk. et Hrch. 3 ἐξ ὧν ἐκεῖνοι Rsk. et Sintenis] ἐκεῖνοι ἐξ ὧν 6 πάντα ὑπομένειν Hemsterhusius] πάντως ὑπομένειν v, πάντα ὑπομένοντες Rsk. 12 σοφοὺς Hrch.] σοφὰ 14 ζηλούντων Hrch.] ζηλούτωσαν | πρῶτον] Malim πρῶτοι, praeter ceteros 18 ὑμεῖς suspectum est Herchero 22 μὲν] μέντοι Rsk. | οὑτοσὶ mart. 1 Rsk. Hrch. Cf. ad 3 C et Isaei or. 2,13 τὸν νόμον ἔθηκεν οὕτως 25 τῆς] τῆς μὲν Rsk.

ἀποκλείειν ὁδοῦ, φόβῳ δὲ καὶ ἄκοντας ἄγειν ἐπὶ τὰ
πάτρια. καίτοι δίκαιον ἦν, ὥσπερ τοὺς φρενιτίζοντας,
οὕτω καὶ τούτους ἄκοντας ἰᾶσθαι, πλὴν ἀλλὰ συγγνώ-
μην ὑπάρχειν ἅπασι τῆς τοιαύτης νόσου. καὶ γὰρ B
οἶμαι διδάσκειν, ἀλλ' οὐχὶ κολάζειν χρὴ τοὺς ἀνοήτους.

μγ'. Ἐκηβολίῳ. 82

Ἐγὼ μὲν κέχρημαι τοῖς Γαλιλαίοις ἅπασιν οὕτω C
πρᾴως καὶ φιλανθρώπως, ὥστε μηδένα μηδαμοῦ βίαν
ὑπομένειν μηδὲ εἰς ἱερὸν ἕλκεσθαι μηδ' εἰς ἄλλο τι
τοιοῦτον ἐπηρεάζεσθαι παρὰ τὴν οἰκείαν πρόθεσιν.
οἱ δὲ τῆς Ἀρειανικῆς ἐκκλησίας ὑπὸ τοῦ πλούτου τρυ-
φῶντες ἐπεχείρησαν τοῖς ἀπὸ τοῦ Οὐαλεντίνου, καὶ
τετολμήκασι τοιαῦτα κατὰ τὴν Ἔδεσσαν, οἷα οὐδέποτε
ἐν εὐνομουμένῃ πόλει γένοιτ' ἄν. οὐκοῦν ἐπειδὴ
αὐτοῖς ὑπὸ τοῦ θαυμασιωτάτου νόμου προείρηται . . ., D
ἵν' εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εὐοδώτερον πο-
ρευθῶσι, πρὸς τοῦτο συναγωνιζόμενοι τοῖς ἀνθρώποις
αὐτῶν τὰ χρήματα τῆς Ἐδεσσηνῶν ἐκκλησίας ἅπαντα
ἐκελεύσαμεν ἀναληφθῆναι δοθησόμενα τοῖς στρατιώ-
ταις, καὶ τὰ κτήματα τοῖς ἡμετέροις προστεθῆναι πρι-
βάτοις, ἵνα πενόμενοι σωφρονῶσι καὶ μὴ στερηθῶσιν
ἧς ἔτι ἐλπίζουσιν οὐρανίου βασιλείας. τοῖς οἰκοῦσι 425
δὲ τὴν Ἔδεσσαν προαγορεύομεν ἀπέχεσθαι πάσης στά-
σεως καὶ φιλονεικίας, ἵνα μὴ τὴν ἡμετέραν φιλαν-
θρωπίαν κινήσαντες καθ' ὑμῶν αὐτῶν ὑπὲρ τῆς τῶν

1 ἄγειν Rsk. et Hrch.] ἄξειν 6 Ἐκηβολίῳ scripsi pro Ἐκηβόλῳ. vid. ad 386 D 7 κέχρημαι Hrch.] κέκρικα v, χρῆσθαι κέκρικα Rsk. 9 μηδὲ εἰς ἄλλο Pk 13 τοιαῦτα — οἷα H] τοσαῦτα — ὅσα 15 „Post προείρηται videtur θλίβεσθαι, vel στενοχωρεῖσθαι vel tale quid deesse". Rsk. Mihi πένεσθαι vel simile quid deesse videtur. Cum Herchero igitur lacunam significavi

κοινῶν ἀταξίας δίκην τίσητε, ξίφει καὶ φυγῇ καὶ πυρὶ ζημιωθέντες.

B μδ'. Λιβανίῳ.

Ἄρτι μοι παυσαμένῳ τῆς χαλεπῆς πάνυ καὶ τραχείας νόσου τῇ τοῦ πάντα ἐφορῶντος προνοίᾳ γράμματα εἰς χεῖρας ἦλθεν ὑμέτερα, καθ' ἣν ἡμέραν πρῶτον ἐλουσάμην. δείλης ἤδη ταῦτα ἀναγνοὺς οὐκ
C ἂν εἴποις ῥᾳδίως ὅπως ἐρρωννύμην, αἰσθανόμενος τῆς σῆς ἀκραιφνοῦς καὶ καθαρᾶς εὐνοίας, ἧς εἴθε γενοίμην ἄξιος, ὡς ἂν μὴ καταισχύναιμι τὴν σὴν φιλίαν. τὰς μὲν οὖν ὑμετέρας ἐπιστολὰς εὐθὺς ἀνέγνων, καίπερ οὐ σφόδρα τοῦτο ποιεῖν δυνάμενος, τὰς δὲ τοῦ Ἀντωνίου πρὸς τὸν Ἀλέξανδρον εἰς τὴν ὑστεραίαν ἐταμιευσάμην. ἐκεῖθεν ἑβδόμῃ σοι ταῦτα ἔγραφον ἡμέρᾳ, κατὰ λόγον μοι τῆς ῥώσεως προχωρούσης διὰ
D τὴν τοῦ θεοῦ προμήθειαν. σῴζοιό μοι, ποθεινότατε καὶ φιλικώτατε ἀδελφέ [, ὑπὸ τοῦ τὰ πάντα ἐφορῶν-
84 τος θεοῦ· ἴδοιμί σε, ἐμὸν ἀγαθόν. — καὶ ἰδίᾳ χειρί· νὴ τὴν (σὴν) σωτηρίαν καὶ τὴν ἐμήν, νὴ τὸν πάντα ἐφορῶντα θεόν, ὡς φρονῶ γέγραφα. ἀγαθώτατε, πότε σε ἴδω καὶ περιλάβωμαι; νῦν γάρ σου καὶ τοὔνομα καθάπερ οἱ δυσέρωτες φιλῶ.]

426 με'. Ζήνωνι.

Πολλὰ μὲν καὶ ἄλλα σοι μαρτυρεῖ καὶ τῆς ἰατρικῆς τέχνης εἰς τὰ πρῶτα ἀνήκειν, καὶ ἤθους καὶ ἐπι-

1 ἀταξίας] εὐταξίας vel ὑπὲρ τῶν κοινῶν τῆς ἀταξίας H 3 Λιβανίῳ] Πρίσκῳ Bar. fortasse recte 4 et 5 „τραχείας. Nam de morbo cito et acuto usurpatur ὀξεῖα, non ταχεῖα". Rsk. ταχείας v 17—22 ὑπὸ τοῦ — φιλῶ add. Bar., uncis circumsepsit Spanh., abjecit Hrch. 19 σὴν add. Pet. 23 Ζήνωνι] ἀρχιητρῷ add. Bar.

εικείας καὶ βίου σωφροσύνης συμφώνως πρὸς τὴν τέχνην ἔχειν, νῦν δὲ προσῆλθε τὸ κεφάλαιον τῆς μαρτυρίας· τὴν τῶν Ἀλεξανδρέων πόλιν ἀπὼν ἐπιστρέφεις B εἰς σεαυτόν· τοσοῦτον αὐτῇ κέντρον ὥσπερ μέλιττα καταλέλοιπας. εἰκότως· καλῶς γὰρ εἰρῆσθαι καὶ Ὁμήρῳ δοκεῖ τὸ

Εἷς ἰητρὸς ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων.

σὺ δὲ οὐκ ἰατρὸς ἁπλῶς, ἀλλὰ καὶ διδάσκαλος τοῖς βουλομένοις τῆς τέχνης, ὥστε σχεδὸν ὃ πρὸς τοὺς πολλούς εἰσιν οἱ ἰατροί, τοῦτο ἐκείνοις σύ. λύει δέ C σοι τὴν φυγὴν καὶ ἡ πρόφασις αὐτή, καὶ μάλα λαμπρῶς. 85 εἰ γὰρ διὰ Γεώργιον μετέστης τῆς Ἀλεξανδρείας, οὐ δικαίως μετέστης, καὶ δικαιότατα ἂν ὀπίσω κατέλθοις. κάτιθι τοίνυν ἐπίτιμος καὶ τὸ πρότερον ἔχων ἀξίωμα, καὶ ἡμῖν κοινὴ παρ' ἀμφοτέροις χάρις ἀποκείσθω, Ἀλεξανδρεῦσι μὲν Ζήνωνα, σοὶ δὲ ἀποδοῦσα τὴν Ἀλεξάνδρειαν.

μϛʹ. Εὐαργίῳ.

Συγκτησείδιον μικρὸν ἀγρῶν τεττάρων δοθέντων μοι παρὰ τῆς τήθης ἐν τῇ Βιθυνίᾳ τῇ σῇ διαθέσει δῶρον δίδωμι, ἔλαττον μὲν ἢ ὥστε ἄνδρα εἰς περιουσίαν ὀνῆσαί τι μέγα καὶ ἀποφῆναι ὄλβιον, ἔχον δὲ 427 οὐδὲ ὣς παντάπασιν ἀτερπῆ τὴν δόσιν, εἴ σοι τὰ

1 *βίου σώφρονος* Bar. 5 *ἐγκαταλέλοιπας* Wyttenb. ad Plut. de S. N. Vind. p. 7 6 *τὸ* add. Pk 7 Iliad. *λ*, 514 12 *Γεώργιον* Bar.] *Γεωργίας* 15 *παρ' ἀμφοτέροις—ἀποκείσθω* H] *πρὸς ἀμφοτέρους—ἀντικείσθω* 18 *Εὐαγρίῳ* additum e GPh 19 *συγκτησίδιον* G, *οὐ κτησείδιον* v, *υγκτησείδιον* Pk, *κτησείδιον* Ph | *δοθέντων μοι* Bar. Ph] *δοκούντων λαβὼν* v, *ἐμοὶ* (omisso *δοθέντων*) G Ottob. 90 20 *τίτθης* Ph 22 *ὀνῆσαι* Horkelius] *ἐννοῆσαι* | *δὲ*] *δ' ἂν* Hrch. 23 *οὐδ' ὣς* Hrch.] *οὐδὲ* Ph, *ὡς οὐ* v

καθ' ἕκαστα περὶ αὐτοῦ διέλθοιμι. παίζειν δὲ οὐδὲν
κωλύει πρὸς σὲ χαρίτων γέμοντα καὶ εὐμουσίας. ἀπ-
ῴκισται μὲν τῆς θαλάττης σταδίους οὐ πλέον εἴκοσι,
καὶ οὔτε ἔμπορος οὔτε ναύτης ἐνοχλεῖ λάλος καὶ
86 ὑβριστὴς τῷ χωρίῳ. οὐ μὴν ἀφῄρηται τὰς παρὰ τοῦ
B Νηρέως χάριτας παντελῶς, ἔχει δὲ ἰχθὺν πρόσφατον
ἀεὶ καὶ ἀσπαίροντα, καὶ ἐπί τινος ἀπὸ τῶν δωμάτων
προελθὼν γηλόφου ὄψει τὴν θάλατταν τὴν Προπον-
τίδα καὶ τὰς νήσους τήν τε ἐπώνυμον πόλιν τοῦ γεν-
ναίου βασιλέως, οὐ φυκίοις ἐφεστὼς καὶ βρύοις, οὐδὲ
ἐνοχλούμενος ὑπὸ τῶν ἐκβαλλομένων εἰς τοὺς αἰγια-
λοὺς καὶ τὰς ψάμμους ἀτερπῶν πάνυ καὶ οὐδὲ ὀνο-
μάζειν ἐπιτηδείων λυμάτων, ἀλλ' ἐπὶ σμίλακος καὶ
C θύμου καὶ πόας εὐώδους. ἡσυχία δὲ πολλὴ κατα-
κλινομένῳ καὶ εἰς τὸ βιβλίον ἀφορῶντι, εἶτα διανα-
παύοντι τὴν ὄψιν ἥδιστον ἀπιδεῖν εἰς τὰς ναῦς καὶ
τὴν θάλατταν. τοῦτο ἐμοὶ μειρακίῳ κομιδῇ νέῳ θε-
ρίδιον ἐδόκει φίλτατον· ἔχει γὰρ καὶ πηγὰς οὐ φαύλας
καὶ λουτρὸν οὐκ ἀναφρόδιτον καὶ κῆπον καὶ δένδρα·
ἀνὴρ δ' ὢν ἤδη τὴν παλαιὰν ἐκείνην ἐπόθουν δίαι-
ταν, καὶ ἦλθον πολλάκις, καὶ γέγονεν ἡμῖν οὐκ ἔξω
D λόγων ἡ σύνοδος. ἔστι δ' ἐνταῦθα καὶ γεωργίας ἐμῆς
μικρὸν ὑπόμνημα, φυταλία βραχεῖα, φέρουσα οἶνον
εὐώδη τε καὶ ἡδύν, οὐκ ἀναμένοντά τι παρὰ τοῦ

2 πρός σε v 3 θαλάττης Phk] θαλάσσης 5 οὐ μὴν Ph] οὔ μήν | τοῦ add. G 11 ἐνοχλούμενος GPh] διενοχλούμενος 12 καὶ τὰς GPh Ottob. 90] καὶ εἰς τὰς 12 et 13 ὀνομάζειν ἐπιτηδείων λυμάτων GPh] ὀνομαζομένων ἐπὶ μικρόν 14 ἡσυχία δὲ πολλὴ Sintenis] ἡσυχίᾳ δὲ πολλῇ 15 καὶ add. Ph | εἰς τὸ] εἴς τι ? 16 ἀπιδεῖν GPh Ottob. 90] ἐπιδεῖν 17 et 18 „θερίδιον G [et Ottob. 90], quod Lexicis addendum. Factum est a θερίζω, ut χειμάδιον a χειμάζω.“ Hrch. θυρίδιον mart. pet. Pk, πεδίον spanh. Ph 22 λόγων GPhk] λόγου 24 τε add. Ph

χρόνου προσλαβεῖν. τὸν Διόνυσον ὄψει καὶ τὰς Χά-
ριτας. ὁ βότρυς δὲ ἐπὶ τῆς ἀμπέλου καὶ ἐπὶ τῆς 87
ληνοῦ θλιβόμενος ἀπόζει τῶν ῥόδων, τὸ γλεῦκος δὲ
ἐν τοῖς πίθοις ἤδη νέκταρός ἐστιν ἀπορρὼξ Ὁμήρῳ
πιστεύοντι. τί δῆτα οὐ πολὺ γέγονεν οὐδ' ἐπὶ πλέθρα 428
πάνυ πολλὰ τοιούτων ἀμπέλων; τυχὸν μὲν οὐδὲ ἐγὼ
γεωργὸς γέγονα πρόθυμος· ἀλλὰ ἐπεὶ ἐμοὶ νηφάλιος
ὁ τοῦ Διονύσου κρατὴρ καὶ ἐπὶ πολὺ τῶν νυμφῶν
δεῖται, ὅσον εἰς ἐμαυτὸν καὶ τοὺς φίλους· ὀλίγον δέ
ἐστι τὸ χρῆμα τῶν ἀνδρῶν· παρεσκευασάμην. νῦν δή
σοι δῶρον, ὦ φίλη κεφαλή, δίδωμι μικρὸν μὲν ὅπερ B
ἐστί, χαρίεν δὲ φίλῳ παρὰ φίλου, οἴκοθεν οἴκαδε,
κατὰ τὸν σοφὸν ποιητὴν Πίνδαρον. τὴν ἐπιστολὴν
ἐπισύρων πρὸς λύχνον γέγραφα, ὥστε, εἴ τι ἡμάρτη-
ται, μὴ πικρῶς ἐξέταζε μηδ' ὡς ῥήτωρ ῥήτορα.

μζ. Θρᾳξί. C

Βασιλεῖ μὲν πρὸς κέρδος ὁρῶντι χαλεπὸν ἂν
ὑμῶν ἐφάνη τὸ αἴτημα, καὶ οὐκ ἂν ᾠήθη δεῖν τὴν
δημοσίαν εὐπορίαν βλάπτειν τῇ πρός τινας ἰδίᾳ χά- 88
ριτι· ἐπεὶ δὲ ἡμεῖς οὐχ ὅ,τι πλεῖστα παρὰ τῶν ὑπ-
ηκόων ἀθροίζειν πεποιήμεθα σκοπόν, ἀλλ' ὅ,τι πλείστων
ἀγαθῶν αὐτοῖς αἴτιοι γίγνεσθαι, τοῦτο καὶ ὑμῖν ἀπο-
λύσει τὰ ὀφλήματα. ἀπολύσει δὲ οὐχ ἁπλῶς ἅπαντα, D

4 νέκταρος Hrch.] τοῦ νέκταρος | Ὁμήρῳ] Odyss. ι, 359 5 et 6 πολὺ et τοιούτων ἀμπέλων] πολὺς et τοιοῦτος ἀμπελών Hrch. „Nunc omnino malim πολλὴ et ἡ τοιαύτη ἄμπελος.“ Idem 6 μὲν Pk] δὲ 7 Ante ἀλλὰ lacunae signa posuit Hrch.; ego malim ἀλλὰ γὰρ scribere | ἐπεί μοι Sintenis 9 δεῖται Hrch.] δέεται Ph, δέ ἐστι v 10 παρεσκευασάμην GPh] παρεσκευάσαμην | δὴ Ph] δὲ 11 ὦ GPh] αὖ 13 Πίνδαρον] Olymp. VI, 99. VII, 5 14 ὥσθ' ὅ,τι Ph 16 Θρᾳξί accessit e Bar.

ἀλλὰ μερισθήσεται τὸ πρᾶγμα, τὸ μὲν εἰς ὑμᾶς, τὸ δὲ εἰς τὴν τῶν στρατιωτῶν χρείαν, ἐξ ἧς οὐκ ἐλάχιστα καὶ αὐτοὶ δήπου φέρεσθε, τὴν εἰρήνην καὶ τὴν ἀσφάλειαν. τοιγαροῦν μέχρι μὲν τῆς τρίτης ἐπινεμήσεως ἀφίεμεν ὑμῖν πάντα, ὅσα ἐκ τοῦ φθάνοντος ἐλλείπει χρόνου· μετὰ ταῦτα δὲ εἰσοίσετε κατὰ τὸ ἔθος. ὑμῖν τε γὰρ (τὰ) ἀφιέμενα χάρις ἱκανή, καὶ
429 ἡμῖν τῶν κοινῶν οὐκ ἀμελητέον. περὶ τούτου καὶ τοῖς ἐπάρχοις ἐπέσταλκα, ἵν' ἡ χάρις ὑμῖν εἰς ἔργον προχωρήσῃ. ἐρρωμένους ὑμᾶς οἱ θεοὶ σώζοιεν τὸν ἅπαντα χρόνον.

μη'. Ζήνωνι.

Πάντων μὲν ἕνεκά μοι τὸ σῶμα διάκειται μετρίως,
B οὐ μὴν ἀλλὰ καὶ τὰ τῆς γνώμης ἔχει καλῶς. οἶμαι
89 δ' ἐγὼ τούτου προοίμιον εἶναι μηδὲν κρεῖττον ἐπιστολῇ φίλῳ παρὰ φίλου πεμπομένῃ. τίνος οὖν ἐστι τὸ προοίμιον; αἰτήσεως οἶμαι. τίς δὲ ἡ αἴτησις; ἐπιστολῶν ἀμοιβαίων, ἃς εἴη γε καὶ κατὰ διάνοιαν ὁμολογῆσαι ταῖς ἐμαῖς, αἴσια παρὰ σοῦ ταὐτὰ πρὸς ἡμᾶς ἐξαγγελλούσας.

C μθ'. Ἀρσακίῳ ἀρχιερεῖ Γαλατίας.

(Ὁ) Ἑλληνισμὸς οὔπω πράττει κατὰ λόγον ἡμῶν ἕνεκα τῶν μετιόντων αὐτόν· τὰ γὰρ τῶν θεῶν λαμπρὰ καὶ μεγάλα, κρείττονα πάσης μὲν εὐχῆς, πάσης

7 τὰ add. Rsk. et H 10 et 11 ἐρρωμένους—χρόνον] Haec accesserunt e Bar. 12 Ζήνωνι addidit Heyler e libro, qui inscriptus est τῶν Ἑλληνικῶν ἐπιστολῶν ἀνθολογία, Parisiis 1605 edito 16 φίλου Rsk. et H] φίλον 19 ταὐτὰ Heyler] ταῦτα v, πάντα Rsk. 21 Ex Sozomeno V, 16. Post Γαλατίας vulgo additur ἐπιστολὴ Ἰουλιανοῦ βασιλέως, quae Heyler ut Sozomeni abjecit 22 ὁ addidit Hrch.

δὲ ἐλπίδος. ἵλεως δὲ ἔστω τοῖς λόγοις ἡμῶν Ἀδρά-
στεια· τὴν γὰρ ἐν ὀλίγῳ τοιαύτην καὶ τηλικαύτην D
μεταβολὴν οὐδ' (ἂν) εὔξασθαί τις ὀλίγῳ πρότερον
ἐτόλμα. τί οὖν ἡμεῖς οἰόμεθα ταῦτα ἀρκεῖν, οὐδὲ
ἀποβλέπομεν, ὡς μάλιστα τὴν ἀθεότητα συνηύξησεν
ἡ περὶ τοὺς ξένους φιλανθρωπία καὶ ἡ περὶ τὰς ταφὰς 90
τῶν νεκρῶν προμήθεια καὶ ἡ πεπλασμένη σεμνότης
κατὰ τὸν βίον; ὧν ἕκαστον οἴομαι χρῆναι παρ' ἡμῶν 430
ἀληθῶς ἐπιτηδεύεσθαι. καὶ οὐκ ἀπόχρη τὸ σὲ μόνον
εἶναι τοιοῦτον, ἀλλὰ πάντας ἁπαξαπλῶς ὅσοι περὶ
τὴν Γαλατίαν εἰσὶν ἱερεῖς· οὓς ἢ δυσώπησον ἢ πεῖσον
εἶναι σπουδαίους, ἢ τῆς ἱερατικῆς λειτουργίας ἀπό-
στησον, εἰ μὴ προσέρχοιντο μετὰ γυναικῶν καὶ παί-
δων καὶ θεραπόντων τοῖς θεοῖς, ἀλλὰ ἀνέχοιντο τῶν
οἰκετῶν ἢ υἱέων ἢ τῶν γαμετῶν ἀσεβούντων μὲν εἰς B
τοὺς θεούς, ἀθεότητα δὲ θεοσεβείας προτιμώντων.
ἔπειτα παραίνεσον ἱερέα μήτε θεάτρῳ παραβάλλειν
μήτε ἐν καπηλείῳ πίνειν ἢ τέχνης τινὸς καὶ ἐργασίας
αἰσχρᾶς καὶ ἐπονειδίστου προΐστασθαι· καὶ τοὺς μὲν
πειθομένους τίμα, τοὺς δὲ ἀπειθοῦντας ἐξώθει. ξενο-
δοχεῖα καθ' ἑκάστην πόλιν κατάστησον πυκνά, ἵν'
ἀπολαύσωσιν οἱ ξένοι τῆς παρ' ἡμῶν φιλανθρωπίας, C
οὐ τῶν ἡμετέρων μόνον, ἀλλὰ καὶ ἄλλων ὅστις ἂν
ἐνδεηθῇ χρημάτων. ὅθεν δὲ εὐπορήσεις, ἐπινενόηταί
μοι τέως. ἑκάστου γὰρ ἐνιαυτοῦ τρισμυρίους μοδίους 91

2 τοιαύτην H] τοσαύτην 3 οὐδὲ (οὐδ' ἂν H) εὔξασθαί τις Heyler e Sozomeno addidit vulgo omissa. Itaque Pet. antea τίς γὰρ pro τὴν γὰρ scribendum et addendum verbum ἐλπίζειν censuit. 5 ὡς Valesius ad Sozomenum] ὃ 9 σὲ μόνον Sozomenus] σεμνὸν 10 ὅσοι H] οἳ 13 προσέρχοιντο H] προσέχοιντο. Cf. 288 A et 300 C 15 τῶν γαμετῶν H] τῶν Γαλιλαίων γαμετῶν 17 ἱερέας Heyler 20 et 21 ξενοδοκεῖα Hrch.] ξενοδοχεῖα 24 ἐνδεηθῇ H] δεηθῇ

κατὰ πᾶσαν τὴν Γαλατίαν ἐκέλευσα δοθῆναι σίτου
καὶ ἑξακισμυρίους οἴνου ξέστας· ὧν τὸ μὲν πέμπτον
εἰς τοὺς πένητας τοὺς τοῖς ἱερεῦσιν ὑπηρετουμένους
ἀναλίσκεσθαί φημι χρῆναι, τὰ δὲ ἄλλα τοῖς ξένοις
D καὶ τοῖς μεταιτοῦσιν ἐπινέμεσθαι παρ' ἡμῶν. αἰσχρὸν
γάρ, εἰ τῶν μὲν Ἰουδαίων οὐδεὶς μεταιτεῖ, τρέφουσι
δὲ οἱ δυσσεβεῖς Γαλιλαῖοι πρὸς τοῖς ἑαυτῶν καὶ τοὺς
ἡμετέρους, οἱ δὲ ἡμέτεροι τῆς παρ' ἡμῶν ἐπικουρίας
ἐνδεεῖς φαίνονται. δίδασκε δὲ καὶ συνεισφέρειν τοὺς
Ἑλληνιστὰς εἰς τὰς τοιαύτας λειτουργίας καὶ τὰς Ἑλ-
431 ληνικὰς κώμας ἀπάρχεσθαι τοῖς θεοῖς τῶν καρπῶν,
καὶ τοὺς Ἑλληνικοὺς ταῖς τοιαύταις εὐποιίαις προσ-
έθιζε, διδάσκων αὐτούς, ὡς τοῦτο πάλαι ἦν ἡμέτερον
ἔργον. Ὅμηρος γοῦν αὐτὸ πεποίηκεν Εὔμαιον λέγοντα·

Ξεῖν', οὔ μοι θέμις ἔστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι,
B Ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Ξεῖνοί τε πτωχοί τε. δόσις δ' ὀλίγη τε φίλη τε.

μὴ δὴ τὰ παρ' ἡμῖν ἀγαθὰ παραζηλοῦν ἄλλοις συγ-
χωροῦντες αὐτοὶ τῇ ῥᾳθυμίᾳ καταισχύνωμεν, μᾶλλον
δὲ καταπροώμεθα τὴν εἰς τοὺς θεοὺς εὐλάβειαν. εἰ
92 ταῦτα πυθοίμην ἐγώ σε πράττοντα, μεστὸς εὐφροσύ-
νης ἔσομαι.

C Τοὺς ἡγεμόνας ὀλιγάκις ἐπὶ τῆς οἰκίας ὅρα, τὰ
πλεῖστα δὲ αὐτοῖς ἐπίστελλε. εἰσιοῦσι δὲ εἰς τὴν πόλιν
ὑπαντάτω μηδεὶς αὐτοῖς ἱερέων, ἀλλ', ὅταν εἰς τὰ
ἱερὰ φοιτῶσι τῶν θεῶν, εἴσω τῶν προθύρων. ἡγείσθω

2—3 Verba καὶ ἑξακισμυρίους — εἰς τοὺς πένητας τοὺς vulgo omissa Heyler e Sozomeno inseruit 6 et 7 τρέφουσί τε H 7 τοῖς] τοὺς mart. spanh. 12 et 13 προσέθιζε H] προέθιζε 14 Ὅμηρος] Odyss. ξ, 56 et ζ, 207 15 οὐδ' Hrch. ex Homero] οὔτ' 18 μὴ δὴ Valesius] μηδὲ 19 καταισχύνωμεν H] καταισχύνοιμεν 20 καταπροώμεθα mart. pet.] καταπροδώμεθα

δὲ μηδεὶς αὐτῶν εἴσω στρατιώτης, ἑπέσθω δὲ ὁ βουλόμενος· ἅμα γὰρ εἰς τὸν οὐδὸν ἦλθε τοῦ τεμένους
καὶ γέγονεν ἰδιώτης. ἄρχεις γὰρ αὐτός, ὡς οἶσθα, D
τῶν ἔνδον, ἐπεὶ καὶ ὁ θεῖος ταῦτα ἀπαιτεῖ θεσμός. καὶ οἱ μὲν πειθόμενοι κατὰ ἀλήθειάν εἰσι θεοσεβεῖς, οἱ δὲ ἀντεχόμενοι τοῦ τύφου δοξοκόποι [εἰσὶ] καὶ κενόδοξοι.

Τῇ Πεσσινοῦντι βοηθεῖν ἕτοιμός εἰμι, εἰ τὴν μητέρα τῶν θεῶν ἵλεων καταστήσουσιν ἑαυτοῖς· ἀμελοῦντες δὲ αὐτῆς οὐκ ἄμεμπτοι μόνον, ἀλλὰ πικρὸν εἰπεῖν μὴ καὶ τῆς παρ' ἡμῶν ἀπολαύσωσι δυσμενείας.

Οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ' ἐλεαίρειν 432
Ἀνέρας, οἵ κε θεοῖσιν ἀπέχθωντ' ἀθανάτοισιν.

πεῖθε τοίνυν αὐτούς, εἰ τῆς παρ' ἐμοῦ κηδεμονίας 99
ἀντέχονται, πανδημεὶ τῆς μητρὸς τῶν θεῶν ἱκέτας γενέσθαι.

ν'. Ἰουλιανὸς Ἐκδικίῳ ἐπάρχῳ Αἰγύπτου. B

Ἡ μὲν παροιμία φησὶν „ἐμοὶ σὺ διηγεῖ τοὐμὸν ὄναρ“, ἐγὼ δ' ἔοικα σοὶ τὸ σὸν ὕπαρ ἀφηγεῖσθαι. πολύς, φασίν, ὁ Νεῖλος ἀρθεὶς μετέωρος τοῖς πήχεσιν ἐπλήρωσε πᾶσαν τὴν Αἴγυπτον· εἰ δὲ καὶ τὸν ἀριθμὸν ἀκοῦσαι ποθεῖς, εἰς τὴν εἰκάδα τοῦ Σεπτεμβρίου τρὶς πέντε. μηνύει δὲ ταῦτα Θεόφιλος ὁ στρατοπεδάρχης. εἰ τοίνυν ἠγνόησας αὐτό, παρ' ἡμῶν C
ἀκούων εὐφραίνου.

4 θεῖος Sozomenus] θεοῖς 5 εἰσὶ delevit Sintenis 12 Odyss. κ, 73 | οὐδ' H] ἢ 13 ἀνέρας Hrch.] ἄνδρας | οἵ κε Cob.] οἳ καὶ | θεοῖς mart. pet. 18—19 ἐμοὶ—ἀφηγεῖσθαι cit. Suidas v. ὕπαρ 18 σὺ διηγεῖ Cob.] σὺ διήγει Vmart., σὺ διηγῇ v, διηγοῦ σὺ Suid. 19 δ' Suid.] δὲ | ἔοικα σοὶ Vmart.] ἔοικά σοι v, σοι om. Suid. 20 φασίν Hrch.] φησίν 22 et 23 σεπτεβρίου Vmart.

94 ## να΄. Ἰουλιανὸς Ἀλεξανδρεῦσιν.

D *Εἰ μέν τις τῶν ἄλλων ἦν ὑμῶν οἰκιστής, οἳ τὸν
ἑαυτῶν παραβάντες νόμον ἀπέτισαν ὁποίας ἦν εἰκὸς
δίκας, ἑλόμενοι μὲν ζῆν παρανόμως, εἰσαγαγόντες δὲ
κήρυγμα καὶ διδασκαλίαν νεαράν, λόγον ⟨ἂν⟩ εἶχεν
οὐδ' ὣς Ἀθανάσιον ὑφ' ὑμῶν ἐπιζητεῖσθαι· νυνὶ δὲ
κτίστου μὲν ὄντος Ἀλεξάνδρου τῆς πόλεως, ὑπάρχοντος
δὲ ὑμῖν πολιούχου θεοῦ τοῦ βασιλέως Σαράπιδος
433 ἅμα τῇ παρέδρῳ κόρῃ καὶ τῇ βασιλίδι τῆς Αἰγύπτου
πάσης Ἴσιδι .... τὴν ὑγιαίνουσαν οὐ ζηλοῦντες πόλιν·
ἀλλὰ τὸ νοσοῦν μέρος ἐπιφημίζειν ἑαυτῷ τολμᾷ τὸ
τῆς πόλεως ὄνομα.*

*Λίαν αἰσχύνομαι νὴ τοὺς θεούς, ἄνδρες Ἀλεξανδρεῖς,
εἴ τις ὅλως Ἀλεξανδρέων ὁμολογεῖ Γαλιλαῖος
εἶναι. τῶν ὡς ἀληθῶς Ἑβραίων οἱ πατέρες Αἰγυ-
B πτίοις ἐδούλευον πάλαι, νυνὶ δὲ ὑμεῖς, ἄνδρες Ἀλεξαν-
95 δρεῖς, Αἰγυπτίων κρατήσαντες· ἐκράτησε γὰρ ὁ κτίστης
ὑμῶν τῆς Αἰγύπτου· τοῖς κατωλιγωρηκόσι τῶν πατρίων
δογμάτων δουλείαν ἐθελούσιον ἄντικρυς τῶν
παλαιῶν θεσμῶν ὑφίστασθε. καὶ οὐκ εἰσέρχεται μνήμη
τῆς παλαιᾶς ὑμᾶς ἐκείνης εὐδαιμονίας, ἡνίκα ἦν
κοινωνία μὲν πρὸς θεοὺς Αἰγύπτῳ τῇ πάσῃ, πολλῶν
δὲ ἀπελαύομεν ἀγαθῶν. ἀλλ' οἱ νῦν εἰσαγαγόντες
C ὑμῖν τὸ καινὸν τοῦτο κήρυγμα τίνος αἴτιοι γεγόνασιν
ἀγαθοῦ τῇ πόλει, φράσατέ μοι. κτίστης ὑμῖν ἦν ἀνὴρ*

2 *ὑμῖν ὁ οἰκίστης* suspicatur Hrch. 3 *ἀπέτισαν*] *ἀπέστησαν* Pc mart. 5 *ἂν* addidit H 6 *ὑμῶν* Heyler] *ἡμῶν* 7 *κτίστου*] Et hoc loco et infra aliquoties Hrch. *οἰκιστής* reponendum censet 10 Post *Ἴσιδι* Pet. lacunam significavit 18 *κατωλιγωρηκόσι* Rsk. et Heyler] *καταλιγωρηκόσι* Pc mart. pet., *κατολιγωρηκόσι* spanh. 23 *ἀπηλαύομεν* Pc 25 *φράσατε*. *οἰκιστής* Hrch. Dativos vero pronominum imperativis Iulianus addidit etiam 192 B 209 AD 324 D 334 A 379 A

θεοσεβὴς Ἀλέξανδρος ὁ Μακεδών, οὔτι μὰ Δία κατά τινα τούτων ὧν οὐδὲ κατὰ πάντας Ἑβραίους μακρῷ γεγονότας αὐτῶν κρείττονας. ἐκείνων μὲν οὖν καὶ ὁ τοῦ Λάγου Πτολεμαῖος ἦν ἀμείνων, Ἀλέξανδρος δὲ κἂν Ῥωμαίοις εἰς ἅμιλλαν ἰὼν ἀγῶνα παρεῖχε. τί οὖν μετὰ τὸν κτίστην οἱ Πτολεμαῖοι, τὴν πόλιν ὑμῶν D *ὥσπερ γνησίαν θυγατέρα παιδοτροφήσαντες; οὔτι τοῖς Ἰησοῦ λόγοις ηὔξησαν αὐτήν, οὐδὲ τῇ τῶν ἐχθίστων Γαλιλαίων διδασκαλίᾳ τὴν οἰκονομίαν αὐτῇ ταύτην, ὑφ' ἧς νῦν ἐστιν εὐδαίμων, ἐξειργάσαντο. τρίτον, ἐπειδὴ Ῥωμαῖοι κύριοι γεγόναμεν αὐτῆς, ἀφελόμενοι τοὺς Πτολεμαίους οὐ καλῶς ἄρχοντας, ὁ Σεβαστὸς ἐπιδημήσας ὑμῶν τῇ πόλει καὶ πρὸς τοὺς ὑμετέρους* 96 *πολίτας διαλεχθεὶς „Ἄνδρες, εἶπεν, Ἀλεξανδρεῖς, ἀφ-* 434 *ίημι τὴν πόλιν αἰτίας πάσης αἰδοῖ τοῦ μεγάλου θεοῦ Σαράπιδος αὐτοῦ τε ἕνεκα τοῦ δήμου καὶ τοῦ μεγέθους τῆς πόλεως· αἰτία δέ μοι τρίτη τῆς εἰς ὑμᾶς εὐνοίας ἐστὶ καὶ ὁ ἑταῖρος Ἄρειος.“ ἦν δὲ ὁ Ἄρειος οὗτος πολίτης μὲν ὑμέτερος, Καίσαρος δὲ τοῦ Σεβαστοῦ συμβιωτής, ἀνὴρ φιλόσοφος.*

Τὰ μὲν οὖν ἴδια περὶ τὴν πόλιν ὑμῶν ὑπάρξαντα B *παρὰ τῶν Ὀλυμπίων θεῶν, ὡς ἐν βραχεῖ φράσαι, τοιαῦτα, σιωπῶ δὲ διὰ τὸ μῆκος τὰ πολλά· τὰ δὲ κοινῇ καθ' ἡμέραν οὐκ ἀνθρώποις ὀλίγοις οὐδὲ ἑνὶ γένει οὐδὲ μιᾷ πόλει, παντὶ δὲ ὁμοῦ τῷ κόσμῳ παρὰ τῶν ἐπιφανῶν θεῶν διδόμενα πῶς ὑμεῖς οὐκ ἴστε;*

5 *κἂν* Hrch.] *καὶ* | *εἰς* H] *ἐπὶ* | *παρεῖχε* scripsi pro *παρεῖχεν*. Pc et mart. *παρεῖ* ... Fortasse igitur cum Reiskio *παρεῖχεν* (an *παρέσχεν*?) *ἂν* scribendum et paulo ante *καὶ* servandum 12 *Σεβαστὸς* Hrch.] *Σεβαστὸς δὲ* 17 *εἰς* Pc] *πρὸς* 23 *τὰ πολλά* Hrch.] *ταῦτα τὰ πολλά* 26 *διδόμενα* Horkelius] *δεδομένα*

μόνοι τῆς ἐξ Ἡλίου κατιούσης αὐγῆς ἀναισθήτως
ἔχετε; μόνοι θέρος οὐκ ἴστε καὶ χειμῶνα παρ᾽ αὐτοῦ
C γινόμενον; μόνοι ζωογονούμενα καὶ φυόμενα παρ᾽
αὐτοῦ τὰ πάντα; τὴν δὲ ἐξ αὐτοῦ καὶ παρ᾽ αὐτοῦ
δημιουργὸν τῶν ὅλων Σελήνην οὖσαν οὐκ αἰσθάνεσθε
πόσων ἀγαθῶν αἰτία τῇ πόλει γίνεται; καὶ τούτων
μὲν τῶν θεῶν οὐδένα προσκυνεῖν τολμᾶτε· ὃν δὲ
97 οὔτε ὑμεῖς οὔτε οἱ πατέρες ὑμῶν ἑοράκασιν Ἰησοῦν
οἴεσθε χρῆναι θεὸν λόγον ὑπάρχειν. ὃν δὲ ἐξ αἰῶνος
ἅπαν ὁρᾷ τὸ τῶν ἀνθρώπων γένος καὶ βλέπει καὶ
D σέβεται καὶ σεβόμενον εὖ πράττει, τὸν μέγαν Ἥλιον
λέγω, τὸ ζῶν ἄγαλμα καὶ ἔμψυχον καὶ ἔννουν καὶ
ἀγαθοεργὸν τοῦ νοητοῦ παντός, ... εἴ τί μοι πείθεσθε
παραινοῦντι, καὶ μικρὰ ὑμᾶς αὐτοὺς ἐπαναγάγετε
πρὸς τὴν ἀλήθειαν. οὐχ ἁμαρτήσεσθε γὰρ τῆς ὀρθῆς
ὁδοῦ πειθόμενοι τῷ πορευθέντι κἀκείνην τὴν ὁδὸν
ἄχρις ἐτῶν εἴκοσι καὶ ταύτην ἤδη σὺν θεοῖς πορευο-
μένῳ δωδέκατον ἔτος.

435 Εἰ μὲν οὖν φίλον ὑμῖν πείθεσθαι, μειζόνως
εὐφρανεῖτε· τῇ δεισιδαιμονίᾳ δὲ καὶ κατηχήσει τῶν
πανούργων ἀνθρώπων ἐμμένειν εἴπερ ἐθέλοιτε, τὰ
πρὸς ἀλλήλους ὁμονοεῖτε καὶ τὸν Ἀθανάσιον μὴ πο-
θεῖτε. πολλοὶ πάντως εἰσὶ τῶν αὐτοῦ μαθητῶν δυνά-
μενοι τὰς ἀκοὰς ὑμῶν κνησιώσας καὶ δεομένας ἀσεβῶν
B ῥημάτων ἱκανῶς παραμυθήσασθαι. ὤφελε γὰρ Ἀθα-
νασίῳ μόνῳ ἡ τοῦ δυσσεβοῦς αὐτοῦ διδασκαλείου

7 ὃν δὲ Pet. spanh.] τὸν δὲ 8 ἑοράκασιν Hrch.] ἑωρά-κασιν 13 παντός Osannus ad Cornut. p. 326] πατρός. Post hoc deesse aliquid vidit Pet.; lacunam igitur significavi 14 καὶ μικρὰ] κατὰ μικρὸν? 15 γὰρ τῆς] παρὰ v, γὰρ Rsk., τῆς add. Pet. 17 ἤδη H] ἰδοὺ 24 κνησιώσας Hrch.] κνηστιώ-σας. Cf. ad 206 D 26 μόνῳ] μόνον Sintenis. An μόνῳ γε?

κατακεκλεῖσθαι μοχθηρία. νῦν δέ ἐστι πλῆθος ὑμῖν
οὐκ ἀγεννές, καὶ πρᾶγμά τε οὐδέν. ὃν γὰρ ἂν ἕλησθε
τοῦ πλήθους, ὅσα γε εἰς τὴν τῶν γραφῶν διδα- 98
σκαλίαν ἥκει, χείρων οὐδὲν ἔσται τοῦ παρ' ὑμῶν πο-
θουμένου. εἰ δὲ τῆς ἄλλης ἐντρεχείας ἐρῶντες Ἀθα-
νασίου· πανοῦργον γὰρ εἶναι τὸν ἄνδρα πυνθάνομαι· C
ταύτας ἐποιήσασθε τὰς δεήσεις, ἴστε διὰ τοῦτο αὐτὸν
ἀπεληλαμένον τῆς πόλεως· ἀνεπιτήδειος γὰρ φύσει
προστατεύειν δήμου πολυπράγμων ἀνήρ. εἰ δὲ μηδὲ
ἀνήρ, ἀλλ' ἀνθρωπίσκος εὐτελής, καθάπερ οὗτος ὁ
μέγας οἰόμενος περὶ τῆς κεφαλῆς κινδυνεύειν, τοῦτο
δὲ δίδωσιν ἀταξίας ἀρχήν. ὅθεν, ἵνα μὴ γένηται
τοιοῦτο περὶ ὑμᾶς μηδέν, ἀπελθεῖν αὐτῷ προηγορεύ-
σαμεν τῆς πόλεως πάλαι, νυνὶ δὲ καὶ Αἰγύπτου πάσης. D

Προτεθήτω τοῖς ἡμετέροις πολίταις Ἀλεξαν-δρεῦσιν.

νβ'. Ἰουλιανὸς Βοστρηνοῖς.

Ὤιμην ἐγὼ τοὺς τῶν Γαλιλαίων προστάτας ἕξειν
μοι μείζονα χάριν ἢ τῷ φθάσαντι πρὸ ἐμοῦ τὴν ἀρχὴν 436
ἐπιτροπεῦσαι. συνέβη γὰρ ἐπὶ μὲν ἐκείνου τοὺς πολ- 99
λοὺς αὐτῶν καὶ φυγαδευθῆναι καὶ διωχθῆναι καὶ
δεσμευθῆναι, πολλὰ δὲ ἤδη καὶ σφαγῆναι πλήθη τῶν
λεγομένων αἱρετικῶν, ὡς ἐν Σαμοσάτοις καὶ Κυζίκῳ
καὶ Παφλαγονίᾳ καὶ Βιθυνίᾳ καὶ Γαλατίᾳ, καὶ (ἐν)

1 ὑμῖν Hrch.] ὑμῶν 2 καὶ πρᾶγμα οὐδέν Hrch., καὶ πρᾶγμα δὲ οὐδέν H 4 ἔσται Sintenis] ἐστι 7 διὰ τοῦτο αὐτὸ Rsk., δι' αὐτὸ τοῦτο αὐτὸν H 8 ἀνεπιτήδειος H] ἀνεπιτήδειον 9 προστατεύειν Rsk.] προστατεύων 11 μέγα Pet. 12 δὲ delet Sintenis. „Sed deesse potius nonnulla videntur. Itaque hiatum significavi post ἀρχήν". Hrch. | ὅθεν pet.] ὅθεν οὖν 13 περὶ H] πρὸς | μηδὲν H] μηθὲν 20 τοὺς malim abesse 23 ὡς] ὥστε Hrch. | Κυζίκῳ] Κηρύκῳ Pc mart. 24 ἐν addidit H

πολλοῖς ἄλλοις ἔθνεσιν ἄρδην ἀνατραπῆναι πορθη-
B θείσας κώμας, ἐπ' ἐμοῦ δὲ τοὐναντίον. οἵ τε γὰρ
ἐξορισθέντες ἀφείθησαν, καὶ οἱ δημευθέντες ἀπολαμ-
βάνειν τὰ σφέτερα ἅπαντα νόμῳ παρ' ἡμῶν ἔλαβον.
οἱ δ' εἰς τοσοῦτον λυσσομανίας ἥκουσι καὶ ἀπονοίας,
ὥστε, ὅτι μὴ τυραννεῖν ἔξεστιν αὐτοῖς μηδὲ ἃ ποτε
ἔπραττον κατ' ἀλλήλων, ἔπειτα καὶ ἡμᾶς τοὺς θεο-
σεβεῖς εἰργάζοντο, διατιθέναι, παροξυνόμενοι πάντα
κινοῦσι λίθον καὶ συνταράττειν τολμῶσι τὰ πλήθη
C καὶ στασιάζειν, ἀσεβοῦντες μὲν εἰς τοὺς θεούς, ἀπει-
θοῦντες δὲ τοῖς ἡμετέροις προστάγμασι, καίπερ οὕτως
οὖσι φιλανθρώποις. οὐδένα γοῦν αὐτῶν ἄκοντα πρὸς
βωμοὺς ἐῶμεν ἕλκεσθαι, διαρρήδην δὲ αὐτοῖς προ-
αγορεύομεν, εἴ τις ἑκὼν χερνίβων καὶ σπονδῶν ἡμῖν
ἐθέλει κοινωνεῖν, καθάρσια προσφέρεσθαι πρῶτον καὶ
100 τοὺς ἀποτροπαίους ἱκετεύειν θεούς. οὕτω πόρρω
τυγχάνομεν τοῦ τινα τῶν δυσσεβῶν ἐθελῆσαί ποτε ἢ
D διανοηθῆναι τῶν παρ' ἡμῖν εὐαγῶν μετασχεῖν θυ-
σιῶν, πρὶν τὴν μὲν ψυχὴν ταῖς λιτανείαις πρὸς τοὺς
θεούς, τὸ δὲ σῶμα τοῖς νομίμοις καθαρσίοις καθ-
ήρασθαι.

Τὰ γοῦν πλήθη τὰ παρὰ τῶν λεγομένων κληρι-
κῶν ἐξηπατημένα πρόδηλον ὅτι ταύτης ἀφαιρεθείσης
στασιάζει τῆς ἀδείας. οἱ γὰρ εἰς τοῦτο τετυραννη-
437 κότες οὐκ ἀγαπῶσιν ὅτι μὴ τίνουσι δίκην ὑπὲρ ὧν

3 et 4 ἀπολαμβάνειν delendum et deinde ἀπέλαβον pro ἔλαβον scribendum esse arbitror. Cf. Sozomenus V, 5, qui de Iuliano scribit: καὶ τοῖς δημευθεῖσι νόμῳ τὰ σφέτερα ἀπέδωκε 4 ἅπαντα] πάντα Hrch. 7 κατ' H] μετ' 13 et 14 προαγορεύομεν Heyler] προσαγορεύομεν 17 τοῦ τινα Rsk. et Hrch.] τοῦ διά τινα v. Fort. scribendum νὴ Δία τοῦ τινα 24 οἱ γὰρ spanh. e Petavii emendatione] οὐ γὰρ

ἔπραξαν κακῶν, ποθοῦντες δὲ τὴν προτέραν δυναστείαν, ὅτι μὴ δικάζειν ἔξεστιν αὐτοῖς καὶ γράφειν διαθήκας καὶ ἀλλοτρίους σφετερίζεσθαι κλήρους καὶ τὰ πάντα ἑαυτοῖς προσνέμειν, πάντα κινοῦσιν ἀκοσμίας κάλων καὶ τὸ λεγόμενον πῦρ ἐπὶ πῦρ ὀχετεύουσι καὶ τοῖς προτέροις κακοῖς μείζονα ἐπιθεῖναι τολμῶσιν, εἰς διάστασιν ἄγοντες τὰ πλήθη. ἔδοξεν οὖν μοι πᾶσι τοῖς δήμοις προαγορεῦσαι διὰ τοῦδε (τοῦ) δια- B
τάγματος καὶ φανερὸν καταστῆσαι, μὴ συστασιάζειν τοῖς κληρικοῖς μηδὲ ἀναπείθεσθαι παρ' αὐτῶν λίθους αἴρειν μηδὲ ἀπιστεῖν τοῖς ἄρχουσιν, ἀλλὰ συνιέναι μὲν ἕως ἂν ἐθέλωσιν, εὔχεσθαι δὲ ἃς νομίζουσιν εὐχὰς ὑπὲρ ἑαυτῶν· εἰ δὲ ἀναπείθοιεν ὑπὲρ ἑαυτῶν 101
στασιάζειν, μηκέτι συνᾴδειν, ἵνα μὴ δίκην δῶσι.

Ταῦτα δέ μοι παρέστη τῇ Βοστρηνῶν ἰδίᾳ προ- C
αγορεῦσαι πόλει διὰ τὸ τὸν ἐπίσκοπον Τίτον καὶ τοὺς κληρικοὺς ἐξ ὧν ἐπέδοσαν βιβλίων τοῦ μετὰ σφῶν πλήθους κατηγορηκέναι, (ὡς) αὐτῶν μὲν παραινούντων τῷ πλήθει μὴ στασιάζειν, ὁρμωμένου δὲ τοῦ πλήθους πρὸς ἀταξίαν. ἐν γοῦν τοῖς βιβλίοις καὶ αὐτὴν ἣν ἐτόλμησεν ἐγγράψαι τὴν φωνὴν ὑπέταξά
μου τῷδε τῷ διατάγματι. „Καίτοι Χριστιανῶν ὄντων D
ἐφαμίλλων τῷ πλήθει τῶν Ἑλλήνων, κατεχομένων δὲ τῇ ἡμετέρᾳ παραινέσει, μηδένα μηδαμοῦ ἀτακτεῖν.“ ταῦτα γάρ ἐστιν ὑπὲρ ὑμῶν τοῦ ἐπισκόπου τὰ ῥήματα.

1 κακῶν H] κακῶς 4 τὰ Horkelius] τὸ | Verba καὶ τὰ πάντα ἑαυτοῖς προσνέμειν delevit Hrch. 8 προαγορεῦσαι Heyler] προσαγορεῦσαι | τοῦ add. Rsk. et H. Articulus infra recte additus est 11 μηδὲ Hrch.] μήτε | ἀπειθεῖν Pet., ἀπειστεῖν Rsk. 13 εὐχὰς ὑπὲρ Hrch.] εὐχὰς περὶ 15 et 16 προαγορεῦσαι Heyler] προσαγορεῦσαι 18 ὡς αὐτῶν Rsk., αὐτῶν Heyler, τῶν v. In Pc et mart. vacuum est spatium ante τῶν 21 τὴν mihi suspectum est

ὁρᾶτε ὅπως τὴν ὑμετέραν εὐταξίαν οὐκ ἀπὸ τῆς ὑμε-
τέρας εἶναί φησι γνώμης, οἵ γε ἄκοντες, ᾧς γε εἶπε,
438 *κατέχεσθε διὰ τὰς αὐτοῦ παραινέσεις. ὡς οὖν κατ-*
ήγορον ὑμῶν ἑκόντες τῆς πόλεως διώξατε, τὰ πλήθη
δὲ ὁμονοεῖτε πρὸς ἀλλήλους, καὶ μηδεὶς ἐναντιούσθω
μηδὲ ἀδικείτω· μήθ' οἱ πεπλανημένοι τοῖς ὀρθῶς καὶ
δικαίως τοὺς θεοὺς θεραπεύουσι κατὰ τὰ ἐξ αἰῶνος
102 *ἡμῖν παραδεδομένα, μήθ' οἱ θεραπευταὶ τῶν θεῶν*
λυμαίνεσθε ταῖς οἰκίαις ἢ διαρπάζετε τῶν ἀγνοίᾳ
B *μᾶλλον ἢ γνώμῃ πεπλανημένων. λόγῳ δὲ πείθεσθαι*
χρὴ καὶ διδάσκεσθαι τοὺς ἀνθρώπους, οὐ πληγαῖς
οὐδὲ ὕβρεσιν οὐδὲ αἰκισμῷ τοῦ σώματος. αὖθις δὲ
καὶ πολλάκις παραινῶ τοῖς ἐπὶ τὴν ἀληθῆ θεοσέβειαν
ὁρμωμένοις μηδὲν ἀδικεῖν τῶν Γαλιλαίων τὰ πλήθη,
μηδὲ ἐπιτίθεσθαι μηδὲ ὑβρίζειν εἰς αὐτούς. ἐλεεῖν
δὲ χρὴ μᾶλλον ἢ μισεῖν τοὺς ἐπὶ τοῖς μεγίστοις πράτ-
C *τοντας κακῶς· μέγιστον γὰρ τῶν καλῶν ὡς ἀληθῶς*
ἡ θεοσέβεια, καὶ τοὐναντίον τῶν κακῶν ἡ δυσσέβεια.
συμβαίνει δὲ (τοὺς) ἀπὸ θεῶν ἐπὶ τοὺς νεκροὺς καὶ
τὰ λείψανα μετατετραμμένους ταύτην ἀποτῖσαι τὴν
ζημίαν. .... ὡς τοῖς μὲν ἐνεχομένοις τινὶ συναλγοῦ-
μεν, τοῖς δὲ ἀπολυομένοις καὶ ἀφιεμένοις ὑπὸ τῶν
θεῶν συνηδόμεθα.

Ἐδόθη τῇ τῶν Καλανδῶν Αὐγούστου ἐν Ἀντιοχείᾳ.

3 *κατείχεσθε* Rsk. 6 *μήθ'*] „Fortasse *καὶ μήθ'* vel *μήτε δὲ*." Hrch. 10 *γνώμης* Pc mart. 12 *δὲ* Hrch.] *τε* 16 *ἐπὶ*] Fort. *ἐν* ut 422 B 19 *τοὺς* addidit Spanhemius expleta lacuna, quae est et in Pc et in mart. pet. 20 *ἀποτῖσαι* Hrch.] *ἀποτίσαι* 21 Ante *ὡς* exciderunt quaedam. Lacunam igitur significavi | Post *ἐνεχομένοις* fortasse deest *νόσῳ* 24 et 25 *Ἀντιοχείᾳ* Heyler] *Ἀντιοχίᾳ*

νγ'. Ἰαμβλίχῳ φιλοσόφῳ. D

Ὦ Ζεῦ, πῶς ἔχει καλῶς ἡμᾶς μὲν ἐν Θρᾴκῃ δι- 103
άγειν μέσῃ καὶ τοῖς ἐνταῦθα σιροῖς ἐγχειμάζειν, παρ'
Ἰαμβλίχου δὲ τοῦ καλοῦ καθάπερ ἑῴου τινὸς ἔαρος
ἡμῖν τὰς ἐπιστολὰς ἀντὶ χελιδόνων πέμπεσθαι, καὶ 439
μήτε ἡμῖν εἶναι μηδέπω παρ' αὐτὸν ἐλθεῖν μήτ' αὐτῷ
παρ' ἡμᾶς ἥκειν ἐξεῖναι. τίς ἂν ἑκὼν εἶναι ταῦτα
δέξαιτο, ἐὰν μὴ Θρᾷξ τις ᾖ καὶ Τηρέως ἀντάξιος;
Ζεῦ ἄνα, ἀλλὰ σὺ ῥῦσαι ἀπὸ Θρῄκηθεν Ἀχαιούς·
Ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι
ποτὲ τὸν ἡμέτερον Ἑρμῆν καὶ τά τε ἀνάκτορα αὐτοῦ B
προσειπεῖν καὶ τοῖς ἕδεσιν ἐμφῦναι, καθάπερ τὸν
Ὀδυσσέα φασίν, ὅτε ἐκ τῆς ἄλης τὴν Ἰθάκην εἶδεν.
ἀλλ' ἐκεῖνον μὲν οἱ Φαίακες ἔτι καθεύδοντα ὥσπερ
τι φορτίον ἐκθέμενοι τῆς νεὼς ᾤχοντο· ἡμᾶς δὲ οὐδὲ
ὕπνος αἱρεῖ, μέχρις ἂν σέ, τὸ μέγα τῆς οἰκουμένης 104
ὄφελος, ἰδεῖν ἐγγένηται. καίτοι σὺ μὲν τὴν ἑῴαν ὅλην C
ἐμέ τε καὶ τὸν ἑταῖρον Σώπατρον εἰς τὴν Θρᾴκην
μετενηνοχέναι προσπαίζεις· ἡμῖν δέ, εἰ χρὴ τἀληθὲς
εἰπεῖν, ἕως ἂν Ἰάμβλιχος μὴ παρῇ, Κιμμερίων ἀχλὺς
συνοικεῖ. καὶ σὺ μὲν δυοῖν θάτερον αἰτεῖς, ἢ ἡμᾶς
παρὰ σὲ ἥκειν ἢ αὐτόν σε παρ' ἡμᾶς [ἀραμένους ἔχειν].
ἡμῖν δὲ τὸ μὲν ἕτερον εὐκταῖόν τε ὁμοῦ καὶ σύμ-
φορον, αὐτοὺς ἐπανελθεῖν ὡς σὲ καὶ τῶν παρὰ σοὶ D
καλῶν ἀπολαῦσαι· τὸ δὲ ἕτερον εὐχῆς μὲν ἁπάσης
κρεῖττον. ἐπεὶ δὲ ἀδύνατόν σοί γε καὶ ἀξύμφορόν

3 σιροῖς ex Petavii emendatione spanh.] σύροις 7 ἥκειν H] ἥξειν. Praestat vero ἥξειν ἐξεῖναι cum Horkelio delere 9 Iliad. ρ, 645 | σὺ ex Homero inseruit spanh. 16 σέ Hrch.] εἰς 21 μὲν ex Pc addidit Heyler 22 ἡμᾶς Heyler] ἡμᾶς μὲν | ἀραμένους ἔχειν in pet. et spanh. uncis inclusa expunxit Hrch.

ἐστι, σὺ μὲν οἴκοι μένειν καὶ χαίρειν καὶ τὴν ἡσυχίαν ἣν ἔχεις σώζειν, ἡμεῖς δὲ ὅ,τι ἂν θεὸς διδῷ γενναίως οἴσομεν. ἀνδρῶν γὰρ ἀγαθῶν εἶναί φασι
440 τὸ μὲν εὔελπι κεκτῆσθαι καὶ τὰ δέοντα πράττειν, ἕπεσθαι δὲ τοῖς ἀναγκαίοις τοῦ δαίμονος.

105 νδ'. Γεωργίῳ Καθολικῷ.

B Ἡ μὲν ἠχὼ θεὸς ἔστω κατὰ σὲ καὶ λάλος, εἰ δὲ βούλει, καὶ Πανὶ σύζυγος· οὐ γὰρ διοίσομαι. κἂν γὰρ ἐθέλῃ με διδάσκειν ἡ φύσις, ὅτι ἐστὶν ἠχὼ φωνῆς ἐς ἀέρος πλῆξιν ἀντίτυπος ἠχὴ πρὸς τοὔμπαλιν τῆς ἀκοῆς ἀντανακλωμένη, ὅμως, παλαιῶν ἀνδρῶν ἔτι καὶ νέων οὐκ ἔλαττον ἢ τῷ σῷ πειθόμενος λόγῳ,
C θεὸν εἶναι τὴν ἠχὼ δυσωποῦμαι. τί γοῦν ἂν εἴη τοῦτο πρὸς ἡμᾶς, εἰ πολλῷ τῷ μέτρῳ τοῖς πρὸς σὲ φιλικοῖς τὴν ἠχὼ νικῶμεν; ἡ μὲν γὰρ οὐ πρὸς ἅπαντα, ὅ,τι ἂν ἀκούσῃ, μᾶλλον ἢ πρὸς τὰ ἔσχατα τῆς φωνῆς ἀντιφθέγγεται, καθάπερ ἐρωμένη φειδωλὸς ἄκροις ἀντιφιλοῦσα τὸν ἐραστὴν τοῖς χείλεσιν· ἡμεῖς δὲ καὶ τῶν πρὸς σὲ κατάρχομεν ἡδέως, καὶ αὖθις εἰς τὴν
D παρὰ σοῦ πρόκλησιν [οἱονεὶ] σφαίρας δίκην τὸ ἴσον ἀντιπέμπομεν. ὥστε οὐκ ἂν φθάνοις αὐτὸς ἔνοχος ὢν οἷς γράφεις καὶ σαυτὸν ἀφ' ὧν πλέον λαμβάνων
106 ἐλάχιστον ἀντιδίδως, οὐχ *ἡμᾶς, ἐν οἷς ἐπ' ἄμφω πλεονεκτεῖν σπεύδομεν, ἐς τὸ ὅμοιον τῆς εἰκόνος ἐγ-

1 Infinitivi *μένειν*, *χαίρειν*, *σώζειν* suspecti sunt; 396 C quidem *ἔχε* scripsimus cum Herchero pro *ἔχειν* 2 *ἡμεῖς* H] *ἡμῖν*. Ceterum et h. l. et 243 D spectat Demosth. 18,97 4 *τὸ μὲν — πράττειν* cit. Lex. Vind. p. 70,15 12 *ἔτι*] *ἔτι δὲ* suspicatur Hrch. | *ἔλαττον ἢ* spanh. ex emendatione Petavii] *ἐλάττονι* 15 *ἅπαντα*] *πᾶν* Hrch. 16 *μᾶλλον ἢ*] Malim *μᾶλλον δὲ* 20 *πρόκλησιν* Wyttenb. ad Plut. Mor. p. 38 E] *πρόσκλησιν* | *οἱονεὶ* delevit Hrch.

κρίνων. πλὴν ἄν τέ ἴσῳ τῷ μέτρῳ διδῷς ᾧπερ ἂν
λάβῃς ἄν τε μή, ἡμῖν ὅ,τι ἂν ἐξῇ παρὰ σοῦ λαβεῖν 441
ἡδὺ καὶ πρὸς τὸ ὅλον ἀρκεῖν πιστεύεται.

νε΄. Εὐμενίῳ καὶ Φαριανῷ.

Εἴ τις ὑμᾶς πέπεικεν, ὅτι τοῦ φιλοσοφεῖν ἐπὶ
σχολῆς ἀπραγμόνως ἐστὶν ἥδιον ἢ λυσιτελέστερόν τι
τοῖς ἀνθρώποις, ἠπατημένος ἐξαπατᾷ· εἰ δὲ μένει παρ' B
ὑμῖν ἡ πάλαι προθυμία καὶ μὴ καθάπερ φλὸξ λαμπρὰ
ταχέως ἀπέσβη, μακαρίους ἔγωγε ὑμᾶς ὑπολαμβάνω.
τέταρτος ἐνιαυτὸς ἤδη παρελήλυθε καὶ μὴν οὑτοσὶ
τρίτος ἐπ' αὐτῷ σχεδόν, ἐξότε κεχωρίσμεθα ἡμεῖς
ἀλλήλων. ἡδέως δ' ἂν ἐσκεψάμην, ἐν τούτῳ πόσον
τι προεληλύθατε. τὰ δὲ ἐμά, εἰ καὶ φθεγγοίμην Ἑλ-
ληνιστί, θαυμάζειν ἄξιον· οὕτως ἐσμὲν ἐκβεβαρβαρω- C
μένοι διὰ τὰ χωρία. μὴ καταφρονεῖτε τῶν λογιδίων, 107
μηδὲ ἀμελεῖτε ῥητορικῆς μηδὲ τοῦ ποιήμασιν ὁμιλεῖν·
ἔστω δὲ τῶν μαθημάτων ἐπιμέλεια πλείων, ὁ δὲ πᾶς
πόνος τῶν Ἀριστοτέλους καὶ Πλάτωνος δογμάτων
ἐπιστήμη. τοῦτο ἔργον ἔστω, τοῦτο κρηπίς, θεμέλιος,
οἰκοδομία, στέγη· τἆλλα δὲ πάρεργα, μετὰ μείζονος D
σπουδῆς παρ' ὑμῶν ἐπιτελούμενα ἢ παρά τισι τὰ
ἀληθῶς ἔργα. ἐγὼ νὴ τὴν θείαν Δίκην ὑμᾶς ὡς
ἀδελφοὺς φιλῶν ταῦτα ὑμῖν συμβουλεύω· γεγόνατε
γάρ μοι συμφοιτηταὶ καὶ πάνυ φίλοι. εἰ μὲν οὖν
πεισθείητε, πλέον στέρξω, ἀπειθοῦντας δὲ ὁρῶν λυπή-

1 ᾧπερ Hrch.] ὅπερ 5 et 6 ἐπὶ σχολῆς ἀπραγμόνως φιλοσοφεῖν Suidas v. ἐπὶ σχολῆς 12 σκεψαίμην? 13 προυληλύθατε H 13 τὰ δὲ ἐμά] τὸ δὲ ἐμόν H. Cf. 77 D Epist. 59 p. 115 Heyl. 16 ῥητορικῆς Ph] τῆς ῥητορικῆς 19 ἐπιστήμη Petavii est coniectura pro ἐπιστήμης, confirmata illa a Ph

σομαι. λύπη δὲ συνεχὴς εἰς ὅ ποτε τελευτᾶν εἴωθεν, εἰπεῖν παραιτοῦμαι οἰωνοῦ κρείττονος ἕνεκα.

442 νϛ΄. Ἐκδικίῳ.

108 Ἄξιόν ἐστιν, εἴπερ ἄλλου τινός, καὶ τῆς ἱερᾶς ἐπιμεληθῆναι μουσικῆς. ἐπιλεξάμενος οὖν ἐκ τοῦ δήμου τῶν Ἀλεξανδρέων εὖ γεγονότας μειρακίσκους ἀρτάβας ἑκάστῳ (σίτου) κέλευσον δύο τοῦ μηνὸς χορηγεῖσθαι, ἔλαιόν τε ἐπ' αὐτῷ [καὶ σῖτον] καὶ οἶνον·
B ἐσθῆτα δὲ παρέξουσιν οἱ τοῦ ταμιείου προεστῶτες. οὗτοι δὲ τέως ἐκ φωνῆς καταλεγέσθωσαν. εἰ δέ τινες δύναιντο καὶ τῆς ἐπιστήμης αὐτῆς εἰς ἄκρον μετασχεῖν, ἴστωσαν ἀποκείμενα πάνυ μεγάλα τοῦ πόνου τὰ ἔπαθλα καὶ παρ' ἡμῖν. ὅτι γὰρ πρὸ ἡμῶν αὐτοὶ τὰς ψυχὰς ὑπὸ τῆς θείας μουσικῆς καθαρθέντες ὀνήσονται, πιστευτέον τοῖς προαποφαινομένοις ὀρθῶς ὑπὲρ τούτων. ὑπὲρ μὲν οὖν τῶν παίδων τοσαῦτα.
C τοὺς δὲ νῦν ἀκροωμένους τοῦ μουσικοῦ Διοσκόρου ποίησον ἀντιλαβέσθαι τῆς τέχνης προθυμότερον, ὡς ἡμῶν ἑτοίμων ἐπὶ ὅπερ ἂν ἐθέλωσιν αὐτοῖς συναράσθαι.

109 νζ΄. Ἐλπιδίῳ φιλοσόφῳ.

D Ἔστι καὶ μικροῦ γράμματος ἡδονὴ μείζων, ὅταν ἡ τοῦ γράφοντος εὔνοια μὴ τῇ τῆς ἐπιστολῆς σμικρότητι μᾶλλον ἢ τῷ τῆς ψυχῆς μεγέθει μετρῆται· εἰ δὲ

7 σίτου add. H 8 καὶ σῖτον delevit H 9 ταμιείου Hrch.] ταμείου 10 καταλεγέσθων H 12 ἴστων H 13 ἡμῖν H] ἡμῶν 14 ὑπὸ H] ἀπὸ 15 προαποφαινομένοις Ph] ἀποφαινομένοις 19 ἑτοίμων] Vid. L. Dindorf ad Xenoph. Anab. VII, 8,11 23 μικρότητι Heidelb. 356 24 μετρῆται Pet.] μετρεῖται Vat. 1353 et Heidelb. 356, στερῆται v

δὴ καὶ νῦν βραχέα τὰ τῆς προσρήσεως ὑφ' ἡμῶν γε-
γένηται, μηδ' οὕτω τὸν ἐπ' αὐτοῖς πόθον τεκμηριώσῃ,
ἀλλ' εἰδώς, ἐφ' ὅσον ὁ παρ' ἡμῶν ἔρως ἐπὶ σοὶ τέ-
ταται, τῇ μὲν τοῦ γράμματος βραχύτητι συγγνώμην
νέμε, τοῖς ἴσοις δὲ ἡμᾶς ἀμείβεσθαι μὴ κατόκνει. πᾶν
γὰρ ὅ,τι ἂν διδῷς, κἂν μικρὸν ᾖ, παντὸς ἀγαθοῦ 443
γνώρισμα παρ' ἡμῖν σώζει.

νη'. Ἰουλιανὸς Ἀλεξανδρεῦσιν.

Ὀβελὸν εἶναι παρ' ὑμῖν ἀκούω λίθινον εἰς ὕψος
ἱκανὸν ἐπηρμένον, ἐπὶ τῆς ᾐόνος ὥσπερ ἄλλο τι τῶν B
ἀτιμοτάτων ἐρριμμένον. ἐπὶ τοῦτον ἐναυπηγήσατο σκά- 110
φος ὁ μακαρίτης Κωνστάντιος, ὡς μετάξων αὐτὸν εἰς
τὴν ἐμὴν πατρίδα Κωνσταντίνου πόλιν. ἐπεὶ δὲ ἐκείνῳ
συνέβη θεῶν ἐθελόντων ἐνθένδε ἐκεῖσε πορευθῆναι
τὴν εἱμαρμένην πορείαν, ἡ πόλις ἀπαιτεῖ παρ' ἐμοῦ
τὸ ἀνάθημα, πατρὶς οὖσά μου καὶ προσήκουσα πλέον
ἤπερ ἐκείνῳ. ὁ μὲν γὰρ αὐτὴν ὡς ἀδελφήν, ἐγὼ δὲ
ὡς μητέρα φιλῶ· καὶ γὰρ ἐγενόμην παρ' αὐτῇ καὶ C
ἐτράφην ἐκεῖσε, καὶ οὐ δύναμαι περὶ αὐτὴν ἀγνωμο-
νῆσαι. τί οὖν; ἐπειδὴ καὶ ὑμᾶς οὐδὲν ἔλαττον τῆς
πατρίδος φιλῶ, δίδωμι καὶ παρ' ὑμῖν ἀναστῆσαι τὴν
χαλκῆν εἰκόνα. πεποίηται δὲ ἔναγχος ἀνδριὰς τῷ
μεγέθει κολοσσικός, ὃν ἀναστήσαντες ἕξετε ἀντὶ ἀνα-

1 δὴ om. Heidelb. 356 | τὰ τῆς προσρήσεως Vat. Heidelb.] τὰ τῆς ψυχῆς προσρήσεως 1 et 2 γεγένηται H] γένηται 2 μηδ' οὕτω Heidelb. 356] μὴ οὕτω v. Fort. μὴ τούτῳ 10 ἐπηρμένον G et Ottob. 90] ᾐρμένον | ᾐόνος Hrch.] ἠιόνος 11 τοῦτον G Ottob. 90] τούτῳ | ἐναυπηγήσατο G Ottob. 90] ἐναυπήγησε 16 μου] Malim μοι 19 et 20 ἀγνώμων εἶναι G Ottob. 90 | τί οὖν vulgo epistolae, quae sequitur, ad Dionysium est praefixum 20 Quae sequuntur ab ἐπειδή usque ad finem epistolae vulgo desunt a Muratorio primo in Anecdotis Graecis suppleta 21 ἀναστῆσαι H] ἀναστῆναι

θήματος λιθίνου χαλκοῦν, ἀνδρός, οὗ φατε ποθεῖν, εἰκόνα καὶ μορφὴν ἀντὶ τριγώνου λίθου χαράγματα ἔχοντος Αἰγύπτια. καὶ τὸ λεγόμενον δέ, ὥς τινές εἰσιν οἱ θεραπεύοντες καὶ προσκαθεύδοντες αὐτοῦ τῇ κορυφῇ, πάνυ με πείθει χρῆναι τῆς δεισιδαιμονίας ἕνεκα ταύτης ἀπάγειν αὐτόν. οἱ γὰρ θεώμενοι τοὺς καθεύδοντας ἐκεῖ, πολλοῦ μὲν ῥύπου, πολλῆς δὲ ἀσελγείας περὶ τὸν τόπον ὡς ἔτυχεν οὔσης, οὔτε πιστεύουσιν αὐτὸν θεῖον εἶναι, καὶ διὰ τὴν τῶν προσεχόντων 111 *αὐτῷ δεισιδαιμονίαν ἀπιστότεροι περὶ τοὺς θεοὺς καθίστανται. δι' αὐτὸ δὴ οὖν τοῦτο καὶ μᾶλλον ὑμῖν προσήκει συνεπιλαβέσθαι καὶ πέμψαι τῇ ἐμῇ πατρίδι τῇ ξενοδοκούσῃ καλῶς ὑμᾶς, ὅτε εἰς τὸν Πόντον εἰσπλεῖτε, καὶ ὥσπερ εἰς τὰς τροφὰς καὶ εἰς τὸν ἐκτὸς κόσμον συμβάλλεσθαι. πάντως οὐκ ἄχρι καὶ παρ' αὐτοῖς ἑστάναι τι τῶν ὑμετέρων, εἰς ὃ προσπλέοντες τῇ πόλει μετ' εὐφροσύνης ἀποβλέψετε.*

νθ'. Διονυσίῳ.

Ἀμείνων ἦσθα σιωπῶν πρότερον ἢ νῦν ἀπολογούμενος, οὐδὲ γὰρ ἐλοιδοροῦ τότε, καίτοι διανοούμενος ἴσως αὐτό· νυνὶ δὲ ὥσπερ ὠδίνων τὴν καθ' ἡμῶν λοιδορίαν ἀθρόαν ἐξέχεας. ἦ γὰρ οὐ χρή με

13 *ξενοδοκούσῃ* H] *ξενοδοχούσῃ* 14 „Post *τροφάς* addendum videtur *οὕτω*." Rsk. Vid. ad 119 D et add. Misop. 350 B 15 *καὶ* om. G 16 Hanc epistolam in pet. et spanh. valde corruptam et lacunosam Fabricius in Luce Salut. Evang. p. 326—338 e codice Mediceo (eodem sine dubio ac Laurentiano 58, 16, cuius accuratiore collatione usus est Hercherus) multo pleniorem atque emendatiorem edidit | „Ms. Mediceus hanc habet inscriptionem: *Ἰουλιανὸς κατὰ Νείλου*." Fabricius 19 *ἀμείνων — ἀπολογούμενος* desunt vulgo 20 *οὐδὲ* A] *οὐ* 21 — p. 569,1 *νυνὶ δὲ — λοιδορίαν αὐτὸ* om. v | *ὠδίνων — ἐξέχεας* cit. Suidas v. *ὤδινον* 22 *ἀθρόαν* H] *ἄθροον* A, *ἄθρουν* Suid.

καὶ λοιδορίαν αὐτὸ καὶ βλασφημίαν νομίζειν, ὅτι με D
τοῖς σεαυτοῦ φίλοις ὑπελάμβανες εἶναι προσόμοιον, 112
ὧν ἑκατέρῳ δέδωκας σεαυτὸν ἄκλητον, μᾶλλον δὲ τῷ
μὲν ἄκλητον, τῷ προτέρῳ, τῷ δευτέρῳ δὲ ἐνδειξαμένῳ
μόνον, ὅτι σε συνεργὸν ἐθέλει προσλαβεῖν, ὑπήκουσας.
ἀλλ' εἰ μὲν ἐγὼ προσόμοιός εἰμι Κώνσταντι καὶ
Μαγνεντίῳ, τὸ πρᾶγμα αὐτό, φασί, δείξει· σὺ δ' ὅτι
κατὰ τὸν Κωμικὸν

Σαυτὴν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας, γύναι,

πρόδηλόν ἐστιν ἐξ ὧν ἐπέστειλας. ἡ γὰρ ἀφοβία καὶ 444
τὸ μέγα θάρσος καὶ τὸ εἴθε με γνοίης ὅσος καὶ
οἷός εἰμι, καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα, βαβαί, πη-
λίκου κτύπου καὶ κόμπου ῥημάτων ἐστίν. ἀλλὰ καὶ
πρὸς τῶν Χαρίτων καὶ τῆς Ἀφροδίτης, εἰ τολμηρὸς
οὑτωσὶ καὶ γενναῖος, τί καὶ τρίτον ηὐλαβήθης, ἂν
δέῃ, προσκρούειν; οἱ γὰρ τοῖς κρατοῦσιν ἀπεχθανό-
μενοι, τὸ μὲν κουφότατον καί, ὡς ἂν εἴποι τις, ἥδιστον
τῷ γε νοῦν ἔχοντι, τοῦ πράγματα ἔχειν ταχέως ἀπαλ-
λάττονται, μικρὰ δὲ εἰ χρὴ προσζημιωθῆναι, περὶ τὰ
χρήματα πταίουσι· τὸ δὲ κεφάλαιόν ἐστι τῆς ὀργῆς
καὶ τὸ παθεῖν, φασί, τὰ ἀνήκεστα, το ζῆν προέσθαι.
τούτων δὴ πάντων ὑπερορῶν, ὅτι καὶ τὸν ἰδίως …
ἐπέγνωκας· καὶ τὸν κοινῶς καὶ γενικῶς ἄνθρωπον

1 νομίζων v 2 σαυτοῦ A, ἑαυτοῦ Pbi | ὑπελάμβανες A] ὑπέλαβες 3 δέδωκας σεαυτὸν ἄκλητον τῷ δευτέρῳ Suidas v. ἄκλητον 3 et 4 τῷ μὲν Rsk. et H] τὸν μὲν 8 Κωμικόν] Philemonem. Vid. Photii Lex. p. 503 11 θάρσος A] θράσος | εἴθε με γνοίης ὅσος καὶ A] εἴθ' ἐμὲ γνοίης 13 ἐστίν A] εἰσίν 14 et 15 εἰ τολμηρὸς οὑτοσὶ A (unde οὑτωσὶ Fabricius), εἰ καὶ τολμηρὸς οὕτω v. Malim εἰ τολμηρὸς οὕτως εἶ 15 Verba τί καὶ τρίτον usque ad πολέμου p. 570,10 desunt vulgo ηὐλαβήθης Hrch.] εὐλαβήθης 18 πράγματα H] πράγματος 21 καί transponam ante τὸ ζῆν 22 „In A spatium est sex literarum capax.“ Hrch.

ὑφ' ἡμῶν τῶν ὀψιμαθῶν ἀγνοούμενον, ἀνθ' ὅτου 113 πρὸς τῶν θεῶν εὐλαβεῖσθαι ἔφης, μὴ τρίτον προσκρούσῃς; οὐ γὰρ δὴ πονηρὸν ἐκ χρηστοῦ σε ποιήσω χαλεπήνας ἐγώ· ζηλωτὸς γὰρ (ἂν) ἦν ἐν δίκῃ τοῦτο δυνάμενος· ἦ γάρ, ὥς φησι Πλάτων, καὶ τοὐναντίον οἷός τε ἦν ἄν. ἀδεσπότου δὲ τῆς ἀρετῆς οὔσης ἐχρῆν ὑπολογίζεσθαι μηδὲν τῶν τοιούτων. ἀλλ' οἴει μέγα τὸ πάντας μὲν βλασφημεῖν, πᾶσι δὲ ἁπλῶς λοιδορεῖσθαι, καὶ τὸ τῆς εἰρήνης τέμενος ἀποφαίνειν ἐργαστήριον (πολέμου). ἢ τοῦτο νομίζεις ὑπὲρ τῶν παλαιῶν B ἁμαρτημάτων ἀπολογεῖσθαι πρὸς ἅπαντας, καὶ τῆς πάλαι ποτὲ μαλακίας παραπέτασμα τὴν νῦν ἀνδρείαν εἶναί σοι; τὸν μῦθον ἀκήκοας τὸν Βαβρίου „Γαλῆ ποτ' ἀνδρὸς εὐπρεποῦς ἐρασθεῖσα“· τὰ δὲ ἄλλα ἐκ τοῦ βιβλίου μάνθανε. πολλὰ εἰπὼν οὐδένα ἂν πείσειας ἀνθρώπων, ὡς οὐ γέγονας ὅπερ οὖν γέγονας καὶ οἷον πολλοὶ πάλαι σε ἠπίσταντο. τὴν νῦν δὲ ἀμαθίαν καὶ τὸ θάρσος οὐχ ἡ φιλοσοφία μὰ τοὺς θεοὺς ἐνεποίησέ σοι, τοὐναντίον δὲ ἡ διπλῆ κατὰ C Πλάτωνα ἄγνοια. κινδυνεύων γὰρ εἰδέναι μηδέν, ὡς οὐδὲ ἡμεῖς, οἴει πάντων εἶναι σοφώτατος, οὐ τῶν νῦν ὄντων (μόνον), ἀλλὰ καὶ τῶν γεγονότων, ἴσως δὲ καὶ τῶν ἐσομένων. οὕτω σοι πρὸς ὑπερβολὴν ἀμαθίας τὰ τῆς οἰήσεως ἐπιδέδωκεν.

1 τῶν add. A 4 ἂν add. H 5 Πλάτων] Criton. p. 44 D 8 μὲν Heyler] μὴ 10 πολέμου add. H | τούτῳ Horkelius 11 ἀπολογίαν Rsk. | ἅπαντα A 12 ἀνδρίαν A 13 τὸν Γαβρίου add. Bar., τὸν φαβεῖου A, τὸν Βαβρίου scripsit Heyler. Fabula est XXXII apud Lachmannum 15 et 16 πείσειας Hrch.] πείσῃς 16 ὅσπερ? 17 οἱ πολλοὶ pet. spanh. 18 θάρσος A] θράσος | ἡ add. A 20 κινδυνεύω A, κινδυνεύεις Hrch., qui vs. 21 post οἴει ex A δὲ inseruit 21 οἴει δὲ A, οἴῃ v | σοφώτατος A] σοφώτερος 22 μόνον add. H 23 τῶν ἐσομένων A] ἐσομένων 24 ἐπιδέδωκεν A] ἐπέδωκε

Ἀλλὰ σοῦ μὲν ἕνεκα καὶ ταῦτα τῶν ἱκανῶν εἴρηταί μοι πλείω, δεῖ δὲ ἴσως ἀπολογήσασθαι διὰ σὲ καὶ τοῖς ἄλλοις, ὅτι προχείρως ἐπὶ κοινωνίαν σε παρεκάλεσα πραγμάτων. οὐ πρῶτος οὐδὲ μόνος ἔπαθον, ὦ D Διονύσιε. ἐξηπάτησε καὶ Πλάτωνα τὸν μέγαν ὁ σὸς ὁμώνυμος, ἀλλὰ καὶ (Δίωνα) ὁ Ἀθηναῖος Κάλλιπος· εἰδέναι μὲν γάρ αὐτόν φησι πονηρόν, τηλικαύτην δὲ ἐν αὐτῷ τὸ μέγεθος κακίαν οὐδὲ ἐλπίσαι πώποτε. καὶ τί χρὴ λέγειν ὑπὲρ τούτων, ὅπου καὶ τῶν Ἀσκληπιαδῶν ὁ ἄριστος Ἱπποκράτης ἔφη· Ἔσφηλαν δέ μου τὴν γνώμην αἱ ἐν τῇ κεφαλῇ ῥαφαί; εἶτ' ἐκεῖνοι μὲν ὑπὲρ ὧν ᾔδεσαν ἐξηπατῶντο, καὶ τὸ τεχνικὸν ἐλάνθανε τὸν ἰατρὸν θεώρημα, θαυμαστὸν δέ, εἴπερ Ἰουλιανὸς ἀκούσας ἐξαίφνης ἀνδρίζεσθαι [τὸν Νειλῷον ἢ] Διονύσιον ἐξηπατήθη; ἀκούεις ἐκεῖνον τὸν Ἠλεῖον 445 Φαίδωνα, καὶ τὴν ἱστορίαν ἐπίστασαι· εἰ δὲ ἀγνοεῖς, ἐπιμελέστερον πολυπραγμόνησον, ἐγὼ δὲ οὐκ ἐρῶ τοῦτο. ἐκεῖνος ἐνόμιζεν οὐδὲν ἀνίατον εἶναι τῇ φιλοσοφίᾳ, πάντας δὲ ἐκ πάντων ὑπ' αὐτῆς καθαίρεσθαι βίων, ἐπιτηδευμάτων, ἐπιθυμιῶν, πάντων ἁπαξαπλῶς

(114 in right margin at line 1)

1 τῶν ἱκανῶν A] ἱκανῶς 2 μοι A] σοι | δεῖ δὲ] δεῖ pet. spanh. | διά σε pet. spanh. | καὶ om. Pbi 4 οὐ] ὁ οὐ Rsk. 5 ἐξηπάτησε A] ἐξηπάτηκε | τὸν μέγαν add. A 6 Verba ἀλλὰ καὶ — 8 πώποτε desunt vulgo 6 Δίωνα addidit H; nam ἐκεῖνοι vs. 11 docet non unum Platonem, sed plures ab Iuliano commemorari, qui erraverint. Atque etiam vs. 9 ὑπὲρ τούτων de duobus illis, Platone ac Dione, intelligendum. 7 φησι A] φασι. Vid. Plat. Epist. VII. p. 351 8 οὐδὲ] οὐδ' ἂν? 9 τί A] τί δὴ | τούτων A] τούτου | ὅπου A] ὅπως 10 ἄριστος A] κράτιστος | ἔφη add. Bar. Vid. Hippocr. t. II. p. 1150 F ed. Foes. 11 ἐν τῇ κεφαλῇ A] περὶ τὴν κεφαλὴν 12 ἐξηπατῶντο Rsk. et H] ἐξηπατοῦντο 13 θαυμαστὸν Pbi] θαυμαστέον 14 τὸν Νειλῷον ἢ delevit Hrch. Pro τὸν Νειλῷον ἢ Διονύσιον praebet A τὸν νεῖλον 17 οὐκ ineptum est. Fort. μόνον scribendum 18 οὐδὲν ἀνίατον εἶναι A] ἀνίατον οὐδένα 20 βίων APb] βίον 20 et p. s. τῶν ἁπαξαπλῶς τοιούτων pet. spanh.

τῶν τοιούτων. εἰ γὰρ τοῖς εὖ πεφυκόσι καὶ καλῶς τεθραμμένοις ἐπήρκει μόνον, οὐδὲν ἂν ἦν θαυμαστὸν τὸ κατ' αὐτήν· εἰ δὲ καὶ τοὺς οὕτω διακειμένους 115 ἀνάγει πρὸς τὸ φῶς, δοκεῖ μοι διαφερόντως εἶναι θαυμάσιον. ἐκ τούτων ἡ περὶ σέ μοι κατ' ὀλίγον γνώμη, ὡς ἴσασιν οἱ θεοὶ πάντες, ἔρρεπεν ἐπὶ τὸ βέλτιον. οὔτοι γοῦν οὔτε ἐν πρώτοις οὔτε ἐν δευτέροις τῶν κρατίστων ἐθέμην ἀνδρῶν τὸ κατὰ σέ. ἐπίστασαι ἴσως αὐτός· εἰ δὲ ἀγνοεῖς, τοῦ καλοῦ Συμ- B μάχου πυνθάνου. πέπεισμαι γάρ, ἐκεῖνος ὅτι οὔποτ' ἂν ἑκὼν εἶναι ψεύσαιτο, τὰ πάντα ἀληθίζεσθαι πεφυκώς. εἰ δὲ ἀγανακτεῖς, ὅτι μὴ πάντων σε προυτιμήσαμεν, ἐγὼ μὲν ἐμαυτῷ, ὅτι σε καὶ ἐν ἐσχάτοις ἔταξα, μέμφομαι, καὶ χάριν οἶδα τοῖς θεοῖς πᾶσί τε καὶ πάσαις, οἵ κοινωνῆσαί (σε) πραγμάτων καὶ φίλους ἡμᾶς γενέσθαι διεκώλυσαν. . . . καὶ γὰρ εἰ πολλὰ περὶ τῆς φήμης οἱ ποιηταί φασιν ὡς ἔστι θεός, ἔστω δέ, εἰ βούλει, δαιμόνιον, καὶ τὸ τῆς φήμης οὐ πάντῃ προσεκτέον αὐτῇ, διότι πέφυκε τὸ δαιμόνιον οὐ πάντα καθαρὸν οὐδὲ ἀγαθὸν τελείως ὡς τὸ τῶν θεῶν εἶναι γένος, ἀλλ' ἐπικοινωνεῖ πως καὶ πρὸς θάτερον. εἰ δὲ ὑπὲρ τῶν ἄλλων δαιμόνων οὐ θέμις τοῦτο φάναι,

2 ἂν add. A 3 εἰ δὲ καὶ — 10 πυνθάνου desunt vulgo 3 τούς οὕτω Rsk. et H] τοσούτῳ 5 Fort. θαυμαστόν 7 οὔτοι — οὔτε — οὔτε Sintenis] οὕτω — οὐδὲ — οὐδὲ 9 αὐτός H] αὐτό 10 ἐκεῖνος add. A | οὔποτέ A 11 εἶναι add. A | τὰ om. A 12 εἰ δὲ ἀγανακτεῖς — 3 p. s. ψευδομαρτυριῶν desunt vulgo 12 et 13 προυτιμήσαμεν H] προετιμήσαμεν 13 ἐμαυτῷ H, ut Epist. 69 p. 138 Heyl.] ἐμαυτοῦ v, ἐμαυτὸν Hrch. 14 τοῖς deleam. Vid. 415 A, ad 352 A et Cobeti N. L. p. 27. Τοῖς θεοῖς πᾶσι καὶ πάσαις habet tamen Aeschines quoque Or. 1,116 15 σε add. H | πραγμάτων καὶ φίλους ἡμᾶς Rsk. et H] καὶ φίλους ἡμᾶς πραγμάτων. Ceterum spectat hunc locum Tzetzes Chil. XIII, 539 16 Lacunam significavi; nam excidisse quaedam videntur

περὶ τῆς φήμης οἶδ' ὅτι λέγων, ὡς πολλὰ μὲν ψευδῶς, πολλὰ δὲ ἀληθῶς ἀγγέλλει, οὔποτ' ἂν αὐτὸς ἁλοίην ψευδομαρτυριῶν.

Ἀλλὰ τὴν παρρησίαν τὴν σὴν οἴει τεττάρων εἶναι 116
ὀβολῶν, τὸ λεγόμενον, ἀξίαν; οὐκ οἶσθ' ὅτι καὶ Θερσίτης ἐν τοῖς Ἕλλησιν ἐπαρρησιάζετο, καὶ Ὀδυσσεὺς μὲν αὐτὸν ὁ συνετώτατος ἔπαιε τῷ σκήπτρῳ, τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παροινίας ἔλαττον ἔμελλεν ἢ χελώνῃ μυιῶν, τὸ τῆς παροιμίας; πλὴν οὐ μέγα ἔργον ἐστὶν ἐπιτιμᾶν ἄλλοις, ἑαυτὸν δὲ ἀνεπιτίμητον παρασχεῖν. εἰ δέ σοι ταύτης μέτεστι τῆς μερίδος, ἐπίδειξον ἡμῖν. ἆρ' ὅτε νέος ἦσθα, καλὰς ἔδωκας ὑπὲρ σαυτοῦ τοῖς πρεσβυτέροις ὁμιλίας; ἀλλ' ἐγὼ κατὰ τὴν Εὐριπίδειον Ἠλέκτραν τὰς τοιαύτας σιγῶ τύχας. ἐπεὶ δὲ ἀνὴρ γέγονας καὶ στρατοπέδῳ παρέβαλες, ἔπραξας πῶς πρὸς τοῦ Διός; ὑπὲρ τῆς ἀληθείας φὴς προσκρούσας ἀπηλλάχθαι. ἐκ τίνων τοῦτο ἔχων δεῖξαι, ὥσπερ οὐ πολλῶν καὶ πονηροτάτων, ὑφ' ὧνπερ καὶ αὐτὸς ἀπηλάθης, ἐκτοπισθέντων; οὐ τοῦτό ἐστιν, ὦ συνετώτατε Διονύσιε, σπουδαίου καὶ σώφρονος ἀνδρός, ἀπεχθανόμενον ἀπελθεῖν τοῖς κρατοῦσιν. ἦσθα δὲ ἂν βελτίων, εἰ τοὺς ἀνθρώπους ἐκ τῆς πρὸς σεαυτὸν C

1 λέγων Heyler] λέγω 4 τὴν παρρησίαν — 9 τὸ τῆς παροιμίας cit. Suidas v. τεττάρων ὀβολῶν et v. χελώνη μυιῶν 4 et 5 ὀβολῶν εἶναι Suid. s. τεττάρων ὀβολῶν 5 ἀξίαν om. Suid. Sed vid. Apostol. 16,35 | οὐκ οἶσθ' — 9 παροιμίας desunt vulgo | οἶσθα Suid., οἶδ' A 6 καὶ Ὀδυσσεὺς — σκήπτρῳ om. Suid. 8 παροινίας A et Suid. s. τεττάρων ὀβολῶν] παρρησίας Suid. s. χελώνη μυιῶν et Apostol. 18,19 9 τὸ τῆς παροιμίας] τὸ τοῦ λόγου Suid. s. τεττάρων ὀβολῶν 10 ἑαυτὸν A] αὐτὸν 12 ἆρ' ὅτε — 19 ἐκτοπισθέντων desunt vulgo 13 ὑπὲρ A] περὶ 14 Εὐριπίδειον] Orest. 16 | τὰς A] καὶ 16 πῶς H] ὅπως 19 τοῦτο A] τούτων 20 ἀνδρὸς καὶ σώφρονος heyleriana et Hercher. 21 ἀπεχθανόμενον A] ἀπεχθόμενον 22 σεαυτὸν A] ἑαυτὸν

συνουσίας ἀπέφηνας ἡμῖν μετριωτέρους. ἀλλὰ τοῦτο μὲν οὐ κατὰ σέ, μὰ τοὺς θεούς, οὐδὲ κατὰ μυρίους ἄλλους, ὅσοι ζηλοῦσι τὸν σὸν τρόπον· πέτραι γὰρ
117 πέτραις καὶ λίθοι λίθοις προσαραττόμενοι οὐκ ὠφελοῦσι μὲν ἀλλήλους, ὁ δ' ἰσχυρότερος τὸν ἥττονα εὐχερῶς συντρίβει.

Ἆρα μὴ Λακωνικῶς ταῦτα καὶ συντόμως λέγω;
D ἀλλ' ἐγὼ μὲν οἶμαι λαλίστερος διὰ σὲ καὶ τῶν Ἀττικῶν ἀποπεφάνθαι τεττίγων. ὑπὲρ δὲ ὧν εἰς ἐμὲ πεπαρῴνηκας, ἐπιθήσω σοι δίκην τὴν πρέπουσαν, ἐθελόντων θεῶν καὶ τῆς δεσποίνης Ἀδραστείας. τίς οὖν ἡ δίκη καὶ τί μάλιστα τὸ δυνάμενόν σου τὴν γλῶτταν καὶ τὴν διάνοιαν ὀδυνῆσαι; ὡς ἐλάχιστα πειράσομαι διά τε τῶν λόγων καὶ διὰ τῶν ἔργων ἐξαμαρτὼν μὴ παρασχέσθαι σου τῇ κακηγόρῳ γλώττῃ πολλὴν φλυαρίαν. καίτοι με οὐ λέληθεν, ὅτι καὶ τῆς Ἀφροδίτης φασὶν ὑπὸ τοῦ Μώμου ἐσκῶφθαι τὸ σάνδαλον. ἀλλ'
446 ὁρᾷς ὅτι πολλὰ καὶ ὁ Μῶμος ἐρρήγνυτο, καὶ μόλις ἐλαμβάνετο τοῦ σανδάλου. εἴη δὲ καὶ σὲ περὶ ταῦτα τριβόμενον καταγηρᾶσαι καὶ τοῦ Τιθωνοῦ βαθύτερον καὶ τοῦ Κινύρου πλουσιώτερον καὶ τοῦ Σαρδαναπάλλου τρυφηλότερον, ὅπως τὸ τῆς παροιμίας ἐπὶ σοῦ πληρωθῇ Δὶς παῖδες οἱ γέροντες.

2 κατά σε v, corr. Heyler 4 οὐκ om. A 5 δὲ A et v, δ' Pbi 5 et 6 τὸν ἥττονα εὐχερῶς συντρίβει A] συντρίβει τὸν ἥττονα εὐχερῶς 7 λέγω add. Suidas v. Λακωνικῶς 8 ἀλλ' deest vulgo | διά σε v, corr. Hrch. 9 ὑπὲρ δὲ Bar. Pi] ὑπὲρ 12 τὸ δυνάμενον—ἐλάχιστα absunt vulgo 14 διὰ alterum abest vulgo 15 γλώσσῃ A 17 τὸ σάνδαλον A] τὸν σάνδαλον 19 ἐλαμβάνετο H, quod Hrch. quoque mavult] ἐλάμβανε | καί σε v, corr. Hrch. 20 καταγηρᾶσαι—23 γέροντες cit. Suidas v. καταγηράσαις et v. Σαρδαναπάλους 20 καταγηρᾶσαι Hrch.] καταγηράσαι | βαθύτερον A Suid.] βαρύτερόν τε 21 et 22 Σαρδαναπάλλου Hrch.] Σαρδαναπάλου 22 τρυφηλότερον ὅπως Suid.] τρυφερώτερον ὅπως καὶ | σοῦ A et v] σοὶ Suid. 23 Post γέροντες A addit φασίν

Ἀλλ' ὁ θεσπέσιος Ἀλέξανδρος ἐκ τίνων ἐφάνη σοι τηλικοῦτος; ἆρ' ὅτι μιμητὴς αὐτοῦ γενόμενος ἐζήλωσας ὅσα ἐκείνῳ τὸ μειράκιον (ὁ) Ἑρμόλαος ὠνείδισεν; 118
ἢ τοῦτο μὲν οὐδεὶς οὕτως ἐστὶν ἀνόητος ὡς ὑπονοῆσαι περὶ σοῦ· τοὐναντίον δὲ καὶ ὅπερ ἀπωδύρετο παθὼν Ἑρμόλαος, καὶ διόπερ διενοεῖτο τὸν Ἀλέξανδρον, ὥς φασιν, ἀποκτεῖναι, τοῦτο δὲ οὐδεὶς ὅστις πεπεισμένος οὐκ ἔστι περὶ σοῦ; πολλῶν δὲ ἐγὼ νὴ τοὺς θεοὺς καὶ σφόδρα σε φαμένων φιλεῖν ἀκήκοα πολλὰ ὑπὲρ ταύτης ἀπολογουμένων τῆς ἁμαρτίας, ἤδη δέ τινος καὶ ἀπιστοῦντος. ἀλλ' οὗτός ἐστιν ἡ μία χελιδών, οὐ ποιεῖ τὸ ἔαρ. ἀλλ' ἴσως ἐκεῖθεν Ἀλέξανδρος ὤφθη σοι μέγας, ὅτι Καλλισθένη μὲν ἀπέκτεινε πικρῶς, Κλεῖτος δὲ αὐτοῦ τῆς παροινίας ἔργον ἐγένετο, Φιλώτας τε καὶ Παρμενίων [καὶ τὸ Παρμενίωνος παιδίον]. ἔπειτα τὰ περὶ τὸν Ἕκτορα τὸν [ἐν Αἰγύπτῳ] τοῦ Νείλου ταῖς δίναις ἢ ταῖς Εὐφράτου· λέγεται γὰρ ἑκάτερον· ἐναποπνιγέντα καὶ τὰς ἄλλας αὐτοῦ παιδιὰς σιωπῶ, μὴ βλασφημεῖν ἄνδρα δόξω τὸ κατωρθωμένον μὲν οὐδαμῶς ἔχοντα, κράτιστον μέντοι τὰ πολεμικὰ [στρατηγόν]. ὧν σὺ κατὰ τὴν προαίρεσιν καὶ κατὰ τὴν ἀνδρείαν ἔλαττον μετέχεις ἢ τριχῶν ἰχθύες. ἄκουε δὴ τῆς παραινέσεως μὴ λίαν ὀργίλως,

Οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια ἔργα,

τὸ δὲ ἑξῆς οὐ παραγράφω σοι, αἰσχύνομαι γὰρ νὴ 119
τοὺς θεούς. ἀξιῶ μέντοι σε προσυπακούειν αὐτό· καὶ

1 Ἀλλ' ὁ θεσπέσιος — p. 577,10 et 11 τεκμήρασθαι desunt vulgo 3 ὁ add. Hrch. 15 et 16 καὶ τὸ Παρμενίωνος παιδίον uncis inclusit Heyler 16 ἐν Αἰγύπτῳ uncis inclusit H 19 δόξω Hrch.] δόξαιμι 19 et 20 κατωρθωμένον H] κατορθώμενον A, κατορθούμενον Hrch. 21 στρατηγόν uncis inclusit H 24 Iliad. ε, 428 25 παραγράφω σοι H] παραγράφομαι. Vid. Annall. Lips. a. 1874 p. 229 26 καὶ Heyler] κἂν

γὰρ εὔλογον ἕπεσθαι τοῖς ἔργοις τοὺς λόγους, ἀλλὰ μὴ φεύγειν τὰ ῥήματα τὸν μηδαμῶς διαπεφευγότα (τὰ) ἔργα.

Ἀλλ' ὁ τὴν Μαγνεντίου καὶ Κώνσταντος οὐσίαν αἰσχυνόμενος, ἀνθ' ὅτου τοῖς ζῶσι πολεμεῖς καὶ τοῖς ὁπωσοῦν βελτίστοις λοιδορῇ; πότερον ὅτι μᾶλλον ἐκεῖνοι δύνανται τῶν ζώντων ἀμύνεσθαι τοὺς λυποῦντας; ἀλλὰ σοὶ τοῦτο οὐ προσήκει λέγειν· εἶ γάρ, ὡς γράφεις, θαρραλεώτατος. ἀλλ' εἰ μὴ τοῦτο, τυχὸν ἕτερον· ὡς γὰρ οὐκ αἰσθανομένους ἐπισκώπτειν ἴσως οὐ βούλει. τῶν ζώντων δὲ ἆρά τις οὕτως εὐήθης ἐστὶν ἢ μικρόψυχος, ὃς ἀξιώσειεν ἂν αὐτοῦ παρὰ σοὶ λόγον εἶναί τινα, καὶ οὐ βουλήσεται μάλιστα μὲν ἀγνοεῖσθαι παρὰ σοῦ παντάπασιν, εἰ δ' ἀδύνατον εἴη, λοιδορεῖσθαι παρὰ σοῦ μᾶλλον, καθάπερ ἐγὼ νῦν, ἢ τιμᾶσθαι; μήποτε οὕτω κακῶς φρονήσαιμι, μήποτε τῶν παρὰ σοῦ μᾶλλον ἐπαίνων ἢ ψόγων ἀντιποιησαίμην.

Ἀλλ' αὐτὸ τοῦτο τὸ γράφειν πρὸς σὲ δακνομένου τυχὸν ἴσως ἐστίν; οὐ μὰ τοὺς θεοὺς τοὺς σωτῆρας, ἀλλ' ἐπικόπτοντος (τὴν) ἄγαν αὐθάδειαν καὶ τὴν θρασύτητα καὶ τὴν ἀκολασίαν τὴν τῆς γλώττης καὶ
120 τὸ τῆς ψυχῆς ἄγριον καὶ τὸ μαινόμενον τῶν φρενῶν καὶ τὸ παρακεκινηκὸς ἐν πᾶσιν. ἐξῆν γοῦν, εἴπερ ἐδεδήγμην, ἔργοις ἀλλὰ μὴ λόγοις σε σφόδρα νομίμως κολάσαι. πολίτης γὰρ ὢν καὶ τῆς γερουσίας μετέχων

3 τὰ ἔργα Hrch.] ἔργον 8 ἀλλά σοι heyleriana | προσήκει H] προσῆκε | εἶ Heyler] εἰ 10 ὡς γὰρ H] ὥσπερ 11 ἆρά τις Hrch.] ἄρα τις 12 αὐτοῦ Hrch.] αὐτοῦ (αὐτοὺς A) 15 λοιδορεῖσθαι Heyler] λοιδορῆσθαι | ἐγὼ Hrch.] ἐμοὶ 21 τὴν add. Hrch. | αὐθάδειαν Hrch.] αὐθάδην 24 παρακεκινηκὸς H] παρακινηκὸς (παρακινηκὼς A) | εἴπερ Heyler] ὅπερ

αὐτοκράτορος ἐπίταγμα παρητήσω· τοῦτο δὲ οὐκ ἐξῆν δήπουθεν τῷ μὴ μεγάλην ἀνάγκην προϊσχομένῳ. οὔκουν ἐξήρκει μοι ὑπὲρ τούτου ζημιῶσαί σε παντοίαν ζημίαν, ἀλλ' ᾠήθην δεῖν γράψαι πρὸς σὲ πρῶτον, νομίζων ἰάσιμον ἐπιστολίῳ βραχεῖ. ὡς δέ (σ') ἐμμένοντα τοῖς αὐτοῖς, μᾶλλον δὲ τὸ λεληθὸς τέως τῆς μανίας ἐφώρασα, ... μή τι καὶ νομισθείης ἀνήρ, οὐκ ἀνὴρ ὤν, καὶ παρρησίας μεστός, ἐμβροντησίας ὢν πλήρης, καὶ παιδείας μετεσχηκώς, οὐδὲ γρὺ λόγων ἀψάμενος, ὅσα γε εἰκός ἐστι ταῖς ἐπιστολαῖς σου τεκμήρασθαι. τὸ γὰρ φροῦδον οὐδεὶς εἶπε τῶν ἀρχαίων ἐπὶ τοῦ προφανοῦς, ὥσπερ σὺ νῦν, ἐπεὶ τὰς ἄλλας B σου τῆς ἐπιστολῆς ἁμαρτίας οὐδεὶς ἂν ἐπεξελθεῖν ἐν μακρῷ βιβλίῳ δυνηθείη καὶ τὸ μαστροπὸν ἐκεῖνο καὶ βδελυρὸν ἦθος, ὑφ' οὗ σεαυτὸν προαγωγεύεις. οὐ γὰρ τοὺς ἐξ ἑτοίμου φὴς ἥκοντας οὐδὲ τοὺς ἐφεδρεύοντας ταῖς ἀρχαῖς, ἀλλὰ τοὺς βεβαίᾳ κρίσει χρωμένους 121 καὶ κατὰ τοῦτο τὸ δέον αἱρουμένους τούτους δεῖν, ἀλλ' οὐ τοὺς ἑτοίμως ὑπακούοντας αἱρεῖσθαι. καλάς γε ἡμῖν ἐλπίδας ὑποφαίνεις οὐδὲν δεομένοις ὡς ὑπείξων, ἣν αὖθίς (σε) καλῶμεν ἐπὶ κοινωνίᾳ πραγμάτων. ἐμοὶ δὲ τοσοῦτον μέρος τούτου περίεστιν, ὥστε σε

4 δεῖν Hrch.] δεῖ A, δὴ v 5 σ' add. H 6 λεληθὼς A 7 ἐφώρασα A] ἐφώρατα | Lacunam indicavit Hrch. | νομισθείης H] νομισθεὶς 9 παιδείας A] παιδείαν | οὐδὲ γρὺ — 10 τεκμήρασθαι cit. Suidas s. οὐδὲ γρὺ 10 ὅσα γε Suid.] ὅσα | σου e Suida accessit 11 φροῦδον] Spectat hoc Tzetzes Chil. XIII, 539 12 ἐπεὶ A Bar.] ἐπὶ 13 ἐπεξελθεῖν A] ἐξελθεῖν v, διεξελθεῖν Pet. 14 βιβλίῳ] πάνυ κύκλῳ pet. spanh. 15 ὑφ' οὗ σεαυτὸν προαγωγεύεις Lex. Vind. p. 151,17 16 ἐξ ἑτοίμου φὴς ἥκοντας οὐδὲ Bar. Pbi] ἐξ . . . . μου φύσει οὐδὲ A, ἐξ ἑτοίμου . . . φηλοῖς ἥκοντας . . . οὐδὲ v 18 κατὰ A Bar. Pi] δὴ | Quae post αἱρουμένους sequuntur desunt vulgo 19 ἀλλ' οὐ H] ἀλλὰ 20 οὐδὲν δεομένοις H] οὐδὲ δεόμενος (δεομένης A) 21 σε add. H

τῶν ἄλλων εἰσιεμένων οὐδὲ προσείρηκα πώποτε. καίτοι γε πρὸς πολλοὺς ἔγωγε τοῦτο ἐποίησα γνωρίμων τε καὶ ἀγνοουμένων ἐμοὶ κατὰ τὴν θεοφιλῆ Ῥώμην διατρίβοντας. οὕτω σου τῆς φιλίας ἀντεποιούμην, οὕτω σε σπουδῆς ἄξιον ᾠόμην. εἰκὸς οὖν, ὅτι καὶ τὰ μέλλοντα πρὸς σὲ τοιαῦτα ἔσται. καὶ γὰρ νῦν ἔγραψα ταυτηνὶ τὴν ἐπιστολήν, οὐ σοὶ μόνον ἀνάγνωσμα, ἐπεὶ καὶ ἀναγκαίαν πολλοῖς αὐτὴν ᾔδειν, καὶ δώσω γε πᾶσιν οὐκ ἄκουσιν, ὡς ἐμαυτὸν πείθω, ληψομένοις· σεμνότερον γὰρ ὁρῶντές σε καὶ ὀγκωδέστερον τῶν ἔμπροσθέν σοι βεβιωμένων ἄχθονται. τελείαν ἔχεις παρ' ἡμῶν τὴν ἀπόκρισιν, ὥστε σε μηδὲν ἐπιποθεῖν. οὔκουν οὐδὲ ἡμεῖς παρὰ σοῦ τι πλέον ἀπαιτοῦμεν· ἀλλ' ἐντυχών, ὅτε βούλει, τοῖς γράμμασι χρῆσαι· τα γὰρ τῆς ἡμετέρας φιλίας πέπραταί σοι. ἔρρωσο τρυφῶν καὶ λοιδορούμενος ἐμοὶ παραπλησίως.

C 122 ξ'. *Ἰαμβλίχῳ.*

Ἦλθες καὶ ἐποίησας, ἦλθες γὰρ δὴ καὶ ἀπὼν οἷς γράφεις· ἐγὼ δέ σε μὰ ἔμαν ἂν δὲ φύλαξας ἐμὰν φρένα καιομέναν πόθῳ. οὔκουν οὔτε ἀρνοῦμαι τὸ φίλτρον οὔτε ἀπολείπω σε κατ' οὐδέν, ἀλλὰ καὶ ὡς παρόντα τῇ ψυχῇ θεωρῶ καὶ ἀπόντι σύνειμι, καὶ
D *οὐδὲν ἱκανόν ἐστί μοι πρὸς κόρον ἀρκέσαι. καίτοι σύ*

1 *εἰσιεμένων* Hrch.] *εἰσιομένων* (*εἴσω μένων* A) 11 *σοι* A] *σου* 13 *οὔκουν* Heyler] *οὐκοῦν* 14 *τὰ* H] *τὸ* 15 *τῆς* accessit ex A | *πέπραται* Hrch.] *ἐπέπραται* (*ἐπείραται* A) 17 Hanc et sequentem epistolam Petavius e codice Barocciano edidit 19 *ἐγὼ δέ σε κτλ.*] „Haec mendosa sunt." Pet. „Videtur fragmentum Sapphonis esse *ἐγὼ δέ σ' ἐματεύμαν* (pro *ἐματευόμην*), *τὺ δ' ἐψάλαξας ἐμὰν φρένα.*" Rsk.; *ἂν δ' ἔφλεξας* Wesselingius Observv. p. 277, *ἔμαν ἂν δὲ φύλαξας* pet., *ἐμὰν ἂν δ' ἐφύλαξας* spanh. 20 et 21 *οὔτε—οὔτε* Hrch.] *οὐδὲ—οὐδὲ*

γε οὐκ ἀνίῃς καὶ παρόντας εὖ ποιῶν ἀεὶ καὶ ἀπόντας οὐκ εὐφραίνων μόνον οἷς γράφεις, ἀλλὰ καὶ σώζων. ὅτε γοῦν ἀπήγγειλέ μοί τις ἔναγχος, ὡς παρὰ σοῦ γράμματα κομίσας ἑταῖρος ἥκοι, ἐτύγχανον μὲν ἐν ἀηδίᾳ τοῦ στομάχου τριταῖος ἤδη καθεστὼς καί τι καὶ περιαλγῶς ἔχων τοῦ σώματος, ὡς μηδὲ ἔξω πυρετοῦ μεῖναι· σημανθέν δέ, ὡς ἔφην, ὅτι μοι πρὸς ταῖς 447 θύραις ὁ τὰ γράμματα ἔχων εἴη, ἐγὼ μὲν ὥσπερ τις ἀκρατὴς ἑαυτοῦ καὶ κάτοχος ἀναπηδήσας ᾖξα πρὶν ὅ,τι δέοι παρεῖναι. ἐπεὶ δὲ καὶ ἔλαβον εἰς χεῖρας 123 τὴν ἐπιστολὴν μόνον, ὀμνύω τοὺς θεοὺς αὐτοὺς καὶ τὸν ἐπὶ σοί με ἀνάψαντα πόθον, ὡς ἅμα τε ἔφυγον οἵ πόνοι καί με καὶ ὁ πυρετὸς ἀνῆκεν εὐθύς, ὥσπερ τινὶ τοῦ σωτῆρος ἐναργεῖ παρουσίᾳ δυσωπούμενος. B ὡς δὲ καὶ λύσας ἀνέγνων, τίνα με ἡγῇ ψυχὴν ἐσχηκέναι τότε ἢ πόσης ἡδονῆς ἀνάπλεων γεγενῆσθαι, τὸν φίλτατον, ὡς φής, ἀνέμων, τὸν ἐρωτικὸν ἀληθῶς, τὸν διάκονον τῶν καλῶν ὑπερεπαινοῦντά τε καὶ φιλοῦντα δικαίως, ὅτι μοι τῶν παρὰ σοῦ γραμμάτων ὑπηρέτης γέγονεν, [οἱονεὶ] πτηνοῦ δίκην ἡμῖν τὴν ἐπιστολὴν διευθύνας οὐρίῳ τε καὶ πομπίμῳ πνεύματι, δι' ἧς οὐ μόνον ὑπῆρξεν ἡσθῆναί μοι τὰ εἰκότα περὶ C σοῦ γνόντι, ἀλλὰ καὶ αὐτῷ κάμνοντι παρὰ σοῦ σωθῆναι; τά γε μὴν ἄλλα πῶς ἃ πρῶτον πρὸς τὴν ἐπιστολὴν ἔπαθον εἴποιμ' ἄν, ἢ πῶς ἂν ἀρκούντως

5 *καί τι καὶ* Hrch.] *καί τοι καὶ* 9 *ἑαυτοῦ* H] *ἐμαυτοῦ* | *ᾖξα* Heyler] *ἤξα* pet., *ἤιξα* Pet. spanh. 10 *ὅ,τι* Pet.] *ὅτι* 17 *ὡς φαίην ἄν* Rsk. | *ἀνέμων* H] *ἄνεμον* Heyler, *ἄγγελον* Hrch., *ἂν ἐμὲ* pet., *ἂν ἐμὸν* spanh. Spectat Iulianus Sophocl. Philoct. 273 20 *οἱονεὶ* expunxit Hrch. 24 *ἄλλα* Hrch.] *ἀλλὰ* 24 *ἃ* Heyler] *ἂν* | *πρῶτον* delevit Hrch. Fort. *ἅπερ* scribendum pro *ἃ πρῶτον*

ἐμαυτοῦ τὸν ἔρωτα καταμηνύσαιμι; ποσάκις ἀνέδραμον
εἰς ἀρχὴν ἐκ μέσου; ποσάκις ἔδεισα μὴ πληρώσας
λάθω; ποσάκις ὥσπερ ἐν κύκλῳ τινὶ καὶ στροφῆς
περιόδῳ τοῦ συμπεράσματος τὸ πλήρωμα πρὸς τὴν
D ἀρχὴν ἀνεῖλκον, οἷον ἐν ᾄσματι μουσικῷ ταὐτὸν τοῦ
124 ῥυθμοῦ τῷ τέλει τὸ πρὸς τὴν ἀρχὴν ἡγούμενον μέλος
ἀντιδιδούς, ἢ καὶ νὴ Δία τὰ ἑξῆς τούτων, ὁσάκις
μὲν τῷ στόματι τὴν ἐπιστολὴν προσήγαγον, ὥσπερ
αἱ μητέρες τὰ παιδία προσπλέκονται, ὁσάκις δὲ ἐν-
έφυν τῷ στόματι καθάπερ ἐρωμένην ἐμαυτοῦ φιλτάτην
ἀσπαζόμενος, ὁσάκις δὲ τὴν ἐπιγραφὴν αὐτήν, ἣ χειρὶ
σῇ καθάπερ ἐναργεῖ σφραγῖδι ἐσεσήμαντο, προσειπὼν
καὶ φιλήσας εἶτα ἐπέβαλον τοῖς ὀφθαλμοῖς, οἱονεὶ
448 τοῖς τῆς ἱερᾶς ἐκείνης δεξιᾶς δακτύλοις [ἐν] τῷ τῶν
γραμμάτων ἴχνει προσπεφυκώς. χαῖρε δὲ καὶ αὐτὸς
ἡμῖν πολλά, καθάπερ ἡ καλὴ Σαπφώ φησι, καὶ οὐκ
ἰσάριθμα μόνον τῷ χρόνῳ, ὃν ἀλλήλων ἀπελείφθημεν,
ἀλλὰ γὰρ καὶ ἀεὶ χαῖρε, καὶ γράφε καὶ μέμνησο ἡμῶν
τὰ εἰκότα, ὡς ἡμᾶς γε οὐκ ἐπιλείψει χρόνος, ἐν ᾧ
σε μὴ πάντα καὶ ἐν παντὶ καιρῷ καὶ λόγῳ διὰ μνή-
B μης ἕξομεν. ἀλλήλων δέ ποθι Ζεὺς δοίη ἱκέσθαι
ἐς πατρίδα γαῖαν, καί σου τὴν ἱερὰν ἐκείνην ἑστίαν
αὖθις ὑπέλθοιμεν, μὴ φείσῃ λοιπὸν ὡς φυγάδος, ἀλλὰ
δῆσον, εἰ δοκεῖ, πρὸς τοῖς σεαυτοῦ θώκοις τοῖς φιλ-

1 ἀνέδραμον Pet.] ἂν ἔδραμον 5 ἀνεῖλκον Pet.] ἀνέλκων 7 ὁσακις] ποσάκις et hic et infra cum Herchero malim 9 προσέλκονται aut περιπλέκονται H | ἐνέφυν Rsk. et H] ἀνεφύη. Hrch. mavult ἐνέφυν τῷ γράμματι 11 ἀσπαζόμενος H] ἀσπαζομένου 12 ἐσεσήμαντο Hrch.] σεσήμαντο 13 ὑπέβαλον suspicatur Heyler 14 ἐν uncis inclusit H 16 Σαπφώ] Fragm. 85 et 105 Bergk. 18 ἀλλὰ γὰρ καὶ] Vid. ad 212 D 19 ἐπιλείψει] ἐπιβλέψει aut καταλήψεται Rsk. 20 πάντα] πάντῃ suspicatur Hrch. 21 ἀλλήλων δέ] εἰ δὲ Hrch., ἀλλ' ἡμῖν εἴ H 24 σεαυτοῦ Hrch.] ἑαυτοῦ

τάτοις, ὥσπερ τινὰ Μουσῶν λιποτάκτην ἑλών, εἶτα τοῖς εἰς τιμωρίαν ἀρκοῦσι παιδεύων. πάντως οὐδὲ ἄκων ὑποστήσομαι τὴν δίκην, ἀλλ' ἑκὼν δὴ καὶ χαίρων, ὥσπερ ἀγαθοῦ πατρὸς ἐπανόρθωσιν προμηθῆ καὶ σωτήριον. εἰ (δὲ) δή μοι καὶ κατ' ἐμαυτοῦ τὴν 125 κρίσιν ἐθέλοις πιστεῦσαι καὶ διδοίης ἐνεγκεῖν ἣν βούλομαι, C ἐμαυτόν, ὦ γενναῖε, τῷ σῷ χιτωνίσκῳ προσάψαιμι ἂν ἡδέως, ἵνα σου κατὰ μηδὲν ἀπολειποίμην, ἀλλὰ συνείην ἀεὶ καὶ πανταχῇ προσφεροίμην, ὥσπερ οὓς οἱ μῦθοι διφυεῖς ἀνθρώπους πλάττουσιν. εἰ μὴ κἀκεῖνο οἱ μῦθοι λέγουσι μὲν ὡς παίζοντες, αἰνίττονται δὲ εἰς τὸ τῆς φιλίας ἐξαίρετον, ἐν τῷ τῆς κοινωνίας δεσμῷ το δι' ἑκατέρου τῆς ψυχῆς ὁμογενὲς ἐμφαίνοντες. D

ξα'. Τῷ αὐτῷ.

Ἱκανὴν ὁμολογῶ τῆς σῆς ἀπολείψεως ἐκτετικέναι δίκην οὐ μόνον οἷς παρὰ τὴν ἀποδημίαν συνηνέχθην ἀνιαροῖς, ἀλλὰ γὰρ καὶ αὐτῷ τούτῳ πλέον, ὅτι σου 449 τὸν τοσοῦτον ἀπελείφθην χρόνον, καίτοι πολλαῖς καὶ ποικίλαις πανταχοῦ χρησάμενος τύχαις, ὡς μηδὲν 126 ἀπείρατον καταλιπεῖν. ἀλλὰ καὶ πολέμων θορύβους καὶ πολιορκίας ἀνάγκην καὶ φυγῆς πλάνην καὶ φόβους παντοίους, ἔτι δὲ χειμώνων ὑπερβολὰς καὶ νόσων κινδύνους καὶ τὰς ἐκ Παννονίας τῆς ἄνω μέχρι τοῦ κατὰ τὸν Καλχηδόνιον πορθμὸν διάπλου μυρίας δη

1 λιποτάκτην Hrch.] λειποτάκτην 2 παίδευσον Rsk. | οὐδὲ H] οὔτε 5 δὲ add. Rsk. et Hrch. 6 διδοίης Hrch.] δίδως 17 συνηνέχθην ἀνιαροῖς Vaticanus 1353] ἀνιαροῖς συνηνέχθην 18 γὰρ om. Vat. 19 τὸν add. Vat. 20 μηδὲν Vat.] μὴ 25 Καλχηδόνιον Heyler] Καρχηδόνιον Vat., Καλχηδόνα pet., Καλχηδόνος Pet. spanh.

B καὶ πολυτρόπους συμφορὰς ὑπομείνας οὐδὲν οὕτω
λυπηρὸν οὐδὲ δυσχερὲς ἐμαυτῷ συμβεβηκέναι φαίην
ἂν ὡς ὅτι σὲ τὸ κοινὸν τῶν Ἑλλήνων ἀγαθὸν ἐπὶ
τοσοῦτον χρόνον τὴν ἑῴαν ἀπολιπὼν οὐκ εἶδον· ὥστ'
εἴπερ ἀχλύν τινα τοῖς ἐμοῖς ὀφθαλμοῖς καὶ νέφος
πολὺ περικεῖσθαι λέγοιμι, μὴ θαυμάσῃς. τότε γάρ δή
με καὶ ἀὴρ εὔδιος καὶ φέγγος ἡλίου λαμπρότατον καὶ
οἷον ἔαρ ἀληθῶς τοῦ βίου περιέξει κάλλιστον, ὅταν
C σὲ τὸ μέγα τῆς οἰκουμένης ἄγαλμα περιπτύξωμαι καὶ
καθάπερ ἀγαθῷ πατρὶ παῖς γνήσιος ἐκ πολέμου τινὸς
ἢ διαποντίου κλύδωνος ἀνελπίστως ὀφθεὶς εἶτα ὅσα
ἔπαθον καὶ δι' ὅσων ἦλθον κινδύνων εἰπὼν καὶ οἷον
ἐπ' ἀγκύρας ἱερᾶς ὁρμιζόμενος ἀρκοῦσαν ἤδη παρα-
ψυχὴν τῶν ἀλγεινῶν εὕρωμαι. παραμυθεῖται γάρ,
ὡς εἰκός, καὶ ἐπικουφίζει τὰς συμφοράς, ὅταν τις ἃ
πέπονθεν εἰς τοὺς ἄλλους ἔκφορα καθιστὰς διανείμῃ
D τοῦ πάθους τὴν γνῶσιν ἐν τῇ κοινωνίᾳ τοῦ λόγου.
127 τέως γε μὴν οἷς ἔχω σε κατὰ δύναμιν τὴν ἐμὴν μέτ-
ειμι· καὶ γὰρ οὐ παύσομαι τὸν ἐν μέσῳ τῆς ἀπο-
λείψεως χρόνον τῷ τῶν γραμμάτων θεραπεύων συν-
θήματι. εἰ δὲ δὴ καὶ ἀντιτύχοιμι παρὰ σοῦ τῶν ἴσων,
ὑφήσω τι καὶ μικρόν, οἷον ἀντὶ σωτηρίου τινὸς συμ-
βούλου τοῖς σοῖς ὁμιλῶν γράμμασι. σὺ δὲ δέχοιο μὲν

3 ὡς Hrch.] ἢ | σὲ Hrch.] σε 4 τοσοῦτον χρόνον Vat.] τοσούτῳ χρόνῳ | ἀπολιπὼν Horkelius] ἀπολιπὸν Vat., ἀπολείπων v 5 ὀφθαλμοῖς Vat.] ὀφθαλμοῖς ἔτι 7 με Hrch.] μοι | λαμπρότατον Hrch.] λαμπρότερον 8 περιέξει Hrch.] περιήξει 9 σὲ Hrch.] σε 12 δι' ὅσων κινδύνων ἦλθον Vat. 13 et 14 τῶν ἀλγεινῶν παραψυχὴν Vat. 17 ἐν malim abesse | λόγου Vat.] πάθους 19 γὰρ Vat.] γράφων | παύσομαι H] παύσομαι καὶ 19 et 20 τῆς ἀπολείψεως Vat.] ἀπολείψεως 20 χρόνον H] χρόνον ἐν 22 et 23 συμβούλου Rsk.] συμβόλου 23 δέχοιο τὰ παρ' ἡμῶν εὐμενῶς Vat.

εὐμενῶς τὰ παρ' ἡμῶν, παρέχοις δὲ καὶ σεαυτὸν εἰς 450
ἀμοιβὴν εὐμενέστερον, ὡς ὅ,τι ἂν σημήνῃς καλὸν ἢ γράψῃς, τοῦτο ἀντὶ τῆς Ἑρμοῦ λογίου φωνῆς ἢ τῆς Ἀσκληπιοῦ χειρὸς παρ' ἡμῶν κρίνεται.

ξβ'.

.... τοῦθ' ὅπερ ὑπάρχει τοῖς ξύλοις, οὐκ ἄξιόν B
ἐστι νέμειν ἀνθρώποις; ὑποκείσθω γὰρ ἄνθρωπον ἱερωσύνης ἀντειλῆφθαι τυχὸν οὐκ ἄξιον· οὐ χρὴ φείδεσθαι μέχρι τοσούτου, μέχρις ἂν ἐπιγνόντες ὡς πονη- 128
ρός ἐστι καὶ τῆς λειτουργίας αὐτὸν εἴρξαντες τὸ προπετῶς ἴσως προστεθὲν ὄνομα τοῦ ἱερέως ὑπεύθυνον ἀποδείξωμεν ὕβρει καὶ κολάσει καὶ ζημίᾳ; ταῦτα εἰ μὲν ἀγνοεῖς, οὐδὲ τῶν ἄλλων ἔοικας εἰδέναι τι τῶν μετρίων. ἐπεὶ σοὶ ποῦ μέτεστιν ἐμπειρίας ὅλως τῶν C
δικαίων, ὃς οὐκ οἶσθα τί μὲν ἱερεύς, τί δὲ ἰδιώτης; ποῦ δέ σοι μέτεστι σωφροσύνης, εἴπερ ᾐκίσω τοῦτον, ᾧ καὶ θώκων ἐχρῆν ἐξανίστασθαι; τὸ αἰσχρὸν ἁπάντων καί σοι μάλιστα μήτε πρὸς θεοὺς μήτε πρὸς ἀνθρώπους ἔχον καλῶς. οἱ μὲν τῶν Γαλιλαίων ἴσως ἐπίσκοποι καὶ πρεσβύτεροι συγκαθίζουσί σοι, καὶ εἰ μὴ δημοσίως δι' ἐμέ, λάθρᾳ καὶ ἐν τῷ οἴκῳ διὰ σέ· τέ- D
τυπται δὲ ὁ ἱερεύς· οὐ γὰρ ἂν ἦλθεν ἐπὶ ταύτην ὁ

1 παρέχοις δὲ Vat.] καὶ παρέχοις δὲ 2 σημήνῃς Hrch.] σημάνῃς Vat., σημαίνῃς v 3 γράψῃς Vat.] γράφῃς v, ἢ γράψῃς delet Heyler 4 ἡμῖν Vat. 5 Hanc epistolam primus edidit Petavius e codice aut Londinensi aut Barocciano, habet autem eam etiam Pc, in quo duae vacuae paginae antecedunt 6 „Tribuimus hoc arboribus aegrotis, ut non statim eas exscindamus, sed otium illis damus respirandi et rursus convalescendi.“ Rsk. 7 et 8 ἄνθρωπον — ἄξιον H] ἄνθρωπος — ἄξιος 10 αὐτῆς Pc 16 εἴπερ Hrch.] ἥνπερ v, ὅσπερ Rsk. et H 17 τὸ αἰσχρὸν] ὃ αἴσχιστον vel τοῦτο αἴσχιστον H 18 „Post μάλιστα deesse videtur φευκτόν.“ Rsk. 21 λάθρα γε Rsk.

παρ' ὑμῖν ἀρχιερεὺς μὰ Δία τὴν δέησιν. ἀλλ' ἐπειδή σοι πέφηνε μυθώδη τὰ παρ' Ὁμήρῳ, τῶν τοῦ Διδυμαίου δεσπότου χρησμῶν ἐπάκουσον, εἴ σοι φανείη πάλαι μὲν ἔργῳ νουθετήσας καλῶς τοὺς Ἕλληνας, ὕστερον δὲ τοὺς σωφρονοῦντας διδάσκων τοῖς λόγοις·

451 *Ὅσσοι ἐς ἀρητῆρας ἀτασθαλίῃσι νόοιο*
Ἀθανάτων ῥέξουσ' ἀποφώλια, καὶ γεράεσσιν
129 *Ἀντία βουλεύουσιν ἀδεισιθέοισι λογισμοῖς,*
Οὐκέθ' ὅλην βιότοιο διεκπερόωσιν ἀταρπόν,
Ὅσσοι περ μακάρεσσιν ἐλωβήσαντο θεοῖσιν
B *Ὧν κεῖνοι θεόσεπτον ἕλον θεραπηίδα τιμήν.*

ὁ μὲν οὖν θεὸς οὐ τοὺς τύπτοντας οὐδὲ τοὺς ὑβρίζοντας, ἀλλὰ τοὺς ἀποστεροῦντας τῶν τιμῶν εἶναι.., θεοῖς ἐχθρούς· ὁ δὲ τυπτήσας ἱερόσυλος ἂν εἴη. ἐγὼ τοίνυν, ἐπειδήπερ εἰμὶ κατὰ μὲν τὰ πάτρια μέγας ἀρχιερεύς, ἔλαχον δὲ νῦν καὶ τοῦ Διδυμαίου προφη-
C *τεύειν, ἀπαγορεύω σοι τρεῖς περιόδους σελήνης μή τοι τῶν εἰς ἱερέα μηδὲν ἐνοχλεῖν· εἰ δὲ ἐν τούτῳ τῷ χρόνῳ φανείης ἄξιος, ἐπιστείλαντός μοι τοῦ τῆς πόλεως ἀρχιερέως, εἰ παραδεκτὸς εἴης ἡμῖν, ἐσαῦθις μετὰ τῶν θεῶν βουλεύσομαι. ταύτην ἐγώ σοι τῆς προπετείας ἐπιτίθημι ζημίαν. τὰς δὲ ἐκ τῶν θεῶν ἀρὰς πάλαι μὲν εἰώθεσαν οἱ παλαιοὶ λέγειν καὶ γράφειν, οὐ μὴν*
D *ἔμοιγε φαίνεται καλῶς ἔχειν· οὐδαμοῦ γὰρ αὐτοὶ πεποιηκότες οἱ θεοὶ φαίνονται. καὶ ἄλλως εὐχῶν εἶναι*

1 *μὰ* Pc] *νὴ* 3 *μετάκουσον* Pc 6 „Versus hi iam supra iidem leguntur 297 CD.“ Rsk. 11 *ἕλον*] *ἔχον* suspicatur Hrch. 13 „Deest verbum.“ Pet. Lacunam indicavi. Spanh. *φησὶ* uncis inclusum inseruit 14 *θεοῖς* Hrch.] *τοῖς θεοῖς*. Idem articulum expunxit 376 A | *εἴη* Pc] *ἔτι* 17 *μήτοι*] *μήτι* Hrch. 18 *εἰς τὸν ἱερέα* Rsk. 19 *φανείης* Pet.] *φαν....* Pc 22 *πάλαι*] *πολλὰς* Hrch. 24 *φαίνεται* Pet.] *φα...* pet., *φ......* Pc | *αὐτοὶ* Hrch.] *αὐτὸ*

(δεῖ) διακόνους ἡμᾶς. ὅθεν οἶμαι καὶ συνεύχομαί σοι πολλὰ λιπαρήσαντι τοὺς θεοὺς ἀδείας τυχεῖν ὧν ἐπλημμέλησας.

ξγ΄. Ἰουλιανὸς [καῖσαρ] Θεοδώρῳ ἀρχιερεῖ. 452
130
Ἐμοὶ πρὸς σὲ πεποίηται παρὰ τοὺς ἄλλους ἰδιαίτερον ἐπιστολῆς εἶδος, ὅτι σοι καὶ πλέον μέτεστι τῆς πρὸς ἐμὲ φιλίας ἤπερ οἶμαι τοῖς ἄλλοις· ἔστι γὰρ ἡμῖν ὁ κοινὸς καθηγεμὼν οὐ μικρά, καὶ μέμνησαι δήπου. χρόνος δὲ οὐ βραχὺς ὅτε διατρίβων ἔτι κατὰ
τὴν ἑσπέραν, ἐπειδή σε λίαν ἀρέσκειν ἐπυθόμην αὐτῷ, B
φίλον ἐνόμισα, καίτοι ..... ἔχον ἐκεῖνο καλῶς εἴωθεν ἐμοὶ διὰ περιττὴν εὐλάβειαν τὸ οὐ γὰρ ἔγωγε ἤντησ' οὐδὲ ἴδον, καὶ ὡς ἡγεῖσθαι χρὴ φιλίας μὲν γνῶσιν, γνώσεως δὲ πεῖραν. ἀλλ' ἦν τις, ὡς ἔοικεν, οὐκ ἐλάχιστος παρ' ἐμοὶ λόγος καὶ τοῦ Αὐτὸς ἔφα.
διόπερ ἐγὼ καὶ τότε σε τοῖς γνωρίμοις ᾤμην δεῖν C
ἐγκαταλέγειν, καὶ νῦν ἐπιτρέπω πρᾶγμα ἐμοὶ μὲν φίλον, ἀνθρώποις δὲ πᾶσι πανταχοῦ λυσιτελέστατον. σὺ 131
δὲ εἰ καλῶς, ὥσπερ οὖν ἄξιον ἐλπίζειν, αὐτὸ μετα-

1 δεῖ add. H | ἡμᾶς Pe] ἡμῶν | Ante ὅθεν Spanh. τοὺς ἱερέας uncis inclusa addidit, pro quibus Rsk. mavult οὐκ ἀρῶν (vel οὐ καταρῶν) εἰκός ἐστιν 4 Ἰουλιανὸς Καῖσαρ (καίσαρ V) e V add. Spanh., Καῖσαρ Heyler uncis inclusit 5 πρὸς σὲ V] πρός σε 6 ὅτι σοι καὶ] ὅτ ..... αὶ V, ὅ pro ὅτι mart. pet., ὅσῳ Pet. 8 οὐ μικρὰ καὶ] Ὀριβάσιος Cob. „Post καθηγεμών, quo vocabulo Iamblichum designat, videtur ἀφορμὴ vel πρόφασις deesse.“ Rsk. 9 ἔτι κατὰ Cob.] .... mart. pet., ἔτι ἐς spanh., ἔτι κ ... V (ἔτι περὶ V[d]) 11 καί πο ... ἔχον V, καὶ ποι ... ἔχον mart. pet., καίτοι συμβαίνειν ἔχον spanh. 12 et 13 οὐ γὰρ ἔγωγε ἤντησ' οὐδὲ ἴδον Cob. coll. Iliad. δ,375] οὐ γὰρ ἔγω .. ἠν ... οὐδὲ εἶδον V, σοῦ γὰρ εἶδος οὐδὲ εἶδον spanh., οὐ γὰρ ἐ .... οὐδὲ εἶδον mart. pet. 13 καὶ ὡς] καί πως Rsk. 15 τοῦ αὐτὸς H et Cob.] τοῦτο αὐτὸς | ἔφα Cob.] ἔφας V, ἔφης v, ἔφη H 19 δὲ εἰ καλῶς Cob.] δὲ .. καλῶς V, δὲ καλῶς v | οὖν V] ἦν

χειρίσαιο, (ἴσθι) πολλὴν μὲν εὐφροσύνην ἐνταῦθα παρέξων, ἐλπίδα δὲ ἀγαθὴν μείζονα τὴν εἰς τὸ μέλλον. οὐ γὰρ δὴ καὶ ἡμεῖς ἐσμεν τῶν πεπεισμένων τὰς
D ψυχὰς ἤτοι προαπόλλυσθαι τῶν σωμάτων ἢ συναπόλλυσθαι, πειθόμεθα δὲ τῶν μὲν ἀνθρώπων οὐδενί, τοῖς θεοῖς δὲ μόνον, οὓς δὴ καὶ μάλιστα ταῦτα εἰκὸς εἰδέναι μόνους, εἴ γε χρὴ καλεῖν εἰκὸς τὸ ἀναγκαῖον· ὡς τοῖς μὲν ἀνθρώποις ἁρμόζει περὶ τῶν τοιούτων εἰκάζειν, ἐπίστασθαι δὲ αὐτὰ τοὺς θεοὺς ἀνάγκη.

Τί τοῦτο οὖν ἐστιν ὅ φημί σοι νῦν ἐπιτρέπειν; ἄρχειν τῶν περὶ τὴν Ἀσίαν ἱερῶν ἁπάντων (ἐπισκοπ)ουμένῳ τοὺς καθ' ἑκάστην πόλιν ἱερέας καὶ ἀπο-
453 νέμοντι τὸ πρέπον ἑκάστῳ. πρέπει δὲ ἐπιείκεια μὲν πρῶτον ἄρχοντι χρηστότης τε ἐπ' αὐτῇ καὶ φιλανθρωπία πρὸς τοὺς ἀξίους αὐτῶν τυγχάνειν. ὡς ὅστις γε ἀδικεῖ μὲν ἀνθρώπους, ἀνόσιος (δ') ἐστὶ πρὸς θεούς, θρασὺς δὲ πρὸς πάντας, ἢ διδακτέος μετὰ παρρησίας ἐστὶν ἢ μετ' ἐμβριθείας κολαστέος. ὅσα μὲν οὖν χρὴ κοινῇ συντάξαι περὶ τῶν ἱερῶν ἁπάντων ἐντελέστερον, αὐτίκα μάλα σὺν τοῖς ἄλλοις εἴσει,
B μικρὰ δὲ τέως ὑποθέσθαι σοι βούλομαι· δίκαιος δὲ

1 ἴσθι add. Cob. 2 μέλλων mart. pet. 6 δὴ om. spanh. 8 τῶν om. spanh. 10 τοῦτο H] το ⁓.. V, ποτ' v | ὃ om. mart. pet. lacuna relicta 11 et 12 ἐπισκοπουμένῳ H] ... ουμένω V[d], ἀρχόμενος spanh., ... mart. pet. 12 τοὺς καθ' ἑκάστην πόλιν ἱερέας V[d]] ... τὴν πόλιν, ἱε ... mart. pet., τῆς χώρας καὶ τῶν πόλεων ἱερέων spanh. Nunc in V post ἁπάντων legi potest .... πόλ .. ἱερ ... „Sententia, credo, huc redierat: προεστῶτι τῶν κατὰ χώραν καὶ πόλεις ἱερέων". Cob. 12 et 13 ἀπονέμοντι V] ἀπονε .. τι mart. pet., ἀπονέμων τι spanh. 13 πρέπει δὲ ἐπιείκεια V[d]] .... είκεια mart. pet., ἐπιείκεια spanh. 14 χρηστότης V[d]] ἡ χρηστότης 16 ἀνό .. ος V i. e ἀνόσιος, vulgo ἄνομος. Cob. add. δ' 18 μετὰ ἐμβριθείας V 19 ἱερῶν] ἱερέων H 20 εἴσει Cob., εἴσῃ Wytt., εἰσί v

εἶ πείθεσθαί μοι τὰ τοιαῦτα. καὶ γὰρ οὐδὲ ἀποσχεδιάζω 132 τὰ πολλὰ τῶν τοιούτων, ὡς ἴσασιν οἱ θεοὶ πάντες, ἀλλά, εἴπερ τις ἄλλος, εὐλαβής εἰμι καὶ φεύγω τὴν καινοτομίαν ἐν ἅπασι μέν, ὡς ἔπος εἰπεῖν, ἰδίᾳ δὲ ἐν τοῖς πρὸς τοὺς θεούς, οἰόμενος χρῆναι τοὺς πατρίους ἐξ ἀρχῆς φυλάττεσθαι νόμους, οὓς ὅτι μὲν ἔδοσαν οἱ θεοί, φανερόν· οὐ γὰρ ἂν ἦσαν οὕτω καλοὶ παρὰ ἀνθρώπων ἁπλῶς γενόμενοι. συμβὰν δὲ αὐτοὺς C ἀμεληθῆναι καὶ διαφθαρῆναι πλούτου καὶ τρυφῆς ἐπικρατησάντων, οἶμαι δεῖν ὥσπερ ἀφ' ἑστίας ἐπιμεληθῆναι τῶν τοιούτων. ὁρῶν οὖν πολλὴν μὲν ὀλιγωρίαν οὖσαν ἡμῖν πρὸς τοὺς θεούς, ἅπασαν δὲ εὐλάβειαν τὴν εἰς τοὺς κρείττονας ἀπεληλαμένην ὑπὸ τῆς ἀκαθάρτου ...... τρυφῆς, ἀεὶ μὲν ὠδυράμην ἐγὼ κατ' ἐμαυτὸν τὰ τοιαῦτα, τοὺς μὲν .... εὐσεβείας σχολῇ προσέχοντας οὕτω διαπύρους, ὡς αἱρεῖσθαι μὲν D ὑπὲρ αὐτῆς θάνατον, ἀνέχεσθαι δὲ πᾶσαν ἔνδειαν καὶ λιμόν, ὑείων ὅπως μὴ γεύσαιντο μηδὲ πνικτοῦ μηδ' ἄρα τοῦ ἀποθλιβέντος· ἡμᾶς δὲ οὕτω ῥαθύμως τὰ πρὸς τοὺς θεοὺς διακειμένους, ὥστε ἐπιλελῆσθαι μὲν τῶν πατρίων, ἀγνοεῖν δὲ λοιπόν, εἰ καὶ ἐτάχθη

5 τοὺς alterum V[d]] ἂν 7 γὰρ . ν V, γὰρ .. mart. pet., γὰρ spanh. 9 διαφθ ..... V, διαφ .... αι mart. pet. 10 ἀφ' ἑ ..... V mart. pet. 12 ἅπασαν V[d]] πᾶσαν spanh., ... mart. pet. 13 εἰς om. mart. pet. 14 ἀκαθάρτου ..... τρυφῆς V (ἀκαθάρτου καὶ .. αίας τρυφῆς V[d]). Lacunam Cob. explet ταύτης scribendo, ego καὶ χυδαίας coniicio 14 ἀεὶ μὲν οὖν Vmart. pet. 15 „Fort. τὰ τοιαῦτα ὁρῶν, τοὺς μὲν — designat Iudaeos." Rsk. | τοὺς μὲν ..... ων .... ειας σχολῇ V. Fort. τοὺς μὲν τῇ Ἰουδαίων εὐσεβείας (an θρησκείας?) σχολῇ 17 θάνατον V[d]] ἀποθνήσκειν spanh., ... mart. pet. 18 πνικτοῦ spanh.] ... τοῦ V mart. pet. 19 μηδ' ἄρα] μήτ' ἄρα spanh., μὴ παρὰ V mart. pet. Iubente Herchero μηδ' ἄρα scripsi | τοῦ] ... V mart. pet. 20 τὰ om. Hrch. | ... κειμένους V mart. pet. | ὥστε ..... ῆσθαι V mart. pet.

*πώποτέ τι τοιοῦτον. ἀλλ' οὗτοι μὲν ἐν 'μέρει θεο-
σεβεῖς ὄντες, ἐπείπερ ὃν τιμῶσι.... ἀλλ' ἀληθῶς ὄντα*
454 *δυνατώτατον καὶ ἀγαθώτατον, ὃς ἐπιτροπεύει τὸν*
133 *αἰσθητὸν κόσμον, ὃν εὖ οἶδ' ὅτι καὶ ἡμεῖς ἄλλοις
θεραπεύομεν ὀνόμασιν, εἰκότα μοι δοκοῦσι ποιεῖν,
τοὺς νόμους μὴ παραβαίνοντες, ἐκεῖνο μόνον ἁμαρ-
τάνειν, ὅτι μὴ καὶ τοὺς ἄλλους θεοὺς ἀρέσκοντες
τούτῳ μάλιστα τὸν θεὸν θεραπεύουσιν, ἀλλ' ἡμῖν
οἴονται τοῖς ἔθνεσιν ἀποκεκληρῶσθαι μόνοις αὐτούς,*
B *ἀλαζονείᾳ βαρβαρικῇ πρὸς ταυτηνὶ τὴν ἀπόνοιαν ἐπαρ-
θέντες· οἱ δὲ ἐκ τῆς Γαλιλαίας δυσσεβείας ὥσπερ τι
νόσημα τῷ βίῳ τὴν ἑαυτῶν .....*

134 *ξδ'. Πρὸς δῆμον εὐφημήσαντα ἐν τῷ Τυχαίῳ.*

*Εἰ μὲν εἰς τὸ θέατρον λαθὼν εἰσῆλθον, εὐφη-
μεῖτε· εἰ δὲ εἰς τὰ ἱερά, τὴν ἡσυχίαν ἄγετε, καὶ μετ-*

1 .. *ποτέ τι* V mart. pet. 2 *τιμῶσι .... ἀλλ'* V mart, *τιμῶσιν ... ἀλλ'* pet. spanh. Post *τιμῶσι* Dübnerus arbitratur *μόνον* latere posse. „Scripserim *ἐπείπερ θεὸν τιμῶσι τὸν ὡς ἀληθῶς ὄντα δυνατώτατον.*“ Cob. *'Αλλ'* Rsk. quoque delet, ut e proximis perperam iteratum. Fort. scribendum: *ἐπείπερ θεὸν τιμῶσιν οὐ νεκρόν* (cf. Heyler p. 414), *ἀλλ' ἀληθῶς κτλ.* 4 *ὃν* H] .. V, .ο. mart. pet., *ὅνπερ* spanh. In V vero *ὃν* potius quam *ὅνπερ* fuisse videtur 6 *τοὺς* (vel *σοὺς*) ...... V mart. pet. | *ἐκεῖνο δὲ μόνον* Rsk., *καὶ ἐκεῖνο μόνον* vel *ἁμαρτάνοντες* Cob. 8 *τούτῳ* Cob.] .. *τῳ* V mart. pet., *αὐτῷ* spanh. | *τὸν θεὸν* Cob.] *τῷ θεῷ* 9 *ἀποκεκλη .. σθαι* V, *ἀποκεκλῆ ....* mart. pet., *ἀποκεκλεῖσθαι* spanh. 11 *οἱ δὲ* Dübnerus] . *ιὲ* V[d], ... V mart. pet., *ὡς* spanh. | *Γαλιλαίων* Hrch. | *δυσσεβείας* Cob.] *δυσσεβεῖς* 12 „Videtur cum hoc fragmento cohaerere et unum corpus efficere illud, quod supra a p. 288 inde ad p. 305 legitur, ita tamen, ut inter ambo haec fragmenta, etiamsi coagmententur, intercedat tamen vel sic aliquid lacunae.“ Rsk.

13 Hanc atque duas, quae sequuntur, epistolas primus edidit Muratorius in Anecdotis Graecis. Leguntur etiam in Fabricii Bibl. Gr. T. VII.

ενέγκατε ὑμῶν τὰς εὐφημίας εἰς τοὺς θεούς. μᾶλλον δὲ οἱ θεοὶ τῶν εὐφημιῶν οὐ χρῄζουσιν.

ξε'. *Ζωγράφῳ.*

Εἰ μὲν μὴ εἶχον καὶ ἐχαρίσω μοι, συγγνώμης ἦσθα ἄξιος· εἰ δὲ εἶχον μέν, οὐκ ἐχρησάμην δέ, τοὺς θεοὺς ἔφερον, μᾶλλον δὲ ὑπὸ τῶν θεῶν ἐφερόμην. σύ μοι ἀλλότριον σχῆμα πῶς ἐδίδους, ἑταῖρε; οἷόν με εἶδες, τοιοῦτον καὶ γράψον.

[ξϛ'. *Ἀρσάκῃ Ἀρμενίων σατράπῃ.*] 135

Ἐπείχθητι πρὸς τὴν τῶν πολεμίων παράταξιν, Ἀρσάκιε, θᾶττον ἢ λόγος, τὴν δεξιὰν κατὰ τῆς Περσικῆς μανίας ὁπλίσας. ἡ γὰρ ἡμετέρα παρασκευή τε καὶ προθυμία δυοῖν θάτερον βεβούλευται, ἢ τὸ χρεὼν ἀποδοῦναι ἐπὶ τῆς Παρθυαίων ἐνορίας τὰ μέγιστα διαπραξαμένους καὶ τὰ δεινότατα διαθεμένους τοὺς ἀντιπάλους, ἢ τούτους χειρωσαμένους, πρυτανευόντων ἡμῖν τῶν θεῶν, καλλινίκους ἐπανελθεῖν ἐπὶ τὴν ἐνεγκαμένην, τρόπαια κατὰ τῶν πολεμίων ἐγείραντας. πᾶσαν οὖν ῥᾳστώνην καὶ φενακισμὸν ἀποθέμενος, καὶ τὸν μακαρίτην ἐκεῖνον καὶ τας τῶν εὖ γεγονότων περιουσίας τὰς εἰς σέ τε καὶ τοὺς ὁμοτρόπους σοι βαρβάρους ὑπὸ τοῦ ἁβροτάτου καὶ πολυτελοῦς Κων-

2 *οὐ* accessit e libris (i. e. Ambrosiano Muratorii, Wolfii in Libanii Epistolis, Monacensi [G] et Ottoboniano 90) 3 *ζωγράφῳ* G Ottob. 90] *πρὸς ζωγράφον* 6 *ἔφερον, μᾶλλον δὲ ὑπὸ τῶν θεῶν* add. G 9 *Ἀρσακίῳ* Sozomenus VI, 1. 10 *τῶν πολεμίων* add. G Ottob. 90 14 *ἐνορίας* G, *εὐορίας* Muratorii codex, *ἐφορίας* in confiniis Parthorum Rsk., *εὐοδίας* v 15 *καὶ τὰ δεινότατα διατιθεμένους* om. G Ottob. 90 | *διαθεμένους* Sintenis] *διατιθεμένους* 17 *ὑμῖν* Muratorius; correxit Heyler 20 *ἐκεῖνον* G Ottob. 90] *Κωνσταντῖνον* 22 *πολυτελοῦς* Sintenis] *πολυετοῦς* v, *ἀσεβοῦς* Teuffel (Studien u. Cha-

σταντίου κενωθείσας, νῦν μοι τὸν Ἰουλιανόν, τὸν ἀρχιερέα, τὸν καίσαρα, τὸν αὔγουστον, τὸν θεῶν τε καὶ Ἄρεος θεραπευτὴν ἐννόησον, τὸν Φραγκῶν τε καὶ βαρβάρων ὀλετῆρα, τὸν Γάλλων τε καὶ Ἰταλῶν ἐλευθερωτήν. εἰ δὲ ἕτερόν τι βουλεύσαιο· πυνθάνομαι
136 γάρ εἶναί σε πανοῦργον καὶ κακὸν στρατιώτην καὶ ἀλαζόνα, ὡς τὰ παρόντα μοι πράγματα δείκνυσιν· ἐχθρὸν γάρ τινα τῆς κοινῆς λυσιτελείας λανθάνοντα ἀποκρύπτειν παρὰ σοὶ πειρᾶσθαι· τέως μὲν τοῦτο ὑπερτίθεμαι διὰ τὴν τοῦ πολέμου τύχην· ἀρκεῖ γὰρ ἡμῖν ἡ τῶν θεῶν συμμαχία πρὸς τὴν τῶν πολεμίων καθαίρεσιν. εἰ δέ τι τὰ τῆς εἱμαρμένης κρίνειε· θεῶν γὰρ βούλησις ἡ ταύτης ἐξουσία· ἀδεῶς καὶ γενναίως οἴσω τοῦτο. ἴσθι δὲ ὡς σὺ μὲν πάρεργον ἔσῃ τῆς Περσικῆς χειρός, συναφθείσης σοι παγγενεὶ τῆς ἑστίας καὶ τῆς Ἀρμενίων ἀρχῆς· κοινωνήσει δέ σοι τῆς δυστυχίας καὶ ἡ Νισιβίων πόλις, τῶν οὐρανίων θεῶν τοῦτο πάλαι ἡμῖν προαγορευσάντων.

ξζ΄. Ἰουλιανὸς Σωσιπάτρῳ.

Ἔστι τις ἡδονῆς ἀφορμὴ πλείων, ὅταν ἐξῇ δι᾽ ἀνδρὸς οἰκείου τοὺς φίλους προσφωνεῖν· οὐ γὰρ μόνον

rakteristiken p. 162) secundum Sozomenum l. l. (*Κωνσταντίῳ ὡς ἀνάνδρῳ καὶ ἀσεβεῖ λοιδορησάμενος*)

3 *Ἄρεος* Hrch.] *Ἄρεως* | *εὐνόϊσον* Muratorius | *φραγκτῶν* G et cod. Muratorii 8 *κοινῆς*] *παρούσης* Ottob. 90 et G (in hoc *κοινῆς* rubrica supra scriptum) 9 *πειρᾶσθαι* H] *πειρᾶς, καὶ* v, *πειρᾷ, καὶ* Hrch., *πειράσῃ, καὶ* G Ottob. 90. „*Καὶ* videtur delendum et post *τοῦτο* addendum *δοκεῖ*.“ Rsk. 10 *ὑπερτίθεμαι* G Ottob. 90] *ὑπερτιθέναι* 17 *Νισιβίων* G Ottob. 90] *Νησιβίων* 19 Hanc et quae sequuntur octo epistolas Fabricius in Luce Salut. Evang. p. 316 ss. primus edidit. | *Σωπάτρῳ* probabiliter suspicatur Fabricius 20 *ἐξῇ* Heyler] *ἐξῆν*

οἷς γράφεις τὸ τῆς σεαυτοῦ ψυχῆς ἴνδαλμα τοῖς ἐντυγχάνουσι ξυναρμόττῃ. ὃ δὴ καὶ αὐτὸς ποιῶ. τὸν 187 γὰρ τροφέα τῶν ἐμαυτοῦ παίδων Ἀντίοχον ὡς ὑμᾶς ἐκπέμπων ἀπρόσρητόν σε καταλιπεῖν οὐκ ἠνεσχόμην· ὥστε, εἴ τι τῶν καθ' ἡμᾶς ποθεῖς, ἔχοις ἂν οἰκειότερον παρ' αὐτοῦ γνῶναι. εἰ δέ τι καὶ σοὶ μέλει τῶν σῶν ἐραστῶν, ὡς ἔγωγε ὅτι μέλει πιστεύω, δείξεις ἐν οἷς ἂν ἐξῇ γράφειν μηδαμῶς ἐλλείπων.

ξη'. Ἰουλιανὸς Φιλίππῳ.

Ἐγὼ νὴ τοὺς θεοὺς ἔτι καῖσαρ ὢν ἐπέστειλά σοι, καὶ νομίζω πλέον ἢ ἅπαξ. ὥρμησα μέντοι πολλάκις, ἀλλ' ἐκώλυσαν ἄλλοτε ἄλλαι προφάσεις, εἶτα ἡ γενομένη διὰ τὴν ἀνάρρησιν ἐμοί τε καὶ τῷ μακαρίτῃ Κωνσταντίῳ λυκοφιλία· παντάπασι γὰρ ἐφυλαττόμην ὑπὲρ τὰς Ἄλπεις ἐπιστεῖλαί τινι, μὴ πραγμάτων αὐτῷ χαλεπῶν αἴτιος γένωμαι. τεκμήριον δὲ μὴ ποιοῦ τῆς εὐνοίας τὸ γράφειν· οὐ γὰρ ἐθέλει πολλάκις ὁμολογεῖν ἡ γλῶττα τῇ διανοίᾳ. καὶ ἴσως ἔχει μέν τι 138 πρὸς τὸ γαυριᾶν καὶ ἀλαζονεύεσθαι τοῖς ἰδιώταις ἡ τῶν βασιλικῶν ἐπιστολῶν ἐπίδειξις, ὅταν πρὸς τοὺς ἀσυνήθεις ὥσπερ δακτύλιοί τινες ὑπὸ τῶν ἀπειροκάλων φερόμενοι κομίζωνται. φιλία δὲ ἀληθινὴ γίνεται μάλιστα μὲν δι' ὁμοιότητος, ἡ δευτέρα δέ, ὅταν τις ἀληθῶς, ἀλλὰ μὴ πλαστῶς θαυμάζῃ, καὶ παρὰ τοῦ τύχῃ καὶ συνέσει κρείττονος ὁ πρᾷος καὶ μέτριος καὶ σώφρων ἀγαπηθῇ. τὰ γραμματεῖα δὲ ταῦτα πολλοῦ

1 „Post γράφεις deesse videtur ἀλλὰ καὶ οἷς οὗτος ἀπαγγέλλῃ [—ει]“ Rsk. | σεαυτοῦ Hrch.] ἑαυτοῦ 8 ἐν οἷς] ἕως? | ἐξῇ Heyler] ἐξῆν 16 μὴ Rsk.] μοι | τῆς Rsk.] τοῦτο 18 τι Rsk. et Heyler] τοι 24 et 25 τοῦ—κρείττονος H] τῇ—κρείττων ὡς. Rsk.: καὶ γὰρ ἂν ὁ τῇ ψυχῇ καὶ συνέσει

τύφου καὶ πολλῆς φλυαρίας ἐστὶ μεστά, καὶ ἔγωγε πολλάκις ἐμαυτῷ μέμφομαι μακρότερα ποιούμενος αὐτὰ καὶ λαλίστερος ὤν, ἐξὸν Πυθαγόρειον διδάσκειν τὴν γλῶτταν. ὑπεδεξάμην μέντοι τὰ σύμβολα, φιάλην ἀργυρᾶν, ἕλκουσαν μίαν μνᾶν, καὶ χρυσοῦ νόμισμα. καλέσαι δέ σε πρὸς ἐμαυτόν, ὥσπερ ἐπέστειλας, ἐβουλόμην. ἤδη δὲ ἔαρ ὑποφαίνει καὶ δένδρα βλαστάνει, χελιδόνες δὲ ὅσον οὔπω προσδοκώμεναι τοὺς συστρατευομένους ἡμᾶς, ὅταν ἐπεισέλθωσιν, ἐξελαύνουσι τῶν οἰκιῶν, καί φασι δεῖν ὑπερορίους εἶναι. πορευσόμεθα δὲ δι' ὑμῶν, ὥστε μοι βέλτιον ἂν ἐντύχοις, ἐθελόντων θεῶν, ἐν τοῖς σαυτοῦ. τοῦτο δὲ οἶμαι ταχέως 139 *ἔσεσθαι, πλὴν εἰ μή τι δαιμόνιον γένοιτο κώλυμα. καὶ τοῦτο δὲ αὐτο τοῖς θεοῖς εὐχόμεθα.*

ξθ'. Ἰουλιανὸς Εὐθηρίῳ.

Ζῶμεν ὑπὸ τῶν θεῶν σωθέντες· ὑπὲρ ἐμοῦ δὲ αὐτοῖς θῦε τὰ χαριστήρια. θύσεις δὲ οὐχ ὑπὲρ ἑνὸς ἀνδρός, ἀλλ' ὑπὲρ τοῦ κοινοῦ τῶν Ἑλλήνων. εἰ δέ σοι σχολὴ καὶ μέχρι τῆς Κωνσταντίνου πόλεως διαβῆναι, τιμησαίμην ἂν οὐκ ὀλίγου τὴν σὴν ἐντυχίαν.

140 ο'. Ἰουλιανὸς Διογένει.

Διογένης ὁ σὸς υἱὸς ὀφθείς μοι μετὰ τὴν ἔξοδον τὴν σὴν καὶ φήσας ὠργίσθαι σέ τι πρὸς αὐτόν, οἷον ἂν πατὴρ πρὸς παῖδα χαλεπήνειεν, ἐδεήθη μέσον με

3 *λαλέστερος* Fabricius; correxit Heyler | *Πυθαγόρεια* Hrch. „Nisi forte post *Πυθαγόρειον* intercidit *σιωπήν*.“ Idem 4 „Post *τὴν γλῶτταν* deesse videtur *τὸν τρόπον*.“ Rsk. 8 et 9 *στρατευομένους* H 14 *ἐφώμεθα* H 20 *ὀλίγου* Rsk. et H] *ὀλίγον* 21 Quae ante hanc epistolam legebatur numero LXXI ab Heylero insignita Libanii est epistola 835. Cum Herchero eam omisimus.

τῶν πρὸς αὐτὸν καταλλαγῶν παρὰ σοὶ γενέσθαι. εἰ μὲν οὖν μέτρια καὶ οἷα δύνασθαι φέρειν ἥμαρτεν, εἶξον τῇ φύσει καὶ τὸ πατὴρ εἶναι γνοὺς ἐπάνελθε πρὸς τὸν παῖδα τῇ γνώμῃ· εἰ δέ τι μεῖζον ἔπταικεν ἢ οἷον πρὸς συγγνώμην ἐλθεῖν, αὐτὸς ἂν εἴης δικαιότερος κριτής, εἴτε δεῖ καὶ τοῦτο γενναίως ἐνεγκόντα νικῆσαι τοῦ παιδὸς τὴν βουλὴν γνώμῃ κρείττονι, εἴτε καὶ πλείονος χρόνου σωφρονισμῷ τὴν ἐπὶ τῷ πταισθέντι βάσανον πιστεῦσαι.

οα′. Ἰουλιανὸς Πρίσκῳ. 141

Ἐγὼ δεξάμενός σου τὰ γράμματα παραχρῆμα τὸν Ἀρχέλαον ἀπέστειλα, δοὺς αὐτῷ φέρειν ἐπιστολὰς πρὸς σέ, καὶ τὸ σύνθημα, καθάπερ ἐκέλευσας, (εἰς) πλείονα χρόνον. ἱστορῆσαι δέ σοι τὸν ὠκεανὸν ἐθέλοντι ὑπάρξει σὺν θεῷ πάντα κατὰ γνώμην, εἰ μὴ τὴν τῶν Γαλατῶν ἀμουσίαν καὶ τὸν χειμῶνα διευλαβηθείης. ἀλλὰ τοῦτο μὲν ὅπως ἂν ᾖ τῷ θεῷ φίλον γενήσεται, ἐγὼ δὲ ὄμνυμί σοι τὸν πάντων ἀγαθῶν ἐμοὶ αἴτιον καὶ σωτῆρα, ὅτι διὰ τοῦτο ζῆν εὔχομαι, ἵν' ὑμῖν τι χρήσιμος γένωμαι. τὸ δὲ ὑμῖν ὅταν εἴπω, τοὺς ἀληθινούς φημι φιλοσόφους, ὧν εἶναί σε πεισθεὶς οἶσθα πῶς ἐφίλησα καὶ φιλῶ καὶ ὁρᾶν εὔχομαι. ἐρρωμένον σε ἡ θεία πρόνοια διαφυλάξειε πολλοῖς χρόνοις, ἀδελφὲ ποθεινότατε καὶ φιλικώτατε. τὴν ἱερὰν Ἱππίαν καὶ τὰ παιδία ὑμῶν προσαγορεύω.

4 εἰ δὲ δή τι Rsk. 5 οἷον Hrch.] οἷον δὴ v, οἷόν τε Rsk. 6 δεῖ Heyler] δὴ 13 εἰς add. Rsk. et Hrch. 16 τὴν τῶν H] γε τὴν Hrch., δὲ τῶν v 17 ἂν Heyler] ἐὰν 23 διαφυλάξειε Hrch.] διαφυλάξοι

142 [οβʹ. *Λιβανίῳ σοφιστῇ καὶ κοιαίστωρι.*]

Ὡς ὤνησέ γε τὸ σύνθημα ἡμῖν μελλῆσαν· ἀντὶ γὰρ τοῦ τρέμειν καὶ δεδιέναι φερόμενον ἐπὶ τῆς δημοσίας ἀπήνης καὶ περιπίπτοντα κραιπαλῶσιν ὀρεωκόμοις καὶ ἡμιόνοις ἀκοστήσασι καθ' Ὅμηρον δι' ἀργίαν καὶ πλησμονὴν ἀνέχεσθαι κονιορτοῦ καὶ φωνῆς ἀλλοκότου καὶ ψόφου μαστίγων βαδίζειν ἐπὶ σχολῆς περιέστη μοι δι' ὁδοῦ συνηρεφοῦς καὶ ἐπισκίου, πολλὰς μὲν κρήνας, πολλὰς δὲ ἐχούσης καταγωγὰς ἐπιτηδείους τῇ ὥρᾳ μεταξὺ τὸν κόπον διαναπαύοντι, ἵνα μοι φανείη κατάλυσις εὔπνους τε καὶ ἀμφιλαφὴς ὑπὸ πλατάνοις τισὶν ἢ κυπαρίττοις, τὸν Φαῖδρον ἔχοντι ἐν χερσὶ τὸν Μυρρινούσιον ἢ ἕτερόν τινα τῶν Πλάτωνος λόγων. ταῦτά τοι, ὦ φίλη κεφαλή, ἀπολαύων τῆς ἐλευθέρου ὁδοιπορίας, ἄτοπον ὑπέλαβον τὸ μὴ καὶ τοῦτο κοινώσασθαί σοι καὶ ἀποσημῆναι.

143 ογʹ. *Εὐκλείδῃ φιλοσόφῳ.*

Πότε γὰρ ἡμῶν ἀπελείφθης, ἵνα καὶ γράφωμεν, ἢ πότε οὐχὶ (*τοῖς*) *τῆς ψυχῆς ὀφθαλμοῖς ὡς παρόντα σε θεωροῦμεν; οἵ γε οὐ μόνον ἀεί σοι συνεῖναι καὶ*

1 *κοιαίστωρι* Ph] *κοναίστωρι*. Vid. Epist. 27 et ad Epist. 14 atque quos affert grammaticos L. Dindorfius Praef. Polyb. Vol. I. p. XLIV. Post *κοιαίστωρι* Ph addit *Ἰουλιανῷ Εὐστάθιος φιλόσοφος*. 2 *ἡμῶν* Pkl 7 *ψόφου μαστίγων* Ph et Parisinus 967] *ψόφου καὶ μαστίγων* 7 et 8 *περιέστη* Ph] *περίεστι* 10 *κόπον* Rsk.] *τόπον* Fabricius, *πόνον* Phkl et Parisinus 967 | *ἵνα* Parisinus 967] *ἵν' ἂν* Phkl, *ἵνα ἂν* v 11 *φανῇ* Hrch. 13 *ἐν χερσὶν ἔχοντι ἢ τὸν μυρρινούσιον* Ph. Delerem *τὸν Μυρρινούσιον* inepte additum ad *Φαῖδρον* de libro, non de homine dictum, si verum hic haberemus Iulianum | *ἕτερόν τινα* Ph] *ἕτερά τινα* 14 *τοι* H] *σοι* | *φίλη*] *φίλη καὶ ἱερὰ* Ph 15 *ἐλευθέρας* Pkl 16 *σοι* Ph] *τε* 20 *τοῖς* add. Hrch. 21 *οἵ γε* Sintenis] *οἵ γε οὖν*

συνομιλεῖν δοκοῦμεν, ἀλλὰ καὶ τῶν γε νῦν προσηκόντων ὡς ὑπὸ παρουσίᾳ τῇ σῇ τὰ εἰκότα κηδόμεθα. εἰ δὲ καὶ γράφεσθαί σοι παρ' ἡμῶν ὡς ἀπόντι θέλεις, ὅρα μὲν ὅπως μὴ αὐτὸς τὸ δοκεῖν ἡμῶν ἀπεῖναι μᾶλλον αὐτῷ (τῷ) γράφειν ἐθέλειν ἐκφήνῃς· πλὴν ἀλλ' εἴγε σοι φίλον ἐστί, καὶ πρὸς τοῦτο ἑκόντες ὑπακούομεν. πάντως γε, τὸ τοῦ λόγου, θέοντα τῇ παρακελεύσει τὸν ἵππον εἰς πεδίον ἄξεις. ἄγε οὖν ὅπως ἀντιδίδως τὰ ἴσα, καὶ πρὸς τὴν ἀντίκλησιν ἐν τῇ τῶν ἀμοιβαίων συνεχείᾳ μὴ κατοκνήσῃς. καίτοι ἔγωγε εἰς τὴν ὑπὲρ τοῦ κοινοῦ σοι γινομένην σπουδὴν οὐκ ἐθέλω διοχλεῖν, ἀλλ' ὅσῳ σε φυλάττω τῇ θήρᾳ τῶν καλῶν, οὐ μόνον (οὐκ) ἀδικεῖν, ἀλλὰ καὶ ξύμπαν ὁμοῦ τὸ Ἑλληνικὸν ὠφελεῖν ἂν δοκοίην, ὥσπερ σκύλακα γενναῖον, ἀόχλητον ἀφιεὶς ἐσχολακέναι σε τοῖς 144 περὶ τοὺς λόγους ἴχνεσιν ὁλοκλήρῳ τῷ λήματι. εἰ δέ σοι τοσοῦτον τάχος περίεστιν, ὡς μήτε τῶν φίλων ἀμελεῖν μήτ' ἐκείνοις ἐνδεῖν, ἴθι χρῆσαι παρ' ἄμφω τῷ δρόμῳ.

οδ'. Λιβανίῳ.

Ἀποδέδωκας Ἀριστοφάνει τὰς ἀμοιβὰς τῆς τε περὶ τους θεοὺς εὐσεβείας καὶ τῆς περὶ σεαυτὸν προθυμίας, ἀμείψας αὐτῷ καὶ μεταθεὶς τὰ πρόσθεν ἐπ-

4 „μὲν delendum, aut cum μοι est mutandum.“ Rsk. 5 αὐτῷ τῷ Sintenis] αὐτῷ 6 ἐστί scripsi pro ἐστίν 8 τὸν ἵππον Heyler] καὶ τὸν ἵππον 12 Malim ἀλλὰ τῷ σε φυλάττειν 13 οὐκ add. H 15 σε H] σοι v, delevit Hrch. 16 „Fabricius pro βήματι ait in aliis legi λήμματι, imo vero λήματι, quod equidem praeferam.“ Rsk. 18 παρ'] πρὸς? 20 Apud Fabricium desinit haec epistola in verbis εἰ πέπεικάς με (596,8), reliqua suppleta sunt ab I. C. Wolfio ad Libanii Epistolas p. 321. Integram habet epistolam etiam Vaticanus 1353 21 Ἀποδέδωκας—ἀμοιβὰς cit. Thomas Magister p. 92.

ονείδιστα πρὸς εὔκλειαν, οὐ τὴν νῦν μόνον, ἀλλὰ καὶ εἰς τὸν ἔπειτα χρόνον, ὡς οὐχ ὅμοιόν γε ἡ Παύλου συκοφαντία καὶ ἡ τοῦ δεῖνος κρίσις τοῖς ὑπὸ σοῦ γραφομένοις λόγοις· ἐκεῖνα μὲν γὰρ ἀνθοῦντά τε ἐμισεῖτο καὶ συναπέσβη τοῖς δράσασιν, οἱ δὲ σοὶ λόγοι καὶ νῦν ὑπὸ τῶν ἀληθῶς Ἑλλήνων ἀγαπῶνται, καὶ εἰς τὸν ἔπειτα χρόνον, εἰ μή τι σφάλλομαι κρίσεως ὀρθῆς, ἀγαπήσονται. πεύσῃ δὴ λοιπόν, εἰ πέπεικάς
145 με, μᾶλλον δὲ μεταπέπεικας ὑπὲρ Ἀριστοφάνους. μὴ νομίζειν αὐτὸν ἡδονῶν ἥττονα καὶ χρημάτων ὁμολογῶ. τί δὲ οὐ μέλλω τῷ φιλοσοφωτάτῳ καὶ φιλαληθεστάτῳ τῶν ῥητόρων εἴκειν; ἕπεται καὶ τὸ ἐπὶ τούτοις παρὰ σοῦ προσανερωτᾶσθαι· τί οὖν οὐ μετατίθεμεν αὐτῷ τὰς συμφορὰς εἰς ἀμείνω τύχην καὶ ἀφανίζομεν τὰ κατασχόντα διὰ τὰς δυσπραγίας ὀνείδη; σύν τε δύ' ἐρχομένω, φασίν, ἐγὼ καὶ σὺ βουλευσώμεθα. δίκαιος δὲ εἶ μὴ συμβουλεύειν μόνον, ὅτι χρὴ βοηθεῖν ἀνδρὶ τοὺς θεοὺς ἀδόλως τετιμηκότι, ἀλλὰ καὶ ὃν χρὴ τρόπον. καίτοι τοῦτο ᾐνίξω τρόπον τινά. βέλτιον δὲ ἴσως ὑπὲρ τῶν τοιούτων οὐ γράφειν, ἀλλὰ διαλέγεσθαι πρὸς ἀλλήλους. ἔρρωσό μοι, ἀδελφὲ ποθεινότατε καὶ προσφιλέστατε.

[οε'. Ἰουλιανὸς Βασιλείῳ.]

Τὸ ἔμφυτόν μοι ἐκ παιδόθεν γαληνὸν καὶ φιλάνθρωπον μέχρι γε τοῦ παρόντος ἐπιδεικνύμενος, πάντας

4 μὲν Vat. 1353] τε 7 μή τι Vat. 1353] μήτε 8 ἀγαπηθήσονται idem 11 et 12 φιλαληθεστάτῳ τῶν Hrch.] φιλαληθεῖ 12 τὸ Vat. s. v.] τῷ 16 σύν τε δύ' ἐρχομένω] Iliad. κ, 224 18 ἀδόλως I. C. Wolfius] ἀδόλους 23 Legitur haec epistola inter Epistolas Basilii Magni Tom. III. p. 122 ed. Bened. Integram subieci scripturae diversitatem codicum G, Vaticani 434 (= x), Vaticani 573 (= y), Palatini 146 (= z). | Βασιλείῳ]

ὑπηκόους ἐκομισάμην τοὺς οἰκοῦντας τὴν ὑφ' ἥλιον. 146
ἰδοὺ γὰρ πᾶν γένος βαρβάρων μέχρι ὁρίων ὠκεανοῦ ποταμοῦ δῶρά μοι κομίζον ἧκε παρὰ ποσὶ τοῖς ἐμοῖς, ὁμοίως δὲ καὶ Σαγάδαρες οἱ παρὰ τὸν Δάνουβιν ἐκτραφέντες καὶ Γόττοι ποικιλοκαρόμορφοι, οἷς οὐκ ἔστι θέα ὁμοιοειδὴς ἀνθρώποις, ἀλλὰ μορφὴ ἀγριαίνουσα. οὗτοι κατὰ τὴν ἐνεστῶσαν προκαλινδοῦνται ἴχνεσι τοῖς ἐμοῖς, ὑπισχνούμενοι ποιεῖν ἐκεῖνα, ἅπερ τῇ ἐμῇ ἁρμόζει βασιλείᾳ. οὐχὶ δὲ ἐν τούτῳ μόνον ἕλκομαι, ἀλλὰ δεῖ με σὺν πολλῷ τῷ τάχει καταλαβεῖν τὴν Περσῶν καὶ τροπώσασθαι τὸν Σάπωριν ἐκεῖνον τὸν ἀπόγονον Δαρείου γεγονότα, ἄχρις οὗ ὑπόφορος καὶ ὑποτελής μοι γένηται· ἐντεῦθεν δὲ καὶ τὴν Ἰνδῶν καὶ τὴν Σαρακηνῶν περιοικίδα ἐκπορθῆσαι, ἄχρις οὗ καὶ αὐτοὶ πάντες ἐν δευτέρᾳ τάξει βασιλείας γένωνται

τῷ μεγάλῳ Βασιλείῳ ex Marciano 79 Hrch. 24 p. 596 μοι om. Gxy | παιδὸς z 25 p. 596 μέχρι γε Fabricius y] μέχρι | παρόντος Gxy] παρόντος πᾶσιν ἀνθρώποις

1 ἐκομισάμην om. G 2 μέχρι τε τῶν z, μέχρις Benedictini | ὁρίων om. G 3 μοι om. xz | παρὰ] πρὸς z 4 σαδυγάρδες G, οἱ δαγάρεις z | παρὰ Gyz] περὶ | δανούβιον Gx, δάννουβιν y, δανούβην z | ποταμὸν ante ἐκτραφέντες addit x 5 καὶ Γόττοι ποικιλοκαρόμορφοι] οἱ εὐμορφοποικιλοκαθ (κανθ x) αρόμορφοι Gxyz, „ποικιλοκανθαρόμορφοι forma similes scarabaeis variegatis.“ Rsk. | ἔστι] ἔτι G 6 ὁμονειδὴς pr. y | ἀνθρώποις xz] ἀνθρώπων | ἀγριαίνουσα] ὑπερβαίνουσα z 7 οὗτοι Gxy] οὗτοι καὶ αὐτοὶ v, καὶ αὐτοὶ z | ἐνεστῶσαν ἰσχὺν z | προκαλινδοῦνται Gxy] προκυλινδοῦνται | ἴχνεσι προκυλινδοῦνται z 8 ὑπισχνούμενοι] ὑπισχνούμενοί μοι Gyz | ἅπερ om. x 9 βασιλεία ἁρμόζει z | μόνον x] μόνῳ 10 δεῖ] καὶ z | με om. z | ἐν σὺμ z | καταλαβεῖν] καταλαβεῖν με δεῖ z | τὴν Gxyz] τῆς 10 et 11 τῶν Περσῶν γῆν z 11 τὸν om. Gx | σάπφωριν y, σάπφοριν x, ζαπόριον z, σαβόριον G | τὸν om. z 11 et 12 δαρείου γεγονότα ἀπόγονον z 12 ἄχρις—γένηται om. z 13 ἐντεῦθεν tacite Hrch.] ἐνταῦθα v, ἐν ταὐτῷ G | καὶ (primum) om. z | καὶ (alterum)] ἅμα καὶ z 14 τὴν om. Gxz | περιοικίδα accessit ex Gxy, habet etiam z post ἐκπορθῆσαι | ἄχρις οὗ] μέχρις οὖν οἱ x, ἄχρις οὗτοι G 14 et 15 καὶ αὐτοὶ om. Gxy 15 πάντες om. z | βασιλείας om. Gy

τῆς ἐμῆς ὑπόφοροι καὶ ὑποτελεῖς. ἀλλ' αὐτὸς ἐπέκεινα τῆς τούτων δυνάμεως πεφρόνηκας, εὐλάβειαν μὲν λέγων ἐνδεδύσθαι, ἀναίδειαν δὲ προβαλλόμενος, καὶ πανταχοῦ διαφημίζων ἀνάξιόν με τῆς τῶν Ῥωμαίων βασιλείας γεγονέναι. ἢ οὐκ οἶσθα αὐτός, ὡς Κώνστα τοῦ κρατίστου γέγονα ἀπόγονος; καὶ τούτων οὕτω γνωσθέντων ἡμῖν σοῦ ἕνεκα, οὐδὲ τῆς προτέρας ἐξέστημεν διαθέσεως, ἥσπερ ἔτι νέοι ὄντες τῇ ἡλικίᾳ
147 *ἐγώ τε καὶ σὺ μετεσχήκαμεν. ἀλλὰ γαληνῷ τῷ φρονήματι θεσπίζω δέκα ἑκατοντάδας χρυσίου λιτρῶν ἐξαποσταλῆναί μοι παρὰ σοῦ ἐν τῇ παρόδῳ μου τῇ κατὰ τὴν Καίσαρος, ἔτι μου κατὰ τὴν λεωφόρον ὑπάρχοντος, σὺν πολλῷ τῷ τάχει μέλλοντός μου βαδίζειν ἐπὶ τὸν Περσικὸν πόλεμον, ἑτοίμου ὄντος μου, εἰ μὴ τοῦτο ποιήσεις, πάντα τόπον ἀνασκευάσαι τῆς Καίσαρος, καὶ τὰ πάλαι αὐτῆς ἐγηγερμένα καλλιουργήματα κατασκάψαι κατὰ τόπον, ναούς τε καὶ ἀγαλ-*

1 *τῆς ἐμῆς γένωνται* Gy | *τῆς ἐμῆς βασιλείας γένωνται* x, *τῆς ἐμῆς βασιλείας γενόμενοι ὑποδεεῖς ἔσονταί μοι. ἀλλ' αὐτὸς κτλ.* z 2 *πεφρόντικας* Gx | *μὲν* om. Gxy 3 ante *ἀναίδειαν* z addit *καὶ* | *δὲ* om. xz 4 *διαφημίζων* Gxy] *διαφημίζων ὡς* | *τῶν* om. z 5 *γεγονότα* z | *οἶδας* z | *αὐτὸς* om. z | *Κώνσταν* G, *Κῶνστα* x, *Κωσταντίου* z, *Κωνσταντίνου* v, *Κώνστα* Hrch. 6 *ἀπόγονος γέγονα* xy | *οὕτως* yz 7 et 8 *τῆς — διαθέσεως*] *μέχρι τοῦ παρόντος ἐξίσταμαι τῆς προτέρας διαθέσεως* z 8 *ἥσπερ*] *ἧς* z | *ἔτι* om. xy | *ὄντες τῇ ἡλικίᾳ*] *ὑπάρχοντες τὴν ἡλικίαν* z 9 *ἀλλὰ*] *ἀλλὰ καὶ νῦν* z 10 *δέκα ἑκατοντάδας*] *χιλιάδα* z | *λιτρῶν χρυσίου* x 11 *ἔν τε τῇ* Gxy | *μου* om. y 12 *τὴν*] *τοῦ* G, *τῆς* z | *ἔτι μου*] *ἑτοίμου* G, *ἔτι μου — τάχει* om. z 13 *μέλλοντος — 14 πόλεμον* Fabricius] *ἀφικνουμένου μου κατὰ τὴν* (*τῶν* G) *Περσῶν* Gxy, *τῶν Περσῶν* etiam z 14 Post *πόλεμον* z addit *ἔτι μου κατὰ τὴν λεωφόρον ὑπάρχοντος* | *μου* om. z 15 *εἰ δὲ μὴ* y | *ποιήσειας ἅπαντα* z | *ἀνασκαλῆσαι* z 16 *ἐγειγερμένα* G 16 et 17 *καλλιεργήματα* z 17 *κατασκάψαι* Vat. 1353] *καταστρέψαι* v, *καταστρέψω* G | *κατὰ* Gxy] *καὶ κατὰ* | *τε* om. z

ματα ἀναστῆσαι, ὥστε με πεῖσαι πάντας εἴκειν βασιλεῖ Ῥωμαίων καὶ μὴ ὑπεραίρεσθαι. τὸ οὖν ἐξονομασθὲν χρυσίον ἐξ ἀριθμοῦ ζυγῷ Καμπανῷ πρυτανίσας καὶ διαμετρήσας ἀσφαλῶς ἐξαπόστειλόν μοι δι' οἰκείου πιστοῦ σοι ὄντος, δακτυλίῳ τῷ σῷ σφραγισάμενος, ὥστε με ἐπεγνωκότι, κἂν ὀψέ ποτε, τοῦ καιροῦ τὸ ἀπαραίτητον γαληνόν σοι γενέσθαι περὶ τὰ ἐπταισμένα. ἃ γὰρ ἀνέγνων, ἔγνων καὶ κατέγνων.

ος'. Εὐσταθίῳ φιλοσόφῳ. 150

Μὴ λίαν ᾖ κοινὸν τὸ προοίμιον Τὸν ἐσθλὸν ἄνδρα. τὰ δὲ ἐφεξῆς οἶσθα δήπουθεν. ἀλλὰ καὶ ἔχεις. οἶσθα μὲν γὰρ ἅτε λόγιος ὢν καὶ φιλόσοφος τὸ ἑπόμενον αὐτῷ, ἐμὲ δὲ ἔχεις φίλον, εἴπερ οὖν ἄμφω ἐσθλοί ἐσμεν. ὑπὲρ γὰρ σοῦ τοῦτο κἂν διατειναίμην, ὅτι τοιοῦτος εἶ, περὶ δὲ ἐμαυτοῦ σιωπῶ· γένοιτο δὲ τοὺς ἄλλους αἰθέσθαι καὶ ἐμοῦ τοιούτου. τί οὖν ὥσπερ ἄτοπόν τι λέγων κύκλῳ περίειμι δέον εἰπεῖν; ἧκε καὶ σπεῦδε καί, τὸ λεγόμενον, ἵπτασο. πορεύ-

1 με πεῖσαι om. xz | ἥκειν xz 2 ὑπεραίρεσθαι] ἀνταίρεσθαι x, ἀντέρεσθαι z | κατονομασθὲν y 3 ἐξαριθμοζυγοκαμπανοτρυτανίσας Gy, ἐξαριθμοκαμπανοτρυτανίσας x, ἐξ ἀριθμοῦ ζυγοκαμπανοτρυγανήσας z 4 ἐξαπόστελλε x, ἐξαπόστειλαι y, ἀπόστειλον z | μοι z] μοι, εἰ συνείδῃς (συνείδεις y) 5 πιστοῦ σοι] πιστοῦ σοῦ xy, σου ἀνθρώπου πιστοῦ z | δακτυλιδίῳ x, δακτυλίῳ—σφραγισάμενος om. z 6 με om. G | ἐπεγνωκότι, ut voluerant Benedictini, Heyler] ἐπεγνωκότα. „Fort. ἀπεγνωκότα eiurata severitate inflexibili et inexorabili. ἀπογιγνώσκειν tum erit expellere animo, abiicere". Rsk. 8 ἃ γὰρ—κατέγνων om. Gxy (habet z) 9 Sequuntur in heyleriana quinque illae epistolae (nr. 78—82) Isidori Pelusiotae, de quibus vid. Praef. Vol. I. p. VI. | Hanc epistolam primus edidit Heyler ex Vaticano 1353 10 τὸν Eustathius ad Iliad. p. 800,9 ed. Rom. (cf. Sophocl. Aiac. 1352)] τὸ 13 et 14 οὖν ἄμφω] συνάμφω Hrch., γοῦν ἄμφω H 14 σοῦ τοῦτο κἂν Hrch.] σοῦ τοῦτο ἂν H, σεαυτοῦ οὐκ ἂν v 17 λέγων] Malim λέξων

σει δέ σε θεὸς εὐμενὴς μετὰ τῆς Ἐνοδίας παρθένου, καὶ ὑπουργήσει δρόμος δημόσιος ὀχήματι βουλομένῳ χρήσασθαι καὶ παρίπποις δυσίν.

οζ'.

Χρῆν μὲν οἴκοθεν διανοηθέντα ὃ δὴ νῦν ἔδοξε κρατῦναι τῷ νόμῳ, τὸ παλαιὸν ἔθος ἀναλαβεῖν, ὃ διανοούμενοι μὲν οἱ πάλαι καλῶς θέμενοι τοὺς νόμους, εἶναι πλεῖστον ὑπέλαβον ἐν μέσῳ ζωῆς τε καὶ θανάτου, ἰδίᾳ δὲ ἑκατέρῳ πρέπειν ἐνόμισαν τὰ ἐπιτηδεύματα τῶν ἔργων. εἶναι μὲν γὰρ τὸν θάνατον ἡσυχίαν διηνεκῆ — καὶ τοῦτο ἄρα ἐστὶν ὁ χαλκοῦς ὕπνος ὁ ὑπὸ τῶν ποιητῶν ὑμνούμενος —, ἀπεναντίας δὲ τὴν ζωὴν ἔχειν πολλὰ μὲν ἀλγεινὰ πολλὰ δὲ ἡδέα, καὶ τὸ πράττειν νῦν μὲν ἑτέρως, αὖθις δὲ ἄμεινον. ὃ δὴ διανοηθέντες ἔταξαν ἰδίᾳ μὲν ἀφοσιοῦσθαι τὰ πρὸς τοὺς κατοιχομένους, ἰδίᾳ δὲ τὰ πρὸς τὸν καθ' ἡμέραν οἰκονομεῖσθαι βίον. ἔτι δὲ πάντων ὑπελάμβανον ἀρχὴν εἶναι καὶ τέλος τοὺς θεούς, ζῶντάς τε ἡμᾶς ἐνόμισαν ὑπὸ θεοῖς (εἶναι) καὶ ἀπιόντας πάλιν προς τοὺς θεούς πορεύεσθαι. τὸ μὲν οὖν ὑπὲρ τούτων λέγειν, εἴτε τοῖς αὐτοῖς ἀμφότερα προσήκει θεοῖς, εἴτε ἕτεροι μὲν ἐπιτροπεύουσι τοὺς ζῶντας, ἕτεροι δὲ τοὺς τεθνεῶτας, οὐδ' ἄξιον ἴσως δημοσιεύειν. εἴ γε μὴν καθάπερ ἡμέρας καὶ νυκτὸς αἴτιος ἥλιος (καὶ χειμῶνος) καὶ θέρους ἀπιὼν καὶ προσιών, οὕτω δὲ καὶ

2 βουλομένῳ Sintenis] βουμμένῳ 4 Hoc edictum primus ex Marciano 366 edidi in Hermae volumine VIII. p. 167—172. 6 κρατύναι M 9 ἰδία τε M 18 καὶ τέλος errore omissum est in Herma | ζῶντας τὲ M 19 εἶναι add. H | Malim πρὸς ἄλλους θεοὺς coll. Plat. Phaedon. p. 63 B et Legg. XII. p. 959 B 23 οὔτ' M | εἴ γε H] εἰ μέν γε M 24 et 25 καὶ χειμῶνος add. H

αὐτῶν τῶν θεῶν ὁ πρεσβύτατος, εἰς ὃν πάντα καὶ ἐξ οὗ πάντα, ζῶσί τε ἔταξεν ἄρχοντας καὶ τελευτήσασιν ἀπεκλήρωσε κυρίους, ἑκατέρῳ τὰ πρέποντα χρὴ νέμειν ἐν μέρει καὶ μιμεῖσθαι διὰ τοῦ καθ' ἡμέραν βίου τὴν ἐν τοῖς οὖσι τῶν θεῶν διακόσμησιν.

Οὐκοῦν ἡσυχία μὲν ὁ θάνατός ἐστιν, ἡσυχίᾳ δὲ ἡ νὺξ ἁρμόττει. διόπερ οἶμαι πρέπειν ἐν αὐτῇ τὰ περὶ τὰς ταφὰς πραγματεύεσθαι τῶν τελευτησάντων, ἐπεὶ τό γε ἐν ἡμέρᾳ πράττειν τι τοιοῦτο πολλῶν ἕνεκα παραιτητέον. ἄλλος ἐπ' ἄλλῃ πράξει στρέφεται κατὰ τὴν πόλιν, καὶ μεστὰ πάντα ἐστὶ τῶν μὲν εἰς δικαστήρια πορευομένων τῶν δὲ εἰς ἀγορὰν καὶ ἐξ ἀγορᾶς, τῶν δὲ ταῖς τέχναις προσκαθημένων, τῶν δὲ ἐπὶ τὰ ἱερὰ φοιτώντων, ὅπως τὰς ἀγαθὰς ἐλπίδας παρὰ τῶν θεῶν βεβαιώσαιντο· εἶτα οὐκ οἶδα οἵτινες ἀναθέντες ἐν κλίνῃ νεκρὸν διὰ μέσων ὠθοῦνται τῶν ταῦτα σπουδαζόντων. καὶ τὸ πρᾶγμά ἐστι πάντα τρόπον οὐκ ἀνεκτόν. ἀναπίμπλανται γὰρ οἱ προστυχόντες πολλάκις ἀηδίας, οἱ μὲν οἰόμενοι πονηρὸν τὸ οἰώνισμα, τοῖς δὲ εἰς ἱερὰ βαδίζουσιν οὐ θέμις προσελθεῖν ἐστι πρὶν ἀπολούσασθαι. τοῖς γὰρ αἰτίοις τοῦ ζῆν θεοῖς καὶ μάλιστα πάνπων ἀλλοτριώτατα πρὸς φθορὰν διακειμένοις οὐ θέμις προσελθεῖν ἀπὸ τοιαύτης ὄψεως. καὶ οὔπω τὰ μείζω κατηγόρηκα τοῦ γιγνομένου. τίνα δὲ ταῦτά ἐστιν; ἱεροὶ περίβολοι καὶ θεῶν ναοὶ ἀνεῴγασι· καὶ πολλάκις θύει τις ἔνδον καὶ σπένδει καὶ εὔχεται, οἱ δὲ παρέρχονται παρ' αὐτὸ τὸ ἱερὸν νεκρὸν κομίζοντες, καὶ ἡ τῶν ὀδυρμῶν φωνὴ καὶ δυσφημία

7 αὐτῇ H] αὐταῖς M 8 τετελευτησάντων M 9 τί M 13 τῶν δὲ H] τῶν δὲ ἐπὶ M. Vid. Iulian. Or. III. 110 C et 124 A 15 βεβαιώσοιντο M 17 πρᾶγμα ἐστὶ M 21 αἰτίαις M

ἄχρι τῶν βωμῶν φέρεται. οὐκ ἴστε ὅτι πρὸ πάντων τῶν ἄλλων τὰ τῆς ἡμέρας καὶ τὰ τῆς νυκτὸς ἔργα διήρηται; οὗτος οὖν εἰκότως τοῖς μὲν ἀφηρέθη, τῇ δὲ ἀνακέοιτο. οὐ γὰρ δὴ τῆς ἐσθῆτος τὴν λευκὴν ἐπὶ τοῖς πένθεσιν ὀρθῶς ἔχον ἐστὶ παραιτεῖσθαι, θάπτειν δὲ τοὺς τελευτήσαντας ἐν ἡμέρᾳ καὶ φωτί. βέλτιον (ἦν) ἐκεῖνο, εἴ γε εἰς οὐδένα τῶν θεῶν ἐπλημμελεῖτο, τοῦτο δὲ οὐκ ἐκφεύγει τὸ μὴ εἰς ἅπαντας τοὺς θεοὺς εἶναι δυσσέβειαν. τοῖς τε γὰρ Ὀλυμπίοις οὐ δέον αὐτὸ προσνέμουσι, καὶ τῶν χθονίων, ἢ ὁπωσοῦν ἄλλως οἱ τῶν ψυχῶν ἐπίτροποι καὶ κύριοι χαίρουσιν ὀνομαζόμενοι, παρὰ τὸ δέον ἀλλοτριοῦσιν. ἐγὼ δὲ οἶδα καὶ τοὺς περιττοὺς καὶ ἀκριβεῖς τὰ θεῖα θεοῖς τοῖς κάτω νύκτωρ ἢ πάντως μετὰ δεκάτην ἡμέρας ὥραν ἱερὰ δρᾶν ἀξιοῦντας. εἰ δὲ τῆς ἐκείνων θεραπείας οὗτος ἀμείνων ὁ καιρός, οὐδὲ τῇ θεραπείᾳ πάντως τῶν τεθνεώτων ἕτερον ἀποδώσομεν.

Τοῖς μὲν οὖν ἑκοῦσι πειθομένοις ἐξαρκεῖ ταῦτα. ἃ γὰρ ἡμάρτανον μαθόντες μετατιθέσθων πρὸς τὸ βέλτιον. εἰ δέ τις τοιοῦτός ἐστιν οἷος ἀπειλῆς καὶ ζημίας δεῖσθαι, ἴστω τὴν μεγίστην ὑφέξων δίκην, εἰ πρὸ δεκάτης ἡμερινῆς ὥρας τολμήσει τε τῶν ἀπογινομένων τινὸς κηδεῦσαι σῶμα καὶ διὰ τῆς πόλεως ἐνεγκεῖν· ἀλλὰ δύντος ἡλίου καὶ αὖ πρὶν ἀνίσχειν ταῦτα γενέσθω, ἡ δὲ ἡμέρα καθαρὰ καθαροῖς τοῖς τε ἔργοις καὶ τοῖς Ὀλυμπίοις ἀνακείσθω θεοῖς.

2 ἄλλων H] ἄλλων ὡς M | ἡμετέρας M 3 et 4 Corruptus locus fort. ita scribendus: οὕτως οὖν εἰκότως τῆς μὲν (sc. τῆς ἡμέρας) τοῦτο (τὸ θάπτειν) ἀφῃρέθη, τῇ δὲ (sc. τῇ νυκτὶ) ἂν ἀνακέοιτο 7 ἦν add. H 9 δυσσέβεια M 15 ἱερεῖα M 16 τῇ θεραπείᾳ — 17 ἕτερον (sc. καιρόν) H] τὴν θεραπείαν — πρὸς ἑτέραν M 19 παρὰ M 24 αὖ H] οὐ M 26 Ante τοῖς ὀλυμ-

οη'.

Πηγάσιον ἡμεῖς οὔποτ' ἂν προσήκαμεν ῥᾳδίως, εἰ μὴ σαφῶς ἐπεπείσμεθα, ὅτι καὶ πρότερον εἶναι δοκῶν τῶν Γαλιλαίων ἐπίσκοπος ἠπίστατο σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. οὐκ ἀκοὴν ἐγώ σοι ταῦτα ἀπαγγέλλω τῶν πρὸς ἔχθραν καὶ φιλίαν λέγειν εἰωθότων, ἐπεὶ καὶ ἐμοὶ πάνυ διετεθρύλητο τὰ τοιαῦτα περὶ αὐτοῦ, καὶ (ναὶ) μὰ τοὺς θεοὺς ᾤμην οὕτω χρῆναι μισεῖν αὐτὸν ὡς οὐδένα τῶν πονηροτάτων. ἐπεὶ δὲ κληθεὶς εἰς τὸ στρατόπεδον ὑπὸ τοῦ μακαρίτου Κωνσταντίου ταύτην ἐπορευόμην τὴν ὁδόν, ἀπὸ τῆς Τρῳάδος ὄρθρου βαθέος διαναστὰς ἦλθον εἰς τὸ Ἴλιον περὶ πλήθουσαν ἀγοράν. ὁ δὲ ὑπήντησε καὶ βουλομένῳ τὴν πόλιν ἱστορεῖν — ἦν γάρ μοι τοῦτο πρόσχημα τοῦ φοιτᾶν εἰς τὰ ἱερά — περιηγητής τε ἐγένετο καὶ ἐξενάγησέ με πανταχοῦ. ἄκουε τοίνυν ἔργα καὶ λόγους, ἀφ' ὧν ἄν τις εἰκάσειεν οὐκ ἀγνώμονα τὰ πρὸς τοὺς θεοὺς αὐτόν.

Ἡρῷόν ἐστιν Ἕκτορος, ὅπου χαλκοῦς ἕστηκεν ἀνδριὰς ἐν ναΐσκῳ βραχεῖ. τούτῳ τὸν μέγαν ἀντέστησαν Ἀχιλλέα κατὰ τὸ ὕπαιθρον. εἰ τὸν τόπον ἐθεάσω, γνωρίζεις δήπουθεν ὃ λέγω. τὴν μὲν οὖν ἱστο-

πίοις excidisse puto τοῖς λόγοις. Hercherus vero coniecit ἡ δὲ ἡμέρα καθαρὰ καθαροῖς τοῖς ἱεροῖς (non τοῖς τε ἱεροῖς, ut in Herma errore legitur) καὶ τοῖς ὀλυμπίοις ἀνακείσθω θεοῖς

1 Hanc epistolam C. Henningius (= Henn.) e codice Harleiano (= Harl.) primus edidit. Vid. Praef. Vol. II. 4 ἠπίστατο Henn.] ὑπέστατο Harl. | σέβεσθαι Henn.] σεύεσθαι Harl. 6 ἀπαγγέλλω Henn.] ἀπαγγέλω Harl. | φιλίαν Henn.] φιλίαν ταῦτα Harl. 7 διετεθρύλητο Henn.] διατεθρύλλητο Harl. 8 ναὶ add. H 11 Κωνσταντίου Henn.] Κωνσταντίνου Harl. 13 ὑπήντησέ μοι καὶ H 20 τούτῳ — ἀντέστησαν Henn.] τούτου — ἔστησαν Harl.

ρίαν, δι' ἣν ὁ μέγας Ἀχιλλεὺς ἀντιτεταγμένος αὐτῷ πᾶν τὸ ὕπαιθρον κατείληφεν, ἔξεστί σοι τῶν περιηγητῶν ἀκούειν. ἐγὼ δὲ καταλαβὼν ἐμπύρους ἔτι, μικροῦ δέω φάναι λαμπροὺς ἔτι τους βωμοὺς καὶ λιπαρῶς ἀληλιμμένην τὴν τοῦ Ἕκτορος εἰκόνα, πρὸς Πηγάσιον ἀπιδὼν „Τί ταῦτα;“ εἶπον, „Ἰλιεῖς θύουσιν;“ ἀποπειρώμενος ἠρέμα, πῶς ἔχει γνώμης. ὁ δὲ „Καὶ τί τοῦτο ἄτοπον, ἄνδρα ἀγαθὸν ἑαυτῶν πολίτην, ὥσπερ ἡμεῖς,“ ἔφη, „τοὺς μάρτυρας, εἰ θεραπεύουσιν;“ ἡ μὲν οὖν εἰκὼν οὐχ ὑγιής· ἡ δὲ προαίρεσις ἐν ἐκείνοις ἐξεταζομένη τοῖς καιροῖς ἀστεία. τί δὴ τὸ μετὰ τοῦτο; „Βαδίσωμεν,“ ἔφην, „ἐπὶ τὸ τῆς Ἰλιάδος Ἀθηνᾶς τέμενος“. ὁ δὲ καὶ μάλα προθύμως ἀπήγαγέ με καὶ ἀνέῳξε τὸν νεών, καὶ ὥσπερ μαρτυρόμενος ἐπέδειξέ μοι πάντα ἀκριβῶς σῶα τὰ ἀγάλματα, καὶ ἔπραξεν οὐδὲν ὧν εἰώθασιν οἱ δυσσεβεῖς ἐκεῖνοι πράττειν, ἐπὶ τοῦ μετώπου τοῦ δυσσεβοῦς τὸ ὑπόμνημα σκιαγραφοῦντες, οὐδὲ ἐσύριττεν, ὥσπερ ἐκεῖνοι, αὐτὸς καθ' ἑαυτόν· ἡ γὰρ ἄκρα θεολογία παρ' αὐτοῖς ἐστι δύο ταῦτα, συρίττειν τε πρὸς τοὺς δαίμονας καὶ σκιαγραφεῖν ἐπὶ τοῦ μετώπου τὸν σταυρόν.

Δύο ταῦτα ἐπηγγειλάμην εἰπεῖν σοι· τρίτον δὲ ἐλθὸν ἐπὶ νοῦν οὐκ οἶμαι χρῆναι σιωπᾶν. ἠκολούθησέ μοι καὶ πρὸς τὸ Ἀχίλλειον ὁ αὐτός, καὶ ἀπέδειξε τὸν τάφον σῶον· ἐπεπύσμην δὲ καὶ τοῦτον ὑπ' αὐτοῦ

3 ἐμπύρους — 4 ἔτι τοὺς βωμοὺς Henn.] ἐμπείρους — ἐπὶ τοῦ βωμοῦ Harl. 7 πῶς Henn.] ὡς Harl. 10 ἡ μὲν Henn.] εἰ μὲν Harl. 12 ἔφην Henn.] ἔφη Harl. 14 μαρτυρούμενος Henn. 17 τὸ ὑπόμνημα τοῦ δυσσεβοῦς Henn. 18 σκιαγραφοῦντες Henn.] σκιογραφοῦντες Harl. 18 et 19 αὐτὸς καθ' ἑαυτὸν Henn.] αὐτοὺς καθ' ἑαυτῶν Harl. 20 et 21 σκιαγραφεῖν Henn.] σκιογραφεῖν Harl. 24 ἀπέδειξε Henn.] ὑπέδειξε Harl. 25 ἐπεπύσμην Henn.] ἐπεπείσμην Harl.

διεσκάφθαι. ὁ δὲ καὶ μάλα σεβόμενος αὐτῷ προσήει. ταῦτα εἶδον αὐτός. ἀκήκοα δὲ παρὰ τῶν νῦν ἐχθρῶς ἐχόντων πρὸς αὐτόν, ὅτι καὶ προσεύχοιτο λάθρα καὶ προσκυνοίη τὸν Ἥλιον. ἆρα οὐκ ἂν ἐδέξω με καὶ ἰδιώτην μαρτυροῦντα; τῆς περὶ τοὺς θεοὺς διαθέσεως ἑκάστου τίνες (ἂν) εἶεν ἀξιοπιστότεροι μάρτυρες αὐτῶν τῶν θεῶν; ἡμεῖς (ἂν) ἱερέα Πηγάσιον ἐποιοῦμεν, εἰ συνεγνώκειμεν αὐτῷ τι περὶ τοὺς θεοὺς δυσσεβές; εἰ δὲ ἐν ἐκείνοις τοῖς χρόνοις εἴτε δυναστείας ὀρεγόμενος, εἴθ', ὅπερ πρὸς ἡμᾶς ἔφη πολλάκις, ὑπὲρ τοῦ σῶσαι τῶν θεῶν τὰ ἕδη τὰ ῥάκια ταῦτα περιαμπέσχετο καὶ τὴν ἀσέβειαν μέχρις ὀνόματος ὑπεκρίνατο· πέφηνε γὰρ οὐδὲν οὐδαμοῦ τῶν ἱερῶν ἠδικηκὼς πλὴν ὀλίγων παντάπασι λίθων ἐκ καταλύματος, ἵνα αὐτῷ σώζειν ἐξῇ τὰ λοιπά· τοῦτο ἐν λόγῳ ποιούμεθα καὶ οὐκ αἰσχυνόμεθα ταῦτα περὶ αὐτὸν πράττοντες ὅσαπερ Ἀφόβιος ἐποίει καὶ οἱ Γαλιλαῖοι πάντες προσεύχονται πάσχοντα ἰδεῖν αὐτόν; εἴ τί μοι προσέχεις, οὐ τοῦτον μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους, οἳ μετατέθεινται, τιμήσεις, ἵν' οἱ μὲν ῥᾷον ὑπακούσωσιν ἡμῖν ἐπὶ τὰ καλὰ προκαλουμένοις, οἱ δ' ἧττον χαίρωσιν. εἰ δὲ τοὺς αὐτομάτους ἰόντας ἀπελαύνοιμεν, οὐδεὶς ὑπακούσεται ῥᾳδίως παρακαλοῦσιν.

LXXIX.

Iulianus etenim Christo perfidus Imperator sic Photino haeresiarchae adversus Dio-

1 σεβόμενος Henn.] σευόμενος Harl. 5 τῆς περὶ τοὺς Henn.] περὶ τῆς (τῆς in rasura) Harl. 6 et 7 ἂν add. Henn. 11 et 12 περιημπίσχετο? 12 μέχρι Henn. 14 ἐκ καλύμματος H 15 τοῦτο] οὐ τοῦτο Henn. 16 ταὐτὰ malim 19 et 20 τιμήσεις Henn.] τιμάσεις Harl. 21 χαίρωσιν Henn.] χαίρουσιν Harl. 24 „Hoc fragmentum, cuius notitiam Mauricio Hauptio debeo, suscepi ex Facundo Hermianensi IV, 2. T. II. p. 522 Sirmond.“ Hrch.

dorum scribit: Tu quidem, o Photine, verisimilis videris, et proximus salvare, benefaciens nequaquam in utero inducere quem credidisti deum. Diodorus autem Nazaraei magus, eius pigmentalibus manganes acuens irrationabilitatem, acutus apparuit sophista religionis agrestis. Et post paululum: Quod si nobis opitulati fuerint dii et deae et musae omnes et fortuna, ostendemus infirmum et corruptorem legum et rationum et mysteriorum paganorum et deorum infernorum, et illum novum eius deum Galilaeum, quem aeternum fabulose praedicat indigna morte et sepultura, denudatum confictae a Diodoro deitatis. Sicut autem solent errantes convicti fingere, quod arte magis quam veritate vincantur, sequitur dicens: Iste enim malo communis utilitatis Athenas navigans et philosophans imprudenter musicorum participatus est rationem, et rhetoris confectionibus odibilem adarmavit linguam adversus caelestes deos, usque adeo ignorans paganorum mysteria, omnemque miserabiliter imbibens, ut aiunt, degenerum et imperitorum ejus theologorum piscatorum errorem. Propter quod iam diu est quod ab ipsis punitur diis. Iam enim per multos annos in periculum conversus et in corruptionem thoracis incidens, ad summum pervenit supplicium. Omne eius corpus consumptum est. Nam malae eius conciderunt, rugae vero in altitudinem corporis descenderunt. Quod non est philosophicae conversationis indicio, sicut videri vult a se deceptis, sed iustitiae pro certo deorumque poenae, qua percutitur compétenti ratione, usque ad novissimum vitae suae finem asperam et amaram vitam vivens et faciem pallore confectam.

IULIANI IMPERATORIS FRAGMENTA.

α'. 151

Περίεστι γάρ σοι καὶ σχολή, καὶ φύσεως ἔχεις εὖ, καὶ φιλοσοφίας ἐρᾷς, εἴπερ τις ἄλλος τῶν πώποτε. τρία δὲ ἅμα ταῦτα ξυνελθόντα ἤρκεσεν ἀποφῆναι τὸν Ἀμφίονα τῆς παλαιᾶς μουσικῆς εὑρετήν, χρόνος, θεοῦ πνεῦμα, ἔρως ὑμνῳδίας· οὐδὲ γὰρ ἡ τῶν ὀργάνων ἔνδεια πρὸς ταῦτα πέφυκεν ἀντιτάττεσθαι, (ἀλλὰ) καὶ ταῦτα ῥᾳδίως ἂν ὁ τῶν τριῶν τούτων μέτοχος ἐξεύροι. ἢ γὰρ οὐχὶ τοῦτον αὐτὸν ἀκοῇ παραδεδέγμεθα οὐ τὰς ἁρμονίας μόνον, αὐτὴν δὲ ἐπ' αὐταῖς ἐξευρεῖν τὴν λύραν, εἴτε δαιμονιωτέρᾳ χρησάμενον ἐπινοίᾳ, εἴτε τινὶ θείᾳ δόσει διά τινα συμμαχίαν ἀμήχανον; καὶ τῶν παλαιῶν οἱ πλεῖστοι τοῖς τρισὶ τούτοις ἐοίκασι μάλιστα προσσχόντες οὔτι πλαστῶς φιλοσοφῆσαι, οὐδενὸς ἄλλου δεόμενοι.

β'. 152

Τίς οὖν ἀγνοοῖ τὸν Αἰθιόπων ὑπὲρ τοῦ παρ' ἡμῖν τροφιμωτάτου σιτίου λόγον; ἀψάμενοι γὰρ τῆς

2 Suidas s. Ἀμφίων 7 χρόνος—8 ὑμνῳδίας] Eurip. fr. 192 Nauck. 9 ἀλλὰ add. I. Bekkerus ad Suidam 11 η γαρ H] ἢ γὰρ 14 συντυχίαν A Suidae 16 προσσχόντες Bernhardy] προσχόντες | οὔτι πλαστῶς] Platonem imitatur. Vid. ad 82 B et add. 92 B 18 Suidas s. Ἡρόδοτος et s. Ζηλῶσαι 19 τὸν A Suidae] τῶν

μάζης θαυμάζειν ἔφασαν, ὅπως κόπρια σιτούμενοι ζῶμεν, εἴ τῳ πιστὸς ὁ Θούριος εἶναι λογοποιὸς δοκεῖ. ἰχθυοφάγων δὲ καὶ σαρκοφάγων ἀνθρώπων γένη μηδ' ὄναρ ἰδόντα τὴν παρ' ἡμῖν δίαιταν οἱ τὴν οἰκουμένην περιηγούμενοι γῆν ἱστοροῦσιν. ὧν εἴ τις παρ' ἡμῖν ζηλῶσαι τὴν δίαιταν ἐπιχειρήσει, οὐδὲν ἄμεινον διακείσεται τῶν τὸ κώνειον προσενεγκαμένων ἢ τὴν ἀκόνιτον ἢ τὸν ἐλλέβορον.

γ'.

Τὴν παροινίαν, ἣν εἰς ἡμᾶς ὁ τῆς Ἑλλάδος ἡγεμὼν πεπαρῴνηκεν, οὔτοι βαρέως ἤνεγκας, οὐδὲν ἡγούμενος τούτων εἰς σὲ γεγονέναι· τό γε μὴν τῇ πόλει βοηθεῖν ἐκείνῃ βούλεσθαι καὶ προθυμεῖσθαι, περὶ ἣν ἐποιήσω τὰς διατριβάς, φιλοσόφου ψυχῆς ἐστι τεκμήριον, ὥστε μοι δοκεῖ τὸ μὲν πρότερον Σωκράτει προσήκειν, τὸ δεύτερον δὲ οἶμαι Μουσωνίῳ. ἐκεῖνος μὲν γὰρ ἔφη, ὅτι μὴ θεμιτὸν ἄνδρα σπουδαῖον πρός του τῶν χειρόνων καὶ φαύλων βλαβῆναι· ὁ δὲ ἐπεμέλετο (τῶν) βάρεων, ἡνίκα φεύγειν αὐτὸν ἐπέταττε Νέρων.

153 δ'.

Πρὸς τὴν Ἑρκυνίαν ὕλην ἐθέομεν, καὶ εἶδον ἐγὼ χρῆμα ἐξαίσιον. ἰδοὺ γοῦν σοι θαρρῶν ἐγὼ ἐγγυῶμαι, μήποτε ὦφθαι τοιοῦτον μηδέν, ὅσα γε ἡμεῖς

9 Suidas s. *Μουσώνιος Καπίτωνος* et s. *Βάρεις* 10 *εἰς* add. A Suidae 11 *οὔτοι βαρέως* Hrch.] *οὔτω βαθέως* 17 *μὴ θεμιτὸν* — 18 *βλαβῆναι*] Plat. Apol. 30 D 18 *καὶ φαύλων* addunt libri Suidae 18 et 19 *ὁ δὲ ἐπεμέλετο* Suid.] *ἐπεμέλετο γὰρ* 19 *τῶν* add. Hrch. | *βάρεων* Kusterus] *βαρῶν* 21 Suidas s. *Χρῆμα* 22 *ἐθέομεν*] *ἤλθομεν* Hrch. 23 et 24 *ἐγὼ ἐγγυῶμαι*] *ἐγγυῶμαι* tacite Heyler et Hrch. 24 *μήποτε* Suidas] *μή σε* | *ὅσα γε* Suidas] *ὅσα ποτέ γε*

ἴσμεν, ἐν τῇ Ῥωμαίων. ἀλλ' εἴτε τὰ Θετταλικὰ Τέμπη δύσβατα νομίζει τις εἴτε τὰς Θερμοπύλας εἴτε τὸν μέγαν καὶ διωλύγιον Ταῦρον, ἐλάχιστα ἴστω χαλεπότητος ἕνεκα πρὸς τὸ Ἑρκύνιον ὄντα.

ε'. Ἰουλιανὸς Κορινθίοις.

..... πατρῴα μοι πρὸς ὑμᾶς ὑπάρχει φιλία. καὶ γὰρ ᾤκησε παρ' ὑμῖν ὁ ἐμὸς πατήρ, καὶ ἀναχθεὶς ἐνθένδε, ὥσπερ ἐκ Φαιάκων Ὀδυσσεύς, τῆς πολυχρονίου πλάνης ἀπηλλάγη...... ἐνταῦθα ὁ πατὴρ ἀνεπαύσατο.

ϛ'.

.... καὶ ὁ κλεινὸς ἡμῖν ἔδειξε καὶ ἱεροφάντης Ἰάμβλιχος.... ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύοντες οἷς τε ἐκεῖθεν λαβὼν Ἡρακλείδης ὁ Ποντικὸς ἔφη.

ζ'. 154

... μόνον εὔχεσθαι ᾔδεσαν.

η'.

... ἵνα μη ἀκουώμενοι τὴν γλῶτταν ἑτοίμως πρὸς τοὺς διαλεκτικοὺς τῶν Ἑλλήνων ἀπαντῶσιν.

2 τὰς Θερμοπύλας Hrch.] τὰ ἐν Θερμοπύλαις 3 ἐλάχιστα Hrch.] ἐλάχιστον | ἴστω H et Bekkerus] ἔστω 4 τὸ Ἑρκύνιον Suidas] τὸν Ἑρκύνιον | ὄντα Hrch.] τοὔνομα 5 Libanius Oratione pro Aristophane, T. II. p. 217 B ed. Morell. 6 πατρῴα Hrch.] πατρῷα 7 ὑμῖν Libanius] ὑμῶν heyleriana 8 ἐνθένδε H] ἔνθεν 11 Suidas s. Ἐμπεδότιμος et s. Ἰουλιανός 12 ἔδειξε καὶ] ἔδειξεν Bernhardy, ἔδοξε καὶ v 16 Zosimus III, 3, 3 18 Socrates Hist. Eccl. III, 12. Cf. etiam Suidas s. Μάρις

θ'.

... τοῖς οἰκείοις γὰρ πτεροῖς κατὰ τὴν παροιμίαν βαλλόμεθα. ἐκ γὰρ τῶν ἡμετέρων συγγραμμάτων καθοπλιζόμενοι τὸν καθ' ἡμῶν ἀναδέχονται πόλεμον.

ι'.

Τὸ μὴ προϊδέσθαι τό τε δυνατὸν καὶ τὸ ἀδύνατον ἐν πράγμασι τῆς ἐσχάτης ἀπονοίας ἐστὶ σημεῖον.

1 Theodoretus Hist. Eccl. III, 18 5 Suidas s. Ἀπόνοια 6 προϊδέσθαι Bernhardy] προειδέσθαι (προΐδεσθαι A) Suid. 7 πράγμασι A Suidae] πράγματι

IULIANI IMPERATORIS EPIGRAMMATA. 155

α'. Εἰς οἶνον ἀπὸ κριθῆς.

Τίς πόθεν εἶς, Διόνυσε; μὰ γὰρ τὸν ἀληθέα Βάκχον
  Οὔ σ' ἐπιγιγνώσκω· τὸν Διὸς οἶδα μόνον.
Κεῖνος νέκταρ ὄδωδε, σὺ δὲ τράγον. ἦ ῥά σε Κελτοὶ
  Τῇ πενίῃ βοτρύων τεῦξαν ἀπ' ἀσταχύων.
Τῷ σε χρὴ καλέειν Δημήτριον, οὐ Διόνυσον,
  Πυρογενῆ μᾶλλον καὶ Βρόμον, οὐ Βρόμιον.

β'. Εἰς τὸ ὄργανον.

Ἀλλοίην ὁρόω δονάκων φύσιν· ἦπου ἀπ' ἄλλης
Χαλκείης τάχα μᾶλλον ἀνεβλάστησαν ἀρούρης
Ἄγριοι· οὐδ' ἀνέμοισιν ὑφ' ἡμετέροις δονέονται, 156
Ἀλλ' ἀπὸ ταυρείης προθορὼν σπήλυγγος ἀήτης
Νέρθεν ἐυτρήτων καλάμων ὑπὸ ῥίζαν ὁδεύει.
Καί τις ἀνὴρ ἀγέρωχος, ἔχων θοὰ δάκτυλα χειρός,
Ἵσταται ἀμφαφόων κανόνας συμφράδμονας αὐλῶν,
Οἱ δ' ἁπαλὸν σκιρτῶντες ἀποθλίβουσιν ἀοιδήν.

2 Hoc epigramma a Martinio in praefatione editum legitur etiam in Anthologia Palat. IX, 368 5 τράγον Anthol. 9 Hoc quoque epigramma a Martinio editum legitur in Anthologia IX, 365 13 ἀπὸ Brunckius] ὑπὸ 15 χειρῶν Anthol.

γʹ. Αἴνιγμα εἰς κοντοπαίκτην.

Ἔστιν τι δένδρον τῶν ἀνακτόρων μέσον,
Οὗ ῥίζα καὶ ζῇ καὶ λαλεῖ καρποῖς ἅμα·
Μιᾷ δ' ἐν ὥρᾳ καὶ φυτεύεται ξένως
Καὶ καρπὸν αὔξει καὶ τρυγᾶται ῥιζόθεν.

δʹ. Εἰς τὸν παρόντα Ὁμηρικὸν στίχον ἓξ πόδας ἔχοντα, ὧν οἱ τρεῖς εἰσι δάκτυλοι.

Κούρη Ἰκαρίοιο περίφρων Πηνελόπεια
Ἓξ ποσὶν ἐμβεβαυῖα τριδάκτυλος ἐξεφαάνθη.

εʹ. Εἰς ἱπποκένταυρον.

Ἀνδρόθεν ἐκκέχυθ' ἵππος, ἀνέδραμε δ' ἱππόθεν ἀνήρ,
Ἀνὴρ νόσφι ποδῶν, κεφαλῆς δ' ἄτερ αἰόλος ἵππος·
Ἵππος ἐρεύγεται ἄνδρα, ἀνὴρ δ' ἀποπέρδεται ἵππον.

1 Anthol. T. II. p. 769 6 Boissonadius edidit ad Gregor. Corinth. p. 407 10 Hoc poema Iuliano tribui a Tzetze Chil. VI, 959 indicavit mihi Bruno Friederich. Legitur in Anthologia T. II. p. 659.

[Galli Caesaris Epistola ad Iulianum fratrem.]

157
Γάλλος καῖσαρ Ἰουλιανῷ ἀδελφῷ χαίρειν. 454
C
Ἡ γειτνίασις τῆς χώρας, λέγω δὲ τῆς Ἰωνίας,
πλεῖστον ὅσον εἰς κέρδος ἡμᾶς ἤνεγκεν. ἀνιωμένους
γὰρ ἡμᾶς καὶ δυσχεραίνοντας ἐπὶ ταῖς πρώταις φήμαις
παρεμυθήσατο. τί δὲ ἔστιν ὃ λέγω, γνώσῃ. ἧκεν εἰς
ἡμετέρας |ἀκοὰς ἀποστῆναι μέν σε τῆς προτέρας θρη-
σκείας τῆς ἐκ προγόνων παραδοθείσης, ἐπὶ δὲ τὴν
μάταιον δεισιδαιμονίαν ἐληλακέναι, οἴστρῳ τινὶ κακῷ
συμβούλῳ εἰς τοῦτο ἐλαθέντα. καὶ τί οὐκ ἔμελλον
πάσχειν δυσχεραίνων; ὡς εἰ μέν τι τῶν ἐν σοὶ καλῶν 158
διαβοώμενον γνοίην, κέρδος οἰκεῖον ἡγοῦμαι· εἰ δέ D
τι τῶν δυσχερῶν, ὅπερ οὐκ οἶμαι, ἐξίσης ζημίωμα
μᾶλλον ἐμὸν νομίζω. ἐπὶ τούτοις οὖν ἀνιώμενόν με
ἡ παρουσία τοῦ πατρὸς ἡμῶν Ἀετίου ηὔφραινεν, ἀπ-
αγγέλλοντος μὲν ἐναντία, ἡμῖν δὲ εὐκτά· καὶ γὰρ
σπουδάζειν σε ἔφη εἰς οἴκους εὐχῶν, καὶ μη πόρρω
τῆς μνείας τῶν ἀθλητῶν ἀνδρῶν ἀποσπᾶσθαι, ὅλως
δὲ ἔχεσθαι διεβεβαιοῦτο τῆς θεοσεβείας τῶν ἡμετέρων.

1 „Haec epistola spuria videtur.“ Pet. 10 ὡς] ὡς γὰρ H 11 εἰ δὲ Rsk.] οὐ δὲ v, οὕτω δὲ H 13 μᾶλλον] ἢ καὶ μᾶλλον Rsk. 14 ηὔφραινεν Hrch.] εὔφραινεν

455 ἐγὼ δέ σοι τοῦτ' ἂν εἴποιμι κατὰ τὸ Ὁμηρικὸν Βάλλ' οὕτως, καὶ ἐπὶ τοιαύταις μνείαις εὔφραινε τοὺς ἀγαπῶντας, μεμνημένος ὡς οὐκ ἔστι τι θεοσεβείας ἀνώτερον. ἡ γὰρ εἰς ἄκρον ἀρετὴ παιδεύει τὸ μὲν ψεῦδος ὡς ἀπατηλὸν μισεῖν, τοῦ δὲ ἀληθοῦς ἔχεσθαι, ὅπερ μάλιστα ἐν τῇ περὶ τὸ θεῖον φαίνεται θρησκείᾳ. ὄχλος γὰρ πάντως φιλόνεικον καὶ ἄστατον· τὸ δὲ μόνον σὺν ἑνὶ ὑπουργὸν ὂν βασιλεύει τοῦ
B παντός, οὐκ ἐκ δασμοῦ καὶ κλήρου, καθάπερ οἱ Κρόνου παῖδες, ἀλλ' αὐτοαρχὴ ὄν, καὶ κρατοῦν τῶν ἁπάντων, οὐδὲ δεξάμενον βίᾳ ἕτερον, ἀλλὰ πρὸ πάντων ὄν. τοῦτο ὄντως θεός, ὅνπερ σὺν τῷ ὀφειλομένῳ σεβάσματι προσκυνεῖν χρή. ἔρρωσο.

1 κατὰ delet Rsk. | τὸ Ὁμηρικὸν] Iliad. Θ, 282 11 ἕτερον] παρ' ἑτέρου vel ἑτέρων Rsk.

INDEX NOMINUM ET RERUM.

INDEX SCRIPTORUM.

Corrigenda.

Vol. I.

p. III, 29 συνήθους.
p. VI, 11 post 67 exciderunt: 58. 46. 15. 16.
39,25 ἴσως pro πῶς.
73,10 τὸν pro τὴν.
76,1 τρέποντες.
121 ann. 5 l. 293 D.
136,22 οὐδὲ.
139,11 σεμνότερον.
156 ann. 1 l. 265 C.
231,18 τὴν.
273,13 δὲ.
299,14 ἑαυτὸν.
314,10 πιστούμενοι.
314 ann. 7 Σωκράτην.
317,19 ηὗρες scribendum erat.
319 ann. 7 θηρσίν.
335,8 et 9 σωτη—ρίας.
345 ann. 1 τε pro altero γε.
347,11 πλαττόμενος; (signum interrogandi).
356 ann. 3 συρφετωδῶν,
361 ann. 2 l. 15 pro 14.
367,16 τοὺς.
377,17 θεοὺς.
378 ann. 6 τὴν alterum].
403 ann. 8 πάθοι | τά τ'.

Vol. II.

438 ann. vs. ult. dele et.
442 in inscriptione Iuliani.
446,2 φαίνοιντο.
452,19 πρόσωπον.
452 ann. 4 correcto.
465,3 et 4 νυμ—φοληπτοις.
466,19 παρασχόν.
476,14 τίμημα.